τῇ ΓΑ ἐκτός. ἐὰν δὲ ὀξυγώνιος ᾖ ὁ κῶνος, ὀξείας δηλονότι οὔσης τῆς ὑπὸ ΒΑΓ, αἱ ΒΑΓ, ΑΕΖ ἔσονται δύο ὀρθῶν ἐλάσσονες, καὶ αἱ ΕΖ, ΑΓ ἐκβαλλόμεναι συμπεσοῦνται ὁπουδήποτε· προσαυξῆσαι γὰρ δυνάμεθα τὸν κῶνον. ἔσται οὖν ἐν τῇ ἐπιφανείᾳ τομή, ἥτις καλεῖται Ἔλλειψις, οὕτω κληθεῖσα ἢ διὰ τὸ ἐλλείπειν δύο ὀρθαῖς τὰς προειρημένας γωνίας, ἢ διὰ τὸ τὴν ἔλλειψιν κύκλον εἶναι ἐλλιπῆ. οὕτω μὲν οὖν οἱ παλαιοί, ὑποθέμενοι τὸ τέμνον ἐπίπεδον τὸ διὰ τῆς ΔΕΖ πρὸς ὀρθὰς τῇ ΑΒ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τοῦ κώνου τριγώνου, καὶ ἔτι διαφόρους τοὺς κώνους ἐθεώρησαν, καὶ ἐπὶ ἑκάστου ἰδίαν τομήν. ὁ δὲ Ἀπολλώνιος, ὑποθέμενος κῶνον καὶ ὀρθὸν καὶ σκαληνόν, τῇ διαφόρῳ τοῦ ἐπιπέδου κλίσει διαφόρους ἐποίησε τὰς τομάς. ἔστω γὰρ πάλιν, ὡς ἐπὶ τῶν αὐτῶν καταγραφῶν, τὸ τέμνον ἐπίπεδον τὸ ΚΕΛ, κοινὴ δὲ αὐτοῦ τομὴ καὶ τῆς βάσεως τοῦ κώνου ἡ ΚΛ, κοινὴ δὲ πάλιν αὐτοῦ τοῦ ΚΕΛ ἐπιπέδου καὶ τοῦ ΑΒΓ τριγώνου ἡ ΕΖ, ἥτις καὶ διάμετρος καλεῖται τῆς τομῆς· ἐπὶ πασῶν οὖν τῶν τομῶν ὑποτίθεται τὴν ΚΛ πρὸς ὀρθὰς τῇ ΒΓ βάσει τοῦ ΑΒΓ τριγώνου. λοιπὸν δέ, εἰ μὲν ἡ ΕΖ παράλληλος εἴη τῇ ΑΓ, παραβολὴν γίνεσθαι τὴν ΚΕΛ ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τομήν· εἰ δὲ συμπίπτει τῇ ΑΓ πλευρᾷ ἡ ΕΖ, ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, ὡς κατὰ τὸ Δ, γίνεσθαι τὴν ΚΕΛ τομὴν ὑπερβολήν· εἰ δὲ ἐντὸς συμπίπτει τῇ ΑΓ ἡ ΕΖ, γίνεσθαι τὴν τομὴν ἔλλειψιν, ἣν καὶ θυρεὸν καλοῦσι. καθόλου οὖν τῆς μὲν παραβολῆς ἡ διάμετρος παράλληλός ἐστι τῇ μιᾷ πλευρᾷ τοῦ τριγώνου· τῆς δὲ ὑπερβολῆς ἡ διάμετρος συμπίπτει τῇ πλευρᾷ τοῦ τριγώνου, ἐπὶ τὰ πρὸς τῇ κορυφῇ τοῦ κώνου μέρη· τῆς δὲ ἐλλείψεως ἡ διάμετρος συμπίπτει τῇ πλευρᾷ τοῦ τριγώνου, ἐπὶ τὰ πρὸς τῇ βάσει μέρη. κἀκεῖνο δὲ χρὴ εἰδέναι, ὅτι ἡ μὲν παραβολὴ καὶ ἡ ὑπερβολὴ τῶν εἰς ἄπειρόν εἰσιν αὐξανομένων, ἡ δὲ ἔλλειψις οὐκέτι· πᾶσα γὰρ εἰς αὐτὴν συννεύει ὁμοίως τῷ κύκλῳ.

Πλειόνων δὲ οὐσῶν ἐκδόσεων, ὡς καὶ αὐτός φησιν ἐν τῇ ἐπιστολῇ, ἄμεινον ἡγησάμην συναγαγεῖν αὐτάς, ἐκ τῶν ἐμπιπτόντων τὰ σαφέστερα παρατιθέμενος ἐν τῷ ῥητῷ, διὰ τὴν τῶν εἰσαγομένων εὐμάρειαν· ἔξωθεν δὲ ἐν τοῖς συντεταγμένοις σχολίοις ἐπισημαίνεσθαι τοὺς διαφόρους, ὡς εἰκός, τρόπους τῶν ἀποδείξεων. φησὶ τοίνυν ἐν τῇ ἐπιστολῇ τὰ πρῶτα τέσσαρα βιβλία περιέχειν ἀγωγὴν στοιχειώδη· ὧν τὸ μὲν πρῶτον περιέχει τὰς γενέσεις τῶν τριῶν τοῦ κώνου τομῶν, καὶ τῶν καλουμένων ἀντικειμένων, καὶ τὰ ἐν αὐταῖς ἀρχικὰ συμπτώματα· ταῦτα δέ ἐστιν ὅσα συμβαίνει τι παρὰ τὴν πρώτην αὐτῶν γένεσιν· ἔχει γὰρ καὶ ἕτερά τινα παρακολουθήματα. τὸ δὲ δεύτερον τὰ παρὰ τὰς διαμέτρους, καὶ τοὺς ἄξονας τῶν τομῶν, καὶ τὰς ἀσυμπτώτους· καὶ ἄλλα γενικὴν καὶ ἀναγκαίαν χρείαν παρεχόμενα πρὸς τοὺς διορισμούς. ὁ διορισμὸς ὅτι διπλοῦς ἐστι, παντί που δῆλον· ὁ μὲν μετὰ τὴν ἔκθεσιν ἐφιστάνων τί ἐστι τὸ ζητούμενον· ὁ δὲ τὴν πρότασιν ὅλην οὐ συγχωρῶν καθολικὴν εἶναι, λέγων δὲ πότε καὶ πῶς καὶ ποσαχῶς δυνατὸν συστῆναι τὸ προτεθέν, οἷός ἐστιν ὁ ἐν τῷ εἰκοστῷ δευτέρῳ θεωρήματι τοῦ πρώτου βιβλίου τῆς Εὐκλείδου στοιχειώσεως· "ἐκ τριῶν εὐθειῶν, αἵ εἰσιν ἴσαι τρισὶ ταῖς δοθείσαις, τρίγωνον συστήσασθαι· δεῖ δὲ τὰς δύο τῆς λοιπῆς μείζονας εἶναι, πάντῃ μεταλαμβανομένας", ἐπειδὴ δέδεικται ὅτι παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι. τὸ δὲ τρίτον τῶν κωνικῶν περιέχει, φησί, πολλὰ καὶ παράδοξα θεωρήματα χρήσιμα πρὸς τὰς συνθέσεις τῶν στερεῶν τόπων. Ἐπιπέδους τόπους ἔθος τοῖς παλαιοῖς γεωμέτραις λέγειν, ὅτε τῶν προβλημάτων οὐκ ἀφ' ἑνὸς σημείου μόνον, ἀλλ' ἀπὸ πλειόνων γίνεται τὸ ποίημα· οἷον εἰ ἐπιτάξει τις, τῆς εὐθείας δοθείσης πεπερασμένης εὑρεῖν τι σημεῖον ἀφ' οὗ ἡ ἀχθεῖσα κάθετος ἐπὶ τὴν δοθεῖσαν μέση ἀνάλογον γίνεται τῶν τμημάτων. Τόπον καλοῦσι τὸ τοιοῦτον, οὐ μόνον γὰρ ἓν σημεῖόν ἐστι τὸ ποιοῦν τὸ πρόβλημα, ἀλλὰ τόπος ὅλος ὃν ἔχει ἡ περιφέρεια τοῦ περὶ διάμετρον τὴν δοθεῖσαν εὐθεῖαν κύκλου. ἐὰν γὰρ ἐπὶ τῆς δοθείσης εὐθείας

θείας ἡμικύκλιον γραφῇ, ὅπερ ἂν ἐπὶ τῆς περιφερείας λάβῃς σημεῖον, καὶ ἀπ' αὐτοῦ κάθετον ἀγάγῃς ἐπὶ τὴν διάμετρον, ποιήσει τὸ προβληθέν. ὁμοίως δὲ δοθείσης εὐθείας, ἐάν τις ἐπιτάξῃ εὑρεῖν ἐκτὸς αὐτῆς σημεῖον, ἀφ' οὗ ἐπιζευγνύμεναι ἐπὶ τὰ πέρατα τῆς εὐθείας ἴσαι ἔσονται ἀλλήλαις· καὶ ἐπὶ τούτου οὐ μόνον ἓν σημεῖον τὸ ποιοῦν τὸ πρόβλημα, ἀλλὰ τόπος ὃν ἐπέχει ἡ ἀπὸ τῆς διχοτομίας πρὸς ὀρθὰς ἀγομένη. ἐὰν γὰρ τὴν δοθεῖσαν εὐθεῖαν δίχα τεμὼν, καὶ ἀπὸ τῆς διχοτομίας πρὸς ὀρθὰς ἀγάγῃς, οἷον ἐπ' αὐτῆς λάβῃς σημεῖον ποιήσει τὸ ἐπιταχθέν. ὅμοιον καὶ γράφει αὐτὸς Ἀπολλώνιος ἐν τῷ ἀναλυομένῳ τόπῳ ὑποκειμένῳ.

cta semicirculus describatur, quodcunque in circumferentia sumpseris punctum, & ab ipso perpendicularem ad diametrum duxeris, quod propositum est efficiet. Similiter autem data recta, si quis proponat invenire extra ipsam punctum à quo rectæ ad ejus extrema ductæ inter se æquales sint; etiam in hoc non unicum duntaxat est punctum problema efficiens, sed locus quem occupat recta à puncto medio rectæ datæ ad rectos angulos ducta. nam si data recta bifariam secetur, & ab eo puncto recta ad rectos ducatur angulos, quodcunque in ipsa sumpseris punctum faciet illud quod proponebatur. Huic simile scribit *Apollonius* in *Loco Resoluto* subnexo.

Δύο δοθέντων σημείων ἐν ἐπιπέδῳ, καὶ λόγου δοθέντος ἀνίσων εὐθειῶν· δυνατόν ἐστιν ἐν τῷ ἐπιπέδῳ γράψαι κύκλον, ὥστε τὰς ἀπὸ τῶν δοθέντων σημείων ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου κλωμένας εὐθείας λόγον ἔχειν τὸν αὐτὸν τῷ δοθέντι.

Datis duobus punctis in plano, & data ratione inæqualium rectarum: potest in plano circulus describi, ita ut rectæ à datis punctis ad circumferentiam circuli inclinatæ habeant rationem eandem datæ rationi.

ΕΣΤΩ τὰ μὲν δοθέντα σημεῖα τὰ Α, Β, λόγος δὲ ὁ τῆς Γ πρὸς τὴν Δ, μείζονος ὄντος τῆς Γ· δεῖ δὴ ποιῆσαι τὸ ἐπιταχθέν.

Ἐπεζεύχθω ἡ Α Β, καὶ ἐκβεβλήσθω ἐπὶ τὰ πρὸς τὸ Β μέρη, καὶ γεγονέτω ὡς ἡ Δ πρὸς τὴν Γ ἡ Γ πρὸς ἄλλην τινὰ, μείζονα δηλονότι τῆς Δ, καὶ ἔστω εἰ τύχοι πρὸς τὴν Ε Δ. καὶ πάλιν γεγονέτω ὡς ἡ Ε πρὸς τὴν Α Β ἡ Δ πρὸς τὴν Β Ζ, καὶ ἡ Γ πρὸς τὴν Η· φανερὸν δὴ καὶ ὅτι ἥ τε Γ μέση ἀνάλογόν ἐστι τῆς Ε Δ καὶ τῆς Δ, καὶ ἡ Η τῶν Α Ζ, Ζ Β. καὶ κέντρῳ μὲν τῷ Ζ, διαστήματι δὲ τῇ Η κύκλος γεγράφθω ὁ Κ Θ· φανερὸν δὴ ὅτι τέμνει ἡ Κ Θ περιφέρεια τὴν Α Β εὐθεῖαν· ἡ γὰρ Η εὐθεῖα μέση ἀνάλογόν ἐστι τῶν Α Ζ, Ζ Β. εἰλήφθω δὲ ἐπὶ τῆς περιφερείας τυχὸν σημεῖον τὸ Θ, καὶ ἐπεζεύχθωσαν αἱ Θ Α, Θ Β, Θ Ζ· ἴση ἄρα ἐστὶν ἡ Θ Ζ τῇ Η, καὶ διὰ τοῦτό ἐστιν ὡς ἡ Α Ζ πρὸς τὴν Ζ Θ ἡ Θ Ζ πρὸς τὴν Ζ Β. καὶ περὶ τὴν αὐτὴν γωνίαν τὴν ὑπὸ Θ Ζ Β ἀνάλογόν εἰσιν· ὅμοιον ἄρα ἐστὶ τὸ Α Ζ Θ τῷ Θ Ζ Β τριγώνῳ, καὶ ἴση ἡ ὑπὸ Ζ Θ Β γωνία τῇ ὑπὸ Θ Α Β. ἤχθω δὲ διὰ τοῦ Β τῇ Α Θ παράλληλος ἡ Β Λ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ Α Ζ πρὸς Ζ Θ ἡ Θ Ζ πρὸς Ζ Β, καὶ ὡς ἄρα πρώτη ἡ Α Ζ πρὸς τρίτην τὴν Ζ Β οὕτω τὸ ἀπὸ Α Ζ πρὸς τὸ ἀπὸ Θ Ζ. ἀλλ' ὡς ἡ Α Ζ πρὸς Ζ Β οὕτως ἡ Α Θ πρὸς Β Λ· καὶ ὡς ἄρα τὸ ἀπὸ Α Ζ πρὸς τὸ ἀπὸ Ζ Θ οὕτως ἡ Α Θ πρὸς Β Λ. πάλιν ἐπεὶ ἴση



SINT data puncta A, B; ratio autem data, quam habet Γ ad Δ, sitque Γ major: & oporteat facere illud quod propositum est.

Jungatur A B, & ad partes B producatur, & fiat ut Δ ad Γ ita Γ ad aliam majorem quam Δ; sitq; *e. g.* ad E Δ simul. rursus fiat ut E ad A B ita Δ ad B Z, & Γ ad H: patet igitur Γ mediam proportionalem esse inter E Δ & Δ; itemque H mediam proportionalem inter A Z, Z B *. quare si centro Z & intervallo H circulus K Θ describatur, circumferentia K Θ rectam A B secabit; nam recta H est media proportionalis inter A Z, Z B. Sumatur in circumferentia quodvis punctum Θ, & jungantur Θ A, Θ B, Θ Z; erit igitur Θ Z ipsi H æqualis, & propterea ut A Z ad Z Θ ita Θ Z ad Z B. sunt autem circa eundem angulum Θ Z B latera proportionalia: ergo [per 6. 6.] triangulum A Z Θ simile est triangulo Θ Z B, & angulus Z Θ B angulo Θ A B æqualis. ducatur per B ipsi A Θ parallela B Λ. & quoniam ut A Z ad Z Θ ita est Θ Z ad Z B; erit [per cor. 20. 6.] prima A Z ad tertiam Z B ut quadratum ex A Z ad quadratum ex Θ Z. sed [per 4. 6.] ut A Z ad Z B ita A Θ ad B Λ: ergo ut quadratum ex A Z ad quadratum ex Z Θ ita A Θ ad B Λ. rursus quoniam angulus

* Quoniam [per constr.] E est ad A B ut Δ ad B Z; erit [per 12. 5.] E Δ ad A Z ut Δ ad B Z. Sed Δ est ad B Z [per constr.] ut Γ ad H: & ideo E Δ est ad A Z ut Γ ad H; unde [per 4. & 16. 5.] Γ est ad E Δ ut H ad A Z. Rursus [per constr.] Γ est ad E Δ ut Δ ad Γ & ut B Z ad H: ergo B Z est ad H ut H ad A Z.

B Θ Z æqualis est angulo Θ A B; & angulus A Θ B [per 29.1.] angulo Θ B Λ æqualis, alterni enim sunt: & reliquus reliquo æqualis erit, & triangulum A Θ B simile triangulo Θ B Λ. quare [per 4. 6.] latera quæ circum æquales angulos proportionalia sunt; videlicet ut A Θ ad Θ B ita Θ B ad B Λ, & ut quadratum ex A Θ ad quadratum ex Θ B ita A Θ ad B Λ. erat autem ut A Θ ad B Λ ita quadratum ex A Z ad quadratum ex Z Θ: ut igitur quadratum ex A Z ad quadratum ex Z Θ ita [per 11. 5.] quadratum ex A Θ ad quadratum ex Θ B, & idcirco ut A Z ad Z Θ ita A Θ ad Θ B. Sed [ex supra ostensis] ut A Z ad Z Θ ita E Δ ad Γ, & Γ ad Δ: ergo ut Γ ad Δ ita A Θ ad Θ B. Similiter ostendetur omnes alias rectas, quæ à punctis A, B ad circumferentiam circuli inclinantur, eandem rationem habere quam habet Γ ad Δ.

Dico porro si à punctis A, B ducantur rectæ ad punctum quod non sit in circumferentia circuli, ipsarum non eandem esse rationem quæ est Γ ad Δ. nam si esse potest, factum sit jam illud ad punctum M, quod extra circumferentiam sumatur (eo enim intra sumpto, idem absurdum sequetur) & junctis M A, M B, M Z, ut est Γ ad Δ ita supponatur esse A M ad M B. ergo [per cor. 20. 6.] ut E Δ ad Δ ita quadratum ex E Δ ad quadratum ex Γ, & quadratum ex A M ad quadratum ex M B*. ut autem E Δ ad Δ ita posita est A Z ad Z B: quare ut A Z ad Z B ita quadratum ex A M ad quadratum ex M B. &, ex iis quæ sunt superius dicta, si à puncto B ducatur recta ipsi A M parallela; ut A Z ad Z B ita demonstrabitur quadratum ex A Z ad quadratum ex Z M. Sed modo demonstratum est ut A Z ad Z B ita quadratum ex A Z ad quadratum ex Z Θ: ergo Z Θ ipsi Z M est æqualis. quod est impossibile.

Loci igitur plani ejusmodi sunt. *Solidi* vero *Loci* appellantur ex eo quod lineæ, per quas ipsorum problemata construuntur, à solidorum sectione generationem habent, quales sunt coni sectiones, & complures aliæ. Sunt & alii *Loci ad Superficiem* dicti, quibus ex eorum proprietate nomen impositum est. Invehitur deinde *Apollonius* in *Euclidem*, non, ut *Pappus* & alii nonnulli arbitrantur, quod duas medias proportionales non invenerit: siquidem *Euclides* recte invenit unam mediam proportionalem, & non infeliciter, ut ipse inquit; duas vero proportionales medias neque omnino in elementis investigare aggressus est, & *Apollonius* de duabus mediis proportionalibus in tertio libro nihil inquirere videtur: sed, ut verisimile est, *Euclidem* in alio libro de *Locis* conscripto, qui ad nos non pervenerit, reprehendit. Quæ vero deinceps subjungit de quarto libro perspicua sunt. Quintus, inquit, liber de minimis & maximis magna ex parte agit. Quemadmodum enim in elementis [ad 7. & 8. 3.] didicimus, si ab aliquo puncto in circulum rectæ ducantur, earum quidem quæ ad concavam ipsius circumferentiam pertingunt, maximam esse quæ per centrum transit; earum vero quæ ad convexam, minimam esse quæ inter dictum punctum & diametrum interjicitur: ita & de coni sectionibus in quinto libro inquirit. Sexti, septimi, & octavi libri propositum manifeste ab ipso *Apollonio* explicatur. Et hæc de epistola dicta sunto.

ἐστὶν ἡ ὑπὸ B Θ Z τῇ ὑπὸ Θ A B, ἔστι δὲ καὶ ἡ ὑπὸ A Θ B τῇ ὑπὸ Θ B Λ ἴση, ἐναλλὰξ γάρ· καὶ ἡ λοιπὴ ἄρα τῇ λοιπῇ ἴση ἐστὶν, καὶ ὅμοιόν ἐστι τὸ A Θ B τῷ Θ B Λ. καὶ ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ὡς ἄρα ἡ A Θ πρὸς Θ B ἡ Θ B πρὸς B Λ, καὶ ὡς τὸ ἀπὸ A Θ πρὸς τὸ ἀπὸ Θ B ἡ A Θ πρὸς B Λ. ἦν δὲ καὶ ὡς ἡ Θ A πρὸς B Λ τὸ ἀπὸ A Z πρὸς τὸ ἀπὸ Z Θ· ὡς ἄρα τὸ ἀπὸ A Z πρὸς τὸ ἀπὸ Z Θ οὕτω τὸ ἀπὸ A Θ πρὸς τὸ ἀπὸ Θ B, καὶ διὰ τοῦτο ὡς ἡ A Z πρὸς Z Θ ἡ A Θ πρὸς Θ B. ἀλλ' ὡς ἡ A Z πρὸς Z Θ ἡ E Δ πρὸς Γ, καὶ ἡ Γ πρὸς Δ· καὶ ὡς ἄρα ἡ Γ πρὸς Δ ἡ A Θ πρὸς Θ B. ὁμοίως δὲ δειχθήσονται πᾶσαι αἱ ἀπὸ τῶν A, B σημείων ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου κλώμεναι τὸν αὐτὸν ἔχουσαι λόγον ταῖς Γ, Δ.

Λέγω δὴ ὅτι πρὸς ἄλλῳ σημείῳ μὴ ὄντι ἐπὶ τῆς περιφερείας οὐ γίνεται λόγος τῶν ἀπὸ A, B σημείων ἐπ' αὐτὸ ἐπιζευγνυμένων εὐθειῶν ὁ αὐτὸς τῷ τῆς Γ πρὸς Δ. εἰ γὰρ δυνατὸν, γεγονέτω πρὸς τῷ M ἐκτὸς τῆς περιφερείας, (καὶ γὰρ εἰ ἐντὸς ληφθείη τὸ αὐτὸ ἄτοπον συμβήσεται καθ' ἑτέραν τῶν ὑποθέσεων) καὶ ἐπεζεύχθωσαν αἱ M A, M B, M Z, καὶ ὑποκείσθω ὡς ἡ Γ πρὸς Δ οὕτως ἡ A M πρὸς M B. ἔστιν ἄρα ὡς ἡ E Δ πρὸς Δ οὕτως τὸ ἀπὸ E Δ πρὸς τὸ ἀπὸ Γ, καὶ τὸ ἀπὸ A M πρὸς τὸ ἀπὸ M B*. ἀλλ' ὡς ἡ E Δ πρὸς Δ οὕτως ὑπόκειται ἡ A Z πρὸς Z B· καὶ ὡς ἄρα ἡ A Z πρὸς Z B οὕτω τὸ ἀπὸ A M πρὸς τὸ ἀπὸ M B. καὶ διὰ τὰ προδειχθέντα, ἐὰν ἀπὸ τοῦ B τῇ A M παράλληλον ἀγάγωμεν, δειχθήσεται ὡς ἡ A Z πρὸς Z B οὕτω τὸ ἀπὸ A Z πρὸς τὸ ἀπὸ Z M. ἐδείχθη δὲ καὶ ὡς ἡ A Z πρὸς Z B οὕτω τὸ ἀπὸ A Z πρὸς τὸ ἀπὸ Z Θ· ἴση ἄρα ἡ Z Θ τῇ Z M. ὅπερ ἀδύνατον.

Τόποι οὖν ἐπίπεδοι λέγονται τὰ τοιαῦτα. Οἱ λεγόμενοι στερεοὶ τόποι τὴν προσωνυμίαν ἐσχήκασιν, ἀπὸ τοῦ τὰς γραμμὰς δι' ὧν γράφονται τὰ κατ' αὐτοὺς προβλήματα ἐκ τῆς τομῆς τῶν στερεῶν τὴν γένεσιν ἔχειν, οἷαί εἰσιν αἱ τοῦ κώνου τομαὶ καὶ ἕτεραι πλείους. εἰσὶ δὲ καὶ ἄλλοι τόποι πρὸς ἐπιφάνειαν λεγόμενοι, οἳ τὴν ἐπωνυμίαν ἔχουσιν ἀπὸ τῆς περὶ αὐτοὺς ἰδιότητος. Μέμφεται δὲ ἑξῆς τῷ Εὐκλείδῃ, οὐχ ὡς οἴεται Πάππος καὶ ἕτεροί τινες, διὰ τὸ μὴ εὑρηκέναι δύο μέσους ἀνάλογον· ὅ τε γὰρ Εὐκλείδης ὑγιῶς εὗρε τὴν μίαν μέσην ἀνάλογον, ἀλλ' οὐχ, ὡς αὐτός φησιν, οὐκ εὐτυχῶς, περὶ δὲ τῶν δύο μέσων οὐδ' ὅλως ἐπιχειρεῖται ζητῆσαι ἐν τῇ στοιχειώσει· ὅ τε αὐτὸς Ἀπολλώνιος οὐδὲν περὶ τῶν δύο μέσων ἀνάλογον φαίνεται ζητήσας ἐν τῷ τρίτῳ βιβλίῳ· ἀλλ' ὡς ἔοικεν ἐν ἑτέρῳ βιβλίῳ περὶ τόπων γεγραμμένῳ τῷ Εὐκλείδῃ ἐπισκώπτει, ὅπερ εἰς ἡμᾶς οὐ φέρεται. τὰ δὲ ἐφεξῆς περὶ τοῦ τετάρτου βιβλίου λεγόμενα σαφῆ ἐστι. τὸ δὲ πέμπτον φησὶ περιέχει τὰ περὶ τῶν ἐλαχίστων καὶ μεγίστων. ὥσπερ γὰρ ἐπὶ τοῦ κύκλου ἐμάθομεν ἐν τῇ στοιχειώσει, ὅτι ἐστί τι σημεῖον ἀφ' οὗ τῶν μὲν πρὸς τὴν κοίλην περιφέρειαν προσπιπτουσῶν μεγίστη ἐστὶν ἡ διὰ τοῦ κέντρου, τῶν δὲ πρὸς τὴν κυρτὴν ἐλαχίστη ἐστὶν ἡ μεταξὺ τοῦ σημείου καὶ τῆς διαμέτρου· οὕτως καὶ ἐπὶ τῶν τοῦ κώνου τομῶν ζητεῖ ἐν τῷ πέμπτῳ βιβλίῳ· τοῦ ἕκτου καὶ ἑβδόμου καὶ ὀγδόου βιβλίου σαφὴς ἡ πρόθεσις ὑπ' αὐτοῦ εἴρηται. καὶ ταῦτα μὲν περὶ τῆς ἐπιστολῆς.

* Ex hypothesi enim est A M ad M B ut Γ ad Δ; & ideo quadratum ex A M ad quadratum ex M B est ut quadratum ex Γ ad quadratum ex Δ, hoc est (ut supra ostensum) ut E Δ ad Δ.

ΟΡΟΙ ΠΡΩΤΟΙ.

α'. ΕΑΝ [a] ἀπό τινος σημείου πρὸς κύκλου περιφέρειαν, ὃς οὐκ ἔστιν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τῷ σημείῳ, εὐθεῖα ἐπιζευχθεῖσα ἐφ' ἑκάτερα προσεκβληθῇ, καὶ μένοντος τοῦ σημείου ἡ εὐθεῖα περὶ τὴν τοῦ κύκλου περιφέρειαν εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι· τὴν γραφεῖσαν ὑπὸ τῆς εὐθείας ἐπιφάνειαν, ἣ σύγκειται ἐκ δύο ἐπιφανειῶν κατὰ κορυφὴν ἀλλήλαις κειμένων, ὧν ἑκατέρα εἰς ἄπειρον αὔξεται, τῆς γραφούσης εὐθείας εἰς ἄπειρον προσεκβαλλομένης, καλῶ κωνικὴν ἐπιφάνειαν.

β'. Κορυφὴν δὲ αὐτῆς, τὸ μεμενηκὸς σημεῖον.

γ'. Ἄξονα δὲ, τὴν διὰ τοῦ σημείου καὶ τοῦ κέντρου τοῦ κύκλου ἀγομένην εὐθεῖαν.

δ'. Κῶνον δὲ, τὸ περιεχόμενον σχῆμα ὑπό τε τοῦ κύκλου καὶ τῆς μεταξὺ τῆς κορυφῆς καὶ τῆς τοῦ κύκλου περιφερείας κωνικῆς ἐπιφανείας.

ε'. Κορυφὴν δὲ τοῦ κώνου, τὸ σημεῖον ὃ καὶ τῆς ἐπιφανείας ἐστὶ κορυφή.

ς'. Ἄξονα δὲ, τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὸ κέντρον τοῦ κύκλου ἀγομένην εὐθεῖαν.

ζ'. Βάσιν δὲ, τὸν κύκλον.

η'. Ὀρθοὺς μὲν καλῶ, τοὺς πρὸς ὀρθὰς ἔχοντας ταῖς βάσεσι τοὺς ἄξονας.

θ'. Σκαληνοὺς δὲ, τοὺς μὴ πρὸς ὀρθὰς ἔχοντας ταῖς βάσεσι τοὺς ἄξονας.

ι'. [b] Πάσης καμπύλης γραμμῆς, ἥτις ἐστὶν ἐν ἑνὶ ἐπιπέδῳ, διάμετρον μὲν καλῶ εὐθεῖαν, ἥτις ἠγμένη ἀπὸ τῆς καμπύλης γραμμῆς πάσας τὰς ἀγομένας ἐν τῇ γραμμῇ εὐθείας, εὐθείᾳ τινὶ παραλλήλους, δίχα διαιρεῖ.

ια'. Κορυφὴν δὲ τῆς καμπύλης γραμμῆς, τὸ πέρας τῆς εὐθείας τὸ πρὸς τῇ γραμμῇ.

ιβ'. Τεταγμένως δὲ ἐπὶ τὴν διάμετρον κατῆχθαι ἑκάστην τῶν παραλλήλων.

ιγ'. [c] Ὁμοίως δὲ καὶ δύο καμπύλων γραμμῶν, ἐν ἑνὶ ἐπιπέδῳ κειμένων, διάμετρον καλῶ πλαγίαν μὲν, ἥτις εὐθεῖα, τέμνουσα τὰς δύο γραμμὰς, πάσας τὰς ἀγομένας ἐν ἑκατέρᾳ τῶν γραμμῶν παρά τινα εὐθεῖαν δίχα τέμνει.

ιδ'. Κορυφὰς δὲ τῶν γραμμῶν, τὰ πρὸς ταῖς γραμμαῖς πέρατα τῆς διαμέτρου.

ιε'. Ὀρθίαν δὲ διάμετρον, εὐθεῖαν, ἥτις κει-

DEFINITIONES PRIMÆ.

1. SI [a] ab aliquo puncto ad circumferentiam circuli, qui non est in eodem plano in quo punctum, juncta recta linea in utramque partem producatur, & manente puncto convertatur circa circuli circumferentiam, quousque ad eum locum redeat à quo cœpit moveri; superficiem à recta descriptam, constantemque ex duabus superficiebus ad verticem inter sese aptatis, quarum utraque in infinitum augetur, (nimirum recta quæ eam describit in infinitum producta) voco conicam superficiem.

2. Verticem vero ejus, manens punctum.

3. Axem autem, rectam lineam quæ per punctum & centrum circuli ducitur.

4. Conum vero voco, figuram contentam circulo & conica superficie, quæ inter verticem & circuli circumferentiam interjicitur.

5. Verticem autem coni, punctum quod & superficiei conicæ vertex est.

6. Axem vero, rectam lineam quæ à vertice ad circuli centrum ducitur.

7. Basim autem, circulum ipsum.

8. Rectos quidem conos voco, qui axes habent ad rectos angulos ipsis basibus.

9. Scalenos vero, qui axes non ad rectos angulos ipsis basibus habent.

10. [b] Omnis curvæ lineæ, in uno plano existentis, diametrum voco rectam lineam; quæ quidem ducta à linea curvâ omnes rectas in ipsa ductas, cuidam rectæ parallelas, bifariam dividit.

11. Verticem autem curvæ lineæ, terminum rectæ qui est in ipsa linea.

12. Ordinatim vero ad diametrum applicari unamquamque rectarum parallelarum.

13. [c] Similiter & duarum curvarum linearum, in uno plano existentium, diametrum quidem transversam voco, rectam lineam; quæ, utramque lineam secans, rectas omnes in ipsis ductas, rectæ cuidam parallelas, bifariam dividit.

14. Vertices autem linearum, diametri terminos qui sunt in ipsis lineis.

15. Rectam vero diametrum, illam,

lam, quæ inter duas lineas posita rectas omnes ductas, rectæ cuidam parallelas & inter ipsas curvas interjectas, bifariam secat.

16. Ordinatim autem ad diametrum applicari unamquamque rectarum parallelarum.

17. Conjugatas diametros voco curvæ lineæ & duarum curvarum, rectas lineas; quarum utraque diameter est, & rectas alteri parallelas bifariam dividit.

18. Axem vero curvæ lineæ, & duarum curvarum, rectam lineam; quæ, cum sit diameter curvæ lineæ vel duarum curvarum, rectas parallelas ad rectos angulos secat.

19. Axes conjugatos voco curvæ lineæ & duarum curvarum, rectas lineas; quæ, cum sint diametri conjugatæ, sibi invicem parallelas ad rectos angulos secant.

μέτρον μὲν τῶν δύο γραμμῶν πάσας τὰς ἀγομένας εὐθείας, εὐθείᾳ τινὶ παραλλήλους καὶ ἀπολαμβανομένας μεταξὺ τῶν γραμμῶν, δίχα τέμνει.

ιϛ'. Τεταγμένως δὲ ἐπὶ τὴν διάμετρον κατῆχθαι ἑκάστην τῶν παραλλήλων.

ιζ'. Συζυγεῖς καλῶ διαμέτρους καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν, εὐθείας· ὧν ἑκατέρα, διάμετρος οὖσα, τὰς τῇ ἑτέρᾳ παραλλήλους δίχα διαιρεῖ.

ιη'. Ἄξονα δὲ καλῶ καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν, εὐθεῖαν ἥτις διάμετρος οὖσα τῆς γραμμῆς, ἢ τῶν γραμμῶν, πρὸς ὀρθὰς τέμνει τὰς παραλλήλους.

ιθ'. Συζυγεῖς καλῶ ἄξονας καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν, εὐθείας αἵτινες, διάμετροι οὖσαι συζυγεῖς, πρὸς ὀρθὰς τέμνουσι τὰς ἀλλήλων παραλλήλους.

EUTOCIUS.

Exorsus à definitionibus [*Apollonius*] tradit generationem conicæ superficiei, non autem definitionem quæ quid res sit declarat: quanquam licebit utique iis, qui volent, & ex generatione ipsa definitionem colligere. At vero nos iis, quæ ab *Apollonio* dicuntur, ex figuris lucem afferemus.

a Si ab aliquo puncto ad circumferentiam circuli, *&c.*] Sit circulus ΑΒ, cujus centrum Γ, & punctum aliquod sublime Δ, junctaque ΔΒ in infinitum ex utraque parte producatur ad Ε, Ζ. Si igitur manente Δ, ΔΒ feratur in circuli ΑΒ circumferentia, donec punctum Β rursus in eum locum restituatur, à quo cœpit moveri; describet superficiem quandam, quæ quidem constat ex duabus superficiebus ad Δ punctum inter se connexis: eam voco conicam superficiem. dicit quod & augetur in infinitum, cum recta ΕΒ ipsam describens in infinitum producitur. verticem superficiei dicit punctum Δ; axem rectam ΔΓ; conum vero appellat figuram contentam circulo ΑΒ & ea superficie quam ΔΒ sola describit; coni verticem punctum Δ; axem ΔΓ; basim vero ΑΒ circulum. Et si ΔΓ ad circulum ΑΒ fuerit perpendicularis, rectum vocat conum; sin minus, scalenum. Describitur autem conus scalenus, quando à centro circuli recta erigitur, quæ non est perpendicularis ad circuli planum; ab erectæ vero puncto, quod est in sublimi, ad circumferentiam recta ducitur, & manente puncto, circa ipsam convertitur: comprehensa etenim figura conus erit scalenus. constat igitur rectam circumductam in conversione quandoque majorem, quandoque minorem, & quandoque æqualem fieri, ad aliud atque aliud circuli punctum. quod tamen nos hoc modo demonstrabimus.



Ἀρξάμενος δὲ νῦν ὅρων, γένεσιν ἀποδίδωσι κωνικῆς ἐπιφανείας, ἀλλ' οὐ τὸν τί ἐστιν ὁρισμὸν παραδίδωσιν· ἔξεστι δὲ τοῖς βουλομένοις ἐκ τῆς γενέσεως αὐτῆς τὸν ὅρον λαμβάνειν. τὸ δὲ λεγόμενον ὑπ' αὐτοῦ διὰ καταγραφῆς σαφὲς ποιήσομεν.

a Ἐὰν ἀπό τινος σημείου πρὸς κύκλου περιφέρειαν, καὶ τὰ ἑξῆς.] Ἔστω κύκλος ὁ ΑΒ, οὗ κέντρον τὸ Γ, καὶ σημεῖόν τι μετέωρον τὸ Δ, καὶ ἐπιζευχθεῖσα ἡ ΔΒ ἐκβεβλήσθω εἰς ἄπειρον ἐφ' ἑκάτερα μέρη, ὡς ἐπὶ τὰ Ε, Ζ. ἐὰν δὴ, μένοντος τοῦ Δ, ἡ ΔΒ φέρηται ἕως ἂν τὸ Β, ἐνεχθὲν κατὰ τῆς τοῦ ΑΒ κύκλου περιφερείας, ἐπὶ τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι, γεννήσει ἐπιφάνειάν τινα, ἥτις σύγκειται ἐκ δύο ἐπιφανειῶν ἁπτομένων ἀλλήλων κατὰ τὸ Δ· ἣν δὴ καὶ καλεῖ κωνικὴν ἐπιφάνειαν. φησὶ δὲ ὅτι καὶ εἰς ἄπειρον αὔξεται, διὰ τὸ καὶ τὴν γράφουσαν αὐτὴν εὐθεῖαν, οἷον τὴν ΕΒ, εἰς ἄπειρον ἐκβάλλεσθαι. κορυφὴν δὲ τῆς ἐπιφανείας λέγει τὸ Δ· ἄξονα δὲ τὴν ΔΓ. κῶνον δὲ λέγει τὸ περιεχόμενον σχῆμα ὑπό τε τοῦ ΑΒ κύκλου καὶ τῆς ἐπιφανείας, ἣν μόνη γράφει ἡ ΔΒ εὐθεῖα· κορυφὴν δὲ τοῦ κώνου τὸ Δ· ἄξονα δὲ τὴν ΔΓ· βάσιν δὲ τὸν ΑΒ κύκλον. καὶ ἐὰν μὲν ἡ ΔΓ πρὸς ὀρθὰς ᾖ τῷ ΑΒ κύκλῳ, ὀρθὸν καλεῖ τὸν κῶνον· ἐὰν δὲ μὴ πρὸς ὀρθὰς, σκαληνόν. γεννᾶται δὲ ὁ σκαληνὸς κῶνος, ὅταν λαβόντες κύκλον ἀπὸ τοῦ κέντρου αὐτοῦ ἀναστήσωμεν εὐθεῖαν, μὴ πρὸς ὀρθὰς τῷ ἐπιπέδῳ τοῦ κύκλου, ἀπὸ δὲ τοῦ μετεώρου σημείου τῆς ἀνεστηκυίας ἐπὶ τὸν κύκλον ἐπιζεύξωμεν εὐθεῖαν, καὶ περιάγωμεν τὴν ἐπιζευχθεῖσαν εὐθεῖαν περὶ τὸν κύκλον, τοῦ πρὸς τῷ μετεώρῳ σημείου τῆς ἀνεστηκυίας μένοντος· τὸ γὰρ περιληφθὲν σχῆμα κῶνος ἔσται σκαληνός. δῆλον δὲ ὅτι ἡ περιαγομένη εὐθεῖα ἐν τῇ περιαγωγῇ μείζων καὶ ἐλάττων γίνεται, κατά τινας δὲ θέσεις καὶ ἴση, πρὸς ἄλλο καὶ ἄλλο σημεῖον τοῦ κύκλου. ἀποδείκνυται δὲ τοῦτο οὕτως.

Ἐὰν

Ἐὰν κώνου σκαληνοῦ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν ἀχθῶσιν εὐθεῖαι· πασῶν τῶν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν ἀχθεισῶν εὐθειῶν μία μέν ἐστι ἐλαχίστη, μία δὲ μεγίστη, δύο δὲ μόναι ἴσαι παρ' ἑκάτερα τῆς ἐλαχίστης καὶ τῆς μεγίστης, ἀεὶ δὲ ἡ ἔγγιον τῆς ἐλαχίστης τῆς ἀπώτερόν ἐστιν ἐλάσσων.

Si à vertice coni ſcaleni ad baſis circumferentiam rectæ ducantur: omnium rectarum à vertice ad baſim ductarum una quidem minima, & una maxima erit; duæ vero tantum, ex utraque parte minimæ & maximæ, inter ſe æquales; at quæ propinquior eſt minimæ ſemper minor erit remotiore.

Ἔστω κῶνος σκαληνός, οὗ βάσις μὲν ὁ ΑΒΓ κύκλος, κορυφὴ δὲ τὸ Δ σημεῖον. καὶ ἐπεὶ ἡ ἀπὸ τῆς κορυφῆς τοῦ σκαληνοῦ κώνου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον κάθετος ἀγομένη, ἤτοι ἐπὶ τῆς περιφερείας τοῦ ΑΒΓ κύκλου πεσεῖται, ἢ ἐκτός, ἢ ἐντός· ἐμπιπτέτω πρότερον ἐπὶ τῆς περιφερείας, ὡς ἐπὶ τῆς πρώτης καταγραφῆς ἡ ΔΕ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου, καὶ ἔστω τὸ Κ, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Κ ἐπιζεύχθω ἡ ΕΚ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Β· καὶ ἐπιζεύχθω ἡ ΒΔ, καὶ εἰλήφθωσαν δύο ἴσαι περιφέρειαι παρ' ἑκάτερα τοῦ Ε, αἱ ΖΕ, ΕΗ, καὶ παρ' ἑκάτερα τοῦ Β αἱ ΑΒ, ΒΓ, καὶ ἐπιζεύχθωσαν αἱ ΖΕ, ΕΗ, ΔΖ, ΔΗ, ΕΑ, ΕΓ, ΑΒ, ΒΓ, ΔΑ, ΔΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΕΖ εὐθεῖα τῇ ΕΗ εὐθείᾳ, ἴσας γὰρ περιφερείας ὑποτείνουσι, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΔΕ· βάσις ἄρα ἡ ΔΖ τῇ ΔΗ ἐστὶν ἴση. πάλιν ἐπεὶ ἡ ΑΒ περιφέρεια τῇ ΒΓ ἐστὶν ἴση, καὶ διάμετρος ἡ ΒΕ· λοιπὴ ἄρα ἡ ΑΖΕ τῇ ΒΗΓ ἐστὶν ἴση· ὥστε καὶ ἡ ΑΕ τῇ ΕΓ· κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΔΕ· βάσις ἄρα ἡ ΔΑ τῇ ΔΓ ἐστὶν ἴση. ὁμοίως δὴ καὶ πᾶσαι δειχθήσονται, ἴσον ἀπέχουσαι τῆς ΔΕ ἢ τῆς ΔΒ, ἴσαι. πάλιν ἐπεὶ τριγώνου τοῦ ΔΕΖ ὀρθή ἐστι γωνία ἡ ὑπὸ ΔΕΖ, μείζων ἐστὶν ἡ ΔΖ τῆς ΔΕ. καὶ πάλιν μείζων ἐστὶν ἡ ΕΑ εὐθεῖα τῆς ΕΖ, ἐπεὶ καὶ περιφέρεια ἡ ΕΖΑ τῆς ΕΖ περιφερείας, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΔΕ· ἡ ΔΖ ἄρα τῆς ΔΑ ἐλάσσων ἐστί. διὰ τὰ αὐτὰ καὶ ἡ ΔΑ τῆς ΔΒ ἐλάσσων ἐστίν. ἐπεὶ οὖν ἡ ΔΕ τῆς ΔΖ ἐλάσσων ἐδείχθη, ἡ δὲ ΔΖ τῆς ΔΑ, ἡ δὲ ΔΑ τῆς ΔΒ· ἐλαχίστη μέν ἐστιν ἡ ΔΕ, μεγίστη δὲ ἡ ΔΒ, ἀεὶ δὲ ἔγγιον τῆς ΔΕ τῆς ἀπώτερον ἔλασσόν ἐστιν.

Sit conus ſcalenus, cujus baſis ΑΒΓ circulus, vertex autem punctum Δ. & quoniam recta, quæ à vertice coni ſcaleni ad ſubjectum planum perpendicularis ducitur, vel in circumferentiam circuli ΑΒΓ cadet, vel extra, vel intra: cadat primum in ipſam circumferentiam, ut in prima figura ipſa ΔΕ; ſumptoque circuli centro Κ, ab ipſo Ε ad Κ ducatur ΕΚ, & producatur ad Β: jungatur autem ΒΔ, & ex utraque parte puncti Ε ſumantur circumferentiæ duæ æquales ΖΕ, ΕΗ; itemque ex utraque parte Β ſumantur aliæ duæ æquales ΑΒ, ΒΓ; & jungantur ΖΕ, ΕΗ, ΔΖ, ΔΗ, ΕΑ, ΕΓ, ΑΒ, ΒΓ, ΔΑ, ΔΓ. quoniam igitur recta ΕΖ [per 29. 3.] æqualis eſt ipſi ΕΗ, æquales enim circumferentias ſubtendunt; communis autem & ad rectos angulos ΔΕ: erit [per 4. 1.] baſis ΔΖ baſi ΔΗ æqualis. rurſus quoniam circumferentia ΑΒ æqualis eſt ipſi ΒΓ circumferentiæ, & eſt ΒΕ diameter circuli; reliqua ΑΖΕ reliquæ ΕΗΓ æqualis erit: quare & recta ΑΕ ipſi ΕΓ. ſed ΔΕ communis eſt utrique, & ad rectos angulos: baſis igitur ΔΑ æqualis eſt baſi ΔΓ. Similiter etiam demonſtrabuntur inter ſe æquales quæcunque ab ipſa ΔΕ vel ΔΒ æqualiter diſtant. rurſus quoniam trianguli ΔΕΖ angulus ΔΕΖ rectus eſt, recta ΔΖ [per 18. 1.] major erit quam ΔΕ. & rurſus recta ΕΑ major eſt quam ΕΖ, quoniam circumferentia ΕΖΑ major eſt quam ipſa ΕΖ circumferentia; communis vero & ad rectos angulos ΔΕ: baſis ΔΖ minor erit quam ΔΑ. eadem quoque ratione & ΔΑ minor quam ΔΒ. quoniam igitur oſtenſa eſt ΔΕ minor quam ΔΖ, itemque ΔΖ minor quam ΔΑ, & ΔΑ minor quam ΔΒ: ipſa quidem ΔΕ minima eſt, ΔΒ vero maxima, & ipſi ΔΕ propinquior remotiori ſemper eſt minor.



Ἀλλὰ δὴ ἡ κάθετος πιπτέτω ἐκτὸς τοῦ ΑΒΓ κύκλου, ὡς ἐπὶ τῆς δευτέρας καταγραφῆς ἡ ΔΕ· καὶ εἰλήφθω πάλιν τὸ κέντρον τοῦ κύκλου τὸ Κ, καὶ ἐπιζεύχθω ἡ ΕΚ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Β, καὶ ἐπιζεύχθωσαν αἱ ΔΒ, ΔΘ. καὶ εἰλήφθωσαν δύο ἴσαι περιφέρειαι παρ' ἑκάτερα τοῦ Θ, αἱ ΘΖ, ΘΗ, καὶ παρ' ἑκάτερα τοῦ Β, αἱ ΑΒ, ΒΓ, καὶ ἐπιζεύχθωσαν αἱ ΕΖ, ΕΗ, ΖΚ, ΗΚ, ΔΖ, ΔΗ, ΑΒ, ΒΓ, ΚΑ, ΚΓ, ΔΑ, ΔΒ, ΔΓ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΘΖ περιφέρεια τῇ ΘΗ, καὶ γωνία ἄρα ἡ ὑπὸ ΘΚΖ τῇ ὑπὸ ΘΚΗ ἐστὶν ἴση. ἐπεὶ οὖν ἡ ΖΚ εὐθεῖα τῇ ΚΗ ἐστὶν ἴση, ἐκ κέντρου γάρ, κοινὴ δὲ ἡ ΚΕ· βάσις ἄρα ἡ ΖΕ τῇ ΗΕ ἐστὶν ἴση. ἐπεὶ οὖν ἡ ΖΕ εὐθεῖα τῇ ΗΕ ἐστὶν ἴση, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΕΔ· βάσις ἄρα ἡ ΔΖ τῇ ΔΗ ἐστὶν ἴση. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΒΑ περιφέρεια τῇ ΒΓ, καὶ γωνία ἄρα ἡ ὑπὸ ΑΚΒ τῇ ὑπὸ ΓΚΒ ἐστὶν ἴση· ὥστε καὶ λοιπὴ εἰς τὰς δύο ὀρθὰς ἡ ὑπὸ ΑΚΕ λοιπῇ εἰς τὰς δύο ὀρθὰς τῇ ὑπὸ ΓΚΕ ἐστὶν ἴση. ἐπεὶ οὖν ἡ ΑΚ εὐθεῖα τῇ ΓΚ ἐστὶν ἴση, ἐκ κέντρου γάρ, κοινὴ δὲ ἡ ΚΕ, δύο δυσὶν ἴσαι,

Sed cadat perpendicularis extra circulum ΑΒΓ, ut in ſecunda figura ΔΕ; & rurſus ſumatur circuli centrum Κ, junctaque ΕΚ producatur ad Β, & jungantur ΔΒ, ΔΘ. Sumantur præterea duæ circumferentiæ æquales ex utraque parte puncti Θ, quæ ſint ΘΖ, ΘΗ, & ex utraque parte ipſius Β aliæ duæ ſumantur ΑΒ, ΒΓ, & jungantur ΕΖ, ΕΗ, ΖΚ, ΗΚ, ΔΖ, ΔΗ, ΑΒ, ΒΓ, ΚΑ, ΚΓ, ΔΑ, ΔΒ, ΔΓ. itaque quoniam æqualis eſt circumferentia ΘΖ ipſi ΘΗ, & angulus ΘΚΖ angulo ΘΚΗ [per 27. 3.] æqualis erit. Quoniam igitur recta ΖΚ rectæ ΚΗ eſt æqualis, (ex centro enim ſunt,) & ΚΕ communis: ergo baſis ΖΕ æqualis baſi ΗΕ. quoniam igitur recta ΖΕ eſt æqualis ΗΕ, communis vero & ad rectos angulos ΕΔ: baſis ΔΖ baſi ΔΗ eſt æqualis. rurſus quoniam circumferentia ΒΑ æqualis eſt ΒΓ, & angulus ΑΚΒ ipſi ΓΚΒ; & reliquus ex duobus rectis ΑΚΕ reliquo ΓΚΕ æqualis erit. quoniam igitur ΑΚ, ΓΚ inter ſe æquales ſunt, (ex centro enim ſunt,) communis vero ΚΕ, duæ duabus

duabus æquales, & angulus AKE æqualis ΓKE; ergo & AE basis æqualis ΓE. quoniam igitur AE æqualis est ΓE, communis vero & ad rectos angulos EΔ, & basis ΔA erit basi ΔΓ æqualis. similiter & aliæ omnes ad invicem æquales demonstrabuntur, quæ ab ipsa ΔB vel ΔΘ æqualiter distant. & quoniam [per 8.3.] EΘ minor est quam EZ, communis vero & ad rectos angulos EΔ: erit basis ΔΘ basi ΔZ minor. rursus quoniam recta quæ à puncto E ducta contingit circulum major est omnibus quæ ab eodem puncto in convexam circumferentiam cadunt; & rectangulum sub AE, EΛ æquale est quadrato ipsius EZ, quando EZ circulum contingit, ut ostensum est in tertio libro elementorum [propos. 36.]: erit [per 16.6.] ut AE ad EZ ita EZ ad EΛ. est autem EZ major quam EΛ, semper enim propinquior minimæ minor est remotiori: quare & AE major quam EZ. quoniam igitur EZ minor est quam EA, communis vero & ad rectos est EΔ: basis igitur ΔZ minor est basi ΔA. rursus, quia est AK æqualis KB, & KE communis; erunt duæ AK, KE duabus EK, KB, hoc est toti EKB, æquales. sed duæ AK, KE majores sunt quam AE; ergo & BE major quam AE. Rursus quoniam AE minor est quam BE, communis autem & ad rectos angulos EΔ; basis ΔA minor est basi ΔB. itaque cum ΔΘ minor sit quam ΔZ, & ΔZ minor quam ΔA, & ΔA quam ΔB: minima quidem erit ΔΘ, ΔB vero maxima, & ipsi ΔΘ propinquior, *&c.*



Postremo cadat perpendicularis ΔE intra circulum ABΓHZ, ut in tertia figura, sumptoque circuli centro K, & juncta EK producatur in utramque partem ad puncta B, Θ, & jungantur ΔΘ, ΔB. sumantur autem ex utraque parte puncti Θ circumferentiæ æquales ΘZ, ΘH, & ex utraque parte puncti B æquales AB, BΓ, & jungantur EZ, EH, ZK, KH, ΔZ, ΔH, KA, KΓ, EA, EΓ, ΔA, ΔB, ΔΓ, AB, BΓ. Quoniam igitur ΘZ circumferentia æqualis est circumferentiæ ΘH; angulus igitur ΘKZ [per 27.3.] angulo ΘKH est æqualis. & quoniam KZ æqualis ipsi KH, & KE communis, & angulus ZKE æqualis angulo HKE; ergo & ZE basis basi HE æqualis erit. Quoniam igitur ZE æqualis HE, & ΔE communis, & angulus ZEΔ æqualis HEΔ; basis igitur ΔZ basi ΔH æqualis est. rursus quia circumferentia AB æqualis est circumferentiæ BΓ; angulus AKB angulo ΓKB æqualis erit: ergo & reliquus ex duobus rectis AKE reliquo ΓKE. quoniam igitur AK æqualis KΓ, commu-



καὶ γωνία ἡ ὑπὸ AKE τῇ ὑπὸ ΓKE· καὶ βάσις ἄρα ἡ AE τῇ ΓE ἐστὶν ἴση. ἐπεὶ οὖν ἴση ἡ AE εὐθεῖα τῇ ΓE, κοινὴ δὲ ἡ EΔ καὶ πρὸς ὀρθάς, βάσις ἄρα ἡ ΔA τῇ ΔΓ ἴση. ὁμοίως δὲ καὶ πᾶσαι δειχθήσονται, αἱ ἴσον ἀπέχουσαι τῆς ΔB ἢ τῆς ΔΘ, ἴσαι. καὶ ἐπεὶ ἡ EΘ τῆς EZ ἐστὶν ἐλάσσων, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ EΔ· βάσις ἄρα ἡ ΔΘ βάσεως τῆς ΔZ ἐστὶν ἐλάσσων. πάλιν ἐπεὶ ἡ ἀπὸ τοῦ E ἐφαπτομένη τοῦ κύκλου πασῶν τῶν πρὸς τὴν κυρτὴν περιφέρειαν προσπιπτουσῶν μείζων ἐστίν, ἐδείχθη δὲ ἐν τῷ τρίτῳ τῆς στοιχειώσεως, τὸ ὑπὸ AE, EΛ ἴσον τῷ ἀπὸ τῆς EZ, ὅταν ἡ EZ ἐφάπτηται· ἔστιν ἄρα ὡς ἡ AE πρὸς EZ ἡ EZ πρὸς EΛ. μείζων δέ ἐστιν ἡ EZ τῆς EΛ, ἀεὶ γὰρ ἡ ἔγγιον τῆς ἐλαχίστης τῆς ἀπώτερον ἐστὶν ἐλάσσων· μείζων ἄρα καὶ ἡ AE τῆς EZ. ἐπεὶ οὖν ἡ EZ τῆς EA ἐστὶν ἐλάσσων, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ EΔ· βάσις ἄρα ἡ ΔZ τῆς ΔA ἐστὶν ἐλάσσων. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ AK τῇ KB, κοινὴ δὲ ἡ KE· δύο ἄρα αἱ AK, KE ταῖς EK, KB, τουτέστιν ὅλῃ τῇ EKB, εἰσὶν ἴσαι. ἀλλ' αἱ AK, KE τῆς AE μείζονές εἰσιν· καὶ ἡ BE ἄρα τῆς AE μείζων ἐστί. πάλιν ἐπεὶ ἡ AE τῆς BE ἐλάσσων ἐστίν, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ EΔ· βάσις ἄρα ἡ ΔA τῆς ΔB ἐστὶν ἐλάσσων. ἐπεὶ οὖν ἡ ΔΘ τῆς ΔZ ἐστὶν ἐλάσσων, ἡ δὲ ΔZ τῆς ΔA, ἡ δὲ ΔA τῆς ΔB· ἐλαχίστη μέν ἐστιν ἡ ΔΘ, μεγίστη δὲ ἡ ΔB, καὶ ἡ ἔγγιον τῆς ΔΘ, καὶ τὰ ἑξῆς.

Ἀλλὰ δὴ ἡ κάθετος ΔE πιπτέτω ἐντὸς τοῦ ABΓHZ κύκλου, ὡς ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ K, καὶ ἐπιζεύχθω ἡ EK, καὶ ἐκβεβλήσθω ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ B, Θ, καὶ ἐπιζεύχθωσαν αἱ ΔΘ, ΔB. καὶ εἰλήφθωσαν δύο ἴσαι περιφέρειαι παρ' ἑκάτερα τοῦ Θ, αἱ ΘZ, ΘH, καὶ παρ' ἑκάτερα τοῦ B αἱ AB, BΓ, καὶ ἐπιζεύχθωσαν αἱ EZ, EH, ZK, KH, ΔZ, ΔH, KA, KΓ, EA, EΓ, ΔA, ΔB, ΔΓ, AB, BΓ. ἐπεὶ οὖν ἴση ἡ ΘZ περιφέρεια τῇ ΘH, καὶ γωνία ἄρα ἡ ὑπὸ ΘKZ γωνίᾳ τῇ ὑπὸ ΘKH ἐστὶν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ KZ τῇ KH, κοινὴ δὲ ἡ KE, καὶ γωνία ἡ ὑπὸ ZKE γωνίᾳ τῇ ὑπὸ HKE ἐστὶν ἴση· βάσις ἄρα ἡ ZE τῇ HE ἐστὶν ἴση. ἐπεὶ οὖν ἡ ZE τῇ HE ἐστὶν ἴση, κοινὴ δὲ ἡ ΔE, καὶ γωνία ἡ ὑπὸ ZEΔ γωνίᾳ τῇ ὑπὸ HEΔ ἐστὶν ἴση· βάσις ἄρα ἡ ΔZ τῇ ΔH ἐστὶν ἴση. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ AB περιφέρεια τῇ BΓ, γωνία ἄρα ἡ ὑπὸ AKB γωνίᾳ τῇ ὑπὸ ΓKB ἐστὶν ἴση· ὥστε καὶ λοιπὴ εἰς τὰς δύο ὀρθὰς ἡ ὑπὸ AKE λοιπῇ εἰς τὰς δύο ὀρθὰς τῇ ὑπὸ ΓKE ἐστὶν ἴση. ἐπεὶ οὖν ἡ AK τῇ KΓ ἐστὶν ἴση, κοινὴ

δὲ

δὲ ἡ ΕΚ, καὶ γωνία ἡ ὑπὸ ΑΚΕ γωνίᾳ τῇ ὑπὸ ΓΚΕ ἐστὶν ἴση· βάσις ἄρα ἡ ΑΕ τῇ ΓΕ ἐστὶν ἴση. ἐπεὶ οὖν ἡ ΑΕ τῇ ΓΕ ἐστὶν ἴση, κοινὴ δὲ ἡ ΕΔ, καὶ γωνία ἡ ὑπὸ ΑΕΔ τῇ ὑπὸ ΓΕΔ ἴση· βάσις ἄρα ἡ ΔΑ τῇ ΔΓ ἐστὶν ἴση. ὁμοίως δὲ καὶ πᾶσαι δειχθήσονται αἱ ἴσον ἀπέχουσαι ἢ τῆς ΔΒ ἢ τῆς ΔΘ ἴσαι. καὶ ἐπεὶ ἐν κύκλῳ τῷ ΑΒΓ ἐπὶ τῆς διαμέτρου εἴληπται σημεῖον τὸ Ε, μὴ ὂν κέντρον τοῦ κύκλου· μεγίστη μὲν ἡ ΒΕ, ἐλαχίστη δὲ ἡ ΕΘ, ἀεὶ δ' ἡ ἔγγιον τῇ ΕΘ τῆς ἀπώτερον ἐστὶν ἐλάσσων· ὥστε ἡ ΕΘ τῆς ΕΖ ἐστὶν ἐλάσσων. καὶ ἐπεὶ ἡ ΘΕ τῆς ΖΕ ἐλάσσων ἐστί, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς αὐταῖς ἡ ΕΔ· βάσις ἄρα ἡ ΔΘ βάσεως τῆς ΔΖ ἐλάσσων ἐστί. πάλιν ἐπεὶ ἡ μὲν ΕΖ ἔγγιόν ἐστι τῇ ΕΘ, ἡ δὲ ΕΑ πορρωτέρω, ἐλάσσων ἐστὶν ἡ ΕΖ τῆς ΕΑ. ἐπεὶ οὖν ἐλάσσων ἡ ΕΖ τῆς ΕΑ, κοινὴ δὲ καὶ πρὸς ὀρθάς ἐστιν αὐταῖς ἡ ΕΔ· βάσις ἄρα ἡ ΔΖ βάσεως τῆς ΔΑ ἐλάσσων ἐστί. πάλιν ἐπεὶ ἴση ἡ ΑΚ τῇ ΒΚ, κοινὴ δὲ ἡ ΚΕ· δύο αἱ ΑΚ, ΚΕ δυσὶ ταῖς ΒΚ, ΚΕ, τουτέστιν ὅλῃ τῇ ΒΚΕ, εἰσὶν ἴσαι. ἀλλ' αἱ ΑΚ, ΚΕ τῆς ΑΕ μείζονές εἰσι· καὶ ἡ ΕΒ ἄρα τῆς ΕΑ μείζων ἐστί. πάλιν ἐπεὶ ἡ ΕΑ τῆς ΕΒ ἐλάσσων ἐστί, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς αὐταῖς ἡ ΕΔ· βάσις ἄρα ἡ ΔΑ βάσεως τῆς ΔΒ ἐστὶν ἐλάσσων. ἐπεὶ οὖν ἡ ΔΘ τῆς ΔΖ ἐλάσσων, ἡ δὲ ΔΖ τῆς ΔΑ, ἡ δὲ ΔΑ τῆς ΔΒ· ἐλαχίστη μέν ἐστιν ἡ ΔΘ, καὶ τὰ ἑξῆς.

nis vero ΕΚ, & angulus ΑΚΕ angulo ΓΚΕ æqualis: basis igitur ΑΕ basi ΓΕ est æqualis. quoniam igitur ΑΕ est æqualis ΓΕ, & ΕΔ communis, & angulus ΑΕΔ æqualis ΓΕΔ; erit & basis ΔΑ basi ΔΓ æqualis. eodem modo & omnes quæ æqualiter distant ab ipsa ΔΒ vel ΔΘ inter se æquales demonstrabuntur. & quoniam in circuli ΑΒΓ diametro sumitur punctum Ε, quod non est centrum circuli: erit ΒΕ maxima, ΕΘ vero minima, & semper ipsi ΕΘ propinquior minor remotiore fuerit; adeoque ΕΘ minor quam ΕΖ. & quoniam ΘΕ minor est quam ΖΕ, & ΕΔ communis & ipsis ad rectos angulos; basis igitur ΔΘ minor basi ΔΖ. rursus cum ΕΖ propinquior sit ipsi ΕΘ, ΕΑ vero remotior; erit ΕΖ minor quam ΕΑ. quoniam igitur ΕΖ minor est quam ΕΑ, communis vero & illis ad rectos angulos ΕΔ; basis ΔΖ basi ΔΑ minor erit. rursus quoniam ΑΚ æqualis ΒΚ, ΚΕ vero communis; duæ ΑΚ, ΚΕ duabus ΒΚ, ΚΕ, hoc est toti ΒΚΕ, æquales sunt. sed ΑΚ, ΚΕ majores sunt quam ΑΕ: quare ΕΒ major est quam ΕΑ. rursus quoniam ΕΑ minor est quam ΕΒ, communis vero & ipsis ad angulos rectos ΕΔ; basis igitur ΔΑ minor est basi ΔΒ. quoniam igitur minor est ΔΘ quam ΔΖ, & ΔΖ quam ΔΑ, & ΔΑ quam ΔΒ: minima erit ΔΘ, *&c.*

ᵇ Πάσης καμπύλης γραμμῆς, ἥτις ἐστὶν ἐν ἑνὶ ἐπιπέδῳ, διάμετρον καλῶ, καὶ τὰ ἑξῆς.] Τὸ ἐν ἑνὶ ἐπιπέδῳ εἶπε, διὰ τὰς ἕλικας τοῦ κυλίνδρου καὶ τῆς σφαίρας· αὗται γὰρ οὐκ εἰσὶν ἐν ἑνὶ ἐπιπέδῳ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· ἔστω καμπύλη γραμμὴ ἡ ΑΒΓ, καὶ ἐν αὐτῇ εὐθεῖαί τινες παράλληλοι αἱ

ᵇ Omnis curvæ lineæ, in uno plano existentis, diametrum voco, *&c.*] In uno plano dixit, propter helicen cylindri & sphæræ; hæ enim non sunt in uno plano. quod autem dicit ejusmodi est: sit curva linea ΑΒΓ, & in ea parallelæ quædam rectæ ΑΓ, ΔΕ, ΖΗ, ΘΚ; à puncto autem Β ducatur ΒΛ





ΑΓ, ΔΕ, ΖΗ, ΘΚ, καὶ διήχθω ἀπὸ τοῦ Β εὐθεῖα ἡ ΒΛ δίχα αὐτὰς τέμνουσα· φησὶν οὖν ὅτι τῆς ΑΒΓ γραμμῆς διάμετρον μὲν καλῶ τὴν ΒΛ· κορυφὴν δὲ τὸ Β· τεταγμένως δὲ ἐπὶ τὴν ΒΛ κατῆχθαι ἑκάστην τῶν ΑΓ, ΔΕ, ΖΗ, ΘΚ. εἰ δὲ ἡ ΒΛ δίχα καὶ πρὸς ὀρθὰς τέμνει τὰς παραλλήλους, ἄξων καλεῖται.

ᶜ Ὁμοίως δὲ καὶ δύο καμπύλων γραμμῶν, καὶ τὰ ἑξῆς.] Ἐὰν νομίσωμεν τὰς Α, Β γραμμάς, καὶ ἐν αὐταῖς τὰς ΓΔ, ΕΖ, ΗΘ, ΚΛ, ΜΝ, ΞΟ παραλλήλους, καὶ τὴν ΑΒ διηγμένην ἐφ' ἑκάτερα, καὶ τέμνουσαν τὰς παραλλήλους δίχα·

recta, quæ ipsas parallelas bifariam secet: lineæ igitur ΑΒΓ diametrum, inquit, voco rectam ΒΛ; & verticem punctum Β; ordinatim vero ad ipsam ΒΛ applicari dicitur unaquæque rectarum ΑΓ, ΔΕ, ΖΗ, ΘΚ. si vero ΒΛ ipsas parallelas bifariam & ad rectos angulos secet, axis appellatur.

ᶜ Similiter & duarum curvarum linearum, *&c.*] Si enim intellexerimus lineas Α, Β, & in ipsis parallelas ΓΔ, ΕΖ, ΗΘ, ΚΛ, ΜΝ, ΞΟ, & rectam ΑΒ ex utraque parte productam, quæ bifariam parallelas dividat: ipsam quidem ΑΒ voco diametrum trans-





καὶ τὴν μὲν ΑΒ καλῶ πλαγίαν διάμετρον· κορυφὰς δὲ τῶν γραμμῶν τὰ Α, Β σημεῖα· τεταγμένως δὲ ἐπὶ τὴν ΑΒ τὰς ΓΔ, ΕΖ, ΗΘ, ΚΛ, ΜΝ, ΞΟ. εἰ δὲ δίχα καὶ πρὸς ὀρθὰς αὐτὰς τέμνει, ἄξων καλεῖται. ἐὰν δὲ διαχθεῖσά τις εὐθεῖα, ὡς ἡ ΠΡ, τὰς

versam; vertices linearum puncta Α, Β; ordinatim vero ad ΑΒ applicari dicuntur ΓΔ, ΕΖ, ΗΘ, ΚΛ, ΜΝ, ΞΟ. at si ipsas bifariam & ad rectos angulos dividat, transversus axis appellatur. si vero recta ducatur, ut ΠΡ, rectas

ΓΞ, ΕΜ, ΗΚ, ΘΛ, ΖΝ, ΔΟ ipsi ΑΒ parallelas bifariam secans, recta diameter dicitur. ordinatim ad diametrum ΠΡ applicetur unaquæque rectarum ΓΞ, ΕΜ, ΗΚ, ΘΛ, ΖΝ, ΔΟ. si bifariam & ad rectos angulos ipsam secet, rectus axis dicitur. at si rectæ ΑΒ, ΠΡ sibi invicem parallelas bifariam secuerint, conjugatæ diametri dicuntur. quod si bifariam & ad rectos angulos, conjugati axes vocantur.

ΓΞ, ΕΜ, ΗΚ, ΘΛ, ΖΝ, ΔΟ παραλλήλους τῇ ΑΒ δίχα τέμνει, ὀρθία μὲν διάμετρος καλεῖται. τεταγμένως δὲ κατῆχθαι ἐπὶ τὴν ΠΡ διάμετρον ἑκάστη τῶν ΓΞ, ΕΜ, ΗΚ, ΘΛ, ΖΝ, ΔΟ. εἰ δὲ δίχα καὶ πρὸς ὀρθὰς αὐτὰς τέμνει, ἄξων ὀρθός. ἐὰν δὲ αἱ ΑΒ, ΠΡ δίχα τέμνωσι τὰς ἀλλήλων παραλλήλους, λέγονται συζυγεῖς διάμετροι. ἐὰν δὲ δίχα καὶ πρὸς ὀρθὰς, συζυγεῖς ἄξονες ὀνομάζονται.

PROP. I. *Theor.*

Rectæ lineæ, quæ à vertice superficiei conicæ, ad puncta quæ in superficie sunt, ducuntur, in ipsa superficie erunt.

SIT superficies conica, cujus vertex Α, & sumpto in superficie conica aliquo puncto Β, jungatur recta ΑΓΒ; recta ΑΓΒ in superficie erit.

Si enim fieri potest, non sit in superficie, & recta, quæ superficiem describit, sit ΔΕ; circulus autem, in quo ipsa ΔΕ fertur, sit ΕΖ. itaque, si manente Α, feratur ΔΕ in circuli ΕΖ circumferentia; per Β punctum transibit, atque erunt duarum rectarum iidem termini: quod est absurdum. non igitur à puncto Α ad Β ducta recta extra superficiem est: ergo in ipsa superficie erit. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ α'.

Αἱ ἀπὸ τῆς κορυφῆς τῆς κωνικῆς ἐπιφανείας ἀγόμεναι εὐθεῖαι ἐπὶ τὰ ἐν ἐπιφανείᾳ σημεῖα, ἐν τῇ ἐπιφανείᾳ εἰσίν.

ΕΣΤΩ κωνικὴ ἐπιφάνεια, ἧς κορυφὴ τὸ Α σημεῖον, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς κωνικῆς ἐπιφανείας τὸ Β, καὶ ἐπεζεύχθω τις εὐθεῖα ἡ ΑΓΒ· εὐθεῖα ἡ ΑΓΒ ἐν τῇ ἐπιφανείᾳ ἐστίν.

Εἰ γὰρ δυνατὸν, μὴ ἔστω, καὶ ἔστω ἡ γράφουσα τὴν ἐπιφάνειαν εὐθεῖα ἡ ΔΕ· ὁ δὲ κύκλος, καθ' οὗ φέρεται ἡ ΔΕ, ὁ ΕΖ. ἐὰν δὲ μένοντος τοῦ Α σημείου, ἡ ΔΕ εὐθεῖα φέρηται κατὰ τῆς τοῦ ΕΖ κύκλου περιφερείας, ἥξει καὶ διὰ τοῦ Β σημείου, καὶ ἔσται δύο εὐθειῶν τὰ αὐτὰ πέρατα· ὅπερ ἄτοπον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ἐπιζευγνυμένη εὐθεῖα οὐκ ἔστιν ἐν τῇ ἐπιφανείᾳ· ἐν τῇ ἐπιφανείᾳ ἄρα ἐστί.



Corollarium.

Et constat, si à vertice ad aliquod punctum eorum, quæ intra superficiem sunt, recta ducatur, illam intra superficiem conicam; & si ad aliquod eorum quæ sunt extra, extra superficiem cadere.

Πόρισμα.

Καὶ φανερὸν ὅτι ἐὰν ἀπὸ τῆς κορυφῆς ἐπί τι σημεῖον τῶν ἐντὸς τῆς ἐπιφανείας ἐπιζευχθῇ εὐθεῖα, ἐντὸς πεσεῖται τῆς κωνικῆς ἐπιφανείας· καὶ ἐὰν ἐπί τι τῶν ἐκτὸς ἐπιζευχθῇ, ἐκτὸς ἔσται τῆς ἐπιφανείας.

EUTOCIUS.

De figuris diversis vel casibus theorematum illud scire oportet, casum esse, quando ea quæ in propositione dantur positione data sunt: ipsorum enim differens transmutatio, eadem conclusione manente, casum facit. similiter etiam & à constructione transposita fit casus. cum igitur theoremata plures casus habeant, una eademque demonstratio omnibus congruit & iisdem elementis, præterquam in paucis quibusdam, ut deinceps explicabimus. statim nam-

Περὶ τῶν διαφόρων καταγραφῶν, ἤτοι πτώσεων τῶν θεωρημάτων τοσοῦτον ἰστέον, ὅτι πτῶσις μέν ἐστιν, ὅτι τὰ ἐν τῇ προτάσει δεδομένα τῇ θέσει ἢ δοθέντα· ἡ γὰρ διάφορος αὐτῶν μετάληψις, τοῦ αὐτοῦ συμπεράσματος ὄντος, ποιεῖ τὴν πτῶσιν. ὁμοίως δὲ καὶ ὑπὸ τῆς κατασκευῆς μετατιθεμένης γίνεται πτῶσις. πολλὰς δὲ πτώσεις ἐχόντων τῶν θεωρημάτων, πάσαις ἡ αὐτὴ ἀπόδειξις ἁρμόζει καὶ ἐπὶ τῶν αὐτῶν στοιχείων, πλὴν βραχέων, ὡς ἑξῆς εἰσόμεθα. εὐθὺς δύο γὰρ τὸ πρῶτον θεώρημα τρεῖς πτώσεις ἔχει, διὰ τὸ λαμβανόμενον σημεῖον ἐπὶ τῆς ἐπιφανείας, τουτέστι τὸ Β, ποτὲ μὲν εἰς τὴν κατωτέραν ἐπιφάνειαν εἶναι, καὶ τοῦτο διχῶς, ἢ ἀνωτέρω τοῦ κύκλου, ἢ κατωτέρω· ποτὲ δὲ ἐπὶ τῆς κατὰ κορυφὴν αὐτῆς ἐπικειμένης. τοῦτο δὲ τὸ θεώρημα προέθετο ζητῆσαι, ὅτι οὐκ ἐπὶ πάντα δύο σημεῖα ἐπὶ τῆς ἐπιφανείας λαμβανόμενα ἐπιζευγνυμένη ἡ εὐθεῖα ἐπὶ τῆς ἐπιφανείας ἐστίν, ἀλλὰ εὐθεῖα μόνον ἡ ἐπὶ τὴν κορυφὴν νεύουσα· διὰ τὸ καὶ τὴν εὐθείας τὸ πέρας ἐχούσης μένον πρὸς τῇ κορυφῇ τῆς ἐπιφανείας γεγεννῆσθαι τὴν κωνικὴν ἐπιφάνειαν. ὅτι δὲ τοῦτο ἀληθές, τὸ δεύτερον θεώρημα δηλοῖ.

que primum theorema tres habet casus, propterea quod punctum B in superficie sumptum interdum quidem in superficie inferiori sumitur, & hoc duobus modis, vel supra circulum, vel infra; interdum vero in ea quæ est ad verticem. Hoc igitur theorema ostendere proponit, non quælibet duo puncta conjungentem rectam in superficie esse, sed tantum rectam quæ ad verticem ipsum vergit: cujus causa est, quod conica superficies efficitur à recta quæ manentem terminum ad verticem habet. illud vero plane ita esse, in secundo theoremate demonstratur.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν ἐφ' ὁποτέρας οὖν τῶν κατὰ κορυφὴν ἐπιφανειῶν δύο σημεῖα ληφθῇ, ἡ δὲ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα μὴ νεύῃ ἐπὶ τὴν κορυφὴν, ἐντὸς πεσεῖται τῆς ἐπιφανείας· ἡ δὲ ἐπ' εὐθείας αὐτῇ, ἐκτός.

PROP. II. *Theor.*

Si in alterutra superficierum, quæ sunt ad verticem, duo puncta sumantur, & quæ puncta conjungit recta ad verticem non vergat; intra superficiem cadet; quæ vero est in directum ipsi, cadet extra.

Ἔστω κωνικὴ ἐπιφάνεια, ἧς κορυφὴ μὲν τὸ Α σημεῖον, ὁ δὲ κύκλος, καθ' οὗ φέρεται ἡ τὴν ἐπιφάνειαν γράφουσα εὐθεῖα, ὁ Β Γ, καὶ εἰλήφθω ἐφ' ὁποτέρας οὖν τῶν κατὰ κορυφὴν ἐπιφανειῶν δύο σημεῖα τὰ Δ, Ε, καὶ ἐπιζευχθεῖσα ἡ Δ Ε μὴ νευέτω ἐπὶ τὸ Α σημεῖον· λέγω ὅτι ἡ Δ Ε ἐντὸς ἔσται τῆς ἐπιφανείας, καὶ ἡ ἐπ' εὐθείας αὐτῇ, ἐκτός.

Ἐπεζεύχθωσαν αἱ Α Ε, Α Δ, καὶ ἐκβεβλήσθωσαν· πεσοῦνται δὴ ἐπὶ τὴν τοῦ κύκλου περιφέρειαν. πιπτέτωσαν κατὰ τὰ Β, Γ, καὶ ἐπεζεύχθω ἡ Β Γ· ἔσται ἄρα ἡ Β Γ ἐντὸς τοῦ κύκλου, ὥστε καὶ ἐντὸς τῆς κωνικῆς ἐπιφανείας. εἰλήφθω δὴ ἐπὶ τῆς Δ Ε τυχὸν σημεῖον τὸ Ζ, καὶ ἐπιζευχθεῖσα ἡ Α Ζ ἐκβεβλήσθω· πεσεῖται δὴ

SIT conica superficies, cujus vertex quidem punctum A, circulus autem, in quo fertur recta superficiem describens, sit B Γ; & in alterutra superficierum quæ sunt ad verticem, sumptis duobus punctis Δ, E, recta Δ E ducatur, quæ ad punctum A non vergat: dico ipsam Δ E intra superficiem cadere, & quæ est in directum ipsi, cadere extra.

Jungantur A E, A Δ, & producantur. cadent utique [per I. I. hujus] in circuli circumferentiam. cadant in puncta B, Γ; & jungatur B Γ: erit igitur [per 2.3.] B Γ intra circulum; quare & intra conicam superficiem. sumatur in ipsa Δ E quodvis punctum Z; junctaque A Z producatur: cadet hæc in rectam B Γ; nam [per 2.



ἐπὶ τὴν Β Γ εὐθεῖαν· τὸ γὰρ Β Γ Α τρίγωνον ἐν ἑνί ἐστι ἐπιπέδῳ. πιπτέτω κατὰ τὸ Η. ἐπεὶ οὖν τὸ Η ἐντός ἐστι τῆς κωνικῆς ἐπιφανείας· καὶ ἡ Α Η ἄρα ἐντός ἐστι τῆς κωνικῆς ἐπιφανείας, ὥστε καὶ τὸ Ζ ἐντός ἐστι τῆς κωνικῆς ἐπιφανείας. ὁμοίως δὲ δειχθήσεται ὅτι καὶ πάντα τὰ ἐπὶ τῆς Δ Ε σημεῖα ἐντός ἐστι τῆς ἐπιφανείας.

Ἐκβεβλήσθω δὴ ἡ Δ Ε ἐπὶ τὸ Θ· λέγω δὴ ὅτι ἐκτὸς πεσεῖται τῆς κωνικῆς ἐπιφανείας.

11.] triangulum B Γ A est in uno plano. cadat in H. quoniam igitur punctum H est intra conicam superficiem; & ipsa A H [per cor. I. I. huj.] intra conicam superficiem erit; adeoque & punctum Z. similiter demonstrabuntur & omnia puncta rectæ Δ E esse intra conicam superficiem.

Producatur Δ E ad Θ; dico E Θ extra conicam superficiem cadere.

Si

Si enim fieri poteſt, aliquod ipſius E Θ punctum, nempe Θ, non ſit extra, & juncta A Θ producatur; cadet hæc vel in ipſam circuli circumferentiam, vel intra; quod fieri non poteſt: cadit enim in B Γ protractam, ut in K. quare E Θ extra conicam ſuperficiem erit.

Recta igitur Δ E cadet intra conicam ſuperficiem, & quæ eſt in directum ipſi, extra cadet. quod erat demonſtrandum.

Εἰ γὰρ δυνατὸν, ἔςω τι αὐτῆς E Θ μὴ ἐκτὸς τῆς κωνικῆς ἐπιφανείας, καὶ ἐπιζευχθεῖσα ἡ A Θ ἐκβεβλήσθω· πεσεῖται δὴ ἤ ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου, ἢ ἐντός· ὅπερ ἐςὶν ἀδύνατον· πίπτει γὰρ ἐπὶ τὴν B Γ ἐκβαλλομένην, ὡς κατὰ τὸ K. ἡ E Θ ἄρα ἐκτός ἐςι τῆς ἐπιφανείας.

Η ἄρα Δ E ἐντός ἐςι τῆς κωνικῆς ἐπιφανείας, καὶ ἡ ἐπ' εὐθείας αὐτῇ, ἐκτός. ὅπερ ἔδει δεῖξαι.

EUTOCIUS.

Secundum theorema tres habet caſus, propterea quod ſumpta puncta Δ, E ſunt vel in ſuperficie ad verticem, vel in inferiori; & id dupliciter, vel intra circulum, vel extra. ſciendum autem eſt in quibuſdam exemplaribus totum hoc theorema per argumentationem, quæ deducit ad abſurdum, demonſtrari.

Τὸ δεύτερον θεώρημα τρεῖς ἔχει πτώσεις, διὰ τὸ τὰ λαμβανόμενα σημεῖα τὰ Δ, E ἢ ἐπὶ τῆς κατὰ κορυφὴν εἶναι ἐπιφανείας, ἢ ἐπὶ τῆς κάτω καὶ τοῦτο διχῶς, ἢ ἐσωτέρω τοῦ κύκλου, ἢ ἐξωτέρω. δεῖ δὲ ἐφιςάνειν ὅτι τοῦτο τὸ θεώρημα εὑρίσκεται, ἔν τισιν ἀντιγράφοις, ὅλον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεδειγμένον.

Prop. III. *Theor.*

Si conus plano per verticem ſecetur, ſectio triangulum erit.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τῆς κορυφῆς, ἡ τομὴ τρίγωνόν ἐστιν.

SIT conus, cujus vertex A, baſis autem circulus B Γ, & per A ſecetur plano aliquo quod ſectiones faciat in ſuperficie lineas quidem A B, A Γ, & in baſi rectam B Γ: dico A B Γ triangulum eſſe.



Quoniam enim à puncto A ad B ducta linea communis ſectio eſt plani ſecantis, & ſuperficiei conicæ; erit [per 1. 1. huj.] A B recta linea. eadem ratione & ipſa A Γ. eſt autem [per 3. 11.] & B Γ recta: quare A B Γ eſt triangulum.

Si igitur conus plano ſecetur per verticem, ſectio triangulum erit. quod erat demonſtrandum.

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ τὸ A σημεῖον, βάσις δὲ ὁ B Γ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ τινὶ διὰ τοῦ A σημείου, καὶ ποιείτω τομὰς ἐπὶ μὲν τῆς ἐπιφανείας τὰς A B, A Γ γραμμὰς, ἐν δὲ τῇ βάσει τὴν B Γ εὐθεῖαν· λέγω ὅτι τὸ A B Γ τρίγωνόν ἐστιν.

Ἐπεὶ γὰρ ἡ ἀπὸ τοῦ A ἐπὶ τὸ B ἐπιζευγνυμένη κοινὴ τομή ἐςι τοῦ τέμνοντος ἐπιπέδου, καὶ τῆς τοῦ κώνου ἐπιφανείας· εὐθεῖα ἄρα ἐςὶν ἡ A B. ὁμοίως δὲ καὶ ἡ A Γ. ἔςι δὲ καὶ ἡ B Γ εὐθεῖα· τρίγωνον ἄρα ἐςὶ τὸ A B Γ.

Ἐὰν ἄρα κῶνος ἐπιπέδῳ τινὶ τμηθῇ διὰ τῆς κορυφῆς, ἡ τομὴ τρίγωνόν ἐςι. ὅπερ ἔδει δεῖξαι.

EUTOCIUS.

Tertium theorema caſum non habet. oportet autem ſcire lineam A B rectam eſſe, cum ſit communis ſectio plani ſecantis, & ſuperficiei conicæ, quæ à recta manentem terminum ad verticem habente deſcribitur. neque enim omnis ſuperficies ſecta plano facit ſectionem rectam lineam; neque ipſe conus, niſi planum ſecans per verticem tranſeat.

Τὸ τρίτον θεώρημα πτῶσιν οὐκ ἔχει. δεῖ δὲ ἐν αὐτῷ ἐπιςῆσαι ὅτι ἡ A B εὐθεῖά ἐςι, διὰ τὸ κοινὴν τομὴν εἶναι τοῦ τέμνοντος ἐπιπέδου, καὶ τῆς ἐπιφανείας τοῦ κώνου, ἥτις ὑπὸ εὐθείας ἐγράφη τὸ πέρας ἐχούσης μένον πρὸς τῇ κορυφῇ τῆς ἐπιφανείας. οὐ γὰρ πᾶσα ἐπιφάνεια, ὑπὸ ἐπιπέδου τεμνομένη, τὴν τομὴν ποιεῖ εὐθεῖαν· οὐδὲ αὐτὸς ὁ κῶνος, εἰ μὴ διὰ τῆς κορυφῆς ἔλθῃ τὸ τέμνον ἐπίπεδον.

Prop. IV. *Theor.*

Si alterutra ſuperficierum, quæ ſunt ad verticem, plano ſecetur æquidiſtante circulo, per quem fertur recta ſuperficiem deſcribens: planum, quod ſuperficie concluditur, circulus erit centrum in axe habens; figura vero contenta circulo, & ea parte ſuperficiei conicæ quæ inter ſecans planum & verticem interjicitur, conus erit.

ΠΡΟΤΑΣΙΣ δ'.

Ἐὰν ὁποτεραοῦν τῶν κατὰ κορυφὴν ἐπιφανειῶν ἐπιπέδῳ τινὶ τμηθῇ παραλλήλῳ τῷ κύκλῳ, καθ' οὗ φέρεται ἡ γράφουσα ἐπιφάνειαν εὐθεῖα· τὸ ἀπολαμβανόμενον ἐπίπεδον μεταξὺ τῆς ἐπιφανείας κύκλος ἔςαι, τὸ κέντρον ἔχων ἐπὶ τοῦ ἄξονος· τὸ δὲ περιεχόμενον σχῆμα ὑπό τε τοῦ κύκλου, καὶ τῆς ἀπολαμβανομένης ὑπὸ τοῦ τέμνοντος ἐπιπέδου κωνικῆς ἐπιφανείας πρὸς τῇ κορυφῇ, κῶνος ἔςαι.

SIT conica ſuperficies, cujus vertex A, circulus autem, in quo fertur recta ſuperficiem

ΕΣΤΩ κωνικὴ ἐπιφάνεια, ἧς κορυφὴ μὲν τὸ A σημεῖον, ὁ δὲ κύκλος, καθ' οὗ φέρεται ἡ τὴν ἐπιφάνειαν

φάνειαν γράφουσα εὐθεῖα, ἡ ΒΓ, καὶ τετμήσθω ἐπιπέδῳ τινὶ παραλλήλῳ τῷ ΒΓ κύκλῳ, καὶ ποιείτω ἐν τῇ ἐπιφανείᾳ τομὴν τὴν ΔΕ γραμμήν· λέγω ὅτι ἡ ΔΕ γραμμὴ κύκλος ἐστὶν, ἐπὶ τοῦ ἄξονος ἔχων τὸ κέντρον.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΒΓ κύκλου τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΑΖ· ἄξων ἄρα ἐστὶ, καὶ συμβάλλει τῷ τέμνοντι ἐπιπέδῳ. συμβαλλέτω κατὰ τὸ Η, καὶ ἐκβαλλέσθω τι διὰ τῆς ΑΖ ἐπίπεδον· ἔσται δὴ ἡ τομὴ τρίγωνον τὸ ΑΒΓ. καὶ ἐπεὶ τὰ Δ, Η, Ε σημεῖα ἐν τῷ τέμνοντί ἐστιν ἐπιπέδῳ, ἔστι δὲ καὶ ἐν τῷ τοῦ ΑΒΓ ἐπιπέδῳ· εὐθεῖα ἄρα ἐστὶν ἡ ΔΗΕ. εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς ΔΕ γραμμῆς, τὸ Θ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΘ ἐκβεβλήσθω· συμβαλεῖ δὴ τῇ ΒΓ περιφερείᾳ. συμβαλλέτω κατὰ τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΗΘ, ΖΚ. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα, τὰ ΔΕ, ΒΓ, ὑπὸ ἐπιπέδου τινὸς τέμνεται τοῦ ΑΒΓ, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσι· παράλληλος ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΒΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΗΘ τῇ ΖΚ παράλληλος· ἔστιν ἄρα ὡς ἡ ΑΖ πρὸς τὴν ΑΗ, οὕτως ἥτε ΖΒ πρὸς ΗΔ, καὶ ἡ ΖΓ πρὸς ΗΕ, καὶ ἡ ΖΚ πρὸς ΗΘ. καί εἰσιν αἱ τρεῖς ΒΖ, ΚΖ, ΖΓ ἴσαι ἀλλήλαις· καὶ αἱ τρεῖς ἄρα αἱ ΔΗ, ΗΘ, ΗΕ ἴσαι εἰσὶν ἀλλήλαις. ὁμοίως δὴ δείξομεν ὅτι καὶ πᾶσαι αἱ ἀπὸ τοῦ Η σημείου πρὸς τὴν ΔΕ γραμμὴν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσί. κύκλος ἄρα ἐστὶν ἡ ΔΕ γραμμὴ, κέντρον ἔχων ἐπὶ τοῦ ἄξονος.

describens, sit ΒΓ, & secetur plano quovis ipsi circulo ΒΓ æquidistante, atque sectionem faciat in superficie lineam ΔΕ: dico lineam ΔΕ esse circulum qui centrum in axe habet.

Sumatur enim centrum circuli ΒΓ, quod sit Ζ, & ΑΖ jungatur: axis igitur [per 3. def. huj.] est ΑΖ, & occurrit plano secanti. occurrat in Η, & per rectam ΑΖ planum aliquod ducatur: erit igitur [per 3. 1. huj.] sectio triangulum ΑΒΓ. & quoniam puncta Δ, Η, Ε sunt & in plano secante, & in ipso ΑΒΓ plano: ΔΗΕ erit [per 3. 11.] linea recta. sumatur autem in ipsa ΔΕ linea punctum aliquod Θ, & juncta ΑΘ producatur: occurret igitur circumferentiæ ΑΒΓ. occurrat in Κ, junganturque ΗΘ, ΖΚ. & quoniam duo plana æquidistantia ΔΕ, ΒΓ plano ΑΒΓ secantur; communes ipsorum sectiones [per 16. 11.] parallelæ erunt: parallela est igitur ΔΕ ipsi ΒΓ. & eadem ratione ΗΘ est parallela ipsi ΖΚ: quare [per 4. 6.] ut ΑΖ ad ΑΗ, ita ΖΒ ad ΗΔ, ΖΓ ad ΗΕ, & ΖΚ ad ΗΘ. suntque tres rectæ ΒΖ, ΚΖ, ΖΓ æquales inter sese: ergo [per 14. 5.] & ipsæ tres ΔΗ, ΗΘ, ΗΕ inter sese æquales erunt. similiter quoque ostendentur æquales quæcunque à puncto Η ad lineam ΔΕ ducuntur. linea igitur ΔΕ est circulus, centrum in axe habens.



Πόρισμα.

Καὶ φανερὸν ὅτι τὸ περιεχόμενον σχῆμα ὑπό τε τοῦ ΔΕ κύκλου, καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτοῦ πρὸς τῷ Α σημείῳ κωνικῆς ἐπιφανείας, κῶνός ἐστι. καὶ συναποδέδεικται, ὅτι ἡ κοινὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου διάμετρός ἐστι τοῦ κύκλου.

Corollarium.

Constat [per 4. def. huj.] figuram contentam circulo ΔΕ, & ea parte superficiei conicæ quæ inter dictum circulum & punctum Α interjicitur, conum esse. simulque demonstratum est, communem sectionem plani secantis & trianguli per axem, diametrum esse ipsius circuli.

EUTOCIUS.

Πτώσεις τούτου τοῦ θεωρήματος τρεῖς εἰσιν, ὥσπερ αὐτοῦ πρώτου καὶ δευτέρου.

Casus hujus theorematis tres sunt, quemadmodum & primi & secundi.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν κῶνος σκαληνὸς ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος πρὸς ὀρθὰς τῇ βάσει, τμηθῇ δὲ καὶ ἑτέρῳ

PROP. V. *Theor.*

Si conus scalenus plano per axem secetur ad rectos angulos ipsi basi, seceturque

turque altero plano ad triangulum per axem recto, quod ex verticis parte triangulum abscindat simile ei quod per axem; subcontrarie vero positum: sectio circulus erit. vocetur autem hujusmodi sectio SUBCONTRARIA.

ἐπιπέδῳ πρὸς ὀρθὰς μὲν τῷ διὰ τοῦ ἄξονος τριγώνῳ, ἀφαιροῦντι δὲ πρὸς τῇ κορυφῇ τρίγωνον ὅμοιον μὲν τῷ διὰ τοῦ ἄξονος τριγώνῳ, ὑπεναντίως δὲ κείμενον· ἡ τομὴ κύκλος ἐστί. καλείσθω δὲ ἡ τοιαύτη τομὴ ΥΠΕΝΑΝΤΙΑ.

SIT conus scalenus, cujus vertex A punctum, basis circulus ΒΓ, & [a] secetur plano per axem ad circulum ΒΓ recto, atque faciat sectionem triangulum ΑΒΓ; [b] secetur autem & altero plano ad rectos angulos ipsi ΑΒΓ, quod ex parte A triangulum abscindat ΑΗΚ triangulo ΑΒΓ simile, subcontrarie vero positum; ut videlicet angulus ΑΚΗ æqualis sit ΑΒΓ angulo, & faciat sectionem in superficie lineam ΗΚΘ: dico ipsam ΗΘΚ circulum esse.

ΕΣΤΩ κῶνος σκαληνὸς, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ [a] τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος ὀρθῷ πρὸς τὸν ΒΓ κύκλον, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, [b] τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ὄντι τῷ ΑΒΓ τριγώνῳ, ἀφαιροῦντι δὲ τρίγωνον πρὸς τῷ Α σημείῳ τὸ ΑΗΚ ὅμοιον μὲν τῷ ΑΒΓ τριγώνῳ, ὑπεναντίως δὲ κείμενον, τουτέστιν, ὥστε ἴσην εἶναι τὴν ὑπὸ ΑΚΗ γωνίαν τῇ ὑπὸ ΑΒΓ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΗΚΘ γραμμήν· λέγω ὅτι κύκλος ἐστὶν ἡ ΗΘΚ γραμμή.

Sumantur enim in lineis ΗΘΚ, ΒΓ puncta quæpiam Θ, Λ, à quibus ad planum trianguli ΑΒΓ, perpendiculares ducantur · cadent hæ [per 38.11.] in communes planorum sectiones. cadant ut ΘΖ, ΛΜ. parallela est igitur [per 6.11.] ΘΖ ipsi ΛΜ. ducatur autem per Ζ ipsi ΒΓ parallela ΔΖΕ. est vero & ΖΘ ipsi ΛΜ parallela: ergo [per 15.11.] planum quod per ΖΘ, ΔΕ transit, æquidistans est basi ipsius coni: & idcirco [per 4.1. huj.] sectio ΔΘΕ circulus erit, cujus diameter ΔΕ: æquale est igitur rectangulum sub ΔΖ, ΖΕ quadrato ex ΖΘ. & quoniam parallela est ΕΔ ipsi ΒΓ: angulus ΑΔΕ [per 29.1.] æqualis est angulo ΑΒΓ. & ponitur angulus ΑΚΗ angulo ΑΒΓ æqualis: ergo & ΑΚΗ ipsi ΑΔΕ æqualis erit. sunt autem [per 15. 1.] & qui ad Ζ anguli æquales; sunt enim ad verticem: igitur [per 4. 6.] ΔΖΗ triangulum simile est triangulo ΚΖΕ. igitur ut ΕΖ ad ΖΚ ita ΗΖ ad ΖΔ: [c] rectangulum igitur ΕΖΔ æquale est [per 16. 6.] rectangulo ΚΖΗ. sed rectangulum ΕΖΔ (hoc est sub ΔΖ, ΖΕ) demonstratum est æquale quadrato ex ΖΘ: ergo & rectangulum sub ΚΖ, ΖΗ eidem æquale erit. Similiter demonstrabuntur & omnes, quæ à linea ΗΘΚ ad ipsam ΗΚ perpendiculares ducuntur, posse æquale ei quod sub segmentis ipsius ΗΚ continetur. [d] sectio igitur circulus est, cujus diameter [per 2. lem.] est ΗΚ.



Εἰλήφθω γάρ τινα σημεῖα ἐπὶ τῶν ΗΘΚ, ΒΓ γραμμῶν, τὰ Θ, Λ, καὶ ἀπὸ τῶν Θ, Λ σημείων ἐπὶ τὸ διὰ τοῦ ΑΒΓ τριγώνου ἐπίπεδον κάθετοι ἤχθωσαν· πεσοῦνται δὴ ἐπὶ τὰς κοινὰς τομὰς τῶν ἐπιπέδων. πιπτέτωσαν ὡς αἱ ΘΖ, ΛΜ. παράλληλος ἄρα ἐστὶν ἡ ΘΖ τῇ ΛΜ. ἤχθω δὴ διὰ τοῦ Ζ τῇ ΒΓ παράλληλος ἡ ΔΖΕ. ἔστι δὴ καὶ ἡ ΖΘ τῇ ΛΜ παράλληλος· τὸ ἄρα διὰ τῶν ΖΘ, ΔΕ ἐπίπεδον παράλληλόν ἐστι τῇ βάσει τοῦ κώνου· κύκλος ἄρα ἐστὶν ἡ τομὴ, οὗ διάμετρος ἡ ΔΕ· ἴσον ἄρα τὸ ὑπὸ τῶν ΔΖ, ΖΕ τῷ ἀπὸ τῆς ΖΘ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΕΔ τῇ ΒΓ· ἡ ὑπὸ ΑΔΕ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΑΒΓ. ἡ δὲ ὑπὸ ΑΚΗ τῇ ὑπὸ ΑΒΓ ὑπόκειται ἴση· καὶ ἡ ὑπὸ ΑΚΗ ἄρα τῇ ὑπὸ ΑΔΕ ἐστὶν ἴση. εἰσὶ δὲ καὶ αἱ πρὸς τῷ Ζ σημείῳ ἴσαι, κατὰ κορυφὴν γάρ· ὅμοιον ἄρα ἐστὶ τὸ ΔΖΗ τρίγωνον τῷ ΚΖΕ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ ΕΖ πρὸς τὴν ΖΚ οὕτως ἡ ΗΖ πρὸς ΖΔ· [c] τὸ ἄρα ὑπὸ τῶν ΕΖΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΚΖΗ. ἀλλὰ τὸ ὑπὸ τῶν ΕΖΔ (τουτέστι τὸ ὑπὸ τῶν ΔΖ, ΖΕ) ἴσον ἐδείχθη τῷ ἀπὸ τῆς ΖΘ· καὶ τὸ ὑπὸ τῶν ΚΖ, ΖΗ ἄρα ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΘ. ὁμοίως δὴ δειχθήσονται καὶ πᾶσαι αἱ ἀπὸ τῆς ΗΘΚ γραμμῆς ἐπὶ τὴν ΗΚ ἠγμέναι κάθετοι ἴσον δυνάμεναι τῷ ὑπὸ τῶν τμημάτων τῆς ΗΚ. [d] κύκλος ἄρα ἐστὶν ἡ τομὴ, οὗ διάμετρος ἡ ΗΚ.

EUTOCIUS.

Quintum theorema casum non habet. Exordiens autem *Apollonius* expositionem, [a] Secetur, *inquit*, conus per axem plano ad basim recto. Sed quoniam in cono scaleno, juxta unicam solummodo positionem triangulum per axem ad basim rectum est, hoc ita faciemus. Sumentes namque basis centrum, ab eo erigemus rectam ad rectos angulos ipsi pla-

Τὸ πέμπτον θεώρημα πτῶσιν οὐκ ἔχει. ἀρχόμενος δὲ τῆς ἐκθέσεως, φησί, [a] Τετμήσθω ὁ κῶνος ἐπιπέδῳ διὰ τοῦ ἄξονος ὀρθῷ πρὸς τὴν βάσιν. Ἐπειδὴ δὲ ἐν τῷ σκαληνῷ κώνῳ, κατὰ μίαν μόνον θέσιν τὸ διὰ τοῦ ἄξονος τρίγωνον ὀρθόν ἐστι πρὸς τὴν βάσιν, τοῦτο ποιήσομεν οὕτως. λαβόντες τὸ κέντρον τῆς βάσεως, ἀναστήσομεν ἀπ' αὐτοῦ τῷ ἐπιπέδῳ τῆς βάσεως πρὸς

πρὸς ὀρθὰς, καὶ δι' αὐτῆς καὶ τοῦ ἄξονος ἐκβάλλοντες ἐπίπεδον ἕξομεν τὸ ζητούμενον. δέδεικται γὰρ ἐν τῷ ἑνδεκάτῳ καὶ δεκάτῳ τῆς Εὐκλείδου στοιχειώσεως, ὅτι ἂν εὐθεῖα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ πάντα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται. τὸν δὲ κῶνον σκαληνὸν ὑπέθετο, ἐπειδὴ ἐν τῷ ἰσοσκελεῖ τὸ παράλληλον τῇ βάσει ἐπίπεδον τῷ ὑπεναντίως κειμένῳ τὸ αὐτό ἐστιν.

Ἔτι φησὶ, [b] Τετμήσθω καὶ ἑτέρῳ ἐπιπέδῳ πρὸς ὀρθὰς μὲν τῷ διὰ τοῦ ἄξονος τριγώνῳ, ἀφαιροῦντι δὲ πρὸς τῇ κορυφῇ τρίγωνον ὅμοιον μὲν τῷ ΑΒΓ τριγώνῳ, ὑπεναντίως δὲ κείμενον. τοῦτο δὲ γίνεται οὕτως. ἔστω τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ, καὶ εἰλήφθω ἐπὶ τῆς ΑΒ τυχὸν σημεῖον τὸ Η, καὶ συνεστάτω πρὸς τῇ ΑΗ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Η, τῇ ὑπὸ ΑΓΒ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΗΚ· τὸ ΑΗΚ ἄρα τρίγωνον τῷ ΑΒΓ ὅμοιον μέν ἐστιν, ὑπεναντίως δὲ κείμενον. εἰλήφθω δὲ ἐπὶ τῆς ΗΚ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ τῷ τοῦ ΑΒΓ τριγώνου ἐπιπέδῳ πρὸς ὀρθὰς ἀνεστάτω ἡ ΖΘ, καὶ ἐκβεβλήσθω τὸ διὰ τῶν ΗΚ, ΘΖ ἐπίπεδον· τοῦτο δὴ ὀρθόν ἐστι πρὸς τὸ ΑΒΓ τρίγωνον, διὰ τὴν ΖΘ, καὶ ποιεῖ τὸ προκείμενον.

Ἐν τῷ συμπεράσματί φησιν, ὅτι διὰ τὴν ὁμοιότητα τῶν ΔΖΗ, ΕΖΚ τριγώνων, [c] ἴσον ἐστὶ τὸ ὑπὸ ΕΖΔ τῷ ὑπὸ ΚΖΗ. δυνατὸν δέ ἐστι τοῦτο δεῖξαι καὶ δίχα τῆς τῶν τριγώνων ὁμοιότητος· λέγοντα, ὅτι ἐπειδὴ ἑκατέρα τῶν ΑΚΗ, ΑΔΕ γωνιῶν ἴση ἐστὶ τῇ πρὸς τὸ Β· ἐν τῷ αὐτῷ τμήματί εἰσι τοῦ περιλαμβάνοντος κύκλου τὰ Δ, Ε, Η, Κ σημεῖα. καὶ ἐπειδὴ ἐν κύκλῳ δύο εὐθεῖαι αἱ ΔΕ, ΗΚ τέμνουσιν ἀλλήλας κατὰ τὸ Ζ· τὸ ὑπὸ ΔΖΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΗΖΚ. ὁμοίως δὲ δειχθήσεται ὅτι καὶ πᾶσαι ἀπὸ τῆς ΗΘΚ γραμμῆς ἐπὶ τὴν ΚΗ κάθετοι ἀγόμεναι ἴσον δύνανται τῷ ὑπὸ τῶν τμημάτων.

[d] Κύκλος ἄρα ἐστὶν ἡ τομὴ, διάμετρος δὲ αὐτοῦ ἡ ΗΚ.] καὶ δυνατὸν μέν ἐστιν ἐπιλογίσασθαι τοῦτο διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ ὁ περὶ τὴν ΚΗ γραφόμενος κύκλος οὐχ ἥξει διὰ τοῦ Θ σημείου, ἔσται τὸ ὑπὸ τῶν ΚΖ, ΖΗ ἴσον, ἤτοι τῷ ἀπὸ μείζονος τῆς ΖΘ, ἢ τῷ ἀπὸ ἐλάσσονος, ὅπερ οὐχ ὑπόκειται. δείξομεν δὲ αὐτὸ καὶ ἐπ' εὐθείας. ἔστω τις γραμμὴ ἡ ΗΘΚ, καὶ ὑποτεινέτω αὐτὴν ἡ ΚΗ, εἰλήφθω δὲ καὶ ἐπὶ τῆς γραμμῆς τυχόντα σημεῖα τὰ Θ, Ο, καὶ ἀπὸ αὐτῶν ἐπὶ τὴν ΗΚ κάθετοι ἤχθωσαν αἱ ΘΖ, ΟΠ, καὶ ἔστω τὸ μὲν ἀπὸ ΖΘ ἴσον τῷ ὑπὸ ΗΖΚ, τὸ δὲ ἀπὸ ΟΠ τῷ ὑπὸ ΗΠΚ ἴσον· λέγω ὅτι κύκλος ἐστὶν ἡ ΗΘΟΚ γραμμή. τετμήσθω γὰρ ἡ ΗΚ δίχα κατὰ τὸ Ν, καὶ ἐπεζεύχθωσαν αἱ ΝΘ, ΝΟ. ἐπεὶ οὖν εὐθεῖα ἡ ΗΚ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Ν, εἰς δὲ ἄνισα κατὰ τὸ Ζ· τὸ ὑπὸ ΗΖΚ μετὰ τοῦ ἀπὸ ΝΖ ἴσον ἐστὶν τῷ ἀπὸ ΝΚ. τὸ δὲ ὑπὸ ΗΖΚ ἴσον ὑπόκειται τῷ ἀπὸ ΖΘ· τὸ ἄρα ἀπὸ ΘΖ μετὰ τοῦ ἀπὸ ΝΖ ἴσον ἐστὶ τῷ ἀπὸ ΝΚ. ἴσα δέ ἐστι τὰ ἀπὸ ΘΖ, ΖΝ τῷ ἀπὸ ΝΘ, ὀρθὴ γάρ ἐστιν ἡ πρὸς τὸ Ζ· τὸ ἄρα ἀπὸ ΝΘ ἴσον ἐστὶν τῷ ἀπὸ ΝΚ. ὁμοίως δὲ δείξομεν ὅτι καὶ τὸ ἀπὸ ΝΟ ἴσον ἐστὶν τῷ ἀπὸ ΝΚ· κύκλος ἄρα ἐστὶν ἡ ΗΘΚ γραμμὴ, διάμετρος δὲ αὐτοῦ ἡ ΗΚ.



Δυνατὸν δέ ἐστιν, τὰς ΔΕ, ΗΚ διαμέτρους ποτὲ μὲν ἴσας, ποτὲ δὲ ἀνίσους εἶναι, οὐδέποτε μέντοι δίχα τέμνουσιν ἀλλήλας. ἤχθω διὰ τοῦ Κ τῇ ΒΓ παράλληλος ἡ ΝΚ. ἐπεὶ οὖν μείζων ἐστὶν ἡ ΒΑ τῆς ΑΓ· μείζων ἄρα καὶ ἡ ΝΑ τῆς ΑΚ. ὁμοίως δὲ καὶ ἡ ΑΚ τῆς ΑΗ, διὰ τὴν ὑπεναντίαν τομήν· ὥστε τῇ ΑΚ ἀπὸ τῆς ΑΝ ἴση λαμβανομένη μεταξὺ πίπτει τῶν σημείων Η, Ν. πιπτέτω ὡς ἡ ΑΞ· ἡ ἄρα διὰ τοῦ Ξ τῇ ΒΓ παράλληλος ἀγομένη τέμνει τὴν ΗΚ. τεμνέτω ὡς ἡ ΞΟΠ. καὶ ἐπεὶ ἴση ἐστὶν

no basis, perque ipsam & axem planum ducentes id quod propositum fuerat assequemur. ostensum etenim est in undecimo libro [prop. 18.] elementorum *Euclidis*, si recta plano alicui ad rectos angulos fuerit, & omnia quæ per ipsum ducuntur plana eidem ad rectos angulos esse. conum vero scalenum supposuit, quoniam in æquicruri planum basi æquidistans idem est quod subcontrarie positum.

Præterea [b] Secetur, *inquit*, & altero plano ad rectos angulos ipsi triangulo per axem, quod abscindat ex verticis parte triangulum simile ipsi ΑΒΓ, subcontrarie vero positum. illud ita fiet. Sit triangulum per axem ΑΒΓ, sumaturque in ΑΒ quodvis punctum Η, & ad rectam ΑΗ, & punctum in ea Η, [per 23. 1.] constituatur angulus ΑΗΚ ipsi ΑΓΒ æqualis: ergo triangulum ΑΗΚ triangulo ΑΒΓ simile erit, at subcontrarie positum. sumatur autem in recta ΗΚ quodlibet punctum Ζ, & à Ζ erigatur ΖΘ ad rectos angulos plano trianguli ΑΒΓ, & per ΗΚ, ΖΘ planum ducatur: erit illud [per 18. 11.] ad triangulum ΑΒΓ rectum, quia per rectam ΖΘ transit, & faciet id quod erat faciendum.

In conclusione *dicit*, propter similitudinem triangulorum ΔΖΗ, ΕΖΚ, [c] æquale esse rectangulum ΕΖΔ rectangulo ΚΖΗ. quod quidem & absque triangulorum similitudine demonstrari potest hoc pacto; quoniam enim uterque angulorum ΑΚΗ, ΑΔΕ æqualis est angulo qui ad Β: erunt hi [per 21. 3.] in eadem portione circuli per puncta Δ, Ε, Η, Κ transeuntis. & quoniam in circulo duæ rectæ ΔΕ, ΗΚ sese secant in Ζ: rectangulum ΔΖΕ [per 35. 3.] æquale est rectangulo ΗΖΚ. Similiter demonstrabuntur & omnes rectæ à linea ΗΘΚ ductæ perpendiculares ad ΚΗ rectam, posse æquale ei quod sub ejus segmentis continetur.

[d] Sectio igitur est circulus, cujus diameter ΗΚ.] possumus autem hoc demonstrare per deductionem ad absurdum. Si enim circulus, qui circa ΗΚ describitur, non transit per Θ punctum; erit rectangulum sub ΚΖ, ΖΗ æquale quadrato, vel rectæ majoris ipsa ΖΘ, vel minoris, contra hypothesin. Sed & illud idem directa demonstratione ostendemus. sit linea quædam ΗΘΚ, cui subtendatur recta ΗΚ, sumantur autem in linea duo quævis puncta Θ, Ο, à quibus ad ipsam ΗΚ perpendiculares ducantur ΘΖ, ΟΠ; sitque quadratum ex ΖΘ æquale rectangulo ΗΖΚ, & quadratum ex ΟΠ æquale ipsi ΗΠΚ rectangulo: dico lineam ΗΘΟΚ circulum esse. secetur enim ΗΚ bifariam in puncto Ν, & jungantur ΝΘ, ΝΟ. Quoniam igitur recta linea ΗΚ secatur in partes æquales in Ν, & in partes inæquales in Ζ: rectangulum ΗΖΚ una cum quadrato ex ΝΖ æquale erit [per 5. 2.] quadrato ex ΝΚ. sed rectangulum ΗΖΚ positum est æquale quadrato ex ΖΘ: quadratum igitur ex ΘΖ una cum quadrato ex ΝΖ æquale est quadrato ex ΝΚ. æqualia autem sunt [per 47. 1.] ex ΘΖ, ΖΝ quadrata ipsi quadrato ex ΝΘ; angulus enim ad Ζ est rectus: ergo quadratum ex ΝΘ quadrato ex ΝΚ æquale erit. similiter ostendemus quadratum ex ΝΟ æquale esse quadrato ex ΝΚ: linea igitur ΗΘΚ circulus est, & ejus diameter ΗΚ.

Fieri autem potest ut diametri ΔΕ, ΗΚ quandoque æquales sint, quandoque inæquales; nunquam tamen sese bifariam secabunt. ducatur enim per Κ ipsi ΒΓ parallela ΝΚ. quoniam igitur major est ΒΑ quam ΑΓ: & ipsa ΝΑ quam ΑΚ major erit. eadem ratione & ΑΚ major est quam ΑΗ, propter subcontrariam sectionem: quare si à recta ΑΝ abscissa fuerit æqualis ipsi ΑΚ, inter puncta Η, Ν cadet. cadat ut ΑΞ: ergo per Ξ ducta parallela ipsi ΒΓ secabit ΗΚ. secet ut ΞΟΠ. itaque quoniam

quoniam æqualis est ΑΞ ipsi ΑΚ, ut vero ΞΑ ad ΑΠ ita ΚΑ ad ΑΗ; ob similitudinem triangulorum ΗΚΑ, ΞΑΠ: erit ΑΗ ipsi ΑΠ æqualis, & reliqua ΗΞ ipsi ΠΚ. & quoniam anguli ad puncta Ξ, Κ inter se æquales sunt, uterque enim ipsorum æqualis est angulo ad Β; sunt autem & qui ad Ο æquales, quia ad verticem: erit triangulum ΞΗΟ simile triangulo ΠΟΚ. & æqualis est ΗΞ ipsi ΠΚ: quare & ΞΟ ipsi ΟΚ, & ΗΟ ipsi ΟΠ, & tota ΗΚ toti ΞΠ est æqualis. ex quibus constat, si inter Η, Ξ sumatur punctum, ut Ρ, & per Ρ ducatur ΡΣ parallela ΗΚ; ipsam ΡΣ majorem esse quam ΗΚ, & propterea majorem quam ΞΠ. si vero inter puncta Ρ, Ξ sumatur punctum, ut Τ, & per ipsum ducatur ΤΥ parallela ΞΠ: minor erit ΤΥ quam ΞΠ; & ob id minor quam ΗΚ. & quoniam angulus ΞΠΚ major est [per 16. 1.] angulo ΑΞΠ; æqualis autem ΟΠΚ ipsi ΟΗΞ: erit ΟΗΞ angulus major angulo ΗΞΟ: ergo [per 19. 1.] ΞΟ major ipsa ΟΗ, & idcirco ΞΟ major ΟΠ. quod si quandoque contingat, ut altera ipsarum bifariam secetur, tunc altera in partes inæquales secabitur.



ἡ ΑΞ τῇ ΑΚ, ὡς δὲ ἡ ΞΑ πρὸς ΑΠ ἡ ΚΑ πρὸς ΑΗ, διὰ τὴν ὁμοιότητα τῶν ΗΚΑ, ΞΑΠ τριγώνων· ἡ ΑΗ ἄρα τῇ ΑΠ ἐστιν ἴση, καὶ ἡ λοιπὴ ΗΞ τῇ ΠΚ. καὶ ἐπεὶ αἱ πρὸς τοῖς Ξ, Κ γωνίαι ἴσαι εἰσίν, ἑκατέρα γὰρ αὐτῶν ἴση ἐστὶ τῇ Β, εἰσὶ δὲ καὶ αἱ πρὸς τῷ Ο ἴσαι, κατὰ κορυφὴν γάρ· ὅμοιον ἄρα ἐστὶ τὸ ΞΗΟ τρίγωνον τῷ ΠΟΚ τριγώνῳ. καὶ ἴση ἐστὶν ἡ ΗΞ τῇ ΠΚ· ὥστε καὶ ἡ ΞΟ τῇ ΟΚ, καὶ ἡ ΗΟ τῇ ΟΠ, καὶ ὅλη ἡ ΗΚ τῇ ὅλῃ ΞΠ. καὶ φανερὸν ὅτι ἐὰν μεταξὺ τῶν Η, Ξ ληφθῇ τι σημεῖον, ὡς τὸ Ρ, καὶ διὰ τοῦ Ρ τῇ ΗΚ παράλληλος ἀχθῇ ἡ ΡΣ, μείζων ἔσται τῆς ΗΚ, καὶ διὰ τοῦτο καὶ τῆς ΞΠ. ἐὰν δὲ μεταξὺ τῶν Ρ, Ξ ληφθῇ τι σημεῖον ὡς τὸ Τ, καὶ δι' αὐτοῦ τῇ ΞΠ παράλληλος ἀχθῇ ἡ ΤΥ· ἐλάττων ἔσται τῆς ΞΠ, καὶ τῆς ΗΚ. καὶ ἐπεὶ ἡ ὑπὸ ΞΠΚ γωνία μείζων ἐστὶν τῆς ὑπὸ ΑΞΠ, ἴση δὲ ἡ ὑπὸ ΟΠΚ τῇ ὑπὸ ΟΗΞ· μείζων ἄρα καὶ ἡ ὑπὸ ΟΗΞ τῆς ὑπὸ ΗΞΟ· ἡ ΞΟ ἄρα τῆς ΟΗ μείζων, καὶ διὰ τοῦτο καὶ ἡ ΞΟ τῆς ΟΠ. ἐὰν δέ ποτε ἡ ἑτέρα αὐτῶν δίχα διαιρεθῇ, ἡ λοιπὴ εἰς ἄνισα τμηθήσεται.

Prop. VI. *Theor.*

Si conus plano per axem secetur; sumatur autem aliquod punctum in superficie coni, quod non sit in latere trianguli per axem, & ab ipso ducatur recta parallela cuidam rectæ, quæ perpendicularis est à circumferentia circuli ad trianguli basim: triangulo per axem occurret, & ulterius producta, usque ad alteram superficiei partem, bifariam ab ipso triangulo secabitur.

SIT conus, cujus vertex Α punctum, basis autem circulus ΒΓ, seceturque conus plano per axem, atque communem sectionem faciat triangulum ΑΒΓ, & ab aliquo puncto eorum quæ sunt in ΒΓ circumferentia, ut ab Μ, ducatur ΜΝ perpendicularis ad ipsam ΒΓ; sumatur vero in superficie coni punctum Δ, quod non sit in latere trianguli per axem, & per Δ ipsi ΜΝ parallela ducatur ΔΕ: dico ΔΕ productam occurrere plano trianguli ΑΒΓ; & ulterius productam ad alteram partem coni, quousque ejus superficiei occurrat, à trianguli ΑΒΓ plano bifariam secari.

Jungatur ΑΔ, & producatur; occurret [per 1. 1. huj.] circumferentiæ circuli ΒΓ. occurrat in Κ, & à puncto Κ ad ΒΓ perpendicularis ducatur ΚΘΛ: parallela est igitur [per 28. 1.] ΚΘ ipsi ΜΝ; quare [per 9. 11.] & ipsi ΔΕ. ducatur ab Α puncto ad Θ recta ΑΘ. itaque quoniam in triangulo ΑΘΚ, ipsi ΘΚ parallela est ΔΕ: conveniet ΔΕ producta cum ΑΘ. est autem ΑΘ in plano trianguli ΑΒΓ: ergo ΔΕ trianguli ΑΒΓ plano occurret; ipsique ΑΘ rectæ.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, ληφθῇ δέ τι σημεῖον ἐπὶ τῆς τοῦ κώνου ἐπιφανείας, ὃ μή ἐστιν ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἀπ' αὐτοῦ ἀχθῇ παράλληλος εὐθεία τινί, ἥ ἐστι κάθετος ἀπὸ τῆς περιφερείας τοῦ κύκλου ἐπὶ τὴν βάσιν τοῦ τριγώνου· συμβαλεῖ τῷ διὰ τοῦ ἄξονος τριγώνῳ, καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας δίχα τμηθήσεται ὑπὸ τοῦ τριγώνου.

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ὁ κῶνος ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω κοινὴν τομὴν τὸ ΑΒΓ τρίγωνον, καὶ ἀπό τινος σημείου τῶν ἐπὶ τῆς ΒΓ περιφερείας, τοῦ Μ, κάθετος ἤχθω ἐπὶ τὴν ΒΓ, ἡ ΜΝ, εἰλήφθω δὲ ἐπὶ τῆς ἐπιφανείας τοῦ κώνου σημεῖόν τι τὸ Δ, ὃ μή ἐστιν ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ ἄξονος τριγώνου, καὶ διὰ τοῦ Δ τῇ ΜΝ παράλληλος ἤχθω ἡ ΔΕ· λέγω ὅτι ἡ ΔΕ ἐκβαλλομένη συμπεσεῖται τῷ ἐπιπέδῳ τοῦ ΑΒΓ τριγώνου, καὶ προσεκβαλλομένη ἐπὶ τὸ ἕτερον μέρος τοῦ κώνου, ἄχρις ἂν συμπέσῃ τῇ ἐπιφανείᾳ αὐτοῦ, δίχα τμηθήσεται ὑπὸ τοῦ ἐπιπέδου τοῦ ΑΒΓ τριγώνου.

Ἐπεζεύχθω ἡ ΑΔ, καὶ ἐκβεβλήσθω· συμπεσεῖται ἄρα τῇ περιφερείᾳ τοῦ ΒΓ κύκλου. συμπιπτέτω κατὰ τὸ Κ, καὶ ἀπὸ τοῦ Κ ἐπὶ τὴν ΒΓ κάθετος ἤχθω ἡ ΚΘΛ· παράλληλος ἄρα ἐστὶν ἡ ΚΘ τῇ ΜΝ, καὶ τῇ ΔΕ ἄρα. ἐπεζεύχθω ἀπὸ τοῦ Α ἐπὶ τὸ Θ ἡ ΑΘ. ἐπεὶ οὖν ἐν τριγώνῳ τῷ ΑΘΚ, τῇ ΘΚ παράλληλός ἐστιν ἡ ΔΕ· ἡ ΔΕ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ ΑΘ. ἡ δὲ ΑΘ ἐν τῷ τοῦ ΑΒΓ ἐστὶν ἐπιπέδῳ· συμπεσεῖται ἄρα ἡ ΔΕ τῷ τοῦ ΑΒΓ τριγώνου ἐπιπέδῳ, καὶ τῇ ΑΘ εὐθείᾳ.

συμπιπτέτω

συμπιπτέτω κατὰ τὸ Z, καὶ ἐκβεβλήσθω ἡ ΔZ ἐπ' εὐθείας ἄχρις ἂν συμπέσῃ τῇ τοῦ κώνου ἐπιφανείᾳ, συμπιπτέτω κατὰ τὸ H· λέγω ὅτι ἴση ἐστὶν ἡ ΔZ τῇ ZH. ἐπεὶ γὰρ τὰ A, H, Λ σημεῖα ἐν τῇ τοῦ κώνου ἐστὶν ἐπιφανείᾳ, καὶ ἐν τῷ ἐπιπέδῳ τῷ διὰ τῶν AΘ, AK, ΔH, KΛ ἐκβαλλομένῳ, ὅπερ διὰ τῆς κορυφῆς τοῦ κώνου τρίγωνόν ἐστι· τὰ A, H, Λ ἄρα σημεῖα

occurrat in Z, & producatur ΔZ in directum, quousque superficiei coni occurrat; occurrat in H: dico ΔZ ipsi ZH æqualem esse. quoniam enim puncta A, H, Λ sunt & in superficie coni, & in plano per AΘ, AK, ΔH, KΛ ducto, quod quidem [per 3. hujus] triangulum est, cum conum per verticem secet: erunt A, H, Λ in communi sectione superficiei coni & ipsius trian-



ἐπὶ τῆς κοινῆς ἐστι τομῆς τῆς τοῦ κώνου ἐπιφανείας καὶ τοῦ τριγώνου· εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν A, H, Λ. ἐπεὶ οὖν ἐν τριγώνῳ τῷ AΛK τῇ KΘΛ βάσει παράλληλος ἦκται ἡ ΔH, καὶ διῆκταί τις ἀπὸ τοῦ A, ἡ AZΘ· ἔστιν ὡς ἡ KΘ πρὸς ΘΛ ἡ ΔZ πρὸς ZH. ἴση δὲ ἡ KΘ τῇ ΘΛ, ἐπείπερ ἐν κύκλῳ τῷ BΓ κάθετός ἐστιν ἐπὶ τὴν διάμετρον ἡ KΛ· ἴση ἄρα καὶ ἡ ΔZ τῇ ZH.

guli: ergo recta est quæ per A, H, Λ puncta transit. at cum in triangulo AΛK, ipsi KΘΛ basi parallela ducta sit ΔH, & à puncto A ducatur AZΘ: erit * ut KΘ ad ΘΛ ita ΔZ ad ZH. æqualis autem est [per 3. 3.] KΘ ipsi ΘΛ, quia in circulo BΓ perpendicularis ad diametrum ducitur KΛ: ergo & ΔZ ipsi ZH æqualis erit.

EUTOCIUS.

Προσέχειν χρή, ὅτι οὐ μάτην πρόσκειται ἐν τῇ προτάσει, τὸ δεῖν ἀγομένην εὐθεῖαν ἀπὸ τοῦ τῆς ἐπιφανείας σημείου παράλληλον μιᾷ τινι τῶν ἐν τῇ βάσει εὐθειῶν πρὸς ὀρθὰς οὔσῃ πάντως τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἄγεσθαι. τούτου γὰρ μὴ ὄντος, οὐ δυνατόν ἐστιν αὐτὴν δίχα τέμνειν ὑπὸ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ὅπερ ἐστὶ φανερὸν ἐκ τῆς ἐν τῷ ῥητῷ καταγραφῆς. εἰ γὰρ ἡ MN, ᾗ παράλληλός ἐστιν ἡ ΔZH, μὴ πρὸς ὀρθὰς εἴη τῇ BΓ, δῆλον ὅτι οὐδὲ δίχα τέμνεται ἡ KΛ. καὶ διὰ τῶν αὐτῶν λόγων συνάγεται ὅτι ἐστὶν ὡς ἡ KΘ πρὸς ΘΛ οὕτως ἡ ΔZ πρὸς ZH· καὶ ἡ ΔH ἄρα εἰς ἄνισα τμηθήσεται κατὰ τὸ Z. δυνατὸν δὲ κατωτέρω τοῦ κύκλου, καὶ ἐπὶ τῆς κατὰ κορυφὴν ἐπιφανείας τὰ αὐτὰ δείκνυσθαι.

Animadvertendum est, non frustra apponi in propositione, oportere rectam ductam à puncto superficiei, parallelam esse cuivis rectæ quæ à circuli circumferentia perpendicularis est ad basim trianguli per axem. nisi enim hoc ita sit, fieri non potest ut recta à triangulo bifariam secetur; quod quidem ex descripta figura manifeste apparet. nam si MN, cui parallela est ΔZH, ad ipsam BΓ non sit perpendicularis: neque KΛ bifariam secabitur. eadem enim ratione colligimus, ut KΘ ad ΘΛ ita esse ΔZ ad ZH: ergo & ΔH in partes inæquales secabitur ad punctum Z. potest autem illud idem, tum infra circulum, tum in superficie, quæ est ad verticem, similiter demonstrari.

ΠΡΟΤΑΣΙΣ ζ.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ ἐπίπεδον ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν, ἤτοι τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἢ τῇ ἐπ' εὐθείας αὐτῇ· αἱ ἀγόμεναι εὐθεῖαι ἀπὸ τῆς γενηθείσης τομῆς ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ, ἃς ἐποίησε τὸ τέμνον ἐπίπεδον, παράλληλοι τῇ

Prop. VII. *Theor.*

Si conus plano per axem secetur, secetur autem & altero plano secante planum basis coni secundum rectam lineam quæ sit perpendicularis, vel ad basim trianguli per axem, vel ad eam quæ in directum ipsi constituitur: rectæ quæ à sectione in superficie coni à plano facta ducuntur, paral-

* Nam (per 4. 6.) KΘ est ad ΔZ ut AΘ ad AZ; & ΘΛ est ad ZH etiam ut AΘ ad AZ: quare (per 11. 5.) KΘ est ad ΔZ ut ΘΛ ad ZH; unde (per 16. 5.) KΘ est ad ΘΛ ut ΔZ ad ZH.

lelæ ei quæ est perpendicularis ad trianguli basim, in communem sectionem plani secantis & trianguli per axem cadent; & ulterius productæ ad alteram sectionis partem ab ea bifariam secabuntur. & siquidem rectus sit conus; recta quæ est in basi perpendicularis erit ad communem sectionem plani secantis & trianguli per axem: si vero scalenus; non semper, nisi cum planum, quod per axem ducitur, ad basim coni rectum fuerit.

πρὸς ὀρθὰς τῇ βάσει τοῦ τριγώνου εὐθείᾳ, ἐπὶ τὴν κοινὴν τομὴν πεσοῦνται τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ προσεκβαλλόμεναι ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσονται ὑπ᾽ αὐτῆς. καὶ ἐὰν μὲν ὀρθὸς ᾖ ὁ κῶνος, ἡ ἐν τῇ βάσει εὐθεῖα πρὸς ὀρθὰς ἔσται τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου· ἐὰν δὲ σκαληνός, οὐκ ἀεὶ πρὸς ὀρθὰς ἔσται, ἀλλ᾽ ὅταν τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον πρὸς ὀρθὰς ᾖ τῇ βάσει τοῦ κώνου.

SIT conus, cujus vertex punctum Α, basis ΒΓ circulus, & secetur plano per axem, atque sectionem faciat triangulum ΑΒΓ, secetur autem & altero plano secante planum in quo est circulus ΒΓ secundum rectam ΔΕ, vel perpendicularem ad ΒΓ, vel ad eam quæ in directum ipsi constituitur, & faciat sectionem in superficie coni, lineam ΔΖΕ; communis autem sectio plani secantis & trianguli ΑΒΓ sit ΖΗ, & sumatur in sectione ΔΖΕ punctum quodvis Θ, à quo ΘΚ ipsi ΔΕ parallela ducatur: dico ΘΚ ipsi ΖΗ occurrere, & ulterius productam ad alteram partem sectionis ΔΖΕ, à recta ΖΗ bifariam secari.

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ ἐπίπεδον, ἐν ᾧ ἐστιν ὁ ΒΓ κύκλος κατ᾽ εὐθεῖαν τὴν ΔΕ, ἤτοι πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, ἢ τῇ ἐπ᾽ εὐθείας αὐτῇ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΖΕ, κοινὴ δὲ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ ΑΒΓ τριγώνου ἡ ΖΗ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς ΔΖΕ τομῆς τὸ Θ, καὶ ἤχθω διὰ τοῦ Θ τῇ ΔΕ παράλληλος ἡ ΘΚ· λέγω ὅτι ἡ ΘΚ συμβαλεῖ τῇ ΖΗ, καὶ ἐκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ΔΖΕ τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ΖΗ εὐθείας.

Quoniam enim conus, cujus vertex Α punctum, & basis circulus ΒΓ, plano per axem secatur, atque sectionem facit ΑΒΓ triangulum; sumitur autem in superficie punctum Θ quod non est in latere trianguli ΑΒΓ, estque ΔΗ ad ΒΓ perpendicularis: ducta ergo per Θ recta ΘΚ ipsi ΔΗ parallela, triangulo ΑΒΓ [per 6. huj.]

Ἐπεὶ γὰρ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιεῖ τομὴν τὸ ΑΒΓ τρίγωνον, εἴληπται δέ τι σημεῖον ἐπὶ τῆς ἐπιφανείας, ὃ μή ἐστιν ἐπὶ πλευρᾶς τοῦ ΑΒΓ τριγώνου, τὸ Θ, καὶ ἔστι κάθετος ἡ ΔΗ ἐπὶ τὴν ΒΓ· ἡ ἄρα διὰ τοῦ Θ τῇ ΔΗ παράλληλος ἀγομένη, τουτέστιν ἡ ΘΚ, συμβαλεῖ τῷ ΑΒΓ τριγώνῳ,





occurret; & ulterius producta ad alteram partem superficiei, à triangulo bifariam secabitur. quoniam igitur, quæ per Θ ducitur parallela ipsi ΔΕ, occurrit triangulo ΑΒΓ; atque est in plano sectionis ΔΖΕ: in communem sectionem plani secantis & trianguli ΑΒΓ cadet. sed ΖΗ est communis sectio plano-

καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας, δίχα τμηθήσεται ὑπὸ τοῦ τριγώνου. ἐπεὶ οὖν ἡ διὰ τοῦ Θ τῇ ΔΕ παράλληλος ἀγομένη συμβάλλει τῷ ΑΒΓ τριγώνῳ, καὶ ἔστιν ἐν τῷ διὰ τῆς ΔΖΕ τομῆς ἐπιπέδῳ· ἐπὶ τὴν κοινὴν ἄρα τομὴν πεσεῖται τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ ΑΒΓ τριγώνου. κοινὴ δὲ τομή ἐστι τῶν ἐπι-

πέδων

πέδων ἡ ΖΗ· ἡ ἄρα διὰ τοῦ Θ τῇ ΔΕ παράλληλος ἀγομένη πεσεῖται ἐπὶ τὴν ΖΗ, καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ΔΖΕ τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ΖΗ εὐθείας.

Ητοι δὴ ὁ κῶνος ὀρθός ἐστιν, ἢ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ ὀρθόν ἐστι πρὸς τὸν ΒΓ κύκλον, ἢ οὐδέτερον.

Εστω πρότερον ὁ κῶνος ὀρθός· εἴη ἂν οὖν καὶ τὸ ΑΒΓ τρίγωνον ὀρθὸν πρὸς τὸν ΒΓ κύκλον. καὶ ἐπεὶ ἐπίπεδον τὸ ΑΒΓ πρὸς ἐπίπεδον τὸ ΒΓ ὀρθόν ἐστι, καὶ τῇ κοινῇ αὐτῶν τομῇ τῇ ΒΓ ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ ΒΓ πρὸς ὀρθὰς ἦκται ἡ ΔΕ· ἡ ΔΕ ἄρα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας, καὶ οὔσας ἐν τῷ ΑΒΓ τριγώνῳ, ὀρθή ἐστιν· ὥστε καὶ πρὸς τὴν ΖΗ ἔσται πρὸς ὀρθάς.

Μὴ ἔστω δὴ ὁ κῶνος ὀρθός. εἰ μὲν οὖν τὸ διὰ τοῦ ἄξονος τρίγωνον ὀρθόν ἐστι πρὸς τὸ ΒΓ κύκλον, ὁμοίως δείξομεν ὅτι καὶ ἡ ΔΕ τῇ ΖΗ ἐστι πρὸς ὀρθάς.

Μὴ ἔστω δὴ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ ὀρθὸν πρὸς τὸν ΒΓ κύκλον· λέγω ὅτι οὐδὲ ἡ ΔΕ τῇ ΖΗ ἔσται πρὸς ὀρθάς. εἰ γὰρ δυνατὸν, ἔστω. ἔστι δὴ καὶ τῇ ΒΓ πρὸς ὀρθάς· ἡ ἄρα ΔΕ ἑκατέρᾳ τῶν ΒΓ, ΖΗ ἔσται πρὸς ὀρθάς· καὶ τῷ διὰ τῶν ΒΓ, ΖΗ ἐπιπέδῳ ἄρα πρὸς ὀρθὰς ἔσται. τὸ δὲ διὰ τῶν ΒΓ, ΗΖ ἐπίπεδόν ἐστι τὸ ΑΒΓ· καὶ ἡ ΔΕ ἄρα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς· καὶ πάντα ἄρα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς. ἓν δέ τι τῶν διὰ τῆς ΔΕ ἐπιπέδων ἐστὶν ὁ ΒΓ κύκλος· ὁ ΒΓ ἄρα κύκλος πρὸς ὀρθάς ἐστι τῷ ΑΒΓ τριγώνῳ, ὥστε καὶ τὸ ΑΒΓ τρίγωνον ὀρθὸν ἔσται πρὸς τὸν ΒΓ κύκλον, ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα ἡ ΔΕ τῇ ΖΗ ἐστι πρὸς ὀρθάς.

rum: ergo per Θ ducta ipsi ΔΕ parallela cadit in ΖΗ; & ulterius producta ad alteram sectionis ΔΖΕ partem, ab ipsa ΖΗ bifariam secabitur.

Itaque vel conus est rectus, vel triangulum ΑΒΓ, quod per axem transit, rectum est ad ΒΓ circulum, vel neutrum horum contingit.

Sit primum conus rectus: tunc & ΑΒΓ triangulum [per 18. 11.] ad circulum ΒΓ rectum erit. & quoniam planum ΑΒΓ rectum est ad planum ΒΓ, & ad communem ipsorum sectionem, videlicet ad rectam ΒΓ, in ipso ΒΓ plano perpendicularis ducta est ΔΕ: erit [per conv. 38. 11.] ΔΕ & ad triangulum ΑΒΓ perpendicularis; & [per 3. def. 11.] ad omnes rectas, quæ in triangulo ΑΒΓ existentes ipsam contingunt: quare & ad ipsam ΖΗ.

Sed non sit conus rectus. si igitur triangulum per axem rectum est ad circulum ΒΓ; similiter ostendemus ΔΕ ad ΖΗ perpendicularem esse.

Quod si triangulum per axem ΑΒΓ non sit rectum ad circulum ΒΓ: dico non esse ΔΕ ad ΖΗ perpendicularem. sit enim, si fieri potest. est autem & perpendicularis ad ΒΓ: ergo ΔΕ ad utramque rectam ΒΓ, ΖΗ perpendicularis erit: & idcirco [per 4. 11.] ad planum, quod per ipsas ΒΓ, ΖΗ ducitur. sed planum per ΒΓ, ΖΗ est ΑΒΓ triangulum: recta igitur ΔΕ ad triangulum ΑΒΓ est perpendicularis. quare [per 18. 11.] & omnia, quæ per ipsam transeunt, plana ad ΑΒΓ triangulum recta sunt. planum vero, in quo est circulus ΒΓ, est unum ex iis quæ per ΔΕ transeunt: ergo circulus ΒΓ rectus est ad triangulum ΑΒΓ; ac propterea triangulum ΑΒΓ ad ΒΓ circulum rectum erit, contra hypothesin. non est igitur ΔΕ ad ΖΗ normalis.

Πόρισμα.

Εκ δὴ τούτου φανερὸν ὅτι τῆς ΔΖΕ τομῆς διάμετρός ἐστιν ἡ ΖΗ, ἐπείπερ τὰς ἀγομένας παραλλήλους εὐθείᾳ τινὶ τῇ ΔΕ δίχα τέμνει· καὶ ὅτι δυνατόν ἐστιν ὑπὸ τῆς διαμέτρου τῆς ΖΗ παραλλήλους τινὰς δίχα τέμνεσθαι, καὶ μὴ πρὸς ὀρθάς.

Corollarium.

Hinc vero constat [per 10. def. huj.] rectam ΖΗ diametrum esse sectionis ΔΖΕ; cum rectas omnes, quæ in ipsa ducuntur, uni cuidam parallelas bifariam secet. constat præterea fieri posse, ut rectæ parallelæ à diametro ΖΗ bifariam quidem, non autem ad rectos angulos secentur.

EUTOCIUS.

Τὸ ἕβδομον θεώρημα πτώσεις ἔχει τέσσαρας· ἢ γὰρ οὐ συμβάλλει ἡ ΖΗ τῇ ΑΓ, ἢ συμβάλλει τριχῶς, ἢ ἐκτὸς τοῦ κύκλου, ἢ ἐντὸς, ἢ ἐπὶ Γ σημείου.

Septimum theorema quatuor casus habet: vel enim ΖΗ non occurrit ΑΓ; vel tribus modis occurrit, aut extra circulum, aut intra, aut in ipso Γ puncto.

ΠΡΟΤΑΣΙΣ η'.

Εὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει διὰ τοῦ ἄξονος τριγώνου, ἡ δὲ διάμετρος τῆς γινομένης ἐν τῇ ἐπιφανείᾳ τομῆς, ἤτοι παρὰ μίαν ᾖ τῶν τοῦ τριγώνου πλευρῶν, ἢ συμπίπτῃ αὐτῇ ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, προσεκβάλληται δὲ ἥτε τοῦ κώνου

Prop. VIII. *Theor.*

Si conus plano secetur per axem, & secetur altero plano secante basim coni secundum rectam lineam quæ ad basim trianguli per axem sit perpendicularis; diameter autem sectionis factæ in superficie, vel sit parallela uni laterum trianguli, vel cum ipso extra coni verticem conveniat; & producantur in infinitum tum superficies

perficies coni, tum planum ſecans: ſectio quoque ipſa in infinitum augebitur; & ex diametro ſectionis ad verticem cuilibet rectæ datæ æqualem abſcindet recta, quæ quidem à coni ſectione ei quæ eſt in baſi parallela ducta fuerit.

ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον εἰς ἄπειρον καὶ ἡ τομὴ εἰς ἄπειρον αὐξηθήσεται, καὶ ἀπὸ τῆς διαμέτρου τῆς τομῆς πρὸς τῇ κορυφῇ πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ἴσην ἀπολήψεταί τις εὐθεῖα ἀγομένη ἀπὸ τῆς τοῦ κώνου τομῆς παρὰ τὴν ἐν τῇ βάσει τοῦ κώνου εὐθεῖαν.

SIT conus, cujus vertex A punctum, baſis circulus ΒΓ, & ſecetur plano per axem, atque ſectionem faciat triangulum ΑΒΓ; ſecetur etiam & altero plano ſecante ΒΓ circulum ſecundum rectam ΔΕ perpendicularem ad ipſam ΒΓ, & faciat ſectionem in ſuperficie lineam ΔΖΕ; diameter autem ſectionis ΔΖΕ ſit ΖΗ, quæ vel ipſi ΑΓ parallela ſit, vel producta extra punctum A cum ipſa conveniat: dico ſectionem ΔΖΕ augeri in infinitum, ſi & coni ſuperficies & ſecans planum in infinitum producantur.

Producatur enim tam ſuperficies conica quam ſecans planum; patet quod ſimul producentur & rectæ ΑΒ, ΑΓ, ΖΗ. & quoniam ΖΗ vel parallela eſt ipſi ΑΓ, vel producta, extra punctum A cum ipſa convenit; lineæ ΖΗ, ΑΓ ad partes Η, Γ productæ nunquam convenient inter ſeſe. producantur ergo, ſumaturque in ΖΗ quodlibet punctum Θ, & per Θ ducatur ΚΘΛ ipſi ΒΓ parallela, ipſi vero ΔΕ parallela

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸν ΒΓ κύκλον κατ' εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔΖΕ γραμμήν, ἡ δὲ διάμετρος τῆς ΔΖΕ τομῆς ἡ ΖΗ, ἤτοι παράλληλος ἔστω τῇ ΑΓ, ἢ ἐκβαλλομένη συμπιπτέτω αὐτῇ ἐκτὸς τοῦ Α σημείου· λέγω ὅτι καὶ ἐὰν ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον ἐκβάλληται εἰς ἄπειρον, καὶ ἡ ΔΖΕ τομὴ εἰς ἄπειρον αὐξηθήσεται.

Ἐκβεβλήσθω γὰρ ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον· φανερὸν δὴ ὅτι καὶ αἱ ΑΒ, ΑΓ, ΖΗ συνεκβληθήσονται. καὶ ἐπεὶ ἡ ΖΗ τῇ ΑΓ ἤτοι παράλληλός ἐστιν, ἢ ἐκβαλλομένη συμπίπτει αὐτῇ ἐκτὸς τοῦ Α σημείου· αἱ ΖΗ, ΑΓ ἄρα ἐκβαλλόμεναι ὡς ἐπὶ τὰ Γ,Η μέρη οὐδέποτε συμπεσοῦνται. ἐκβεβλήσθωσαν οὖν, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς ΖΗ τυχὸν, τὸ Θ, καὶ διὰ τοῦ Θ σημείου τῇ μὲν ΒΓ παράλληλος ἤχθω





ducatur ΜΘΝ: quare [per 15. 11.] planum, quod per ΚΛ, ΜΝ tranſit, parallelum eſt plano per ΒΓ, ΔΕ: & idcirco [per 4. huj.] ΚΛΜΝ planum circulus eſt. & quoniam puncta Δ, Ε, Μ, Ν ſunt & in plano ſecante, & in ſuperficie coni: ergo & in ipſa communi ſectione erunt: ſectio igitur ΔΖΕ aucta eſt uſque ad puncta Μ, Ν. igitur ſi tum coni ſuperficies, tum ſecans planum producantur ad ΚΛΜΝ circulum; & ſectio ipſa ΔΖΕ uſque ad Μ, Ν puncta augebitur. Eadem ratione demonſtrabitur ſectionem ΜΔΖΕΝ augeri in infinitum, ſi & ſuperficies coni & planum ſecans in infinitum producantur. per-

ἡ ΚΘΛ, τῇ δὲ ΔΕ παράλληλος ἡ ΜΘΝ· τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ· κύκλος ἄρα ἐστὶ τὸ ΚΛΜΝ ἐπίπεδον. καὶ ἐπεὶ τὰ Δ,Ε,Μ,Ν σημεῖα ἐν τῷ τέμνοντί ἐστιν ἐπιπέδῳ, ἔστι δὴ καὶ ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου· ἐπὶ τῆς κοινῆς ἄρα τομῆς ἐστιν· ηὔξηται ἄρα ἡ ΔΖΕ μέχρι τῶν Μ,Ν σημείων. αὐξηθείσης ἄρα τῆς ἐπιφανείας τοῦ κώνου καὶ τοῦ τέμνοντος ἐπιπέδου μέχρι τοῦ ΚΛΜΝ κύκλου· ηὔξηται καὶ ἡ ΔΖΕ τομὴ μέχρι τῶν Μ, Ν σημείων. ὁμοίως δὴ δείξομεν ὅτι ἐὰν εἰς ἄπειρον ἐκβάλληται ἥ τε τοῦ κώνου ἐπιφάνεια, καὶ τὸ τέμνον ἐπίπεδον, καὶ ἡ ΜΔΖΕΝ τομὴ εἰς ἄπειρον αὐξηθήσεται. καὶ

φανερὸν

φανερὸν ὅτι πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ἴσην ἀπολήψεταί τις τῇ Μ Ν παράλληλος ἀπὸ τῆς Ζ Θ εὐθείας πρὸς τῷ Ζ σημείῳ. ἐὰν γὰρ τῇ δοθείσῃ ἴσην θῶμεν τὴν Ζ Ξ, καὶ διὰ τοῦ Ξ τῇ Δ Ε παράλληλον ἀγάγωμεν, συμπεσεῖται τῇ τομῇ, ὥσπερ καὶ ἡ διὰ τοῦ Θ ἀπεδείχθη συμπίπτουσα τῇ τομῇ κατὰ τὰ Μ, Ν σημεῖα· ὥστε ἄγεταί τις εὐθεῖα συμπίπτουσα τῇ τομῇ, παράλληλος οὖσα τῇ Μ Ν, ἀπολαμβάνουσα ἀπὸ τῆς Ζ Η εὐθεῖαν ἴσην τῇ δοθείσῃ πρὸς τῷ Ζ σημείῳ.

spicuum igitur est cuilibet datæ rectæ æqualem abscindere rectam ipsi M N parallelam ex ipsa Z Θ ad punctum Z. si enim datæ rectæ æqualem ponamus Z Ξ, & per Ξ ipsi Δ E parallelam ducamus; conveniet ea cum sectione, quemadmodum & quæ per Θ demonstrata est cum eadem ad puncta M, N convenire: quare poterit recta quædam duci parallela ipsi M N, quæ cum sectione conveniat, & ex ipsa Z H ad punctum Z rectæ datæ æqualem abscindat.

ΠΡΟΤΑΣΙΣ θʹ.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ, συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παρὰ τὴν βάσιν ἠγμένῳ, μήτε ὑπεναντίως· ἡ τομὴ οὐκ ἔσται κύκλος.

Prop. IX. *Theor.*

Si conus plano secetur conveniente cum utroque latere trianguli per axem, quod neque basi æquidistet, neque subcontrarie ponatur; sectio circulus non erit.

Ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ Β Γ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ τινὶ, μήτε παραλλήλῳ ὄντι τῇ βάσει, μήτε ὑπεναντίως, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν Δ Κ Ε γραμμήν· λέγω ὅτι ἡ ΔΚΕ γραμμὴ οὐκ ἔσται κύκλος.

Εἰ γὰρ δυνατὸν, ἔστω, καὶ συμπιπτέτω τὸ τέμνον ἐπίπεδον τῇ βάσει, καὶ ἔστω τῶν ἐπιπέδων κοινὴ τομὴ ἡ Ζ Η, τὸ δὲ κέντρον τοῦ Β Γ κύκλου ἔστω τὸ Θ, καὶ ἀπ' αὐτοῦ κάθετος ἤχθω ἐπὶ τὴν Ζ Η ἡ Θ Η, καὶ ἐκβεβλήσθω διὰ τῆς Η Θ καὶ τοῦ ἄξονος ἐπίπεδον, καὶ ποιείτω τομὰς ἐν τῇ κωνικῇ ἐπιφανείᾳ τὰς Β Α, Α Γ εὐθείας. ἐπεὶ οὖν τὰ Δ, Ε, Η σημεῖα ἔν τε τῷ διὰ τῆς Δ Κ Ε ἐπιπέδῳ ἐστὶν, ἔστι δὲ καὶ ἐν τῷ διὰ τῶν Α, Β, Γ· τὰ ἄρα Δ, Ε, Η σημεῖα ἐπὶ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων ἐστίν· εὐθεῖα ἄρα ἐστὶν ἡ Η Ε Δ. εἰλήφθω δή τι ἐπὶ τῆς Δ Κ Ε γραμμῆς σημεῖον τὸ Κ, καὶ διὰ τοῦ Κ τῇ Ζ Η παράλληλος ἤχθω ἡ Κ Μ Λ. ἔσται δὴ ἴση ἡ Κ Μ τῇ Μ Λ· ἡ ἄρα Δ Ε διάμετρός ἐστι τοῦ Δ Κ Ε Λ κύκλου. ἤχθω δὴ διὰ τοῦ Μ τῇ Β Γ παράλληλος ἡ Ν Μ Ξ. ἔστι δὴ καὶ ἡ Κ Λ τῇ Ζ Η παράλληλος· ὥστε τὸ διὰ τῶν Ν, Ξ, Κ, Μ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν Β Γ, Ζ Η, τουτέστι τῇ βάσει, καὶ ἔσται ἡ τομὴ κύκλος. ἔστω Ν Κ Ξ Λ. καὶ ἐπεὶ ἡ Ζ Η τῇ Β Η πρὸς ὀρθάς ἐστι, καὶ ἡ Κ Μ τῇ Ν Ξ πρὸς ὀρθάς ἐστιν· ὥστε τὸ ὑπὸ τῶν Ν Μ Ξ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς Κ Μ. ἔστι δὲ τὸ ὑπὸ τῶν Δ Μ Ε ἴσον τῷ ἀπὸ τῆς Κ Μ, κύκλος γὰρ ὑπόκειται ἡ Δ Κ Ε Λ γραμμὴ, καὶ διάμετρος αὐτοῦ ἡ Δ Ε· τὸ ἄρα ὑπὸ τῶν Ν Μ Ξ ἴσον ἐστὶ τῷ ὑπὸ Δ Μ Ε· ἔστιν ἄρα ὡς ἡ Ν Μ πρὸς Μ Δ οὕτως ἡ Ε Μ πρὸς Μ Ξ· ὅμοιον ἄρα ἐστὶ τὸ Δ Μ Ν τρίγωνον τῷ Ξ Μ Ε τριγώνῳ, καὶ ἡ ὑπὸ Δ Ν Μ γωνία ἴση ἔσται τῇ ὑπὸ Μ Ε Ξ. ἀλλὰ ἡ ὑπὸ Δ Ν Μ γωνία τῇ ὑπὸ Α Β Γ ἐστὶν ἴση, παράλληλος γάρ ἡ Ν Ξ τῇ Β Γ· καὶ ἡ ὑπὸ Α Β Γ ἄρα



Sit conus, cujus vertex A punctum, basis circulus B Γ, & secetur plano aliquo, neque basi æquidistante, neque subcontrarie posito, atque sectionem faciat in superficie lineam Δ K E: dico Δ K E non esse circulum.

Sit enim, si fieri potest, occurratque planum secans ipsi basi, & communis planorum sectio sit recta Z H, centrum autem circuli B Γ sit Θ, & ab ipso ad Z H perpendicularis ducatur Θ H, deinde per Θ H & axem producatur planum, atque in conica superficie sectiones faciat B A, A Γ rectas. quoniam igitur puncta Δ, E, H sunt & in plano quod per Δ K E transit, & in eo quod per A, B, Γ; puncta igitur Δ, E, H in communi planorum sectione erunt: quare [per 3. 11.] H E Δ recta est. sumatur in linea Δ K E punctum aliquod K, & per K rectæ Z H parallela ducatur K M Λ. estque [per 6. huj.] K M ipsi M Λ æqualis: quare [per conv. 3. 3.] Δ E diameter est circuli Δ K E Λ. ducatur deinde per M recta N M Ξ ipsi B Γ parallela. est autem & K Λ parallela Z H: ergo [per 15. 11.] planum quod per N, Ξ, K, M ducitur, æquidistans est plano per B Γ, Z H, hoc est ipsi basi; adeoque [per 4. huj.] sectio circulus est. sit N K Ξ Λ. & quoniam Z H perpendicularis est ad B Γ H; sequitur [per 10. 11.] & K M ad N Ξ perpendicularem esse: quare [per 35. 3.] rectangulum N M Ξ æquale est quadrato ex K M. sed & rectangulum Δ M E æquale est quadrato ex K M; nam linea Δ K E Λ circulus ponitur cujus diameter Δ E: rectangulum igitur N M Ξ æquale est rectangulo Δ M E: & idcirco [per 16. 6.] ut N M ad M Δ ita E M ad M Ξ: quare [per 6. 6.] Δ M N triangulum simile est triangulo Ξ M E; & angulus Δ N M æqualis M E Ξ angulo. sed angulus Δ N M angulo A B Γ est æqualis; parallela enim est N Ξ ipsi B Γ: ergo & angulus A B Γ

æqualis

æqualis erit angulo MEΞ: ſectio igitur eſt ſubcontraria [per def. in 5. huj.]; contra hypotheſin. igitur linea ΔKE non eſt circulus.

ἴση ἔσται τῇ ὑπὸ MEΞ· ὑπεναντία ἄρα ἐστὶν ἡ τομή, ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα κύκλος ἐστὶν ἡ ΔKE γραμμή.

Prop. X. *Theor.*

Si in coni ſectione duo puncta ſumantur: recta linea, quæ ejuſmodi puncta conjungit, intra ſectionem cadet; & quæ in directum ipſi conſtituitur, cadet extra.

SIT conus, cujus vertex punctum A, baſis BΓ circulus, ſeceturque plano per axem, & faciat ſectionem triangulum ABΓ, ſecetur autem & altero plano, atque in ſuperficie coni ſectionem faciat ΔEZ lineam, & in ipſa ΔEZ duo puncta ſumantur, quæ ſint H, Θ: dico rectam quæ H, Θ puncta conjungit, intra ſectionem ΔEZ cadere; & quæ in directum ipſi conſtituitur, extra.



Quoniam enim conus, cujus vertex A punctum, & baſis circulus BΓ, plano ſecatur per axem, & in ipſius ſuperficie puncta quædam ſumuntur H, Θ, quæ non ſunt in latere trianguli per axem: recta, quæ à puncto H ad Θ ducitur, non tendet ad A: ergo [per 2. huj.] recta conjungens puncta H, Θ intra conum, adeoque intra coni ſectionem ΔZE cadet; & quæ in directum ipſi conſtituitur, cadet extra.

ΠΡΟΤΑΣΙΣ ι′.

Ἐὰν ἐπὶ κώνου τομῆς ληφθῇ δύο σημεῖα· ἡ μὲν ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς τομῆς, ἡ δὲ ἐπ᾽ εὐθείας αὐτῇ, ἐκτός.

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ A σημεῖον, βάσις δὲ ὁ BΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ABΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ, καὶ ποιείτω τομὴν ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ τὴν ΔEZ γραμμήν, καὶ εἰλήφθω ἐπὶ τῆς ΔEZ δύο σημεῖα τὰ H, Θ· λέγω ὅτι ἡ μὲν ἐπὶ τὰ H, Θ ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς ΔEZ γραμμῆς, ἡ δὲ ἐπ᾽ εὐθείας αὐτῇ, ἐκτός.

Ἐπεὶ γὰρ κῶνος, οὗ κορυφὴ μὲν τὸ A σημεῖον, βάσις δὲ ὁ BΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, εἴληπται δή τινα σημεῖα ἐπὶ τῆς ἐπιφανείας αὐτοῦ τὰ H, Θ, ἃ μή ἐστιν ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος τριγώνου· καὶ ἡ ἀπὸ τοῦ H ἐπὶ τὸ Θ ἐπιζευγνυμένη εὐθεῖα μὴ νεύῃ ἐπὶ τὸ A· ἡ ἄρα ἐπὶ τὰ H, Θ ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κώνου, καὶ ἡ ἐπ᾽ εὐθείας, ἐκτός, ὥστε καὶ τῆς ΔZE τομῆς.

EUTOCIUS.

Animadvertendum eſt decem hæc theoremata aptiſſime cohærentia inter ſeſe & continuata eſſe. primum autem oſtendit rectas lineas, quæ in ſuperficie coni ad verticem tendunt, in eadem permanere. ſecundum converſum oſtendit. tertium explicat coni ſectionem quæ per verticem efficitur. quartum ſectionem baſi æquidiſtantem. quintum vero ſubcontrariam. ſextum eſt tanquam lemma ad ſeptimum, in illo oſtenditur oportere communem ſectionem plani ſecantis, & circuli qui eſt baſis coni, ad ejus diametrum perpendicularem eſſe; atque, hoc ita habente, rectas omnes, quæ ipſi parallelæ ducuntur, à triangulo bifariam ſecari. ſeptimum tres alias ſectiones earumque diametrum oſtendit, & rectas quæ ad ipſam diametrum ordinatim applicantur, ei quæ in baſi parallelas eſſe. in octavo demonſtrat quod nos in principio diximus, videlicet parabolen & hyperbolen ex eorum numero eſſe quæ in infinitum augentur. in nono oſtendit ellipſim, quæ in ſeipſam vergit ut circulus, quia planum ſecans cum utroque latere trianguli convenit, circulum non eſſe; ſubcontraria etenim aut parallela ſectio circulum facit. ſed & illud ſcire oportet, diametrum ſectionis in parabola quidem unum duntaxat trianguli latus ſecare & ipſam baſim: in hyperbola, ſecare & latus & rectam, quæ reliquo lateri ad partes verticis producto in rectum conſtituitur: in ellipſi vero, & utrumque latus & baſim ſecare. poſſet fortaſſe quiſpiam arbitrari decimum theorema idem eſſe quod ſecundum. ſed res non ita ſe habet: illic enim in tota ſuperficie duo quævis puncta ſumi aſſerit; hic in ea tantum linea quæ à ſecante plano efficitur. at in tribus quæ deinceps ſequuntur theorematibus unamquamque ſectionem diligentius expendit, & principes earum proprietates declarat.

Χρὴ ἐπιστῆσαι, ὅτι τὰ δέκα ταῦτα θεωρήματα ἀλλήλων ἔχονται. ἀλλὰ τὸ πρῶτον ἔχει ὅτι αἱ εὐθεῖαι ἐν τῇ ἐπιφανείᾳ νεύουσαι ἐπὶ τὴν κορυφὴν ἐν ταύτῃ μένουσι. τὸ δὲ δεύτερον τὸ ἀνάπαλιν. τὸ δὲ τρίτον ἔχει τὴν διὰ τῆς κορυφῆς τοῦ κώνου τομήν. τὸ δὲ τέταρτον τὴν παράλληλον τῇ βάσει. τὸ πέμπτον τὴν ὑπεναντίαν. τὸ ἕκτον ὡσανεὶ προλαμβάνεται τοῦ ἑβδόμου, δεικνύον ὅτι καὶ πρὸς ὀρθὰς ὀφείλει πάντως εἶναι τῇ διαμέτρῳ τοῦ κύκλου ἡ κοινὴ τομὴ αὐτοῦ καὶ τοῦ τέμνοντος ἐπιπέδου, καὶ ὅτι τούτου οὕτως ἔχοντος, αἱ παράλληλοι αὐτῇ διχοτομοῦνται ὑπὸ τοῦ τριγώνου. τὸ δὲ ἕβδομον τὰς ἄλλας τρεῖς τομὰς ἔδειξε, καὶ τὴν διάμετρον, καὶ τὰς ἐπ᾽ αὐτὴν καταγομένας παραλλήλους τῇ ἐν τῇ βάσει εὐθείᾳ. ἐν δὲ τῷ ὀγδόῳ δείκνυσιν, ὅπερ ἐν τοῖς προλεγομένοις εἴπομεν, ὅτι ἡ παραβολὴ καὶ ἡ ὑπερβολὴ τῶν εἰς ἄπειρόν εἰσιν αὐξομένων. ἐν δὲ τῷ ἐννάτῳ, ὅτι ἡ ἔλλειψις, συννεύουσα εἰς ἑαυτὴν ὁμοίως τῷ κύκλῳ, διὰ τὸ τέμνον ἐπίπεδον συμπίπτειν ἀμφοτέραις ταῖς πλευραῖς τοῦ τριγώνου, οὐκ ἔστι κύκλος· κύκλον γὰρ ἐποίει ἥτε ὑπεναντία τομὴ καὶ ἡ παράλληλος. καὶ δεῖ ἐπιστῆσαι ὅτι ἡ διάμετρος τῆς τομῆς, ἐπὶ μὲν τῆς παραβολῆς, τὴν μίαν πλευρὰν τοῦ τριγώνου τέμνει καὶ τὴν βάσιν· ἐπὶ δὲ τῆς ὑπερβολῆς, τήν τε πλευρὰν καὶ τὴν ἐπ᾽ εὐθείας τῇ λοιπῇ πλευρᾷ ἐκβαλλομένην πρὸς τῇ κορυφῇ· ἐπὶ δὲ τῆς ἐλλείψεως, καὶ ἑκατέραν τῶν πλευρῶν καὶ τὴν βάσιν. τὸ δὲ δέκατον ἁπλούστερον μὲν τις ἐπιβάλλων ἴσως ἂν οἰηθείη ταὐτὸν εἶναι τῷ δευτέρῳ. τοῦτο μέντοι οὐχ ὡς ἔχει· ἐκεῖ μὲν γὰρ ἐπὶ πάσης τῆς ἐπιφανείας ἔλεγε ἐπιλαμβάνεσθαι τὰ δύο σημεῖα, ἐνταῦθα δὲ ἐπὶ τῆς γινομένης γραμμῆς. ἐν δὲ ταῖς ἑξῆς τρισὶν ἀκριβέστερον ἑκάστην τῶν τομῶν τούτων διακρίνει, μετὰ τοῦ λέγειν καὶ τὰ ἰδιώματα αὐτῶν τὰ ἀρχικά.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ ια΄.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἔτι δὲ ἡ διάμετρος τῆς τομῆς παράλληλος ᾖ μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου· ἥτις ἂν ἀπὸ τῆς τομῆς τοῦ κώνου παράλληλος ἀχθῇ τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου, μέχρι τῆς διαμέτρου τῆς τομῆς, δυνήσεται τὸ περιεχόμενον ὑπό τε τῆς ἀπολαμβανομένης ὑπ᾽ αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς, καὶ ἄλλης τινὸς εὐθείας ἣ λόγον ἔχει πρὸς τὴν μεταξὺ τῆς τοῦ κώνου γωνίας καὶ τῆς κορυφῆς τῆς τομῆς, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς βάσεως τοῦ διὰ τοῦ ἄξονος τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν. καλείσθω δὲ ἡ τοιαύτη τομὴ ΠΑΡΑΒΟΛΗ.

ΕΣΤΩ κῶνος, οὗ τὸ Α σημεῖον κορυφὴ, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΖΕ, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ ΖΗ παράλληλος ἔστω μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου τῇ ΑΓ, καὶ ἀπὸ τοῦ Ζ σημείου τῇ ΖΗ εὐθείᾳ πρὸς ὀρθὰς ἤχθω ἡ ΖΘ, [a] καὶ πεποιήσθω ὡς τὸ ἀπὸ ΒΓ πρὸς τὸ ὑπὸ ΒΑΓ οὕτως ἡ ΖΘ πρὸς ΖΑ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τυχὸν τὸ Κ, καὶ διὰ τοῦ Κ τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΚΛ μέχρι τῆς διαμέτρου τῆς τομῆς· λέγω ὅτι τὸ ἀπὸ τῆς ΚΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΘΖΛ.

Ἤχθω γὰρ διὰ τοῦ Λ τῇ ΒΓ παράλληλος ἡ ΜΝ. ἔστι δὴ καὶ ἡ ΚΛ τῇ ΔΕ παράλληλος· τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ ἐπιπέδῳ, τουτέστι τῇ βάσει τοῦ κώνου· τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον κύκλος ἐστὶν, οὗ διάμετρος ἡ ΜΝ. καὶ ἔστι κάθετος ἐπὶ τὴν ΜΝ ἡ ΚΛ, ἐπεὶ καὶ ἡ ΔΕ ἐπὶ τὴν ΒΓ· τὸ ἄρα ὑπὸ τῶν ΜΛΝ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΚΛ. καὶ ἐπεί ἐστιν ὡς τὸ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΒΑΓ οὕτως ἡ ΘΖ πρὸς ΖΑ, [b] τὸ δὲ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΒΑΓ λόγον ἔχει τὸν συγκείμενον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΒΓ πρὸς ΓΑ, καὶ ἡ ΒΓ πρὸς ΒΑ· ὁ ἄρα τῆς ΘΖ

*

PROP. XI. *Theor.*

Si conus plano per axem secetur, secetur autem & altero plano secante basim coni secundum rectam lineam, quæ ad basim trianguli per axem est perpendicularis, & sit diameter sectionis uni laterum trianguli per axem parallela: recta linea, quæ à sectione coni ducitur parallela communi sectioni plani secantis & basis coni, usque ad sectionis diametrum, poterit spatium æquale contento sub ea, quæ ex diametro abscissa inter ipsam & verticem sectionis interjicitur, & alia quadam, quæ ad rectam, inter coni angulum & verticem sectionis interjectam, habet eam rationem, quam quadratum basis trianguli per axem ad id quod sub reliquis duobus trianguli lateribus continetur. dicatur autem hujusmodi sectio PARABOLA.

SIT conus, cujus vertex punctum A, basis ΒΓ circulus, seceturque plano per axem, atque sectionem faciat triangulum ΑΒΓ, & secetur altero plano secante basim coni secundum rectam lineam ΔΕ, quæ ad ΒΓ est perpendicularis, & faciat sectionem in superficie coni ΔΖΕ lineam; diameter autem sectionis ΖΗ parallela sit uni laterum trianguli per axem, videlicet ipsi ΑΓ, atque à puncto Ζ rectæ ΖΗ ad rectos angulos ducatur ΖΘ, [a] & fiat ut quadratum ex ΒΓ ad rectangulum ΒΑΓ ita ΖΘ ad ΖΑ, sumatur præterea in sectione quodlibet punctum Κ, & per Κ ducatur ΚΛ ipsi ΔΕ parallela, usque ad sectionis diametrum: dico quadratum ex ΚΛ rectangulo ΘΖΛ æquale esse.



Ducatur enim per Λ ipsi ΒΓ parallela ΜΝ. est vero ΚΛ parallela ipsi ΔΕ: ergo [per 15.11.] planum, quod transit per ΚΛ, ΜΝ, plano per ΒΓ, ΔΕ, hoc est ipsi basi coni, æquidistat: ideoque [per 4.huj.] planum per ΚΛ, ΜΝ est circulus, cujus diameter ΜΝ. est autem [per 10. 11.] ΚΛ ad ΜΝ perpendicularis, quia & ΔΕ ad ΒΓ: rectangulum igitur ΜΛΝ [per 35. 3.] æquale est quadrato ex ΚΛ. & quoniam [ex hyp.] ΘΖ ad ΖΑ est ut quadratum ex ΒΓ ad rectangulum ΒΑΓ; [b] quadratum autem ex ΒΓ ad ΒΑΓ rectangulum [per 23.6.] rationem habet compositam ex ratione quam ΒΓ habet ad ΓΑ, & ex ea quam ΒΓ habet ad ΒΑ: ratio igitur ΘΖ ad ad Z A componitur ex rationibus B Γ ad Γ A, & Γ B ad B A. ut autem B Γ ad Γ A ita [per 4. 6.] M N ad N A, hoc est M Λ ad Λ Z; & ut B Γ ad B A ita M N ad M A, hoc est Λ M ad M Z, & [per 19. 5.] reliqua N Λ ad Z A: ratio igitur Θ Z ad Z A componitur ex rationibus M Λ ad Λ Z, & N Λ ad Z A. sed ratio composita ex rationibus M Λ ad Λ Z, & Λ N ad Z A est [per 23. 6.] ea quam habet M Λ N rectangulum ad rectangulum Λ Z A: ergo ut Θ Z ad Z A ita rectangulum M Λ N ad Λ Z A rectangulum. ut autem Θ Z ad Z A (sumptâ Z Λ communi altitudine) ita [per 1. 6.] Θ Z Λ rectangulum ad rectangulum Λ Z A: ut igitur rectangulum M Λ N ad ipsum Λ Z A ita rectangulum Θ Z Λ ad idem Λ Z A: & idcirco [per 9. 5.] æquale est rectangulum M Λ N rectangulo Θ Z Λ. sed [ex modo ostensis] rectangulum M Λ N æquale est quadrato ex K Λ: ergo quadratum ex K Λ rectangulo Θ Z Λ æquale est.

Vocetur autem hujusmodi sectio *Parabola*: & recta Θ Z, *Ea juxta quam possunt quæ ad* Z H *diametrum ordinatim applicantur*: hæc etiam *Latus Rectum* appelletur.

πρὸς Ζ Α λόγος σύγκειται ἐκ τοῦ τῆς Β Γ πρὸς Γ Α, καὶ τοῦ τῆς Γ Β πρὸς Β Α. ἀλλ' ὡς μὲν ἡ Β Γ πρὸς Γ Α οὕτως ἡ Μ Ν πρὸς Ν Α, τουτέστιν ἡ Μ Λ πρὸς Λ Ζ, ὡς δὲ ἡ Β Γ πρὸς Β Α οὕτως ἡ Μ Ν πρὸς Μ Α, τουτέστιν ἡ Λ Μ πρὸς Μ Ζ, καὶ λοιπὴ ἡ Ν Λ πρὸς Ζ Α· ὁ ἄρα τῆς Θ Ζ πρὸς Ζ Α λόγος σύγκειται ἐκ τοῦ τῆς Μ Λ πρὸς Λ Ζ, καὶ τοῦ τῆς Ν Λ πρὸς Ζ Α. ὁ δὲ συγκείμενος λόγος ἐκ τοῦ τῆς Μ Λ πρὸς Λ Ζ, καὶ τοῦ τῆς Λ Ν πρὸς Ζ Α, ὁ τοῦ ὑπὸ Μ Λ Ν ἐστὶ πρὸς τὸ ὑπὸ Λ Ζ Α· ὡς ἄρα ἡ Θ Ζ πρὸς Ζ Α οὕτως τὸ ὑπὸ Μ Λ Ν πρὸς τὸ ὑπὸ Λ Ζ Α. ὡς δὴ ἡ Θ Ζ πρὸς Ζ Α (τῆς Ζ Λ κοινοῦ ὕψους λαμβανομένης) οὕτως τὸ ὑπὸ Θ Ζ Λ πρὸς τὸ ὑπὸ Λ Ζ Α· ὡς ἄρα τὸ ὑπὸ Μ Λ Ν πρὸς τὸ ὑπὸ Λ Ζ Α οὕτως τὸ ὑπὸ Θ Ζ Λ πρὸς τὸ αὐτὸ τὸ ὑπὸ Λ Ζ Α· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ Μ Λ Ν τῷ ὑπὸ Θ Ζ Λ. τὸ δὲ ὑπὸ Μ Λ Ν ἴσον ἐστὶ τῷ ἀπὸ τῆς Κ Λ· καὶ τὸ ἀπὸ τῆς Κ Λ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν Θ Ζ Λ.

Καλείσθω μὲν ἡ τοιαύτη τομὴ Παραβολή· ἡ δὲ Θ Ζ, ἡ παρ' ἣν δύνανται αἱ καταγόμεναι τεταγμένως ἐπὶ τὴν Ζ Η διάμετρον· καλείσθω δὴ καὶ ἡ αὐτὴ Ορθία*.

EUTOCIUS.

[a] E T fiat ut quadratum ex B Γ ad rectangulum B A Γ ita Z Θ ad Z A.] Certum quidem est quod dicitur. sed, siquis hoc plenius adhuc declarare velit, sit rectangulo B A Γ æquale rectangulum O Π P; quadrato autem ex B Γ æquale id quod ad Π P adjacens latitudinem habet Π Σ, & fiat ut O Π ad Π Σ ita A Z ad Θ Z: ergo factum jam erit quod quærebamus. quoniam enim ut O Π ad Π Σ ita A Z ad Z Θ: erit & invertendo ut Σ Π ad Π O ita Θ Z ad Z A. ut autem Σ Π ad Π O ita rectangulum Σ P ad ipsum P O, hoc est [per constr.] quadratum ex B Γ ad rectangulum B A Γ. hoc autem & ad sequentia theoremata utile erit.



[a] ΚΑΙ πεποιήσθω ὡς τὸ ἀπὸ Β Γ πρὸς τὸ ὑπὸ ΒΑΓ οὕτως ἡ Ζ Θ πρὸς ΖΑ.] Σαφὲς μὲν ἐστι τὸ λεγόμενον. πλὴν, εἴ τις καὶ ὑπομνησθῆναι βούλεται, ἔστω τῷ ὑπὸ Β Α Γ ἴσον τὸ ὑπὸ Ο Π Ρ, τῷ δὲ ἀπὸ Β Γ ἴσον τὸ παρὰ τὴν Π Ρ παραβληθὲν πλάτος ποιοῦν τὴν Π Σ, καὶ γεγονέτω ὡς ἡ Ο Π πρὸς Π Σ ἡ Α Ζ πρὸς Θ Ζ· γέγονεν ἄρα τὸ ζητούμενον. ἐπεὶ γάρ ἐστιν ὡς ἡ Ο Π πρὸς Π Σ ἡ Α Ζ πρὸς Ζ Θ· ἀνάπαλιν ὡς ἡ Σ Π πρὸς Π Ο ἡ Θ Ζ πρὸς Ζ Α. ὡς δὲ ἡ Σ Π πρὸς Π Ο τὸ Σ Ρ πρὸς Ρ Ο, τουτ' ἔστι τὸ ἀπὸ τῆς Β Γ πρὸς τὸ ὑπὸ Β Α Γ. τοῦτο χρήσιμον καὶ τοῖς ἑξῆς θεωρήμασι.

[b] Quadratum autem ex B Γ ad B A Γ rectangulum rationem habet compositam &c.] Ostensum enim est in sexto libro elementorum, theoremate vigesimo tertio, æquiangula parallelogramma inter se rationem habere ex laterum rationibus compositam. sed, quoniam interpretes inductione magis quam necessaria argumentatione utuntur, visum est nobis illud ipsum investigare; quod tametsi scriptum est in commentariis nostris in quartum theorema secundi libri *Archimedis* de Sphæra & Cylindro, & in [*Theonis*] scholiis in primum librum Magnæ Constructionis *Ptolemæi*, nihilominus tamen & hoc loco non inepte repetetur; propterea quod fortasse non omnes, qui hæc legent, in illos libros inciderunt, tum etiam, quod universa fere conicorum tractatio eum argumentandi modum usurpat. *Ratio ex rationibus componi dicitur, quando rationum* componentium *quantitates inter se multiplicatæ quantitatem* compositæ *faciunt* [per 5. def. 6.]: per quantitatem intelligendo numerum, à quo ratio ipsa denominatur. in multiplicibus quidem quantitas erit numerus integer: in reliquis vero habitudinibus necesse est quantitatem numerum esse, & partem seu partes; nisi forte quispiam velit etiam ineffabiles esse habitudines, quales sunt magnitudinum incom-

[b] Τὸ δὲ ἀπὸ τῆς Β Γ πρὸς τὸ ὑπὸ τῶν Β Α Γ λόγον ἔχει τὸν συγκείμενον ἔκ τε τοῦ ὃν ἔχει ἡ Β Γ πρὸς Γ Α.] Δέδεικται μὲν ἐν τῷ ἕκτῳ βιβλίῳ τῆς στοιχειώσεως, ἐν τῷ εἰκοστῷ τρίτῳ θεωρήματι, ὅτι τὰ ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν. ἐπεὶ δὲ ἐπαγωγικώτερον μᾶλλον καὶ οὐ κατὰ τὸ ἀναγκαῖον τρόπον ὑπὸ τῶν ὑπομνηματιστῶν ἐλέγετο, ἐζητήσαμεν αὐτὸ, καὶ γέγραπται ἐν τοῖς ἐκδεδομένοις ἡμῖν εἰς τὸ τέταρτον θεώρημα τοῦ δευτέρου βιβλίου τοῦ Αρχιμήδους περὶ σφαίρας καὶ κυλίνδρου, καὶ ἐν τοῖς σχολίοις τοῦ πρώτου βιβλίου τῆς Πτολεμαίου συντάξεως, οὐκ ἄτοπον δὲ καὶ ἐνταῦθα τοῦτο γραφῆναι· διὰ τὸ μὴ πάντας τοὺς ἀναγινώσκοντας κἀκείνοις ἐντυγχάνειν, καὶ ὅτι σχεδὸν τὸ ὅλον σύνταγμα τῶν κωνικῶν κέχρηται αὐτῷ. Λόγος ἐκ λόγων συγκεῖσθαι λέγεται, ὅταν αἱ τῶν λόγων πηλικότητες ἐφ' ἑαυτὰς πολλαπλασιασθεῖσαι ποιῶσί τινα. πηλικότητος δηλονότι λεγομένης τοῦ ἀριθμοῦ οὗ παρώνυμός ἐστιν ὁ λόγος. ἐπὶ μὲν οὖν τῶν πολλαπλασίων δυνατόν ἐστιν ἀριθμὸν ὁλόκληρον εἶναι πηλικότητα· ἐπὶ δὲ τῶν λοιπῶν σχέσεων, ἀνάγκη τὴν πηλικότητα ἀριθμὸν εἶναι, καὶ μόριον ἢ μόρια, εἰ μὴ ἄρα τις ἐθέλοι καὶ ἀρρήτους εἶναι σχέσεις, οἷαί εἰσιν αἱ κατὰ τὰ ἄλογα μεγέ-

* Scribitur etiam sæpius ὀρθία in MS. qualem vocem Græca lingua non agnoscit: nos igitur ὀρθίαν ubique usurpabimus.

θη.

θη. ἐπὶ πασῶν δὲ τῶν σχέσεων δῆλον ὅτι αὕτη ἡ πηλικότης πολλαπλασιαζομένη ἐπὶ τὸν ἑπόμενον ὅρον τοῦ λόγου ποιεῖ τὸν ἡγούμενον. ἔστω τοίνυν λόγος ὁ τοῦ Α πρὸς τὸ Β, καὶ εἰλήφθω τις αὐτῶν μέσος ὡς ἔτυχεν, ὁ Γ, καὶ ἔστω τοῦ Α Γ λόγου πηλικότης ὁ Δ, τοῦ δὲ Γ Β ὁ Ε. καὶ ὁ Δ τὸν Ε πολλαπλασιάσας τὸν Ζ ποιείτω· λέγω ὅτι τοῦ λόγου τοῦ Α Β πηλικότης ἐστὶν ὁ Ζ, τουτ' ἔστιν ὅτι ὁ Ζ τὸν Β πολλαπλασιάσας τὸν Α ποιεῖ. ὁ Ζ τὸν Β πολλαπλασιάσας τὸν Η ποιείτω. ἐπεὶ οὖν ὁ Δ τὸν μὲν Ε πολλαπλασιάσας τὸν Ζ πεποίηκεν, τὸν δὲ Γ πολλαπλασιάσας τὸν Α πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Γ ὁ Ζ πρὸς τὸν Α. πάλιν ἐπεὶ ὁ Β τὸν Ε πολλαπλασιάσας τὸν Γ πεποίηκεν, τὸν δὲ Ζ πολλαπλασιάσας τὸν Η πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ ὁ Γ πρὸς τὸν Η, καὶ ἐναλλὰξ ὡς ὁ Ε πρὸς τὸν Γ ὁ Ζ πρὸς τὸν Η. ἦν δὲ ὡς ὁ Ε πρὸς τὸν Γ ὁ Ζ πρὸς τὸν Α· ἴσος ἄρα ὁ Η τῷ Α, ὥστε ὁ Ζ τὸν Β πολλαπλασιάσας τὸν Α πεποίηκεν· τοῦ λόγου ἄρα τοῦ Α Β πηλικότης ἐστὶν ὁ Ζ. μὴ ταραττέτω δὲ τοὺς ἐντυγχάνοντας τὸ διὰ τῶν ἀριθμητικῶν δεδεῖχθαι τοῦτο· οἵ τε γὰρ παλαιοὶ κέχρηνται ταῖς τοιαύταις ἀποδείξεσι, μαθηματικαῖς μᾶλλον οὔσαις ἢ ἀριθμητικαῖς, διὰ τὰς ἀναλογίας, καὶ ὅτι τὸ ζητούμενον ἀριθμητικόν ἐστιν. λόγοι γάρ, καὶ πηλικότητες λόγων, καὶ πολλαπλασιασμοὶ τοῖς ἀριθμοῖς πρώτως ὑπάρχουσι καὶ δι' αὐτῶν τοῖς μεγέθεσι, κατὰ τὸν εἰπόντα, Ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι εἶμεν ἀδελφά.



mensurabilium. & patet quod in omnibus habitudinibus ipsa rationis quantitas multiplicata in consequentem terminum, producit antecedentem. Sit igitur ratio A ad B, & sumpto termino quolibet intermedio Γ, sit rationis A ad Γ quantitas Δ, rationis autem Γ ad B quantitas sit E. & Δ multiplicans E producat Z: dico Z rationis A ad B quantitatem esse; hoc est si Z multiplicet B produci ipsum A. itaque multiplicet Z ipsum B, & producat H. quoniam igitur Δ ipsum quidem E multiplicans producit Z, multiplicans autem Γ ipsum A producit: erit [per 17.7.] ut E ad Γ ita Z ad A. rursus cum B multiplicans E faciat Γ, & multiplicans Z faciat H: erit ut E ad Z ita Γ ad H; & permutando ut E ad Γ ita Z ad H. sed ut E ad Γ ita erat Z ad A: ergo [per 9.5.] H ipsi A est æqualis; & idcirco Z multiplicans B producit A: rationis igitur A ad B quantitas necessario erit Z. non perturbentur autem qui in hæc inciderint, quod illud ex arithmeticis demonstretur: antiqui enim hujusmodi demonstrationibus sæpe uti consueverunt; quæ tamen mathematicæ potius sunt quam arithmeticæ; propter analogias, & quia quæsitum arithmeticum est. nam rationes, rationum quantitates, & multiplicationes primo numeris, secundo loco per numeros & magnitudinibus insunt, ex illius sententia, qui ita scripsit. *Hæ enim mathematicæ disciplinæ germanæ esse videntur.*

ΠΡΟΤΑΣΙΣ ιβ'.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἡ διάμετρος τῆς τομῆς ἐκβαλλομένη συμπίπτῃ μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἐκτὸς τῆς τοῦ κώνου κορυφῆς· ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ παράλληλος τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου ἕως τῆς διαμέτρου τῆς τομῆς, δυνήσεταί τι χωρίον παρακείμενον παρά τινα εὐθεῖαν, πρὸς ἣν λόγον ἔχει ἡ ἐπ' εὐθείας μὲν οὖσα τῇ διαμέτρῳ τῆς τομῆς, ὑποτείνουσα δὲ τὴν ἐκτὸς τοῦ τριγώνου γωνίαν, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παρὰ τὴν διάμετρον τῆς τομῆς ἕως τῆς βάσεως τοῦ τριγώνου, πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν τῆς βάσεως τμημάτων ὧν ποιεῖ ἡ ἀχθεῖσα, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς, ὑπερβάλλον εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ περιεχομένῳ ὑπό τε τῆς ὑποτεινούσης τὴν ἐκτὸς γωνίαν τοῦ τριγώνου, καὶ τῆς παρ' ἣν δύνανται αἱ καταγόμεναι. καλείσθω δὲ ἡ τοιαύτη τομὴ ΥΠΕΡΒΟΛΗ.

PROP. XII. *Theor.*

Si conus plano per axem secetur, secetur autem & altero plano secante basim coni secundum rectam lineam, quæ ad basim trianguli per axem sit perpendicularis, & sectionis diameter producta cum uno latere trianguli per axem extra verticem coni conveniat: recta linea, quæ à sectione ducitur parallela communi sectioni plani secantis & basis coni usque ad sectionis diametrum, poterit spatium adjacens rectæ, ad quam ea, quæ in directum constituitur diametro sectionis, subtenditurque angulo extra triangulum, eandem rationem habet quam quadratum rectæ, quæ diametro parallela à vertice sectionis usque ad basim trianguli ducitur, ad rectangulum sub basis partibus quæ ab ea fiunt contentum, latitudinem habens rectam, quæ ex diametro abscinditur inter ipsam & verticem sectionis interjectam; excedensque figura simili & similiter posita ei, quæ continetur sub recta angulo extra triangulum subtensa, & ea juxta quam possunt quæ ad diametrum applicantur. vocetur autem hujusmodi sectio HYPERBOLA.

SIT conus, cujus vertex A punctum, basis circulus ΒΓ, & secetur plano per axem, atque sectionem faciat triangulum ΑΒΓ; secetur autem & altero plano secante basim coni secundum rectam ΔΕ ad ΒΓ basim trianguli ΑΒΓ perpendicularem, faciatque sectionem in superficie coni lineam ΔΖΕ, & sectionis diameter ΖΗ producta cum ipso ΑΓ latere trianguli ΑΒΓ extra coni verticem conveniat in puncto Θ, & per Α ducatur recta ΑΚ diametro ΖΗ parallela quæ secet ΒΓ, & à Ζ ducatur ΖΛ ad rectos angulos ipsi ΖΗ, fiatque ut quadratum ex ΚΑ ad rectangulum ΒΚΓ ita ΘΖ ad ΖΛ; sumatur autem in sectione quodlibet punctum Μ, & per Μ ducatur ΜΝ parallela ΔΕ, per Ν vero ipsi ΖΛ parallela ducatur ΝΟΞ, & juncta ΘΛ, & ad Ξ producta, per puncta Λ,Ξ ipsi ΖΝ parallelæ ducantur ΛΟ, ΞΠ: dico ΜΝ posse spatium ΖΞ, quod quidem adjacet ipsi ΖΛ, latitudinem habens ΖΝ, excedensque figura ΛΞ, simili similiterque positæ ei, quæ sub ΘΖ, ΖΛ continetur.



Ducatur enim per Ν recta ΡΝΣ parallela ΒΓ; est autem & ΜΝ ipsi ΔΕ parallela: ergo [per 15. 11.] planum quod transit per ΜΝ, ΡΣ æquidistat plano per ΒΓ,ΔΕ, hoc est basi coni. si igitur planum per ΜΝ, ΡΣ producatur, sectio circulus erit [per 4. huj.] cujus diameter ΡΝΣ; atque est ad ipsam perpendicularis ΜΝ: ergo [per 35. 3.] rectangulum ΡΝΣ æquale est quadrato ex ΜΝ. ac quoniam [ex hyp.] ut quadratum ex ΑΚ ad rectangulum ΒΚΓ ita est ΖΘ ad ΖΛ; ratio autem quadrati ex ΑΚ ad rectangulum ΒΚΓ [per 23.6.] componitur ex ratione quam habet ΑΚ ad ΚΓ, & ex ea quam ΑΚ habet ad ΚΒ: ratio igitur ΘΖ ad ΖΛ composita erit ex ratione ΑΚ ad ΚΓ, & ratione ΑΚ ad ΚΒ. sed [per 4.6.] ut ΑΚ ad ΚΓ ita ΘΗ ad ΗΓ, hoc est ΘΝ ad ΝΣ; & ut ΑΚ ad ΚΒ ita ΖΗ ad ΗΒ, hoc est ΖΝ ad ΝΡ: ratio igitur ΘΖ ad ΖΛ componitur ex ratione ΘΝ ad ΝΣ, & ΖΝ ad ΝΡ. at [per 23.6.] ratio composita ex ratione ΘΝ ad ΝΣ, & ΖΝ ad ΝΡ, est ea quam ΘΝΖ rectangulum habet ad rectangulum ΣΝΡ: ergo ut rectangulum ΘΝΖ ad ΣΝΡ ita ΘΖ ad ΖΛ,

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ βάσει τοῦ ΑΒΓ τριγώνου, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΖΕ γραμμήν, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ ΖΗ ἐκβαλλομένη συμπιπτέτω μιᾷ πλευρᾷ τοῦ ΑΒΓ τριγώνου, τῇ ΑΓ, ἐκτὸς τῆς τοῦ κώνου κορυφῆς κατὰ τὸ Θ, καὶ διὰ τοῦ Α τῇ διαμέτρῳ τῆς τομῆς τῇ ΖΗ παράλληλος ἤχθω ἡ ΑΚ, καὶ τεμνέτω τὴν ΒΓ, καὶ ἀπὸ τοῦ Ζ τῇ ΖΗ πρὸς ὀρθὰς ἤχθω ἡ ΖΛ, καὶ πεποιήσθω ὡς τὸ ἀπὸ ΚΑ πρὸς τὸ ὑπὸ ΒΚΓ οὕτως ἡ ΖΘ πρὸς ΖΛ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τυχὸν τὸ Μ, καὶ διὰ τοῦ Μ τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΜΝ, διὰ δὴ τοῦ Ν τῇ ΖΛ παράλληλος ἡ ΝΟΞ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΛ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ, καὶ διὰ τῶν Λ, Ξ τῇ ΖΝ παράλληλοι ἤχθωσαν αἱ ΛΟ,ΞΠ· λέγω ὅτι ἡ ΜΝ δύναται τὸ ΖΞ, ὃ παράκειται παρὰ ΖΛ, πλάτος ἔχον τὴν ΖΝ, ὑπερβάλλον εἴδει τῷ ΛΞ, ὁμοίῳ ὄντι καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν ΘΖ, ΖΛ.

Ηχθω γὰρ διὰ τοῦ Ν τῇ ΒΓ παράλληλος ἡ ΡΝΣ, ἔστι δὴ καὶ ἡ ΜΝ τῇ ΔΕ παράλληλος· τὸ ἄρα διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ, τουτέστι τῇ βάσει τοῦ κώνου. ἐὰν ἄρα ἐκβληθῇ τὸ διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον, ἡ τομὴ κύκλος ἔσται, οὗ διάμετρος ἡ ΡΝΣ, καί ἐστιν ἐπ' αὐτὴν κάθετος ἡ ΜΝ· τὸ ἄρα ὑπὸ τῶν ΡΝΣ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ. καὶ ἐπεί ἐστιν ὡς τὸ ἀπὸ ΑΚ πρὸς τὸ ὑπὸ ΒΚΓ οὕτως ἡ ΖΘ πρὸς ΖΛ, ὁ δὲ τοῦ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ ΒΚΓ λόγος σύγκειται ἔκ τε τοῦ ὃν ἔχει ἡ ΑΚ πρὸς ΚΓ, καὶ ΑΚ πρὸς ΚΒ· καὶ ὁ τῆς ΖΘ ἄρα πρὸς τὴν ΖΛ λόγος σύγκειται ἐκ τοῦ ὃν ἔχει ἡ ΑΚ πρὸς ΚΓ, καὶ ἡ ΑΚ πρὸς ΚΒ. ἀλλ' ὡς μὲν ἡ ΑΚ πρὸς ΚΓ οὕτως ἡ ΘΗ πρὸς ΗΓ, τουτέστιν ἡ ΘΝ πρὸς ΝΣ, ὡς δὲ ἡ ΑΚ πρὸς ΚΒ οὕτως ἡ ΖΗ πρὸς ΗΒ, τουτέστιν ἡ ΖΝ πρὸς ΝΡ· ὁ ἄρα τῆς ΘΖ πρὸς ΖΛ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΘΝ πρὸς ΝΣ, καὶ τοῦ τῆς ΖΝ πρὸς ΝΡ. ὁ δὲ συγκείμενος λόγος ἐκ τοῦ τῆς ΘΝ πρὸς ΝΣ, καὶ τῆς ΖΝ πρὸς ΝΡ, ὁ τοῦ ὑπὸ τῶν ΘΝΖ ἐστὶ πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ· καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ οὕτως ἡ ΘΖ πρὸς ΖΛ,

τουτέστιν

τουτέστιν ἡ ΘΝ πρὸς ΝΞ. ἀλλ' ὡς ἡ ΘΝ πρὸς ΝΞ (τῆς ΖΝ κοινοῦ ὕψους λαμβανομένης) οὕτως τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΖΝΞ· καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΞΝΖ οὕτω τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ· τὸ ἄρα ὑπὸ ΣΝΡ ἴσον ἐστὶ τῷ ὑπὸ ΞΝΖ. τὸ δὲ ἀπὸ τῆς ΜΝ ἴσον ἐδείχθη τῷ ὑπὸ ΣΝΡ· καὶ τὸ ἀπὸ τῆς ΜΝ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΞΝΖ. τὸ δὲ ὑπὸ ΞΝΖ ἐστὶ τὸ ΞΖ παραλληλόγραμμον· ἡ ἄρα ΜΝ δύναται τὸ ΞΖ, ὃ παράκειται παρὰ τὴν ΖΛ, πλάτος ἔχον τὸ ΖΝ, ὑπερβάλλον τῷ ΛΞ ὁμοίῳ ὄντι τῷ ὑπὸ τῆς ΘΖΛ.

Καλείσθω μὲν ἡ τοιαύτη τομὴ Ὑπερβολή· ἡ δὲ ΛΖ, ἡ παρ' ἣν δύνανται αἱ ἐπὶ τὴν ΖΗ καταγόμεναι τεταγμένως· καλείσθω δὲ ἡ αὐτὴ καὶ Ὀρθία, Πλαγία δὲ ἡ ΘΖ.

hoc eſt ΘΝ ad ΝΞ. ut autem recta ΘΝ ad ΝΞ (ſumpta ΖΝ communi altitudine,) ita ΘΝΖ rectangulum ad rectangulum ΖΝΞ: quare ut rectangulum ΘΝΖ ad rectangulum ΞΝΖ ita rectangulum ΘΝΖ ad ipſum ΣΝΡ: rectangulum igitur ΣΝΡ [per 9. 5.] æquale eſt rectangulo ΞΝΖ. ſed quadratum ex ΜΝ oſtenſum eſt æquale rectangulo ΣΝΡ: ergo quadratum ex ΜΝ rectangulo ΞΝΖ æquale erit. rectangulum autem ΞΝΖ eſt parallelogrammum ΞΖ: recta igitur ΜΝ poteſt ſpatium ΞΖ, quod rectæ ΖΛ adjacet, latitudinem habens ΖΝ, excedenſque figura ΛΞ ſimili ei quæ ſub ΘΖΛ continetur.

Dicatur autem hujuſmodi ſectio *Hyperbola*: & recta ΛΖ, *Ea juxta quam poſſunt quæ ad* ΖΗ *ordinatim applicantur*: hæc etiam *Latus Rectum* appelletur, ΘΖ vero *Tranſverſum**.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παρὰ τὴν βάσιν τοῦ κώνου ἠγμένῳ, μήτε ὑπεναντίως, τὸ δὲ ἐπίπεδον ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, καὶ τὸ τέμνον ἐπίπεδον συμπίπτῃ κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν ἤτοι τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἢ τῇ ἐπ' εὐθείας αὐτῇ· ἥτις ἂν ἀπὸ τῆς τοῦ κώνου τομῆς παράλληλος ἀχθῇ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων ἕως τῆς διαμέτρου τῆς τομῆς, δυνήσεταί τι χωρίον παρακείμενον παρά τινα εὐθεῖαν, πρὸς ἣν λόγον ἔχει ἡ διάμετρος τῆς τομῆς, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παρὰ τὴν διάμετρον τῆς τομῆς ἕως τῆς βάσεως τοῦ τριγώνου, πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν ἀπολαμβανομένων ὑπ' αὐτῆς πρὸς ταῖς τοῦ τριγώνου εὐθείαις, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς, ἐλλεῖπον εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ περιεχομένῳ ὑπό τε τῆς διαμέτρου καὶ τῆς παρ' ἣν δύνανται. καλείσθω δὲ ἡ τοιαύτη τομὴ ΕΛΛΕΙΨΙΣ.

Prop. XIII. *Theor.*

Si conus plano per axem ſecetur, & ſecetur altero plano conveniente cum utroque latere trianguli per axem, quod neque baſi coni æquidiſtet, neque ſubcontrarie ponatur; planum autem, in quo eſt baſis coni, & ſecans planum conveniant ſecundum rectam lineam quæ ſit perpendicularis vel ad baſim trianguli per axem, vel ad eam quæ in directum ipſi conſtituitur: recta linea, quæ à ſectione coni ducitur parallela communi ſectioni planorum uſque ad diametrum ſectionis, poterit ſpatium adjacens rectæ, ad quam ſectionis diameter eam rationem habeat quam quadratum rectæ diametro parallelæ, à vertice coni uſque ad trianguli baſim ductæ, habet ad rectangulum contentum ſub baſis partibus quæ inter ipſam & rectas trianguli lineas interjiciuntur, latitudinem habens rectam quæ ex diametro ab ipſa abſcinditur ad verticem ſectionis, deficienſque figura ſimili & ſimiliter poſita ei, quæ ſub diametro, & recta juxta quam poſſunt, continetur. dicatur autem hujuſmodi ſectio Ellipsis.

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παραλλήλῳ τῇ βάσει τοῦ κώνου, μήτε ὑπεναντίως ἠγμένῳ,

SIT conus, cujus vertex Α punctum, baſis circulus ΒΓ, & ſecetur plano per axem, atque ſectionem faciat triangulum ΑΒΓ, ſecetur autem & altero plano conveniente cum utroque latere trianguli per axem, neque baſi coni æquidiſtante, neque ſubcontrarie poſito,

* Latus tranſverſum & rectum (ſive potius erectum) ſic videtur dici, quod in delineanda Parabola, Hyperbola, vel Ellipſi, illud tranſverſim ſive à dextra ad ſiniſtram eſt ducendum, hoc vero ſuper latus tranſverſum erigendum; eodem ſc. ſenſu quo dicitur πλαγία φάλαγξ, ὀρθία φάλαγξ, quod de diametro tranſverſa & recta ſimiliter intelligendum. Conſuetudini tamen & commodo ſitui conſulentes, ſchemata aliter aliquando delineamus.

atque

atque faciat sectionem in superficie coni lineam ΔΕ; communis vero sectio plani secantis, atque ejus in quo est basis coni, sit ΖΗ perpendicularis ad ΒΓ, diameter autem sectionis ΕΔ, & ab Ε ducatur ΕΘ ad ΕΔ perpendicularis, perque Α ducatur ΑΚ ipsi ΕΔ parallela, & fiat ut quadratum ex ΑΚ ad rectangulum ΒΚΓ ita ΔΕ ad ΕΘ, sumaturque quodvis in sectione punctum Λ, & per Λ ipsi ΖΗ parallela ducatur ΛΜ: dico ΛΜ posse spatium, quod ipsi ΕΘ adjacet, latitudinem habens ΕΜ, deficiensque figura simili ei quæ sub ΔΕΘ continetur.

Jungatur enim ΔΘ, perque Μ ducatur ΜΞΝ parallela ipsi ΕΘ, & per Θ, Ξ puncta ipsi ΕΜ parallelæ ducantur ΘΝ, ΞΟ, & per punctum Μ ducatur ΠΜΡ parallela ΒΓ. itaque quoniam ΠΡ est parallela ΒΓ, & ΛΜ ipsi ΖΗ: erit [per 15. 11.] planum ductum per ΛΜ, ΠΡ æquidistans plano per ΖΗ, ΒΓ ducto, hoc est basi coni. si igitur planum per ΛΜ, ΠΡ du-

καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΕ γραμμήν, κοινὴ δὲ τομὴ τοῦ τέμνοντος ἐπιπέδου, καὶ τοῦ ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, ἔστω ἡ ΖΗ πρὸς ὀρθὰς οὖσα τῇ ΒΓ, ἡ δὲ διάμετρος τῆς τομῆς ἔστω ἡ ΕΔ, καὶ ἀπὸ τοῦ Ε τῇ ΕΔ πρὸς ὀρθὰς ἤχθω ἡ ΕΘ, καὶ διὰ τοῦ Α τῇ ΕΔ παράλληλος ἤχθω ἡ ΑΚ, καὶ πεποιήσθω ὡς τὸ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ ΒΚΓ οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΘ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς, τὸ Λ, καὶ διὰ τοῦ Λ τῇ ΖΗ παράλληλος ἤχθω ἡ ΛΜ· λέγω ὅτι ἡ ΛΜ δύναταί τι χωρίον, ὃ παράκειται ἐπὶ τῆς ΕΘ, πλάτος ἔχον τὴν ΕΜ, ἐλλεῖπον εἴδει ὁμοίῳ τῷ ὑπὸ τῶν ΔΕΘ.

Ἐπεζεύχθω γὰρ ἡ ΔΘ, καὶ διὰ μὲν τοῦ Μ τῇ ΕΘ παράλληλος ἤχθω ἡ ΜΞΝ, διὰ δὴ τῶν Θ, Ξ τῇ ΕΜ παράλληλοι ἤχθωσαν αἱ ΘΝ, ΞΟ, καὶ διὰ τοῦ Μ τῇ ΒΓ παράλληλος ἤχθω ΠΜΡ. ἐπεὶ οὖν ἡ ΠΡ τῇ ΒΓ παράλληλός ἐστιν, ἔστι δὲ καὶ ἡ ΛΜ τῇ ΖΗ παράλληλος· τὸ ἄρα διὰ τῶν ΛΜ, ΠΡ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΖΗ, ΒΓ ἐπιπέδῳ, τουτέστι τῇ



catur, fiet [per 4. huj.] sectio circulus, cujus diameter ΠΡ; & est ΛΜ ad ipsam perpendicularis: ergo [per 35.3.] rectangulum ΠΜΡ æquale est quadrato ex ΛΜ. Et quoniam est [ex hyp.] ut quadratum ex ΑΚ ad rectangulum ΒΚΓ ita ΔΕ ad ΕΘ, & ratio quadrati ex ΑΚ ad rectangulum ΒΚΓ [per 23. 6.] componitur ex ratione quam habet ΑΚ ad ΚΒ, & ex ea quam ΑΚ habet ad ΚΓ. ut autem ΑΚ ad ΚΒ ita [per 4. 6.] ΕΗ ad ΗΒ, hoc est ΕΜ ad ΜΠ; & ut ΑΚ ad ΚΓ ita ΔΗ ad ΗΓ, hoc est ΔΜ ad ΜΡ: erit igitur ratio ΔΕ ad ΕΘ composita ex ratione ΕΜ ad ΜΠ, & ratione ΔΜ ad ΜΡ. sed ratio composita ex rationibus ΕΜ ad ΜΠ, & ΔΜ ad ΜΡ, est ea quam ΕΜΔ rectangulum habet ad rectangulum ΠΜΡ: igitur ut rectangulum ΕΜΔ ad ipsum rectangulum ΠΜΡ ita ΔΕ ad ΕΘ, sive ΔΜ ad ΜΞ. ut autem ΔΜ ad ΜΞ (sumpta ΜΕ com-

βάσει τοῦ κώνου. ἐὰν ἄρα ἐκβληθῇ διὰ τῶν ΛΜ, ΠΡ ἐπίπεδον, ἡ τομὴ κύκλος ἔσται, οὗ διάμετρος ἡ ΠΡ, καὶ ἔστι κάθετος ἐπ' αὐτὴν ἡ ΛΜ· τὸ ἄρα ὑπὸ τῶν ΠΜΡ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΛΜ. καὶ ἐπεί ἐστιν ὡς τὸ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ τῶν ΒΚΓ οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΘ, λόγος δὲ τοῦ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ τῶν ΒΚΓ σύγκειται ἐκ τοῦ ὃν ἔχει ἡ ΑΚ πρὸς ΚΒ, καὶ ἡ ΑΚ πρὸς ΚΓ. ἀλλ' ὡς μὲν ἡ ΑΚ πρὸς ΚΒ οὕτως ἡ ΕΗ πρὸς ΗΒ, τουτέστιν ἡ ΕΜ πρὸς ΜΠ, ὡς δὲ ἡ ΑΚ πρὸς ΚΓ οὕτως ἡ ΔΗ πρὸς ΗΓ, τουτέστιν ἡ ΔΜ πρὸς ΜΡ· ὁ ἄρα τῆς ΔΕ πρὸς τὴν ΕΘ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΕΜ πρὸς ΜΠ, καὶ τοῦ τῆς ΔΜ πρὸς ΜΡ. ὁ δὲ συγκείμενος λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ ΕΜ πρὸς ΜΠ, καὶ ἡ ΔΜ πρὸς ΜΡ, ὁ τοῦ ὑπὸ τῶν ΕΜΔ ἐστὶ πρὸς τὸ ὑπὸ τῶν ΠΜΡ· ἔστιν ἄρα ὡς τὸ ὑπὸ τῶν ΕΜΔ πρὸς τὸ ὑπὸ τῶν ΠΜΡ οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΘ, τουτέστιν ἡ ΔΜ πρὸς τὴν ΜΞ. ὡς δὲ ἡ ΔΜ πρὸς ΜΞ, τῆς ΜΕ κοι-

νοῦ

τῷ ὕψους λαμβανομένης, οὕτως τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΞΜΕ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΠΜΡ οὕτως τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΞΜΕ· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΠΜΡ τῷ ὑπὸ ΞΜΕ. τὸ δὲ ὑπὸ ΠΜΡ ἴσον ἐδείχθη τῷ ἀπὸ τῆς ΛΜ· καὶ τὸ ὑπὸ ΞΜΕ ἄρα ἐστὶν ἴσον τῷ ἀπὸ τῆς ΛΜ· ἡ ΛΜ ἄρα δύναται τὸ ΜΟ, ὃ παράκειται παρὰ τὴν ΘΕ, πλάτος ἔχον τὴν ΕΜ, ἐλλεῖπον εἴδει τῷ ΟΝ ὁμοίῳ ὄντι τῷ ὑπὸ ΔΕΘ.

Καλείσθω μὲν ἡ τοιαύτη τομὴ Ἔλλειψις· ἡ δὲ ΕΘ, ἡ παρ' ἣν δύνανται αἱ καταγόμεναι ἐπὶ τὴν ΔΕ τεταγμένως, ἡ δὲ αὐτὴ καὶ Ὀρθία· Πλαγία δὲ ἡ ΕΔ.

muni altitudine) ita [per 1. 6.] rectangulum ΔΜΕ ad rectangulum ΞΜΕ: ergo ut ΔΜΕ rectangulum ad rectangulum ΠΜΡ ita erit ΔΜΕ rectangulum ad ipsum ΞΜΕ: æquale igitur est [per 9. 5.] rectangulum ΠΜΡ rectangulo ΞΜΕ. sed rectangulum ΠΜΡ demonstratum est æquale quadrato ex ΛΜ; quare & ipsum rectangulum ΞΜΕ quadrato ex ΛΜ æquale erit: recta igitur ΛΜ potest spatium ΜΟ, quod quidem rectæ ΘΕ adjacet, latitudinem habens ΕΜ, deficiensque figura ΟΝ simili ei quæ sub ΔΕΘ continetur.

Vocetur autem hujusmodi sectio *Ellipsis*: & recta ΕΘ, *Ea juxta quam possunt quæ ad diametrum* ΔΕ *ordinatim applicantur*; quæ & *Latus Rectum* vocetur; ΕΔ vero *Transversum*.

EUTOCIUS.

Δεῖ σημειώσασθαι, ὅτι τοῦτο τὸ θεώρημα τρεῖς ἔχει καταγραφάς, ὡς καὶ πολλάκις εἴρηται ἐπὶ τῆς ἐλλείψεως. ἢ γὰρ ΔΕ ἢ ἀνωτέρω τοῦ Γ συμπίπτει τῇ ΑΓ, ἢ κατ' αὐτοῦ Γ, ἢ ἐξωτέρω ἐκβαλλομένῃ τῇ ΑΓ συμπίπτει.

Notari oportet hoc theorema tres habere descriptiones, ut sæpius dictum est in ellipsi. vel enim ΔΕ concurrit cum latere ΑΓ supra Γ punctum, vel in ipso Γ, vel infra cum ΑΓ producta conveniet.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Ἐὰν αἱ κατὰ κορυφὴν ἐπιφάνειαι ἐπιπέδῳ τμηθῶσι μὴ διὰ τῆς κορυφῆς· ἔσται ἐν ἑκατέρᾳ τῶν ἐπιφανειῶν τομὴ ἡ καλουμένη Ὑπερβολή, καὶ τῶν δύο τομῶν ἥτε διάμετρος αὐτὴ ἔσται, καὶ παρ' ἃς δύνανται αἱ ἐπὶ τὴν διάμετρον καταγόμεναι παράλληλοι τῇ ἐν τῇ βάσει τοῦ κώνου εὐθείᾳ ἴσαι, καὶ τοῦ εἴδους ἡ πλαγία πλευρὰ κοινὴ ἡ μεταξὺ τῶν κορυφῶν τῶν τομῶν. καλείσθωσαν δὲ αἱ τοιαῦται τομαὶ ΑΝΤΙΚΕΙΜΕΝΑΙ.

PROP. XIV. *Theor.*

Si superficies conicæ quæ ad verticem plano non per verticem secentur: erit in utraque superficie sectio quæ vocatur Hyperbola, & duarum sectionum eadem erit diameter; rectæ vero, juxta quas possunt applicatæ ad diametrum parallelæ ei quæ est in basi coni, inter se æquales erunt; & figuræ transversum latus utrisque commune, quod scilicet inter sectionum vertices interjicitur. vocentur autem hujusmodi SECTIONES OPPOSITÆ.

ΕΣΤΩΣΑΝ αἱ κατὰ κορυφὴν ἐπιφάνειαι, ὧν κορυφὴ τὸ Α σημεῖον, καὶ τετμήσθωσαν ἐπιπέδῳ μὴ διὰ τῆς κορυφῆς, καὶ ποιείτωσαν ἐν τῇ ἐπιφανείᾳ τομὰς τὰς ΔΕΖ, ΗΘΚ· λέγω ὅτι ἑκατέρα τῶν ΔΕΖ, ΗΘΚ τομῶν ἐστιν ἡ καλουμένη ὑπερβολή.



Ἔστω γὰρ ὁ κύκλος, καθ' οὗ φέρεται ἡ τὴν ἐπιφάνειαν γράφουσα εὐθεῖα, ὁ ΒΔΓΖ, καὶ ἤχθω ἐν τῇ κατὰ κορυφὴν ἐπιφανείᾳ παράλληλον αὐτῷ ἐπίπεδον τὸ ΞΗΟΚ, κοιναὶ δὲ τομαὶ τῶν ΖΕΔ, ΗΘΚ τομῶν καὶ τῶν κύκλων αἱ ΖΔ, ΗΚ· ἔσονται δὴ παράλληλοι, ἄξων δὲ ἔστω τῆς κωνικῆς ἐπιφανείας ἡ ΛΑΥ εὐθεῖα, κέντρα δὲ τῶν κύκλων τὰ Λ, Υ, καὶ ἀπὸ τοῦ Λ ἐπὶ τὴν ΖΔ κάθετος ἀχθεῖσα ἐκβεβλήσθω ἐπὶ τὰ

SINT ad verticem superficies, quarum vertex Α punctum; & secentur plano non per verticem, atque sectiones faciat in superficie lineas ΔΕΖ, ΗΘΚ: dico utramque sectionum ΔΕΖ, ΗΘΚ esse eam quæ Hyperbola appellatur.

Sit enim circulus ΒΔΓΖ, in quo fertur recta linea superficiem describens, ducaturque in superficie, quæ est ad verticem, planum ipsi æquidistans ΞΗΟΚ, & communes intersectiones sectionum ΖΕΔ, ΗΘΚ & circulorum sint ΖΔ, ΗΚ, quæ [per 16. 11.] etiam parallelæ erunt; axis autem conicæ superficiei sit recta ΛΑΥ, & circulorum centra Λ, Υ; & à Λ ad ΖΔ perpendicularis ducta producatur ad Β, Γ puncta;

punƈta; perque BΓ & axem planum ducatur, quod sectiones faciat in circulis quidem rectas ΞO, BΓ parallelas; in superficie vero ipsas BAO, ΓAΞ: & erit [per 10.11.] ΞO ad HK perpendicularis; quoniam & BΓ perpendicularis est ad ZΔ, & utraque utrique est parallela. & quoniam planum per axem ductum sectionibus occurrit ad puncta M, N, quæ sunt intra lineas: plane constat ipsum etiam lineas secare. secet autem in Θ, E: ergo puncta M, E, Θ, N erunt & in plano per axem, & in eo in quo sunt lineæ ipsæ; & propterea [per 5.11.] MEΘN recta erit. constat etiam [per 3. huj.] puncta Ξ, Θ, A, Γ in eadem recta esse, itemque B, E, A, O; quoniam sunt & in superficie conica & in plano per axem. ducantur ergo à punctis Θ, E ipsi ΘE ad rectos angulos rectæ ΘP, EΠ; perque A rectæ MEΘN parallela ducatur ΣAT, & fiat ut quadratum ex AΣ ad rectangulum BΣΓ sic ΘE ad EΠ, & ut quadratum ex AT ad rectangulum OTΞ sic EΘ ad ΘP. itaque quoniam conus, cujus vertex A & basis BΓ circulus, secatur plano per axem, quod sectionem facit triangulum ABΓ; secatur autem & altero plano secante basim coni secundum ΔMZ ad BΓ perpendicularem, quod sectionem facit in superficie lineam ΔEZ, diameterque ME producta cum uno latere trianguli per axem extra coni verticem convenit, & per punctum A diametro sectionis EM parallela ducitur AΣ, ab E vero ducitur EΠ ad rectos angulos ipsi EM, atque est ut quadratum ex AΣ ad rectangulum BΣΓ ita EΘ ad EΠ: erit [per 12. huj.] ipsa ΔEZ sectio hyperbola, & recta EM ea juxta quam possunt quæ ad EM ordinatim applicantur; transversum vero figuræ latus est recta ΘE. eadem ratione & HΘK hyperbola erit, cujus diameter ΘN; recta ΘP ea juxta quam possunt ordinatim ad ΘN applicatæ; ΘE vero transversum figuræ latus.

Dico ΘP ipsi EΠ æqualem esse

Quoniam enim parallelæ sunt BΓ, ΞO: ut AΣ ad ΣΓ ita erit [per 4.6.] AT ad TΞ; & ut AΣ ad ΣB ita AT ad TO. sed [per 23.6.] ratio AΣ ad ΣΓ, una cum ratione AΣ ad ΣB, est ea quam habet quadratum ex AΣ ad rectangulum BΣΓ, & ratio AT ad TΞ, una cum ratione AT ad TO, est quam habet quadratum ex AT ad rectangulum ΞTO: ergo ut quadratum ex



B, Γ σημεῖα, καὶ διὰ τῆς BΓ καὶ τοῦ ἄξονος ἐπίπεδον ἐκβεβλήσθω· ποιήσει δὴ τομὰς ἐν μὲν τοῖς κύκλοις παραλλήλους εὐθείας τὰς ΞO, BΓ, ἐν δὲ τῇ ἐπιφανείᾳ τὰς BAO, ΓAΞ· ἔσται δὴ καὶ ἡ ΞO τῇ HK πρὸς ὀρθάς, ἐπειδὴ καὶ ἡ BΓ τῇ ZΔ ἐστὶ πρὸς ὀρθάς καὶ ἐστιν ἑκατέρα παράλληλος. καὶ ἐπεὶ τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον ταῖς τομαῖς συμβάλλει κατὰ M, N σημεῖα ἐντὸς τῶν γραμμῶν· δῆλον ὡς τὰς γραμμὰς τέμνει τὸ ἐπίπεδον. τεμνέτω κατὰ τὰ Θ, E· τὰ ἄρα M, E, Θ, N σημεῖα ἔν τε τῷ διὰ τοῦ ἄξονός ἐστιν ἐπιπέδῳ, καὶ ἐν τῷ ἐπιπέδῳ ἐν ᾧ εἰσιν αἱ γραμμαί· εὐθεῖα ἄρα ἐστὶν ἡ MEΘN γραμμή. καὶ φανερὸν ὅτι τά τε Ξ, Θ, A, Γ ἐπ᾽ εὐθείας ἐστί, καὶ τὰ B, E, A, O, ἔν τε γὰρ τῇ κωνικῇ ἐπιφανείᾳ ἐστί, καὶ ἐν τῷ διὰ τοῦ ἄξονος ἐπιπέδῳ. ἤχθωσαν δὴ ἀπὸ μὲν τῶν Θ, E τῇ ΘE πρὸς ὀρθὰς αἱ ΘP, EΠ, διὰ δὲ τοῦ A τῇ MEΘN παράλληλος ἤχθω ἡ ΣAT, καὶ πεποιήσθω ὡς μὲν τὸ ἀπὸ τῆς AΣ πρὸς τὸ ὑπὸ BΣΓ οὕτως ἡ ΘE πρὸς EΠ, ὡς δὲ τὸ ἀπὸ τῆς AT πρὸς τὸ ὑπὸ OTΞ οὕτως ἡ EΘ πρὸς ΘP. ἐπεὶ οὖν κῶνος, οὗ κορυφὴ μὲν τὸ A σημεῖον, βάσις δὲ ὁ BΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ πεποίηκε τομὴν τὸ ABΓ τρίγωνον, τέτμηται δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ εὐθεῖαν τὴν ΔMZ πρὸς ὀρθὰς οὖσαν τῇ BΓ, καὶ πεποίηκε τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔEZ, ἡ δὲ διάμετρος ἡ ME ἐκβαλλομένη συμπέπτωκε μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, καὶ διὰ τοῦ A σημείου τῇ διαμέτρῳ τῆς τομῆς τῇ EM παράλληλος ἦκται ἡ AΣ, καὶ ἀπὸ τοῦ E τῇ EM πρὸς ὀρθὰς ἦκται ἡ EΠ, καὶ ἔστιν ὡς τὸ ἀπὸ AΣ πρὸς τὸ ὑπὸ BΣΓ οὕτως ἡ EΘ πρὸς EΠ· ἡ μὲν ΔEZ ἄρα τομὴ ὑπερβολή ἐστιν, ἡ δὲ EΠ παρ᾽ ἣν δύνανται αἱ ἐπὶ τὴν EM καταγόμεναι τεταγμένως, πλαγία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘE. ὁμοίως δὲ καὶ ἡ HΘK ὑπερβολή ἐστιν, ἧς διάμετρος μὲν ἡ ΘN, ἡ δὲ ΘP παρ᾽ ἣν δύνανται αἱ ἐπὶ τὴν ΘN καταγόμεναι τεταγμένως, πλαγία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘE.

Λέγω ὅτι ἴση ἐστὶν ἡ ΘP τῇ EΠ.

Ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ BΓ τῇ ΞO· ἔστιν ὡς ἡ AΣ πρὸς ΣΓ οὕτως ἡ AT πρὸς TΞ, καὶ ὡς ἡ AΣ πρὸς ΣB οὕτως ἡ AT πρὸς TO. ἀλλ᾽ ὁ τῆς AΣ πρὸς ΣΓ λόγος μετὰ τοῦ τῆς AΣ πρὸς ΣB, ὁ τοῦ ἀπὸ τῆς AΣ πρὸς τὸ ὑπὸ BΣΓ· ὁ δὲ τῆς AT πρὸς TΞ μετὰ τοῦ τῆς AT πρὸς TO, ὁ τοῦ ἀπὸ τῆς AT πρὸς τὸ ὑπὸ ΞTO· ἔστιν ἄρα ὡς τὸ ἀπὸ AΣ πρὸς τὸ ὑπὸ

ὑπὸ Β Σ Γ οὕτως τὸ ἀπὸ Α Τ πρὸς τὸ ὑπὸ Ξ Τ Ο. καί ἐστιν ὡς μὲν τὸ ἀπὸ Α Σ πρὸς τὸ ἀπὸ Β Σ Γ οὕτως ἡ Θ Ε πρὸς Ε Π, ὡς δὲ τὸ ἀπὸ Α Τ πρὸς τὸ ὑπὸ Ξ Τ Ο οὕτως ἡ Θ Ε πρὸς Θ Ρ· καὶ ὡς ἄρα Θ Ε πρὸς Ε Π οὕτως ἡ Ε Θ πρὸς Θ Ρ· ἴση ἄρα ἐστὶν ἡ Ε Π τῇ Θ Ρ.

Α Σ ad rectangulum Β Σ Γ ita quadratum ex Α Τ ad rectangulum Ξ Τ Ο. ut autem quadratum ex Α Σ ad Β Σ Γ rectangulum ita [per constr.] Θ Ε ad Ε Π; & ut quadratum ex Α Τ ad rectangulum Ξ Τ Ο ita Θ Ε ad Θ Ρ: ergo ut Θ Ε ad Ε Π ita Ε Θ ad Θ Ρ: æqualis igitur est [per 9. 5.] Ε Π ipsi Θ Ρ.

EUTOCIUS.

Δυνατὸν δὲ καὶ οὕτως δεῖξαι. ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ Β Γ τῇ Ξ Ο, ἔστιν ὡς ἡ Γ Σ πρὸς Σ Α ἡ Ξ Τ πρὸς Τ Α, καὶ διὰ τὰ αὐτὰ ὡς ἡ Α Σ πρὸς Σ Β ἡ Α Τ πρὸς Τ Ο· δι' ἴσου ἄρα ὡς ἡ Γ Σ πρὸς Σ Β ἡ Ξ Τ πρὸς Τ Ο· καὶ ὡς ἄρα τὸ ἀπὸ Γ Σ πρὸς τὸ ὑπὸ Γ Σ Β τὸ ἀπὸ Ξ Τ πρὸς τὸ ὑπὸ Ξ Τ Ο. ἔστι δὲ διὰ τὴν ὁμοιότητα τῶν τριγώνων, ὡς τὸ ἀπὸ Α Σ πρὸς τὸ ἀπὸ Σ Γ τὸ ἀπὸ Α Τ πρὸς τὸ ἀπὸ Ξ Τ· δι' ἴσου ἄρα ὡς τὸ ἀπὸ Α Σ πρὸς τὸ ὑπὸ Β Σ Γ τὸ ἀπὸ Α Τ πρὸς τὸ ὑπὸ Ξ Τ Ο. καί ἐστιν ὡς μὲν τὸ ἀπὸ Α Σ πρὸς τὸ ὑπὸ Β Σ Γ ἡ Θ Ε πρὸς Ε Π, ὡς δὲ τὸ ἀπὸ Α Τ πρὸς τὸ ὑπὸ Ξ Τ Ο ἡ Θ Ε πρὸς Θ Ρ· καὶ ὡς ἄρα ἡ Θ Ε πρὸς Ε Π ἡ Ε Θ πρὸς Θ Ρ· ἴση ἄρα ἐστὶν ἡ Ε Π τῇ Θ Ρ.

Πτῶσιν μὲν οὐκ ἔχει. φανερὸς δέ ἐστιν ὁ σκοπὸς, συνεχὴς ὢν τοῖς πρὸ αὐτοῦ τρισίν· ὁμοίως γὰρ ἐκείνοις τὴν διάμετρον τῶν ἀντικειμένων ζητεῖ τὴν ἀρχικὴν, καὶ τὰς παρ' ἃς δύνανται.

Poterat etiam hoc modo ostendi. quoniam enim parallelæ sunt Β Γ, Ξ Ο; erit [per 4. 6.] ut Γ Σ ad Σ Α ita Ξ Τ ad Τ Α, & eadem ratione ut Α Σ ad Σ Β ita Α Τ ad Τ Ο; ergo ex æquali [per 22. 5.] ut Γ Σ ad Σ Β ita Ξ Τ ad Τ Ο: & ideo [per 1. 6.] ut quadratum ex Γ Σ ad rectangulum Γ Σ Β ita quadratum ex Ξ Τ ad rectangulum Ξ Τ Ο. sed, propter similitudinem triangulorum, ut quadratum ex Α Σ ad quadratum ex Σ Γ ita quadratum ex Α Τ ad quadratum ex Ξ Τ: quare ex æquali, ut quadratum ex Α Σ ad rectangulum Β Σ Γ ita quadratum ex Α Τ ad rectangulum Ξ Τ Ο. atque est [per constr.] ut quadratum ex Α Σ ad rectangulum Β Σ Γ ita Θ Ε ad Ε Π, & ut quadratum ex Α Τ ad rectangulum Ξ Τ Ο ita Θ Ε ad Θ Ρ; ergo ut Θ Ε ad Ε Π ita Ε Θ ad Θ Ρ: æqualis igitur est [per 9. 5.] Ε Π ipsi Θ Ρ.

Hoc theorema casum non habet. propositum autem manifestum est, utpote idem quod in tribus superioribus; similiter enim atque in illis, & oppositarum sectionum principalem diametrum inquirit, & lineas juxta quas possunt quæ ad ipsam ordinatim applicantur.

ΠΡΟΤΑΣΙΣ ιε'.

Ἐὰν ἐν ἐλλείψει ἀπὸ τῆς διχοτομίας τῆς διαμέτρου ἀχθεῖσα εὐθεῖα τεταγμένως ἐκβληθῇ ἐφ' ἑκάτερα ἕως τῆς τομῆς, καὶ ποιηθῇ ὡς ἡ ἐκβληθεῖσα πρὸς τὴν διάμετρον οὕτως ἡ διάμετρος πρὸς τινα εὐθεῖαν· ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ ἐπὶ τὴν ἐκβληθεῖσαν παράλληλος τῇ διαμέτρῳ δυνήσεται τὸ παρακείμενον παρὰ τὴν τρίτην ἀνάλογον, πλάτος ἔχον τὴν ὑπ' αὐτῆς ἀπολαμβανομένην πρὸς τῇ τομῇ, ἐλλεῖπον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπό τε τῆς ἐφ' ἣν ἄγονται καὶ τῆς παρ' ἣν δύνανται. καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ἐφ' ἣν κατῆκται.

Prop. XV. *Theor.*

Si in ellipsi, à puncto quod diametrum bifariam dividit, recta ordinatim ducta ex utraque parte ad sectionem producatur, & fiat ut producta ad diametrum ita diameter ad aliam: recta linea, quæ à sectione ducitur ad productam diametro parallela, poterit spatium adjacens tertiæ proportionali, latitudinem habens rectam quæ inter ipsam & sectionem interjicitur, deficiensque figura simili ei quæ continetur sub rectâ ad quam ducuntur & eâ juxta quam possunt. & si ulterius producatur ad alteram partem sectionis, bifariam secabitur ab ea ad quam applicata fuerit.

ΕΣΤΩ ἔλλειψις, ἧς διάμετρος ἡ Α Β, καὶ τετμήσθω ἡ Α Β δίχα κατὰ τὸ Γ, καὶ διὰ τοῦ Γ ἤχθω τεταγμένως καὶ ἐκβεβλήσθω ἐφ' ἑκάτερα ἕως τῆς τομῆς ἡ Δ Γ Ε, καὶ ἀπὸ Δ σημείου τῇ Δ Ε πρὸς ὀρθὰς ἤχθω ἡ Δ Ζ, καὶ πεποιήσθω ὡς ἡ Δ Ε πρὸς Α Β οὕτως ἡ Α Β πρὸς τὴν Δ Ζ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Η, καὶ διὰ τοῦ Η τῇ Α Β παράλληλος ἤχθω ἡ Η Θ, καὶ ἐπεζεύχθω ἡ Ε Ζ, καὶ διὰ μὲν τοῦ Θ τῇ Δ Ζ παράλληλος ἤχθω ἡ Θ Λ, διὰ δὲ τῶν Ζ, Λ τῇ Θ Δ παράλληλοι ἤχθωσαν αἱ Ζ Κ, Λ Μ· λέγω ὅτι ἡ Η Θ δύναται τὸ Δ Λ, ὃ παράκειται παρὰ τὴν Δ Ζ, πλάτος ἔχον τὴν Δ Θ, ἐλλεῖπον εἴδει τῷ Λ Ζ ὁμοίῳ ὄντι τῷ ὑπὸ Ε Δ Ζ.

Ἔστω γὰρ παρ' ἣν δύνανται αἱ ἐπὶ τὴν Α Β καταγόμεναι τεταγμένως ἡ Α Ν, καὶ ἐπεζεύχθω ἡ Β Ν, καὶ διὰ μὲν τοῦ

SIT ellipsis, cujus diameter Α Β, seceturque Α Β bifariam in Γ puncto, & per Γ ordinatim applicata ex utraque parte ad sectionem producatur, quæ sit Δ Γ Ε; à puncto autem Δ ipsi Δ Ε ad rectos angulos ducatur Δ Ζ, fiatque ut Δ Ε ad Α Β ita Α Β ad Δ Ζ; & sumpto quolibet puncto Η in sectione, per Η ducatur Η Θ ipsi Α Β parallela, & jungatur Ε Ζ; deinde per Θ ipsi Δ Ζ parallela ducatur Θ Λ, & per Ζ, Λ puncta ducantur ipsi Θ Δ parallelæ Ζ Κ, Λ Μ: dico Η Θ posse spatium Δ Λ, quod quidem adjacet rectæ Δ Ζ, latitudinem habens Δ Θ, deficiensque figura Λ Ζ simili ei quæ sub Ε Δ Ζ continetur.

Sit enim Α Ν ea juxta quam possunt ordinatim applicatæ ad Α Β, jungaturque Β Ν; & per

Η quidem

Η quidem ipsi ΔΒ parallela ducatur ΗΞ, perque Ξ,Γ ipsi ΑΝ parallelæ ΞΟ,ΓΠ; per Ν,Ο,Π vero ducantur ΝΥΡ, ΟΣ, ΤΠ parallelæ ipsi ΑΒ: æquale igitur est [per 13. huj.] quadratum ex ΔΓ rectangulo ΑΠ; & quadratum ex ΗΞ rectangulo ΑΟ. & quoniam ut ΒΑ ad ΑΝ ita est ΒΓ ad ΓΠ, & ΠΤ ad ΤΝ; æqualis autem ΒΓ ipsi ΓΑ, hoc est ipsi ΤΠ: & ΓΠ ipsi ΤΝ æqualis erit: ergo [per 36. 1.] ΑΠ rectangulum æquale est rectangulo ΤΡ, & rectangulum ΞΤ ipsi ΤΥ. & quoniam [per 43. 1.] rectangulum ΟΤ rectangulo ΟΡ æquale est, commune autem ΟΝ; erit rectangulum ΤΥ ipsi ΝΣ æquale. sed ΤΥ est æquale ipsi ΤΞ: ergo ΤΞ æquale est ipsi ΝΣ. commune vero ΤΣ: totum igitur ΝΠ rectangulum, hoc est ΠΑ, æquale erit

Η τῇ ΔΒ παράλληλος ἤχθω ἡ ΗΞ, διὰ δὲ τῶν Ξ, Γ τῇ ΑΝ παράλληλοι ἤχθωσαν αἱ ΞΟ, ΓΠ, διὰ δὲ τῶν Ν, Ο, Π τῇ ΑΒ παράλληλοι ἤχθωσαν αἱ ΝΥΡ, ΟΣ, ΤΠ· ἴσον ἄρα ἐστὶ τὸ μὲν ἀπὸ τῆς ΔΓ τῷ ΑΠ, τὸ δὲ ἀπὸ τῆς ΗΞ τῷ ΑΟ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΑ πρὸς ΑΝ οὕτως ἡ ΒΓ πρὸς ΓΠ, καὶ ἡ ΠΤ πρὸς ΤΝ, ἴση δὲ ἡ ΒΓ τῇ ΓΑ, τουτέστι τῇ ΤΠ· καὶ ἡ ΓΠ τῇ ΤΝ ἐστὶν ἴση· ἴσον ἄρα ἐστὶ τὸ μὲν ΑΠ τῷ ΤΡ, τὸ δὲ ΞΤ τῷ ΤΥ. καὶ ἐπεὶ τὸ ΟΤ τῷ ΟΡ ἐστὶν ἴσον, κοινὸν δὲ τὸ ΟΝ· τὸ ΤΥ ἄρα ἴσον ἐστὶ τῷ ΝΣ. ἀλλὰ τὸ ΤΥ τῷ ΤΞ ἐστὶν ἴσον· τὸ ΤΞ ἄρα ἴσον ἐστὶ τῷ ΝΣ. κοινὸν δὲ τὸ ΤΣ· ὅλον ἄρα τὸ ΝΠ, τουτέστι τὸ ΠΑ, ἴσον ἐστὶ τῷ





rectangulo ΑΟ una cum ΠΟ rectangulo: quare ΠΑ rectangulum superat rectangulum ΑΟ ipso ΟΠ. est autem [per 13. huj.] ΑΠ rectangulum æquale quadrato ex ΓΔ: rectangulumque ΑΟ æquale quadrato ex ΞΗ, & ΟΠ ei quod sub ΟΣΠ continetur: ergo quadratum ex ΓΔ superat quadratum ex ΗΞ ipso ΟΣΠ rectangulo. & quoniam recta ΔΕ secatur in partes æquales in Γ puncto, & in partes inæquales in Θ: rectangulum ΕΘΔ una cum quadrato ex ΓΘ, hoc est ex ΞΗ, æquale erit [per 5. 2.] quadrato ex ΓΔ: quadratum igitur ex ΓΔ superat quadratum ex ΞΗ rectangulo ΕΘΔ. superabat autem quadratum ex ΓΔ ipsum quadratum ex ΗΞ rectangulo ΟΣΠ: rectangulum igitur ΕΘΔ rectangulo ΟΣΠ est æquale. &

ΑΟ μετὰ τοῦ ΠΟ· ὥστε ΠΑ τοῦ ΑΟ ὑπερέχει τῷ ΟΠ. καὶ ἔστι τὸ μὲν ΑΠ ἴσον τῷ ἀπὸ τῆς ΓΔ, τὸ δὲ ΑΟ ἴσον τῷ ἀπὸ τῆς ΞΗ, τὸ δὲ ΟΠ ἴσον τῷ ὑπὸ ΟΣΠ· τὸ ἄρα ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΗΞ ὑπερέχει τῷ ὑπὸ τῶν ΟΣΠ. καὶ ἐπεὶ ἡ ΔΕ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Γ, εἰς δὲ ἄνισα κατὰ τὸ Θ· τὸ ἄρα ὑπὸ τῶν ΕΘΔ μετὰ τοῦ ἀπὸ τῆς ΓΘ, τουτέστι τῆς ΞΗ, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ· τὸ ἄρα ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΞΗ ὑπερέχει τῷ ὑπὸ τῶν ΕΘΔ. ὑπερεῖχε δὲ τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΗΞ τῷ ὑπὸ τῶν ΟΣΠ· τὸ ἄρα ὑπὸ τῶν ΕΘΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΟΣΠ. καὶ ἐπεὶ ἐπεί ἐστιν ὡς ἡ ΔΕ πρὸς ΑΒ οὕτως ἡ ΑΒ πρὸς τὴν ΔΖ· ἔστιν ἄρα καὶ ὡς ἡ ΔΕ πρὸς τὴν ΔΖ οὕτω καὶ τὸ ἀπὸ τῆς ΔΕ πρὸς τὸ ἀπὸ τῆς ΑΒ, τουτέστι τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΓΒ. καὶ ἔστι τῷ ἀπὸ ΓΔ ἴσον τὸ ΠΓΑ, τουτέστι τὸ ὑπὸ ΠΓΒ· καὶ ὡς ἄρα ἡ ΔΕ πρὸς ΔΖ, τουτέστιν ὡς ἡ ΕΘ πρὸς ΘΛ, τουτέστι τὸ ὑπὸ τῶν ΕΘΔ πρὸς τὸ ὑπὸ τῶν ΔΘΛ, οὕτως τὸ ὑπὸ τῶν ΠΓΒ πρὸς τὸ ἀπὸ ΓΒ, τουτέστι τὸ ὑπὸ ΠΣΟ πρὸς τὸ ἀπὸ ΟΣ. καὶ ἔστιν ἴσον τὸ ὑπὸ ΕΘΔ τῷ ὑπὸ ΠΣΟ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΔΘΛ τῷ ἀπὸ τῆς ΟΣ, τουτέστι τῷ ἀπὸ τῆς ΗΘ· ἡ ΗΘ ἄρα δύναται τὸ ΔΛ, ὃ παράκειται παρὰ τὴν ΔΖ, πλάτος ἔχον τὴν ΔΘ, ἐλλεῖπον εἴδει τῷ ΖΛ, ὁμοίῳ ὄντι τῷ ὑπὸ τῶν ΕΔΖ.

Λέγω δὴ ὅτι καὶ ἐκβαλλομένη ἡ ΘΗ ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ΔΕ.

Ἐκβεβλήσθω γάρ, καὶ συμβαλλέτω τῇ τομῇ κατὰ τὸ Φ, καὶ διὰ τοῦ Φ τῇ ΗΞ παράλληλος ἤχθω ἡ ΦΧ, διά τε τοῦ Χ τῇ ΑΤ παράλληλος ἤχθω ἡ ΧΨ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΗΞ τῇ ΦΧ· ἴσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΞ τῷ ἀπὸ τῆς ΦΧ. ἀλλὰ τὸ μὲν ἀπὸ τῆς ΗΞ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΞΟ, τὸ δὲ ἀπὸ τῆς ΦΧ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΧΨ· τὸ ἄρα ὑπὸ τῶν ΑΞΟ τῷ ΑΧΨ ἴσον ἐστίν· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΟΞ πρὸς τὴν ΨΧ οὕτως ἡ ΧΑ πρὸς ΑΞ. καὶ ἔστιν ὡς ἡ ΟΞ πρὸς τὴν ΨΧ οὕτως ἡ ΞΒ πρὸς ΒΧ· καὶ ὡς ἄρα ἡ ΧΑ πρὸς ΑΞ οὕτως ἡ ΞΒ πρὸς ΒΧ· καὶ διελόντι, ὡς ἡ ΧΞ πρὸς ΞΑ οὕτως ἡ ΧΞ πρὸς ΧΒ· ἴση ἄρα ἐστὶν ἡ ΑΞ τῇ ΧΒ. ἔστι δὲ καὶ ἡ ΑΓ τῇ ΓΒ ἴση· καὶ λοιπὴ ἄρα ἡ ΞΓ τῇ ΓΧ ἐστὶν ἴση· ὥστε καὶ ΗΘ τῇ ΘΦ. ἡ ἄρα ΗΘ ἐκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τέμνεται ὑπὸ τῆς ΔΘ.

quoniam [per constr.] est ut ΔΕ ad ΑΒ ita ΑΒ ad ΔΖ: erit [per cor. 1. 20. 6.] ut ΔΕ ad ΔΖ ita quadratum ex ΔΕ ad quadratum ex ΑΒ; hoc est quadratum ex ΓΔ ad quadratum ex ΓΒ. atque est quadrato ex ΓΔ æquale ΠΓΑ rectangulum, hoc est ΠΓΒ: ut ergo ΔΕ ad ΔΖ, hoc est ut ΕΘ ad ΘΛ, hoc est [per 1. 6.] ut ΕΘΔ rectangulum ad rectangulum ΔΘΛ, ita rectangulum ΠΓΒ ad quadratum ex ΓΒ; hoc est [ob similia triangula] rectangulum ΠΣΟ ad quadratum ex ΟΣ. sed [ex modo ostensis] rectangulum ΕΘΔ æquale est ipsi ΠΣΟ: rectangulum igitur ΔΘΛ quadrato ex ΟΣ, hoc est quadrato ex ΗΘ, est æquale: & idcirco recta ΗΘ potest spatium ΔΛ, quod adjacet rectæ ΔΖ, latitudinem habens ΔΘ, deficiensque figura ΖΛ, simili ei quæ sub ΕΔΖ continetur.

Dico insuper ΘΗ, productam ad alteram partem sectionis, ab ipsa ΔΕ bifariam secari.

Producatur enim, occurratque sectioni in puncto Φ, & per Φ ipsi ΗΞ parallela ducatur ΦΧ, & per Χ ducatur ipsi ΑΤ parallela ΧΨ. quoniam igitur ΗΞ ipsi ΦΧ est æqualis, erit quadratum ex ΗΞ æquale quadrato ex ΦΧ. quadratum autem ex ΗΞ [per 13. huj.] æquale est ΑΞΟ rectangulo; & quadratum ex ΦΧ æquale rectangulo ΑΧΨ: & igitur rectangulum ΑΞΟ æquale est rectangulo ΑΧΨ: ergo [per 16. 6.] ut ΟΞ ad ΨΧ ita ΧΑ ad ΑΞ. & est ut ΟΞ ad ΨΧ ita ΞΒ ad ΒΧ: ut ergo ΧΑ ad ΑΞ ita ΞΒ ad ΒΧ; & [per 17. 5.] dividendo, ut ΧΞ ad ΞΑ ita ΞΧ ad ΧΒ: æqualis igitur est [per 9. 5.] ΑΞ ipsi ΧΒ. est autem ΑΓ æqualis ΓΒ: quare & reliqua ΞΓ reliquæ ΓΧ: & idcirco ΗΘ ipsi ΘΦ est æqualis. recta igitur ΗΘ producta ad alteram sectionis partem ab ipsa ΔΘ bifariam secabitur.

ΠΡΟΤΑΣΙΣ ιϛʹ.

Ἐὰν διὰ τῆς διχοτομίας τῆς πλαγίας πλευρᾶς τῶν ἀντικειμένων ἀχθῇ τις εὐθεῖα παρὰ τεταγμένως κατηγμένην· διάμετρος ἔσται τῶν ἀντικειμένων συζυγὴς τῇ προϋπαρχούσῃ διαμέτρῳ.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι, ὧν διάμετρος ἡ ΑΒ, καὶ τετμήσθω δίχα ἡ ΑΒ κατὰ τὸ Γ, καὶ διὰ τοῦ Γ ἤχθω παρὰ τεταγμένως κατηγμένην ἡ ΓΔ· λέγω ὅτι διάμετρός ἐστιν ἡ ΓΔ συζυγὴς τῇ ΑΒ.

Ἔστωσαν γὰρ παρ' ἃς δύνανται αἱ τεταγμένως καταγόμεναι, αἱ ΑΕ, ΒΖ εὐθεῖαι, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΖ, ΒΕ ἐκβεβλήσθωσαν, καὶ εἰλήφθω τι ἐπὶ τῆς ἑτέρας τῶν τομῶν τυχὸν σημεῖον τὸ Η, καὶ διὰ μὲν τοῦ Η τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΗΘ, ἀπὸ δὲ τῶν Η, Θ κατήχθωσαν τεταγμένως αἱ ΗΚ, ΘΛ, διὰ δὲ τῶν Κ, Λ ταῖς ΑΕ, ΒΖ παράλληλοι ἤχθωσαν αἱ ΚΜ, ΛΝ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΗΚ τῇ ΘΛ· ἴσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΚ τῷ ἀπὸ τῆς ΘΛ. ἀλλὰ τὸ μὲν ἀπὸ τῆς ΗΚ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΚΜ, τὸ δὲ ἀπὸ τῆς ΘΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΛΝ· τὸ ἄρα ὑπὸ ΑΚΜ ἴσον ἐστὶ τῷ ὑπὸ

PROP. XVI. *Theor.*

Si per punctum, quod transversum latus oppositarum sectionum bifariam dividit, recta ducatur ordinatim applicatæ parallela; erit hæc ipsarum diameter, priori diametro conjugata.

SINT oppositæ sectiones, quarum diameter ΑΒ; seceturque ΑΒ bifariam in Γ puncto, & per Γ ordinatim applicatæ parallela ducatur ΓΔ: dico ΓΔ diametrum esse conjugatam ipsi ΑΒ.

Sint enim ΑΕ, ΒΖ juxta quas possunt ordinatim applicatæ, & junctæ ΑΖ, ΒΕ producantur, sumpto autem in altera sectione quovis puncto Η, ducatur per Η ipsi ΑΒ parallela ΗΘ, & à punctis Η, Θ ordinatim applicentur ΗΚ, ΘΛ; deinde à punctis Κ, Λ ipsis ΑΕ, ΒΖ parallelæ ducantur ΚΜ, ΛΝ. quoniam igitur æqualis est [per 34. 1.] ΗΚ ipsi ΘΛ: erit quadratum ex ΗΚ quadrato ex ΘΛ æquale. sed [per 12. hujus] quadratum ex ΗΚ æquale est rectangulo ΑΚΜ, & quadratum ex ΘΛ rectangulo ΒΑΝ: ergo ΑΚΜ rectangulum rectangulo

B Λ N æquale erit. & quia æquales sunt A E, B Z; erit [per 7. 5.] ut A E ad A B ita B Z ad B A. ut autem A E ad A B sic M K [per 4. 6.] ad K B; & ut B Z ad B A sic N Λ ad Λ A: quare ut M K ad K B sic N Λ ad Λ A. sed ut M K ad K B (sumpta K A communi altitudine) ita [per 1. 6.] rectangulum M K A ad rectangulum B K A; & ut N Λ ad Λ A (sumpta B A communi altitudine) ita N Λ B rectangulum ad rectangulum A Λ B: ergo ut rectangulum M K A ad

B Λ N. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ A E τῇ B Z· ἔστιν ἄρα ὡς ἡ A E πρὸς A B οὕτως ἡ B Z πρὸς B A. ἀλλὰ ὡς ἡ A E πρὸς A B οὕτως ἡ M K πρὸς K B, καὶ ὡς ἡ B Z πρὸς B A οὕτως ἡ N Λ πρὸς Λ A· καὶ ὡς ἄρα ἡ M K πρὸς K B οὕτως ἡ N Λ πρὸς Λ A. ἀλλ' ὡς ἡ M K πρὸς τὴν K B, τῆς K A κοινοῦ ὕψους λαμβανομένης, οὕτως τὸ ὑπὸ M K A πρὸς τὸ ὑπὸ B K A, ὡς δὲ ἡ N Λ πρὸς Λ A, τῆς B Λ κοινοῦ ὕψους λαμβανομένης, οὕτως τὸ ὑπὸ N Λ B πρὸς τὸ ὑπὸ A Λ B·



rectangulum B K A ita rectangulum N Λ B ad ipsum A Λ B; & [per 16. 5.] permutando ut M K A rectangulum ad rectangulum N Λ B ita B K A rectangulum ad rectangulum A Λ B. est autem [ut modo ostensum] rectangulum M K A æquale rectangulo N Λ B: ᵃ quare & B K A rectangulum æquale rectangulo A Λ B; & propterea A K ipsi Λ B æqualis erit. estque A Γ æqualis Γ B: ergo & tota K Γ toti Γ Λ: & ideo H Ξ ipsi Ξ Θ æqualis. recta igitur H Θ ab ipsa Ξ Γ Δ bifariam secabitur, atque est ipsi A B parallela: ergo [per 17. def.] diameter erit & Ξ Γ Δ conjugata ipsi A B.

καὶ ὡς ἄρα τὸ ὑπὸ M K A πρὸς τὸ ὑπὸ B K A οὕτως τὸ ὑπὸ N Λ B πρὸς τὸ ὑπὸ A Λ B· καὶ ἐναλλὰξ ὡς τὸ ὑπὸ M K A πρὸς τὸ ὑπὸ N Λ B οὕτως τὸ ὑπὸ B K A πρὸς τὸ ὑπὸ A Λ B. καὶ ἔστιν ἴσον τὸ ὑπὸ M K A τῷ ὑπὸ N Λ B· ᵃ ἴσον ἄρα ἐστὶ καὶ τὸ ὑπὸ B K A τῷ ὑπὸ A Λ B· ἴση ἄρα ἡ A K τῇ Λ B. ἔστι δὲ καὶ ἡ A Γ τῇ Γ B ἴση· καὶ ὅλη ἄρα ἡ K Γ ὅλῃ τῇ Γ Λ ἴση ἐστίν· ὥστε καὶ ἡ H Ξ τῇ Ξ Θ. ἡ H Θ ἄρα δίχα τέμνεται ὑπὸ τῆς Ξ Γ Δ, καὶ ἔστι παράλληλος τῇ A B· διάμετρος ἄρα ἐστὶ, καὶ ἡ Ξ Γ Δ συζυγὴς τῇ A B.

EUTOCIUS.

ᵃ Quare & B K A rectangulum æquale rectangulo A Λ B; & propterea A K ipsi Λ B æqualis erit.] Quoniam enim rectangulum B K A ipsi A Λ B rectangulo est æquale; erit [per 16. 6.] ut K B ad A Λ ita Λ B ad A K, permutandoque ut K B ad B Λ ita A Λ ad A K, & componendo ut K Λ ad Λ B ita K Λ ad K A: æqualis igitur est K A ipsi B Λ.

Scire autem oportet, in quintodecimo & sexto decimo theoremate *Apollonio* propositum fuisse, ut secundas, & conjugatas quas vocant, diametros inquireret ellipsis, & hyperbolæ, & oppositarum sectionum: parabola enim ejusmodi diametrum non habet. sed & illud notatu dignum est, diametros ellipsis intra recipi; hyperbolæ vero & oppositarum sectionum diametros describi extra. oportet autem rectas juxta quas possunt ordinatim applicatæ, seu recta latera, & quæ ipsis æquidistant ad rectos angulos aptare; ordinatim vero applicatas, & secundas diametros non semper. maxime tamen debent in acuto angulo applicari, ut longe aliæ & diversæ ab eis quæ recto lateri sunt parallelæ, deprehendantur.

ᵃ Ἴσον ἄρα τὸ ὑπὸ B K A τῷ ὑπὸ A Λ B· ἴση ἄρα ἐστὶν ἡ A K τῇ Λ B.] Ἐπεὶ γὰρ τὸ ὑπὸ B K A τῷ ὑπὸ A Λ B ἐστὶν ἴσον· ἀνάλογον ἔσται ὡς ἡ K B πρὸς A Λ ἡ Λ B πρὸς A K, καὶ ἐναλλὰξ ὡς ἡ K B πρὸς B Λ ἡ Λ A πρὸς A K, καὶ συνθέντι ὡς ἡ K Λ πρὸς Λ B ἡ K Λ πρὸς K A· ἴση ἄρα ἡ K A τῇ B Λ.

Δεῖ ἐπιστῆσαι, ὅτι ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ καὶ ἑκκαιδεκάτῳ θεωρήματι σκοπὸν ἔχει ζητῆσαι τὰς καλουμένας δευτέρας καὶ συζυγεῖς διαμέτρους τῆς ἐλλείψεως, καὶ τῆς ὑπερβολῆς, καὶ τῶν ἀντικειμένων· ἡ γὰρ παραβολὴ οὐκ ἔχει τοιαύτην διάμετρον. παρατηρητέον δὲ, ὅτι αἱ μὲν τῆς ἐλλείψεως διάμετροι ἐντὸς ἀπολαμβάνονται, αἱ δὲ τῆς ὑπερβολῆς καὶ τῶν ἀντικειμένων ἐκτὸς καταγράφονται. δεῖ δὲ τὰς μὲν παρ' ἃς δύνανται, ἤτοι τὰς ὀρθὰς πλευρὰς, πρὸς ὀρθὰς τάττειν, καὶ δηλονότι καὶ τὰς παραλλήλους αὐταῖς· τὰς δὲ τεταγμένως καταγομένας, καὶ τὰς δευτέρας διαμέτρους, οὐ πάντως. μάλιστα γὰρ ἐν ὀξείᾳ γωνίᾳ δεῖ κατάγειν αὐτὰς, ἵνα σαφεῖς ὦσιν τοῖς ἐντυγχάνουσιν ἕτεραι οὖσαι τῶν παραλλήλων τῇ ὀρθίᾳ πλευρᾷ.

DEFINITIONES SECUNDÆ.

I. PUNCTUM, quod hyperbolæ & ellipsis diametrum bifariam dividit, centrum sectionis dicatur.

*

ΟΡΟΙ ΔΕΥΤΕΡΟΙ.

α΄. Τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως ἑκατέρας ἡ διχοτομία τῆς διαμέτρου, κέντρον τῆς τομῆς καλείσθω.

β΄. Ἡ δὲ

β'. Ἡ δὲ ἀπὸ τοῦ κέντρου πρὸς τὴν τομὴν προσπίπτουσα, ἐκ τοῦ κέντρου τῆς τομῆς.

γ'. Ὁμοίως δὲ καὶ τῶν ἀντικειμένων ἡ διχοτομία τῆς πλαγίας πλευρᾶς, κέντρον καλείσθω.

δ'. Ἡ δὲ ἀπὸ τοῦ κέντρου ἠγμένη παρὰ τεταγμένως κατηγμένην, μέσον τε λόγον ἔχουσα τῶν τοῦ εἴδους πλευρῶν, καὶ δίχα τεμνομένη ὑπὸ τοῦ κέντρου, δευτέρα διάμετρος καλείσθω.

2. Et quæ à centro ad ſectionem perducitur, vocetur ex centro ſectionis.

3. Similiter & quod transverſum latus oppoſitarum ſectionum bifariam dividit, centrum vocetur.

4. Quæ autem à centro ducitur parallela ordinatim applicatæ, mediamque proportionem habet inter latera figuræ, & bifariam ſecatur à centro, ſecunda diameter appelletur.

EUTOCIUS.

Μετὰ τὸ ἑκκαιδέκατον θεώρημα, ὅρους ἐκτίθεται περὶ τῆς καλουμένης δευτέρας διαμέτρου τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, οὓς διὰ καταγραφῆς σαφεῖς ποιήσομεν. ἔστω ὑπερβολὴ ἡ A B, διάμετρος δὲ αὐτῆς ἔστω ἡ Γ H B Δ, παρ' ἣν δὲ δύνανται αἱ ἐπὶ τὴν B Γ καταγόμεναι, ἡ B E· φανερὸν οὖν ὅτι ἡ μὲν B Γ εἰς ἄπειρον αὔξεται, διὰ τὴν τομήν, ὡς δέδεικται ἐν τῷ ὀγδόῳ θεωρήματι. ἡ δὲ B Δ, ἥτις ἐστὶν ἡ ὑποτείνουσα τὴν ἐκτὸς τοῦ διὰ τοῦ ἄξονος τριγώνου γωνίαν, πεπέρασται· ταύτην δὴ διχοτομήσαντες κατὰ τὸ Z, καὶ ἀγαγόντες ἀπὸ τοῦ A τεταγμένως κατηγμένην τὴν A H, διὰ δὲ τοῦ Z τῇ A H παράλληλον τὴν Θ Z K, καὶ ποιήσαντες τὴν Θ Z τῇ Z K ἴσην, καὶ τὸ ἀπὸ Θ K ἴσον τῷ ὑπὸ Δ B E, ἕξομεν τὴν Θ K δευτέραν διάμετρον. τοῦτο γὰρ δυνατόν, διὰ τὸ τὴν Θ K ἐκτὸς οὖσαν τῆς τομῆς εἰς ἄπειρον ἐκβάλλεσθαι, καὶ δυνατὸν εἶναι ἀπὸ τῆς ἀπείρου προστεθείσῃ εὐθείᾳ ἀφελεῖν ἴσην. τὸ δὲ Z κέντρον καλεῖ, τὴν δὲ Z B καὶ τὰς ὁμοίας αὐτῇ, ἀπὸ τῆς Z πρὸς τὴν τομὴν φερομένας, ἐκ τοῦ κέντρου. ταῦτα μὲν ἐπὶ τῆς ὑπερβολῆς καὶ τῶν ἀντικειμένων. καὶ φανερὸν ὅτι πεπερασμένη ἐστὶν ἑκατέρα τῶν διαμέτρων, ἡ μὲν πρώτη αὐτόθεν ἐκ τῆς γενέσεως τῆς τομῆς, ἡ δὲ δευτέρα διότι μέση ἀνάλογόν ἐστι πεπερασμένων εὐθειῶν, τῆς τε πρώτης διαμέτρου καὶ τῆς παρ' ἣν δύνανται αἱ καταγόμεναι ἐπ' αὐτὴν τεταγμένως.



Poſt ſextum decimum theorema, definitiones tradit ejus quæ ſecunda diameter appellatur hyperbolæ & ellipſis; quibus quidem nos ex figuris lucem afferre conabimur. ſit hyperbola A B, cujus diameter Γ H B Δ, recta vero, juxta quam poſſunt quæ ad ipſam B Γ applicantur, ſit B E: patet igitur B Γ in infinitum augeri propter ſectionem, ut oſtenſum eſt in octavo theoremate. ſed ipſa B Δ, quæ ſubtenditur angulo extra triangulum per axem, terminata eſt: itaque ſi bifariam ſecta B Δ in Z, & à puncto A ordinatim applicatâ A H, per Z rectæ A H parallelam duxerimus Θ Z K, ita ut ſit Θ Z ipſi Z K æqualis, & quadratum ex Θ K æquale rectangulo Δ B E; erit Θ K ſecunda diameter. hoc enim fieri poſſe perſpicuum eſt: quippe cum Θ K extra ſectionem cadens in infinitum produci poſſit, atque à recta infinita cuilibet datæ rectæ æqualis facile abſcindatur. punctum autem Z vocat centrum, & rectam Z B & alias quæ ſimiliter à puncto Z ad ſectionem ducuntur, ex centro appellat; atque hæc in hyperbola & oppoſitis ſectionibus. conſtat ergo utramque diametrum terminatam eſſe; primam quidem per ſe ex generatione ſectionis; ſecundam vero, quod media proportionalis ſit inter rectas terminatas, videlicet inter primam diametrum, & eam juxta quam poſſunt quæ ad diametrum ordinatim applicantur.

Ἐπὶ δὲ τῆς ἐλλείψεως οὔπω δῆλον τὸ λεγόμενον. ἐπειδὴ γὰρ εἰς ἑαυτὴν συννεύει καθάπερ ὁ κύκλος, καὶ ἐντὸς ἀπολαμβάνει πάσας τὰς διαμέτρους, καὶ ὡρισμένας αὐτὰς ἀπεργάζεται· ὥστε οὐ πάντως ἐπὶ τῆς ἐλλείψεως ἡ μέση ἀνάλογον τῶν τοῦ εἴδους πλευρῶν, καὶ διὰ τοῦ κέντρου τῆς τομῆς ἀγομένη καὶ ὑπὸ τῆς διαμέτρου διχοτομουμένη ὑπὸ τῆς τομῆς περατοῦται. δυνατὸν δὲ αὐτὴν συλλογίζεσθαι δι' αὐτῶν τῶν εἰρημένων ἐν τῷ δεκάτῳ πέμπτῳ θεωρήματι. ἐπεὶ γάρ, ὡς ἐκεῖ δέδεικται, ἐπὶ τὴν Δ E καταγόμεναι, παράλληλοι τῇ A B, δύνανται τὰ παρακείμενα παρὰ τὴν τρίτην αὐταῖς ἀνάλογον γινομένην, τουτέστι τὴν Z Δ· ἔστιν ὡς ἡ Δ E πρὸς τὴν A B ἡ A B πρὸς Δ Z· ὥστε μέση ἀνάλογόν ἐστιν ἡ A B τῶν E Δ, Δ Z· καὶ διὰ τοῦτο καὶ αἱ καταγόμεναι ἐπὶ τὴν A B, παράλληλοι τῇ Δ E, δυνήσονται τὰ παρὰ τὴν τρίτην ἀνάλογον παρακείμενα τῶν Δ E, A B, τουτέστι τὴν A N. διὰ δὴ τοῦτο μέση ἀνάλογον γίνεται ἡ Δ E δευτέρα διάμετρος τῶν BA, AN,

Sed in ellipſi id quod dictum eſt nondum apparet. quoniam enim illa in ſeipſam vergat inſtar circuli, & omnes diametros intra recipiat atque terminet: non ſemper in ellipſi, media proportionalis inter figuræ latera, ducta per centrum ſectionis, & à diametro bifariam diviſa, ab ipſa ſectione terminatur. hoc autem ex iis quæ dicta ſunt in quinto decimo theoremate oſtendere poſſumus. quoniam enim, ut demonſtratum eſt, quæ ad rectam Δ E applicantur, parallelæ ipſi A B, poſſunt ſpatia tertiæ proportionali ipſis, videlicet rectæ Z Δ adjacentia: erit ut Δ E ad A B ita A B ad Δ Z: quare A B media proportionalis eſt inter E Δ, Δ Z: & idcirco, quæ applicantur ad A B, ipſi Δ E parallelæ, poterunt ſpatia adjacentia tertiæ proportionali ipſis Δ E, A B, hoc eſt rectæ A N. ergo ſecunda diameter Δ E eſt media proportionalis inter figuræ



guræ latera B A, A N. oportet autem hoc ſcire etiam ob commodam figurarum deſcriptionem. nam cum inæquales ſint A B, Δ E diametri (in ſolo enim circulo ſunt æquales) conſtat rectam, quæ minori earum ad rectos angulos ducitur, ut hoc in loco Δ Z, eo quod ſit tertia proportionalis ipſis Δ E, A B, utravis majorem eſſe: eam vero, quæ ad angulos rectos ducitur majori ut A N, eo quod ſit tertia proportionalis ipſis A B, Δ E, utravis eſſe minorem; ita ut quatuor continue proportionales ſint, ut enim A N ad Δ E ſic eſt Δ E ad A B & A B ad Δ Z.

τῆς εἴδους πλευρῶν. δεῖ δὲ εἰδέναι καὶ τοῦτο, διὰ τὸ εὔχρηστον τῆς καταγραφῶν. ἐπεὶ γὰρ ἄνισοί εἰσιν αἱ A B, Δ E διάμετροι, ἐν μόνῳ γὰρ κύκλῳ εἰσὶν ἴσαι, δῆλον ὅτι ἡ μὲν πρὸς ὀρθὰς ἀγομένη τῇ ἐλάσσονι αὐτῶν, ὡς ἐνταῦθα ἡ Δ Z, ἅτε τρίτη ἀνάλογον οὖσα τῶν Δ E, A B, μείζων ἐστὶν ἀμφοῖν· ἡ δὲ πρὸς ὀρθὰς ἀγομένη τῇ μείζονι, ὡς ἐνταῦθα ἡ A N, διὰ τὸ τρίτην ἀνάλογον εἶναι τῶν A B, Δ E, ἐλάσσων ἐστὶν ἀμφοῖν· ὥστε καὶ συνεχῶς εἶναι τὰς τέσσαρας ἀνάλογον, ὡς γὰρ ἡ A N πρὸς Δ E ἡ Δ E πρὸς A B καὶ ἡ A B πρὸς Δ Z.

Prop. XVII. *Theor.*

Si in coni ſectione à vertice ipſius ducatur recta linea parallela ordinatim applicatæ: extra ſectionem cadet.

ΠΡΟΤΑΣΙΣ ιζ΄.

Ἐὰν ἐν κώνου τομῇ ἀπὸ τῆς κορυφῆς τῆς τομῆς ἀχθῇ εὐθεῖα παρὰ τεταγμένως κατηγμένην· ἐκτὸς πεσεῖται τῆς τομῆς.

SIT coni ſectio, cujus diameter A B: dico rectam, quæ à vertice, hoc eſt à puncto A, ducitur parallela ei quæ ordinatim applicatur, extra ſectionem cadere.

Si enim fieri poteſt, cadat intra, ut A Γ. quoniam igitur in coni ſectione ſumptum eſt quoddam punctum Γ; recta, quæ ab ipſo Γ intra ſectionem ducitur, ordinatim applicatæ parallela, [per 7. huj.] diametro A B occurrit, atque ab ipſa bifariam ſecatur: quare A Γ producta bifariam ſecabitur à recta A B; quod eſt abſurdum: A Γ enim producta [per 10. huj.] extra ſectionem cadit. non igitur recta, quæ à puncto A ducitur ordinatim applicatæ parallela, cadet intra ſectionem: ergo extra cadet; & propterea ſectionem ipſam neceſſario continget.



Ἔστω κώνου τομή, ἧς διάμετρος ἡ A B· λέγω ὅτι ἡ ἀπὸ τῆς κορυφῆς, τουτέστι τοῦ A σημείου, παρὰ τεταγμένως κατηγμένην ἀγομένη εὐθεῖα ἐκτὸς πεσεῖται τῆς τομῆς.

Εἰ γὰρ δυνατόν, πιπτέτω ἐντός, ὡς ἡ A Γ. ἐπεὶ οὖν ἐν κώνου τομῇ εἴληπται τυχὸν σημεῖον τὸ Γ· ἡ ἄρα ἀπὸ τοῦ Γ σημείου ἐντὸς τῆς τομῆς ἀγομένη παρὰ τεταγμένως κατηγμένην συμβαλεῖ τῇ A B διαμέτρῳ, καὶ δίχα τμηθήσεται ὑπ' αὐτῆς· ἡ A Γ ἄρα ἐκβαλλομένη δίχα τμηθήσεται ὑπὸ τῆς A B, ὅπερ ἄτοπον· ἐκβαλλομένη γὰρ ἡ A Γ ἐκτὸς πίπτει τῆς τομῆς. οὐκ ἄρα ἡ ἀπὸ τοῦ A σημείου παρὰ τεταγμένως κατηγμένην ἀγομένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς γραμμῆς· ἐκτὸς ἄρα πεσεῖται, διόπερ ἐφάπτεται τῆς τομῆς.

EUTOCIUS.

Euclides in quinto decimo theoremate tertii libri elementorum oſtendit rectam, quæ ab extremitate diametri ad rectos angulos ducitur, cadere extra atque circulum ipſum contingere: *Apollonius* autem hoc loco univerſale quoddam demonſtrat, quod tum tribus coni ſectionibus, tum circulo convenit. hoc enim differt circulus à coni ſectionibus, quod in circulo ordinatim applicatæ perpendiculares ſunt ad diametrum; neque enim aliæ rectæ parallelæ à diametro circuli bifariam dividuntur: at in tribus ſectionibus, perpendiculares non ſemper ducuntur, præterquam ad ſolos axes.

Ὁ μὲν Εὐκλείδης ἐν τῷ δεκάτῳ πέμπτῳ θεωρήματι τοῦ τρίτου βιβλίου τῆς στοιχειώσεως ἔδειξεν, ὅτι ἡ πρὸς ὀρθὰς ἀγομένη ἀπ' ἄκρας τῆς διαμέτρου ἐκτός τε πίπτει καὶ ἐφάπτεται τοῦ κύκλου· ὁ δὲ Ἀπολλώνιος ἐν τούτῳ καθολικόν τι δεικνὺς δυνάμενον ἐφαρμόσαι ταῖς τρισὶ τοῦ κώνου τομαῖς καὶ τῷ κύκλῳ. τούτῳ γὰρ διαφέρει ὁ κύκλος τῶν τοῦ κώνου τομῶν, ὅτι ἐπ' ἐκείνου μὲν αἱ τεταγμέναι πρὸς ὀρθὰς ἄγονται τῇ διαμέτρῳ, οὐδὲ γὰρ ἄλλαι εὐθεῖαι παράλληλοι ἑαυταῖς ὑπὸ τῆς διαμέτρου τοῦ κύκλου διχοτομοῦνται· ἐπὶ δὲ τῶν τριῶν τομῶν οὐ πάντως πρὸς ὀρθὰς ἄγονται, εἰ μὴ ἐπὶ μόνους τοὺς ἄξονας.

Prop. XVIII. *Theor.*

Si recta linea coni ſectioni occurrat, productaque in utramque partem extra ſectionem cadat; ſumatur autem aliquod punctum intra ſectionem, & per ipſum ei quæ ſectioni occurrit parallela ducatur: ducta recta & producta ex utraque parte ſectioni occurret.

ΠΡΟΤΑΣΙΣ ιη΄.

Ἐὰν κώνου τομῇ εὐθεῖα συμπίπτουσα, ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πίπτῃ τῆς τομῆς, ληφθῇ δέ τι σημεῖον ἐντὸς τῆς τομῆς, καὶ δι' αὐτοῦ παράλληλος ἀχθῇ τῇ συμπιπτούσῃ· ἡ ἀχθεῖσα ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

SIT coni ſectio, atque ipſi occurrens recta A B Z, quæ producta in utramque partem extra ſectionem cadat; ſumpto autem intra ſe-

Ἔστω κώνου τομή, καὶ συμπιπτέτω αὐτῇ ἡ A B Z εὐθεῖα, καὶ ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς, καὶ εἰλήφθω τι σημεῖον ἐντὸς τῆς τομῆς

τομῆς τὸ Γ, καὶ διὰ τοῦ Γ τῇ ΑΖΒ παράλληλος ἤχθω ἡ ΓΔ· λέγω ὅτι ἡ ΓΔ ἐκβαλλομένη ἐφ᾽ ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

Εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΕΖ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ, καὶ τῇ ΑΒ συμπίπτει τις εὐθεῖα ἡ ΕΖ, καὶ ἡ ΓΔ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ ΕΖ. καὶ εἰ μὲν μεταξὺ τῶν Ε, Ζ, φανερὸν ὅτι καὶ τῇ τομῇ συμπίπτει· ἐὰν δὲ ἐκτὸς τοῦ Ε σημείου, πρότερον τῇ τομῇ συμπεσεῖται. ἡ ἄρα ΓΔ ἐκβαλλομένη, ὡς ἐπὶ τὰ Δ μέρη, συμπίπτει τῇ τομῇ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ὡς ἐπὶ Γ ἐκβαλλομένη συμπίπτει· ἡ ΓΔ ἄρα ἐκβαλλομένη ἐφ᾽ ἑκάτερα συμπεσεῖται τῇ τομῇ.





ctionem puncto aliquo Γ; per Γ ipsi ΑΖΒ parallela ducatur ΓΔ: dico ΓΔ productam ex utraque parte sectioni occurrere.

Sumatur enim aliquod punctum in ipsa sectione, quod sit Ε, & jungatur ΕΖ. & quoniam recta ΑΒ rectæ ΓΔ est parallela, ipsique ΑΒ occurrit recta ΕΖ, ΓΔ quoq; producta ipsi ΕΖ occurret. & siquidem cadat [ut in fig. 1.] inter Ε, Ζ puncta, perspicuum est ipsam sectioni occurrere; si vero [ut in fig. 2.] extra Ε, sectioni prius occurret: ergo ΓΔ producta, ut ad partes Δ, occurrit sectioni. similiter demonstrabitur, & ut ad partes Γ eidem occurrere: recta igitur ΓΔ producta ex utraque parte sectioni occurret.

EUTOCIUS.

Ἐν τισὶν ἀντιγράφοις τὸ θεώρημα τοῦτο ἐπὶ μόνης παραβολῆς καὶ ὑπερβολῆς ἐστι. κάλλιον δὲ καθολικώτερον ἔχειν τὴν πρότασιν, εἰ καὶ ὅτι ἐπὶ τῆς ἐλλείψεως ἐν ἐκείνοις ὡς ἐκ ἀμφίβολον παραλέλειπται· ἡ γὰρ ΓΔ, ἐντὸς οὖσα τῆς τομῆς πεπερασμένης οὔσης, καὶ αὐτὴ ἐκβαλλομένη κατ᾽ ἀμφότερα τέμνει τὴν τομήν. δεῖ δὲ ἐπιστῆσαι, ὅτι, κἂν ἡ ΑΖΒ τέμνῃ τὴν τομήν, ἡ αὐτὴ ἀπόδειξις ἁρμόζει.

In aliquibus exemplaribus hoc theorema in parabola & hyperbola tantummodo propositum ostendit. sed tamen præstat propositionem universaliorem esse; quamquam de ellipsi, ut minime dubium, in illis prætermissum videri potest; nam recta ΓΔ, intra sectionem terminatam existens, si producatur ex utraque parte, necessario ipsam secabit. sciendum autem est eandem congruere demonstrationem, etiam si ΑΖΒ secet ipsam sectionem.

ΠΡΟΤΑΣΙΣ ιθ΄.

Ἐν πάσῃ κώνου τομῇ, ἥτις ἂν ἀπὸ τῆς διαμέτρου παρὰ τεταγμένως κατηγμένην ἀχθῇ, συμπεσεῖται τῇ τομῇ.

Prop. XIX. *Theor.*

In omni sectione coni, recta linea, quæ à diametro ducitur ordinatim applicatæ parallela, cum sectione conveniet.

Ἔστω κώνου τομή, ἧς διάμετρος ἡ ΑΒ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς διαμέτρου τὸ Β, καὶ διὰ τοῦ Β παρὰ τεταγμένως κατηγμένην ἤχθω ἡ ΒΓ· λέγω ὅτι ἡ ΒΓ ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ.

Εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Δ, ἔστι δὲ καὶ τὸ Α ἐπὶ τῆς τομῆς· ἡ ἄρα ἀπὸ τοῦ Α ἐπὶ τὸ Δ ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς τομῆς. καὶ ἐπεὶ ἡ ἀπὸ τοῦ Α παρὰ τεταγμένως κατηγμένην ἀγομένη εὐθεῖα ἐκτὸς πίπτει τῆς τομῆς, καὶ συμπίπτει αὐτῇ ἡ ΑΔ, καὶ ἔστι τῇ κατηγμένῃ παράλληλος ἡ ΒΓ· καὶ ἡ ΒΓ ἄρα συμπεσεῖται τῇ ΑΔ. καὶ εἰ μὲν μεταξὺ τῶν Α, Δ σημείων, φανερὸν ὅτι καὶ τῇ τομῇ συμπεσεῖται. εἰ δὲ ἐκτὸς τοῦ Δ, ὡς κατὰ τὸ Ε, πρότερον τῇ τομῇ συμπεσεῖται. ἡ ἄρα ἀπὸ τοῦ Β παρὰ τεταγμένως κατηγμένην ἀγομένη εὐθεῖα συμπεσεῖται τῇ τομῇ.





Sit coni sectio, cujus diameter ΑΒ, sumaturque aliquod punctum Β in diametro; & per Β ducatur ΒΓ parallela ordinatim applicatæ: dico ΒΓ productam cum sectione convenire.

Sumatur enim quodlibet punctum Δ in sectione; est autem & punctum Α in sectione: ergo [per 10. huj.] à puncto Α ad Δ ducta recta intra sectionem cadet. & quoniam [per 17. huj.] quæ ab Α ducta est ordinatim applicatæ parallela, cadit extra sectionem, & cum ipsa convenit recta ΑΔ, itemque ΒΓ parallela est ordinatim applicatæ: sequitur quod ΒΓ etiam cum ΑΔ conveniet. & si quidem convenit inter puncta Α, Δ; perspicuum est eam cum sectione quoque convenire. si vero extra Δ, ut ad punctum Ε, prius conveniet cum sectione. ergo recta linea, quæ à puncto Β ducitur ordinatim applicatæ parallela, cum sectione conveniet.

Prop. XX. *Theor.*

Si in parabola duæ rectæ à sectione ad diametrum ordinatim applicentur: ut eorum quadrata inter sese, ita erunt & rectæ, quæ ab ipsis ex diametro ad verticem abscinduntur.

Sit parabola, cujus diameter A B; & in ipsa sumantur puncta quæpiam Γ, Δ, à quibus ad A B ordinatim applicentur Γ E, Δ Z: dico Z A ad ipsam A E ita esse ut quadratum rectæ Δ Z ad quadratum rectæ Γ E.

Sit enim A H, juxta quam possunt ordinatim applicatæ; erit [per 11. huj.] quadratum ex Δ Z rectangulo Z A H æquale. at quadratum ex Γ E æquale rectangulo E A H: quare ut quadratum ex Δ Z ad quadratum ex Γ E ita rectangulum Z A H ad rectangulum E A H. ut autem rectangulum Z A H ad rectangulum E A H, ita [per 1.6.] linea Z A ad lineam A E: ergo ut quadratum ex Δ Z ad quadratum ex Γ E, ita erit Z A ad A E.



ΠΡΟΤΑΣΙΣ κ'.

Ἐὰν ἐν παραβολῇ ἀπὸ τῆς τομῆς καταχθῶσι δύο εὐθεῖαι ἐπὶ τὴν διάμετρον τεταγμένως· ἔσται ὡς τὰ ἀπ' αὐτῶν τετράγωνα πρὸς ἄλληλα, οὕτως αἱ ἀποτεμνόμεναι ὑπ' αὐτῶν ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς.

Ἔστω παραβολή, ἧς διάμετρος ἡ A B, καὶ εἰλήφθω τινὰ σημεῖα ἐπ' αὐτῆς τὰ Γ, Δ, καὶ ἀπ' αὐτῶν Γ, Δ τεταγμένως κατήχθωσαν ἐπὶ τὴν A B αἱ Γ E, Δ Z· λέγω ὅτι ἐστὶν ὡς τὸ ἀπὸ Δ Z πρὸς τὸ ἀπὸ Γ E, οὕτως ἡ Z A πρὸς A E.

Ἔστω γὰρ παρ' ἣν δύνανται αἱ τεταγμένως καταγόμεναι ἡ A H· ἴσον ἄρα ἐστὶ τὸ μὲν ἀπὸ τῆς Δ Z τῷ ὑπὸ Z A H. τὸ δὲ ἀπὸ τῆς Γ E ἴσον τῷ ὑπὸ τῶν E A H· ἔστιν ἄρα ὡς τὸ ἀπὸ Δ Z πρὸς τὸ ἀπὸ Γ E, οὕτως τὸ ὑπὸ Z A H πρὸς τὸ ὑπὸ E A H. ὡς δὲ τὸ ὑπὸ Z A H πρὸς τὸ ὑπὸ E A H, οὕτως ἡ Z A πρὸς A E· καὶ ὡς ἄρα τὸ ἀπὸ Δ Z πρὸς τὸ ἀπὸ Γ E, οὕτως ἡ Z A πρὸς A E.

EUTOCIUS.

Ab hoc theoremate incipiens *Apollonius* deinceps in omnibus accidentia, quæ ipsi parabolæ insunt & non alii cuipiam, ostendit: sicut plerumque eadem hyperbolæ, ellipsi, & circulo convenire demonstrat. Quoniam autem non inutile visum est iis qui mechanica tradunt, ob instrumentorum penuriam, sæpenumero per continuata puncta coni sectiones in plano describere: ex hoc theoremate suppeditatur modus sumendi ea puncta continuata, per quæ parabola regulæ adminiculo designabitur. si enim exponamus rectam ut A B, & in ea sumamus puncta continuata E, Z, à quibus ad rectos angulos ipsi A B rectas E Γ, Z Δ ducamus *, sumpto in E Γ quolibet puncto Γ, longius quidem ab E si latiorem parabolam facere libuerit, si vero angustiorem propius; & fiat ut A E ad A Z ita quadratum ex E Γ ad quadratum ex Z Δ: puncta Γ, Δ in sectione erunt. Pari modo sumentur & alia puncta per quæ parabola describetur.

Ἀπὸ τούτου τοῦ θεωρήματος ἀρχόμενος ἐφεξῆς ἐν πᾶσι τὰ συμπτώματα τῆς παραβολῆς αὐτῇ δείκνυσιν ὑπάρχοντα καὶ οὐκ ἄλλῃ τινί· ὡς ἐπὶ τὸ πολὺ τῇ ὑπερβολῇ, καὶ τῇ ἐλλείψει, καὶ τῷ κύκλῳ τὰ αὐτὰ δείκνυσιν ὑπάρχοντα. Ἐπεὶ δὲ οὐκ ἄχρηστον φαίνεται τοῖς τὰ μηχανικὰ γράφουσι, διὰ τὴν ἀπορίαν τῶν ὀργάνων, καὶ πολλάκις διὰ συνεχῶν σημείων γράφειν τὰς τοῦ κώνου τομὰς ἐν ἐπιπέδῳ, διὰ τούτου τοῦ θεωρήματός ἐστι πορίσασθαι συνεχῆ σημεῖα, δι' ὧν γραφήσεται ἡ παραβολὴ κανόνος παραθέσει. ἐὰν γὰρ ἐκθῶ μὲν εὐθεῖαν, ὡς τὴν A B, καὶ ἐπ' αὐτῆς λάβω συνεχῆ σημεῖα, ὡς τὰ E, Z, καὶ ἀπ' αὐτῶν πρὸς ὀρθὰς τῇ A B, καὶ ποιήσω ὡς τὰς E Γ, Z Δ, λαβὼν ἐπὶ τῆς E Γ τυχὸν σημεῖον τὸ Γ, εἰ μὲν εὐρυτέραν βουληθείην ποιῆσαι παραβολήν, πόρρω τοῦ E, εἰ δὲ στενωτέραν, ἐγγύτερον, καὶ ποιήσω ὡς τὴν A E πρὸς A Z οὕτως τὸ ἀπὸ E Γ πρὸς τὸ ἀπὸ Z Δ· τὰ Γ, Δ σημεῖα ἐπὶ τῆς τομῆς ἔσται. ὁμοίως δὲ καὶ ἄλλα ληψόμεθα δι' ὧν γραφήσεται ἡ παραβολή.

Prop. XXI. *Theor.*

Si in hyperbola, vel ellipsi, vel circuli circumferentia rectæ lineæ ordinatim ad diametrum applicentur: erunt quadrata earum ad spatia contenta sub rectis, quæ inter ipsas & vertices transversi lateris figuræ interjiciuntur, ut figuræ rectum latus ad transversum inter sese vero, ut spatia quæ interjectis, ut diximus, rectis continentur.

ΠΡΟΤΑΣΙΣ κα'.

Ἐὰν ἐν ὑπερβολῇ, ἢ ἐλλείψει, ἢ κύκλου περιφερείᾳ εὐθεῖαι ἀχθῶσι τεταγμένως ἐπὶ τὴν διάμετρον· ἔσται τὰ ἀπ' αὐτῶν τετράγωνα πρὸς μὲν τὰ περιεχόμενα χωρία ὑπὸ τῶν ἀπολαμβανομένων ὑπ' αὐτῶν πρὸς τοῖς πέρασι τῆς πλαγίας πλευρᾶς τοῦ εἴδους, ὡς τοῦ εἴδους ἡ ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν· πρὸς ἄλληλα δέ, ὡς τὰ περιεχόμενα χωρία ὑπὸ τῶν, ὡς εἴρηται, ἀπολαμβανομένων εὐθειῶν.

* Non opus est ut rectæ E Γ, Z Δ, &c. sint ad rectos angulos ipsi A B, sufficit ut sint inter se parallelæ.

Ἔστω

ΕΣΤΩ ὑπερβολὴ, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια, ἧς διάμετρος μὲν ἡ ΑΒ, παρ' ἣν δὲ δύνανται αἱ καταγόμεναι ἡ ΑΓ, καὶ κατήχθωσαν ἐπὶ τὴν διάμετρον τεταγμένως αἱ ΔΕ, ΖΗ· λέγω ὅτι ἐστὶν ὡς μὲν τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ὑπὸ τῶν ΑΗΒ οὕτως ἡ ΑΓ πρὸς ΑΒ, ὡς δὲ τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΔΕ οὕτω τὸ ὑπὸ τῶν ΑΗΒ πρὸς τὸ ὑπὸ τῶν ΑΕΒ.

Επεζεύχθω γὰρ ἡ ΒΓ διορίζουσα τὸ εἶδος, καὶ διὰ τῶν Ε, Η τῇ ΑΓ παράλληλοι ἤχθωσαν αἱ ΕΘ, ΗΚ· ἴσον ἄρα ἐστὶ τὸ μὲν ἀπὸ τῆς ΖΗ τῷ ὑπὸ ΚΗΑ, τὸ δὲ ἀπὸ τῆς ΔΕ τῷ ὑπὸ ΘΕΑ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΚΗ πρὸς ΗΒ οὕτως ἡ ΓΑ πρὸς ΑΒ, ὡς δὲ ἡ ΚΗ πρὸς ΗΒ, τῆς ΑΗ κοινοῦ ὕψους λαμβανομένης, οὕτως τὸ ὑπὸ ΚΗΑ πρὸς τὸ ὑπὸ ΒΗΑ· ὡς ἄρα ἡ ΓΑ πρὸς ΑΒ οὕτως τὸ ὑπὸ ΚΗΑ, τουτέστι τὸ ἀπὸ ΖΗ, πρὸς τὸ ὑπὸ ΒΗΑ. διὰ τὰ αὐτὰ δὴ ἔσται καὶ ὡς τὸ ἀπὸ ΔΕ πρὸς τὸ ὑπὸ ΒΕΑ, οὕτως ΓΑ πρὸς ΑΒ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ὑπὸ ΒΗΑ, οὕτως τὸ ἀπὸ ΔΕ πρὸς τὸ ὑπὸ ΒΕΑ· καὶ ἐναλλὰξ ὡς τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ ΔΕ, οὕτως τὸ ὑπὸ ΒΗΑ πρὸς τὸ ὑπὸ ΒΕΑ.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter AB, recta autem juxta quam possunt applicatæ ΑΓ, & ad diametrum applicentur ordinatim ΔΕ, ΖΗ: dico ut quadratum ex ΖΗ ad rectangulum ΑΗΒ, ita esse ΑΓ ad ΑΒ; ut vero quadratum ex ΖΗ ad quadratum ex ΔΕ, ita rectangulum ΑΗΒ ad rectangulum ΑΕΒ.

Jungatur enim ΒΓ figuram determinans, & per Ε, Η puncta ipsi ΑΓ parallelæ ducantur ΕΘ, ΗΚ: quadratum igitur ex ΖΗ æquale est [per 12, aut 13. huj.] rectangulo ΚΗΑ, & quadratum ex ΔΕ rectangulo ΘΕΑ. quoniam autem ut ΚΗ ad ΗΒ, ita est [per 4. 6.] ΓΑ ad ΑΒ; & ut ΚΗ ad ΗΒ sumptâ ΑΗ communi altitudine, ita [per 1. 6.] rectangulum ΚΗΑ ad rectangulum ΒΗΑ: erit [per 11. 5.] ut ΓΑ ad ΑΒ, ita rectangulum ΚΗΑ (hoc est quadratum ex ΖΗ) ad rectangulum ΒΗΑ. eadem ratione demonstrabitur etiam ut quadratum ex ΔΕ ad rectangulum ΒΕΑ, ita ΓΑ ad ΑΒ: ergo [per 11. 5.] ut quadratum ex ΖΗ ad rectangulum ΒΗΑ, ita quadratum ex ΔΕ ad ΒΕΑ rectangulum; & permutando, ut quadratum ex ΖΗ ad quadratum ex ΔΕ, ita rectangulum ΒΗΑ ad rectangulum ΒΕΑ.



EUTOCIUS.

Τὸ θεώρημα σαφῶς ἔκκειται, καὶ πτῶσιν οὐκ ἔχει. δεῖ μέντοι ἐπιστῆσαι, ὅτι ἡ παρ' ἣν δύνανται, τουτέστιν ὀρθία πλευρὰ, ἐπὶ τοῦ κύκλου ἴση ἐστὶ τῇ διαμέτρῳ. εἰ γάρ ἐστιν ὡς τὸ ἀπὸ ΔΕ πρὸς τὸ ὑπὸ ΑΕΒ οὕτως ἡ ΓΑ πρὸς ΑΒ, ἴσον δὲ τὸ ἀπὸ ΔΕ τῷ ὑπὸ ΑΕΒ ἐπὶ τοῦ κύκλου· ἴση ἄρα καὶ ἡ ΓΑ τῇ ΑΒ. δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι αἱ καταγόμεναι ἐν τῇ τοῦ κύκλου περιφερείᾳ πρὸς ὀρθάς εἰσι πάντως τῇ διαμέτρῳ, καὶ ἐπ' εὐθείας γίνονται ταῖς παραλλήλοις τῇ ΑΓ.

Διὰ δὲ τούτου τοῦ θεωρήματος, τῷ αὐτῷ τρόπῳ τοῖς ἐπὶ τῆς παραβολῆς εἰρημένοις προσέχοντες, γράφομεν ὑπερβολὴν καὶ ἔλλειψιν κανόνος παραθέσει. ἐκκείσθω γὰρ εὐθεῖα ἡ ΑΒ, καὶ προσεκβεβλήσθω ἐπ' ἄπειρον ἐπὶ τὸ Η, καὶ ἀπὸ τοῦ Α ταύτῃ πρὸς ὀρθὰς ἤχθω ἡ ΑΓ, καὶ ἐπεζεύχθω ἡ ΒΓ καὶ ἐκβεβλήσθω, καὶ εἰλήφθω τινὰ σημεῖα ἐπὶ τῆς ΑΗ τὰ Ε, Η, καὶ ἀπὸ τῶν Ε, Η τῇ ΑΓ παράλληλοι ἤχθωσαν αἱ ΕΘ, ΗΚ, καὶ γινέσθω τὸ μὲν ὑπὸ ΑΗΚ ἴσον τῷ ἀπὸ ΖΗ, τὸ δὲ ὑπὸ ΑΕΘ ἴσον τῷ ἀπὸ ΔΕ· διὰ γὰρ τῶν Α, Δ, Ζ ἥξει ἡ ὑπερβολή. ὁμοίως δὲ κατασκευάσομεν καὶ τὰ ἐπὶ τῆς ἐλλείψεως.

Theorema manifeste exponitur, & casum non habet. oportet autem scire lineam juxta quam possunt, videlicet rectum figuræ latus, in circulo quidem diametro æquale esse. quoniam enim ut quadratum ex ΔΕ ad rectangulum ΑΕΒ ita est ΓΑ ad ΑΒ; quadratum autem ex ΔΕ rectangulo ΑΕΒ in circulo est æquale; sequitur quod & ΓΑ æqualis sit ipsi ΑΒ. Sed illud quoque sciendum est, lineas, quæ in circuli circumferentia ordinatim applicantur, ad diametrum perpendiculares esse, atque in iisdem rectis lineis in quibus sunt parallelæ ipsi ΑΓ.

Per hoc autem theorema, eo modo quo dictum est in parabola, hyperbolam & ellipsim regulæ adminiculo describemus. exponatur enim recta linea ΑΒ, & in infinitum producatur ad Η; à puncto autem Α ad rectos angulos ipsi ΑΒ ducatur ΑΓ: junctaque ΒΓ & producta, sumantur in linea ΑΗ puncta quædam Ε, Η, & à punctis Ε, Η ipsi ΑΓ parallelæ ducantur ΕΘ, ΗΚ, & fiat ΑΗΚ rectangulum æquale quadrato ex ΖΗ, & rectangulum ΑΕΘ æquale ipsi quadrato ex ΔΕ; & transibit hyperbola per puncta Α, Δ, Ζ. similiter eadem & in ellipsi construemus.

Prop. XXII. Theor.

Si parabolam vel hyperbolam recta linea in duobus punctis secet, non conveniens cum diametro sectionis intra sectionem: producta cum eadem diametro extra sectionem conveniet.

SIT parabola, vel hyperbola, cujus diameter AB; & secet quæpiam recta linea sectionem in duobus punctis Γ, Δ: dico rectam ΓΔ productam convenire cum ipsa AB extra sectionem.

Applicentur enim à punctis Γ, Δ ordinatim rectæ ΓE, ΔB, & sit primum sectio parabola. quoniam igitur in parabola, ut quadratum ex ΓE ad quadratum ex ΔB, ita est [per 20. huj.] EA ad AB; major autem EA quam AB: erit quadratum ex ΓE quadrato ex ΔB majus; quare & linea ΓE major ipsa ΔB. & sunt inter sese parallelæ: ergo recta ΓΔ producta cum diametro AB extra sectionem conveniet. sed sit sectio hyperbola. itaq; quoniam [per 21. huj.] in hyberbola ut quadratum ex ΓE ad quadratum ex ΔB, ita est rectangulum ZEA ad rectangulum ZBA; quadratum ex ΓE majus erit quadrato ex ΔB. & sunt parallelæ: igitur ΓΔ producta cum diametro sectionis extra sectionem conveniet.



ΠΡΟΤΑΣΙΣ κβ'.

Ἐὰν παραβολὴν ἢ ὑπερβολὴν εὐθεῖα τέμνῃ κατὰ δύο σημεῖα, μὴ συμπίπτουσα τῇ διαμέτρῳ τῆς τομῆς ἐντὸς τῆς τομῆς· συμπεσεῖται ἐκβαλλομένη τῇ διαμέτρῳ τῆς τομῆς ἐκτὸς τῆς τομῆς.

ΕΣΤΩ παραβολὴ ἢ ὑπερβολή, ἧς διάμετρος ἡ AB, καὶ τεμνέτω τις εὐθεῖα τὴν τομὴν κατὰ δύο σημεῖα τὰ Γ, Δ, μὴ συμπίπτουσα τῇ διαμέτρῳ ἐντός· λέγω ὅτι ἡ ΓΔ ἐκβαλλομένη συμπεσεῖται ἐκτὸς τῆς τομῆς τῇ AB.

Κατήχθωσαν ἀπὸ τῶν Γ, Δ τεταγμένως αἱ ΓE, ΔB, ἔστω δὲ πρῶτον ἡ τομὴ παραβολή. ἐπεὶ οὖν ἐν τῇ παραβολῇ ἐστιν ὡς τὸ ἀπὸ τῆς ΓE πρὸς τὸ ἀπὸ τῆς ΔB οὕτως ἡ EA πρὸς AB, μείζων δὲ ἡ EA τῆς AB· μεῖζον ἄρα καὶ τὸ ἀπὸ τῆς ΓE τοῦ ἀπὸ τῆς ΔB, ὥστε καὶ ἡ ΓE τῆς ΔB μείζων ἐστί. καί εἰσι παράλληλοι· ἡ ΓΔ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ AB διαμέτρῳ ἐκτὸς τῆς τομῆς. ἀλλὰ δὴ ἔστω ὑπερβολή. ἐπεὶ οὖν ἐν τῇ ὑπερβολῇ ἐστιν ὡς τὸ ἀπὸ τῆς ΓE πρὸς τὸ ἀπὸ τῆς ΔB, οὕτως τὸ ὑπὸ ZEA πρὸς τὸ ὑπὸ ZBA· μεῖζον ἄρα καὶ τὸ ἀπὸ τῆς ΓE τοῦ ἀπὸ τῆς ΔB. καί εἰσι παράλληλοι· ἡ ΓΔ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ τῆς τομῆς ἐκτὸς τῆς τομῆς.



Prop. XXIII. Theor.

Si ellipsim recta linea secet inter duas diametros sita: producta cum utraque earum extra sectionem conveniet.

SIT ellipsis, cujus diametri AB, ΓΔ; & secet quædam recta sectionem, videlicet ipsa EZ, inter duas diametros AB, ΓΔ interjecta: dico EZ productam convenire cum utraque earum extra sectionem.

Applicentur enim à punctis E, Z ordinatim ad diametrum quidem AB rectæ HE, ZΘ; ad ΔΓ vero EK, ZΛ: est igitur [per 21. huj.] ut quadratum ex EH ad quadratum ex ZΘ, ita rectangulum BHA ad rectangulum BΘA. ut autem quadratum ex ZΛ ad quadratum ex EK, ita rectangulum ΔΛΓ ad



ΠΡΟΤΑΣΙΣ κγ'.

Ἐὰν ἔλλειψιν εὐθεῖα τέμνῃ μεταξὺ κειμένη τῶν διαμέτρων· ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν διαμέτρων ἐκτὸς τῆς τομῆς.

ΕΣΤΩ ἔλλειψις, ἧς διάμετροι AB, ΓΔ, καὶ τεμνέτω τις εὐθεῖα τὴν τομὴν ἡ EZ μεταξὺ κειμένη τῶν AB, ΓΔ διαμέτρων· λέγω ὅτι ἡ EZ ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν AB, ΓΔ ἐκτὸς τῆς τομῆς.

Κατήχθωσαν γὰρ ἀπὸ τῶν E, Z τεταγμένως ἐπὶ μὲν AB αἱ HE, ZΘ, ἐπὶ δὲ τὴν ΔΓ αἱ EK, ZΛ· ἔστιν ἄρα ὡς μὲν τὸ ἀπὸ τῆς EH πρὸς τὸ ἀπὸ τῆς ZΘ, οὕτως τὸ ὑπὸ BHA πρὸς τὸ ὑπὸ BΘA. ὡς δὲ τὸ ἀπὸ ZΛ πρὸς τὸ ἀπὸ EK, οὕτως τὸ ὑπὸ ΔΛΓ πρὸς τὸ ὑπὸ ΔKΓ, ΔΚΓ, καὶ ἔστι τὸ μὲν ὑπὸ ΒΗΑ μεῖζον τοῦ ὑπὸ ΒΘΑ, ἔγγιον γὰρ τὸ Η τῆς διχοτομίας, τὸ δὲ ὑπὸ ΔΛΓ τοῦ ὑπὸ ΔΚΓ μεῖζον· μεῖζον ἄρα καὶ τὸ μὲν ἀπὸ τῆς ΗΕ τοῦ ἀπὸ ΖΘ. τὸ δὲ ἀπὸ ΖΛ τοῦ ἀπὸ ΕΚ μεῖζόν ἐστι· μείζων ἄρα καὶ ἡ μὲν ΗΕ τῆς ΖΘ, ἡ δὲ ΖΛ τῆς ΕΚ. καὶ ἔστι παράλληλος ἡ μὲν ΗΕ τῇ ΖΘ, ἡ δὲ ΖΛ τῇ ΕΚ· ἡ ΕΖ ἄρα ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν ΑΒ, ΓΔ διαμέτρων ἐκτὸς τῆς τομῆς.

rectangulum ΔΚΓ, atque est [per 5. 2.] rectangulum ΒΗΑ majus rectangulo ΒΘΑ; etenim Η propius accedit ad punctum quo diameter ΑΒ bifariam secatur; & rectangulum ΔΛΓ majus est rectangulo ΔΚΓ: quadratum igitur ex ΗΕ majus est quadrato ex ΖΘ, & quadratum ex ΖΛ majus quadrato ex ΕΚ: idcirco linea ΗΕ major est quam ipsa ΖΘ, & ΖΛ major quam ΕΚ. parallela autem est ΗΕ ipsi ΖΘ, itemque ΖΛ ipsi ΕΚ: ergo ΕΖ producta cum utraque diametro ΑΒ, ΓΔ extra sectionem conveniet.

EUTOCIUS.

Δεῖ δὲ ἐπιστῆσαι, ὅτι ἐν τῇ προτάσει δύο διαμέτρους λέγει, οὐχ ἁπλῶς τὰς τυχούσας, ἀλλὰ τὰς καλουμένας συζυγεῖς, ὧν ἑκατέρα παρὰ τεταγμένως κατηγμένην ἦκται, καὶ μέσον λόγον ἔχει τῶν τοῦ εἴδους πλευρῶν τῆς ἑτέρας διαμέτρου, καὶ διὰ τοῦτο δίχα τέμνουσι τὰς ἀλλήλων παραλλήλους, ὡς δέδεικται ἐν τῷ ιε΄ θεωρήματι. εἰ γὰρ μὴ οὕτως ληφθῇ, συμβήσεται τὴν μεταξὺ εὐθεῖαν τῶν δύο διαμέτρων τῇ ἑτέρᾳ αὐτῶν παράλληλον εἶναι, ὅπερ οὐχ ὑπόκειται. ἐπειδὴ δὲ τὸ Η ἔγγιόν ἐστι τοῦ Μ, τῆς διχοτομίας τῆς ΑΒ, ἤπερ τὸ Θ, καὶ ἔστι τὸ μὲν ὑπὸ ΒΗΑ μετὰ τοῦ ἀπὸ ΗΜ ἴσον τῷ ἀπὸ τῆς ΑΜ, τὸ δὲ ὑπὸ ΒΘΑ μετὰ τοῦ ἀπὸ τῆς ΘΜ ἴσον τῷ αὐτῷ, τὸ δὲ ἀπὸ ΘΜ τοῦ ἀπὸ ΗΜ μεῖζον· τὸ ἄρα ὑπὸ ΒΗΑ μεῖζον τοῦ ὑπὸ ΒΘΑ.

Attendendum est in propositione *Apollonium* duas diametros intelligere, non simpliciter quascunque, sed quæ conjugatæ diametri appellantur; quarum utraque ordinatim applicatæ parallela ducitur, mediamque proportionem habet inter latera figuræ alterius diametri; & idcirco rectas invicem parallelas bifariam dividunt, ut in decimo-quinto theoremate est demonstratum. nisi enim ita sit, continget, lineam inter duas diametros inter-mediam alteri ipsarum esse parallelam, quod fieri non potest. quoniam autem Η propius accedit ad Μ medium punctum rectæ ΑΒ quam ipsum Θ, rectangulum quidem ΒΗΑ una cum quadrato ex ΗΜ æquale est quadrato ex ΑΜ, rectangulum vero ΒΘΑ una cum quadrato ex ΘΜ eidem est æquale; & quadratum ex ΘΜ majus est quadrato ex ΗΜ: erit igitur rectangulum ΒΗΑ rectangulo ΒΘΑ majus.

ΠΡΟΤΑΣΙΣ κδ΄.

Ἐὰν παραβολῇ ἢ ὑπερβολῇ εὐθεῖα, καθ' ἓν σημεῖον συμπίπτουσα, ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πίπτῃ τῆς τομῆς· συμπεσεῖται τῇ διαμέτρῳ.

ΕΣΤΩ παραβολὴ ἢ ὑπερβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ συμπιπτέτω αὐτῇ εὐθεῖα ἡ ΓΔΕ κατὰ τὸ Δ, καὶ ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς· λέγω ὅτι συμπεσεῖται τῇ ΑΒ διαμέτρῳ.



Εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΔΖ· ἡ ΔΖ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ ἐκτὸς τῆς τομῆς. συμπιπτέτω κατὰ τὸ Α, καὶ ἔστι μεταξὺ τῆς τε τομῆς καὶ τῆς ΔΑ ἡ ΔΕ· ἡ ΓΔΕ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ ἐκτὸς τῆς τομῆς.

Prop. XXIV. *Theor.*

Si parabolæ vel hyperbolæ recta linea, in uno puncto occurrens, producta ex utraque parte extra sectionem cadat: cum diametro conveniet.

SIT parabola vel hyperbola, cujus diameter ΑΒ; occurratque ipsi recta ΓΔΕ in puncto Δ, quæ producta ex utraque parte extra sectionem cadat: dico ΓΔΕ cum diametro ΑΒ convenire.



Sumatur enim aliquod punctum Ζ in sectione; & jungatur ΔΖ: ergo [per 22. hujus] ΔΖ producta conveniet cum diametro extra sectionem. conveniat autem in Α puncto, & recta ΔΕ est inter sectionem & ΔΑ. recta igitur ΓΔΕ producta cum diametro extra sectionem conveniet.

ΠΡΟΤΑΣΙΣ κε΄.

Ἐὰν ἐλλείψει εὐθεῖα συμπίπτουσα μεταξὺ τῶν δύο διαμέτρων, ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς

Prop. XXV. *Theor.*

Si ellipsi recta linea occurrens inter duas diametros *, producta ex utraque

* Nempe conjugatos ut in XXIII.

parte

parte cadat extra sectionem: cum utraque diametro conveniet.

πίπτῃ τῆς τομῆς· συμπεσεῖται ἑκατέρᾳ τῶν διαμέτρων.

SIT ellipsis, cujus diametri A B, Γ Δ; & ipsi occurrat recta E Z inter duas diametros in puncto H; & producta in utramque partem extra sectionem cadat: dico E Z cum utraque diametro A B, Γ Δ convenire.



Applicentur enim à puncto H ordinatim ad diametros A B, Γ Δ rectæ H Θ, H K. itaque quoniam H K est parallela ipsi A B, convenit autem quædam E Z cum H K; cum ipsa quoque A B conveniet. eodem modo & E Z cum diametro Γ Δ convenire demonstrabitur.

ΕΣΤΩ ἔλλειψις, ἧς διάμετροι αἱ A B, Γ Δ, καὶ ταύτῃ συμπιπτέτω τις εὐθεῖα μεταξὺ τῶν δύο διαμέτρων ἡ E Z κατὰ τὸ H, καὶ ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς· λέγω ὅτι ἡ E Z συμπεσεῖται ἑκατέρᾳ τῶν A B, Γ Δ.

Κατήχθωσαν ἀπὸ τοῦ H ἐπὶ τὰς A B, Γ Δ τεταγμένως αἱ H Θ, H K. ἐπεὶ παράλληλός ἐστιν ἡ H K τῇ A B, συμπέπτωκε δέ τις τῇ H K ἡ E Z· καὶ τῇ A B ἄρα συμπεσεῖται. ὁμοίως δὴ καὶ τῇ Γ Δ συμπεσεῖται E Z.

Prop. XXVI. *Theor.*

ΠΡΟΤΑΣΙΣ κϛʹ.

Si in parabola vel hyperbola recta linea ducatur diametro sectionis parallela: in uno tantum puncto cum sectione conveniet.

Ἐὰν παραβολῇ ἢ ὑπερβολῇ εὐθεῖα ἀχθῇ παρὰ τὴν διάμετρον τῆς τομῆς· συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον.

SIT primum parabola, cujus diameter A B Γ, rectum autem latus A Δ; & ipsi A B parallela ducatur E Z: dico E Z productam cum sectione convenire.

Sumatur enim in ipsa E Z aliquod punctum E, à quo ducatur E H ordinatim applicatæ parallela, & quadrato ex H E majus sit rectangulum Δ A Γ; à puncto autem Γ ordinatim applicetur Γ Θ: ergo [per 11. huj.] quadratum ex Θ Γ æquale est rectangulo Δ A Γ. atque est rectangulum Δ A Γ majus quadrato ex E H: quadratum igitur ex Θ Γ quadrato ex E H majus erit; & idcirco linea Θ Γ major linea E H. & sunt parallelæ inter se: ergo E Z producta secabit Θ Γ; propertereaque conveniet cum sectione. conveniat in K. dico in uno tantum puncto K convenire. si enim fieri potest, conveniat etiam in Λ. quoniam igitur parabolam recta linea secat in duobus punctis, si producatur [per 22. huj.] conveniet cum diametro sectionis; quod est absurdum. positum enim est ipsi esse parallelam. ergo E Z producta in uno tantum puncto cum sectione conveniet.



ΕΣΤΩ πρότερον παραβολή, ἧς διάμετρος A B Γ, ὀρθία δὲ A Δ, καὶ τῇ A B παράλληλος ἤχθω ἡ E Z· λέγω ὅτι ἡ E Z ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ.

Εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς E Z, τὸ E, καὶ ἀπὸ τοῦ E παρὰ τεταγμένως κατηγμένην ἤχθω ἡ E H, καὶ τοῦ ἀπὸ τῆς H E μεῖζον ἔστω τὸ ὑπὸ Δ A Γ, καὶ ἀπὸ τοῦ Γ τεταγμένως ἀνήχθω ἡ Γ Θ· τὸ ἄρα ἀπὸ τῆς Θ Γ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν Δ A Γ. μεῖζον δὲ τὸ ὑπὸ Δ A Γ τοῦ ἀπὸ E H· μεῖζον ἄρα καὶ τὸ ἀπὸ Θ Γ τοῦ ἀπὸ E H· μείζων ἄρα καὶ ἡ Θ Γ τῆς E H. καί εἰσι παράλληλοι· ἡ E Z ἄρα ἐκβαλλομένη τέμνει τὴν Θ Γ, ὥστε καὶ τῇ τομῇ συμπεσεῖται. συμπιπτέτω κατὰ τὸ K. λέγω δὴ ὅτι καὶ καθ' ἓν μόνον σημεῖον τὸ K συμπεσεῖται. εἰ γὰρ δυνατὸν συμπιπτέτω καὶ κατὰ τὸ Λ. ἐπεὶ οὖν παραβολὴν εὐθεῖα τέμνει κατὰ δύο σημεῖα, ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ τῆς τομῆς· ὅπερ ἄτοπον. ὑπόκειται γὰρ παράλληλος. ἡ E Z ἄρα ἐκβαλλομένη καθ' ἓν μόνον σημεῖον συμπίπτει τῇ τομῇ.

Ἔστω

Ἔστω δὴ ἡ τομὴ ὑπερβολή, πλαγία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΑΒ, ὀρθία δὲ ἡ ΑΔ, καὶ ἐπιζεύχθω ἡ ΔΒ, καὶ ἐκβεβλήσθω· τῶν αὐτῶν δὴ κατασκευασθέντων, ἤχθω ἀπὸ τοῦ Γ τῇ ΑΔ παράλληλος ἡ ΓΜ. ἐπεὶ οὖν τὸ ὑπὸ ΜΓΑ μεῖζόν ἐστι τοῦ ὑπὸ ΔΑΓ, καὶ ἔστι τῷ μὲν ΜΓΑ ἴσον τὸ ἀπὸ ΓΘ, τὸ δὲ ὑπὸ ΔΑΓ μεῖζον τοῦ ἀπὸ ΗΕ· μεῖζον ἄρα καὶ τὸ ἀπὸ ΓΘ τοῦ ἀπὸ ΕΗ· ὥστε καὶ ἡ ΓΘ τῆς ΕΗ μείζων ἐστί, καὶ τὰ αὐτὰ τοῖς πρότερον συμβήσεται.



Sit deinde sectio hyperbola; transversum vero figuræ latus AB, & AΔ rectum; jungaturque ΔB & producatur: iisdem igitur, quæ supra, dispositis, ducatur à puncto Γ ipsi AΔ parallela ΓM. & quoniam rectangulum MΓA majus est rectangulo ΔAΓ; ipsique MΓA æquale est [per 12.huj.] quadratum ex ΓΘ; & ΔAΓ rectangulum majus est quadrato ex HE: erit & quadratum ex ΓΘ quadrato ex EH majus; & ideo linea ΓΘ major linea EH; hinc eadem quæ supra in parabola consequentur.

ΠΡΟΤΑΣΙΣ κζ.

Ἐὰν παραβολῆς τὴν διάμετρον εὐθεῖα τέμνῃ ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

Ἔστω παραβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ ταύτην τεμνέτω τις εὐθεῖα ἐντὸς τῆς τομῆς ἡ ΓΔ· λέγω ὅτι ἡ ΓΔ ἐκβαλλομένη ἐφ' ἑκάτερα τὰ μέρη συμπεσεῖται τῇ τομῇ.

Ἤχθω γάρ τις ἀπὸ τοῦ Α παρὰ τεταγμένως κατηγμένην ἡ ΑΕ· ἡ ΑΕ ἄρα ἐκτὸς πεσεῖται τῆς τομῆς· ἤτοι δὴ ἡ ΓΔ τῇ ΑΕ παράλληλός ἐστιν, ἢ οὔ. εἰ μὲν οὖν παράλληλός ἐστιν αὐτῇ, τεταγμένως κατῆκται· ὥστε ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

Μὴ ἔστω δὴ παράλληλος τῇ ΑΕ, ἀλλ' ἐκβαλλομένη συμπιπτέτω τῇ ΑΕ κατὰ τὸ Ε. ὅτι μὲν οὖν τῇ τομῇ συμπίπτει, ἐπὶ τὰ μέρη ἐφ' ἅ ἐστι τὸ Ε, φανερόν. εἰ γὰρ τῇ ΑΕ συμβάλλει, πολὺ πρότερον τέμνει τὴν τομήν. λέγω πάλιν ὅτι καὶ ἐπὶ τὰ ἕτερα μέρη ἐκβαλλομένη συμπίπτει τῇ τομῇ. ἔστω γὰρ παρ' ἣν δύνανται ἡ ΜΑ, καὶ τεταγμένως κατηγμένη ἡ ΗΖ, καὶ τὸ ἀπὸ ΑΔ ἴσον ἔστω τῷ ὑπὸ ΒΑΖ, καὶ παρὰ τεταγμένως κατηγμένην ἡ ΓΒ συμπιπτέτω τῇ ΔΓ κατὰ τὸ Γ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ὑπὸ ΖΑΒ τῷ ἀπὸ ΑΔ· ἔστιν ὡς ἡ ΑΒ πρὸς ΑΔ ἡ ΔΑ πρὸς ΑΖ· καὶ λοιπὴ ἄρα ἡ ΒΔ πρὸς λοιπὴν τὴν ΔΖ ἐστὶν ὡς ἡ ΒΑ πρὸς ΑΔ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ ΖΔ οὕτως τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ. ἐπειδὴ δὲ ἴσον τὸ ἀπὸ ΑΔ τῷ ὑπὸ

Prop. XXVII. *Theor.*

Si parabolæ diametrum secet recta linea: producta in utramque partem cum sectione conveniet.

Sit parabola, cujus diameter AB; & ipsam AB secet quæpiam recta ΓΔ intra sectionem: dico ΓΔ productam in utramque partem cum sectione convenire.

Ducatur enim à puncto A ordinatim applicatæ parallela AE; ergo [per 17. huj.] AE extra sectionem cadet: itaque vel ΓΔ ipsi AE parallela est, vel non. & si quidem sit parallela, ordinatim applicata est: quare [per 19.huj.] producta in utramque partem conveniet cum sectione.



Sed non sit parallela, verum producatur & conveniat cum AE in E puncto. constat igitur ipsam cum sectione convenire ad partes E. si enim convenit cum AE, multo prius sectioni occurrit. dico rursus eandem & ad alteras partes productam convenire cum sectione. sit enim MA linea juxta quam possunt, & HZ ordinatim applicetur; quadratum autem ex AΔ æquale sit rectangulo BAZ; & ordinatim applicatæ parallela BΓ conveniat cum ΔΓ in Γ puncto. quoniam igitur rectangulum ZAB æquale est quadrato ex AΔ; erit [per 17. 6.] ut AB ad AΔ ita ΔA ad AZ: quare [per 19. 5.] & reliqua BΔ ad reliquam ΔZ est ut BA ad AΔ: & propterea [per 22. 6.] ut quadratum ex BΔ ad quadratum ex ZΔ, ita quadratum ex BA ad quadratum ex AΔ. rursus quoniam quadratum ex AΔ æquale est rectangulo

BAZ,

BAZ, ut BA ad AZ sic [per cor. 20. 6.] erit quadratum ex BA ad quadratum ex AΔ; hoc est quadratum ex BΔ ad quadratum ex ΔZ. ut autem quadratum ex BΔ ad quadratum ex ΔZ, sic quadratum ex BΓ ad quadratum ex ZH; & [per 1. 6.] ut BA ad AZ sic rectangulum BAM ad rectangulum ZAM: igitur ut quadratum ex BΓ ad quadratum ex ZH ita rectangulum BAM ad ipsum ZAM, & permutando [per 16. 5.] ut quadratum ex BΓ ad rectangulum BAM ita quadratum ex ZH ad rectangulum ZAM. at [per 11. huj.] quadratum ex ZH aequale est rectangulo ZAM, propter sectionem: ergo & quadratum ex BΓ rectangulo BAM aequale erit. est autem [per constr.] AM rectum figurae latus, & BΓ ordinatim applicatae parallela: sectio igitur transit per Γ punctum, & ΓΔ cum sectione necessario convenit in puncto Γ.



BAZ, ἔστιν ὡς ἡ BA πρὸς AZ οὕτως τὸ ἀπὸ BA πρὸς τὸ ἀπὸ AΔ, τουτέστι τὸ ἀπὸ BΔ πρὸς τὸ ἀπὸ ΔZ. ὡς δὲ τὸ ἀπὸ BΔ πρὸς τὸ ἀπὸ ΔZ οὕτως τὸ ἀπὸ BΓ πρὸς τὸ ἀπὸ ZH· ὡς δὲ ἡ BA πρὸς AZ οὕτως τὸ ὑπὸ BAM πρὸς τὸ ὑπὸ ZAM· ὡς ἄρα τὸ ἀπὸ BΓ πρὸς τὸ ἀπὸ ZH οὕτως τὸ ὑπὸ BAM πρὸς τὸ ὑπὸ ZAM· καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ BΓ πρὸς τὸ ὑπὸ BAM οὕτως τὸ ἀπὸ ZH πρὸς τὸ ὑπὸ ZAM. τὸ δὲ ἀπὸ ZH ἴσον τῷ ὑπὸ ZAM, διὰ τὴν τομήν· καὶ τὸ ἀπὸ BΓ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ BAM. πλαγία δὲ ἡ AM, παρὰ τεταγμένως δὲ κατηγμένην ἡ BΓ· ἡ ἄρα τομὴ ἔρχεται διὰ τοῦ Γ, καὶ συμπίπτει τῇ τομῇ ἡ ΓΔ κατὰ τὸ Γ.

EUTOCIUS.

In aliquibus exemplaribus vigesimiseptimi theorematis talis legitur demonstratio.

SIT parabola cujus diameter AB, & hanc secet recta quaedam HΔ intra sectionem: dico HΔ productam ad utrasque partes cum sectione convenire.

Ducatur enim per A punctum ordinatim applicatae parallela AE: ergo [per 17. huj.] AE cadet extra sectionem; itaque vel HΔ ipsi AE parallela erit, vel non. & siquidem HE sit parallela, ipsa ordinatim applicata est, ideoque [per 19. huj.] si producatur ad utrasque partes, bifariam secta à diametro conveniet cum sectione. sed non sit ipsi AE parallela, sed producta conveniat cum AE in E puncto. perspicuum est ipsam, si cum AE convenit, multo prius sectioni occurrere.

Dico etiam ad alteras partes productam cum sectione convenire. sit enim MA linea juxta quam possunt, & in directum ipsi producatur AZ: ergo MA ad AB est perpendicularis. fiat ut quadratum ex AE ad triangulum ABΔ sic linea MA ad AZ; & per puncta M, Z ipsi AB parallelae ducantur ZHK, MN. cum igitur quadrilaterum sit ΛAΔH, & positione datur ΛA; ducatur ΓKB ipsi ΛA parallela, quae abscindat ΓKH triangulum quadrilatero ΛAΔH aequale, & per B ipsi ZAM parallela ducatur ΞBN. itaque quoniam [per constr.] ut quadratum ex AE ad triangulum AEΔ ita est MA ad AZ, & ut quadratum ex AE ad AEΔ triangulum ita quadratum ex ΓB ad triangulum ΔΓB; ete-



Ἐν τισιν ἀντιγράφοις τοῦ εἰκοστοῦ ἑβδόμου θεωρήματος φέρεται τοιαύτη ἀπόδειξις.

Ἔστω παραβολὴ ἧς διάμετρος ἡ AB, καὶ ταύτην τεμνέτω εὐθεῖά τις ἡ HΔ ἐντὸς τῆς τομῆς· λέγω ὅτι ἡ HΔ ἐκβαλλομένη ἐφ' ἑκάτερα τὰ μέρη συμπεσεῖται τῇ τομῇ.

Ἤχθω γάρ τις διὰ τοῦ A παρὰ τεταγμένως κατηγμένην ἡ AE· ἡ AE ἄρα ἐκτὸς πεσεῖται τῆς τομῆς· ἤτοι δὴ ἡ HΔ τῇ AE παράλληλός ἐστιν, ἢ οὔ. εἰ μὲν οὖν παράλληλός ἐστι τεταγμένως κατῆκται· ὥστε ἐκβαλλομένη ἐφ' ἑκάτερα, ἐπεὶ δίχα τέμνεται ὑπὸ τῆς διαμέτρου, συμπεσεῖται τῇ τομῇ. ἔστω δὴ μὴ παράλληλος τῇ AE, ἀλλὰ ἐκβαλλομένη συμπιπτέτω τῇ AE κατὰ τὸ E. δῆλον εἰ μὲν τῇ AE συμβάλλει, ὅτι πολὺ πρότερον τεμεῖ τὴν τομήν.

Λέγω ὅτι καὶ ἐπὶ τὰ ἕτερα μέρη ἐκβαλλομένη συμπίπτει τῇ τομῇ. ἔστω γὰρ παρ' ἣν δύνανται ἡ MA, καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας αὐτῇ ἡ AZ· ἡ MA ἄρα τῇ AB πρὸς ὀρθάς ἐστι. πεποιήσθω ὡς τὸ ἀπὸ AE πρὸς τὸ AEΔ τρίγωνον οὕτως ἡ MA πρὸς τὴν AZ, καὶ διὰ τῶν M, Z τῇ AB παράλληλοι ἤχθωσαν αἱ ZK, MN. τετραπλεύρου οὖν ὄντος τοῦ ΛAΔH, καὶ θέσει οὔσης τῆς ΛA, ἤχθω τῇ ΛA παράλληλος ἡ ΓKB, ἀποτέμνουσα τὸ ΓKH τρίγωνον τῷ ΛAΔH τετραπλεύρῳ ἴσον, καὶ διὰ τοῦ B τῇ ZAM παράλληλος ἤχθω ἡ ΞBN. καὶ ἐπεί ἐστι ὡς τὸ ἀπὸ AE πρὸς τὸ AEΔ τρίγωνον οὕτως ἡ MA πρὸς AZ· καὶ ὡς μὲν τὸ ἀπὸ AE πρὸς τὸ AEΔ τρίγωνον οὕτως τὸ ἀπὸ ΓB πρὸς ΔΓB τρίγωνον, παράλληλος γάρ

γάρ ἐστιν ἡ Α Ε τῇ Γ Β, καὶ ἐπιζευγνύουσιν αὐτὰς αἱ Γ Ε, Α Β. ὡς δὲ ἡ Μ Α πρὸς Α Ζ οὕτως τὸ Α Μ Ν Β παραλληλόγραμμον πρὸς τὸ Α Ζ Ξ Β παραλληλόγραμμον· ὡς ἄρα τὸ ἀπὸ Γ Β πρὸς τὸ Γ Δ Β τρίγωνον οὕτως τὸ Α Μ Ν Β παραλληλόγραμμον πρὸς τὸ Α Ζ Ξ Β παραλληλόγραμμον· καὶ ἐναλλὰξ ὡς τὸ ἀπὸ τῆς Γ Β πρὸς τὸ Α Μ Ν Β παραλληλόγραμμον οὕτως τὸ Γ Δ Β τρίγωνον πρὸς τὸ Α Ζ Ξ Β παραλληλόγραμμον. ἴσον δέ ἐστιν τὸ Α Ζ Ξ Β παραλληλόγραμμον τῷ Γ Δ Β τριγώνῳ (ἐπεὶ γὰρ τὸ Γ Η Κ τρίγωνον τῷ Λ Α Η Δ τετραπλεύρῳ ἐστὶν ἴσον, κοινὸν δὲ τὸ Η Δ Β Κ τετράπλευρον· τὸ Λ Α Β Κ παραλληλόγραμμον τῷ Γ Δ Β τριγώνῳ ἐστὶν ἴσον. τὸ δὲ Λ Α Β Κ παραλληλόγραμμον τῷ Ζ Α Β Ξ παραλληλογράμμῳ ἐστὶν ἴσον, ἐπί γε τῆς αὐτῆς βάσεως ἐστὶ τῆς Α Β, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς Α Β, Λ Κ· ἴσον ἄρα ἐστὶ τὸ Γ Δ Β τρίγωνον τῷ Ξ Ζ Α Β παραλληλογράμμῳ.) ὥστε καὶ τὸ ἀπὸ Γ Β τῷ Α Μ Ν Β παραλληλογράμμῳ ἐστὶν ἴσον. τὸ δὲ Α Μ Ν Β παραλληλόγραμμον ἴσον ἐστὶ τῷ ὑπὸ Μ Α Β, ἡ γὰρ Μ Α πρὸς ὀρθάς ἐστι τῇ Α Β· τὸ ἄρα ὑπὸ Μ Α Β ἴσον ἐστὶ τῷ ἀπὸ Γ Β. καὶ ἔστιν ἡ Μ Α ὀρθία τοῦ εἴδους πλευρά, ἡ δὲ Α Β διάμετρος, καὶ ἡ Γ Β τεταγμένως κατηγμένη, παράλληλος γάρ ἐστι τῇ Α Ε· τὸ Γ ἄρα πρὸς τῇ τομῇ ἐστιν· ἡ Δ Η Γ ἄρα συμβάλλει τῇ τομῇ κατὰ τὸ Γ. ὅπερ ἔδει δεῖξαι.

nim A E, Γ B ſunt parallelæ, & ipſas conjungunt Γ E, A B. ut autem M A ad A Z ita [per 1. 6.] A M N B parallelogrammum ad parallelogrammum A Z Ξ B: erit ut quadratum ex Γ B ad triangulum Γ Δ B ita A M N B parallelogrammum ad parallelogrammum A Z Ξ B; & permutando ut quadratum ex Γ B ad parallelogrammum A M N B ita Γ Δ B triangulum ad parallelogrammum A Z Ξ B. parallelogrammum autem A Z Ξ B triangulo Γ Δ B eſt æquale: (quoniam enim Γ H K triangulum æquale eſt [per conſtr.] quadrilatero Λ A H Δ, & quadrilaterum H Δ B K utrique commune; erit Λ A B K parallelogrammum æquale triangulo Γ Δ B. ſed [per 35. 1.] Λ A B K parallelogrammum æquale eſt parallelogrammo Z A B Ξ, quia eſt ſuper eadem baſi A B & in eiſdem parallelis A B, Λ K: ergo Γ Δ B triangulum parallelogrammo Ξ Z A B æquale erit.) quare [per 14. 5.] & quadratum ex Γ B æquale parallelogrammo A M N B: parallelogrammum autem A M N B rectangulo M A B æquale, quia M A ad A B eſt perpendicularis; ergo rectangulum M A B eſt æquale quadrato ex Γ B. atque eſt M A rectum figuræ latus, A B diameter & Γ B ordinatim applicata, quia ipſi A E eſt parallela: ex quibus ſequitur punctum Γ eſſe in ſectione: ergo Δ H Γ cum ſectione convenit in Γ. quod erat demonſtrandum.

Commentarius in Præcedentem Demonſtrationem.

[a] Πεποιήσθω δὲ ὡς τὸ ἀπὸ Α Ε πρὸς τὸ Α Ε Δ τρίγωνον οὕτως ἡ Μ Α πρὸς Α Ζ.] Τοῦτο δέδεικται ἐν σχολίῳ τοῦ ἑνδεκάτου θεωρήματος. ἀναγράψας γὰρ τὸ ἀπὸ Α Ε, καὶ τῇ πλευρᾷ αὐτοῦ χωρίον τῷ Α Ε Δ τριγώνῳ ἴσον παραβαλών, ἕξω τὸ ζητούμενον.

[b] Τετραπλεύρου ὄντος τοῦ Λ Α Δ Η, καὶ θέσει οὔσης τῆς Λ Α, ἤχθω τῇ Λ Α παράλληλος ἡ Γ Κ Β, ἀποτέμνουσα τὸ Γ Κ Η τρίγωνον τῷ Λ Α Δ Η τετραπλεύρῳ ἴσον.] Τοῦτο δὴ ποιήσομεν οὕτως. ἐὰν γάρ, ὡς ἐν τοῖς στοιχείοις ἐμάθομεν, τῷ δοθέντι εὐθυγράμμῳ τῷ Λ Α Δ Η τετραπλεύρῳ ἴσον καὶ ἄλλῳ τῷ δοθέντι τῷ Α Ε Δ τριγώνῳ ὅμοιον τὸ αὐτὸ συστησόμεθα τὸ Σ Τ Υ, ὥστε ὁμόλογον εἶναι τὴν Σ Υ τῇ Λ Δ, καὶ ἀπολάβωμεν τῇ μὲν Υ Σ ἴσην τὴν Η Κ, τῇ δὲ Τ Υ ἴσην τὴν Η Γ, καὶ ἐπιζεύξωμεν τὴν Γ Κ, ἔσται τὸ ζητούμενον. ἐπεὶ γὰρ ἡ πρὸς τῷ Υ γωνία ἴση ἐστὶ τῇ Δ γωνίᾳ, τουτέστι τῇ Η· διὰ τοῦτο ἴσον καὶ ὅμοιον τὸ Γ Η Κ τῷ Σ Τ Υ. καὶ ἴση ἡ Γ γωνία τῇ Β, καί εἰσιν ἐναλλάξ· παράλληλος ἄρα ἐστὶν ἡ Γ Κ τῇ Α Ε. φανερὸν δὲ ὅτι ὅταν ἡ Α Β ἄξων ἐστίν, ἡ Μ Α ἐφάπτεται τῆς τομῆς· ὅταν δὲ μὴ ἄξων, τέμνει, καὶ πρὸς ὀρθὰς ἄγεται πάντως τῇ διαμέτρῳ.



[a] Fiat ut quadratum ex A E ad triangulum A E Δ ſic M A ad A Z.] Demonſtratum eſt hoc in commentariis in undecimum theorema. ſi enim, deſcribentes quadratum lineæ A E, ipſius lateri appoſuerimus [per 44. 1.] ſpatium triangulo A E Δ æquale, factum jam erit quod quæritur.

[b] Cum igitur quadrilaterum ſit Λ A Δ H, & poſitione data Λ A, ducatur Γ K B ipſi Λ A parallela, quæ abſcindat Γ K H triangulum quadrilatero Λ A Δ H æquale.] Hoc ita faciemus. Si enim, ut in elementis [ad 25. 6.] didicimus, dato rectilineo, videlicet quadrilatero Λ A Δ H, æquale & triangulo dato A E Δ ſimile conſtituerimus triangulum Σ T Υ, ita ut latus Σ Υ lateri Λ Δ reſpondeat, & [per 3. 1.] fecerimus H K ipſi Υ Σ æqualem, & H Γ æqualem T Υ, & junxerimus Γ K; factum erit quod quæritur. quoniam enim angulus ad Υ æqualis eſt angulo ad Δ, hoc eſt ei qui ad H; erit triangulum Γ H K æquale ac ſimile triangulo Σ T Υ, & angulus Γ angulo B æqualis, & alterni ſunt: linea igitur Γ K [per 27. 1.] eſt parallela ipſi A E. perſpicuum autem eſt, quod, quando A B ſit axis, linea M A tangit ſectionem; quando vero non ſit axis, ſecat, & ad diametrum omnino perpendicularis ducitur.

ΠΡΟΤΑΣΙΣ κη'.

Ἐὰν εὐθεῖα ἐφάπτηται μιᾶς τῶν ἀντικειμένων, ληφθῇ δέ τι σημεῖον ἐντὸς τῆς ἑτέρας τομῆς, καὶ δι' αὐτοῦ παράλληλος ἀχθῇ τῇ ἐφαπτομένῃ εὐθείᾳ ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

Ἔστωσαν ἀντικείμεναι ὧν ἡ Α Β διάμετρος, καὶ τῆς Α τομῆς ἐφαπτέσθω τις εὐθεῖα

Prop. XXVIII. *Theor.*

Si recta linea unam oppoſitarum ſectionum contingat, ſumatur autem punctum intra alteram ſectionem, & per ipſum recta contingenti parallela ducatur: producta ad utraſque partes cum ſectione conveniet.

Sint oppoſitæ ſectiones, quarum diameter A B; & ſectionem, in qua eſt A, contingat quævis recta Γ Δ; sumatur autem aliquod punctum E intra alteram sectionem; & per E ducatur E Z ipsi Γ Δ parallela: dico E Z productam ad utrasque partes cum sectione convenire.

Quoniam enim ostensum est [ad 24. huj.] Γ Δ productam convenire cum diametro A B; atque est E Z ipsi parallela: E Z producta cum diametro conveniet. conveniat autem in H; & ipsi H B æqualis ponatur A Θ. deinde per Θ ducatur Θ K parallela ipsi E Z; & sit K Λ ordinatim applicata: ponatur H M æqualis Λ Θ, ducaturque M N ordinatim applicatæ parallela: &

ἡ Γ Δ, καὶ εἰλήφθω τι σημεῖον ἐντὸς τῆς ἑτέρας τομῆς τὸ E, καὶ διὰ τοῦ E τῇ Γ Δ παράλληλος ἤχθω ἡ E Z· λέγω ὅτι ἡ E Z ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

Ἐπεὶ οὖν δέδεικται ὅτι ἡ Γ Δ ἐκβαλλομένη συμπεσεῖται τῇ A B διαμέτρῳ, καὶ ἐστι παράλληλος αὐτῇ ἡ E Z· ἡ E Z ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ. συμπιπτέτω κατὰ τὸ H, καὶ τῇ H B ἴση κείσθω ἡ A Θ, καὶ διὰ τοῦ Θ τῇ Z E παράλληλος ἤχθω ἡ Θ K, καὶ τεταγμένως κατήχθω ἡ K Λ, καὶ τῇ Λ Θ ἴση κείσθω ἡ H M, καὶ παρὰ τεταγμέ-



H N in directum producatur. itaque quoniam K Λ ipsi M N est parallela; & K Θ ipsi H N; & est Λ M una eademque recta: triangulum K Θ Λ [per 9.1.& 4.6.] simile est triangulo HMN. est autem Λ Θ æqualis H M: quare & KΛ ipsi MN æqualis erit: ideoque quadratum ex K Λ æquale quadrato ex M N. rursus quoniam Λ Θ æqualis est H M & A Θ ipsi B H, communis autem A B; erit B Λ æqualis A M; & propterea rectangulum B Λ A rectangulo A M B æquale: ut igitur rectangulum B Λ A ad quadratum ex K Λ, ita rectangulum A M B ad quadratum ex M N. sed [per 21. huj.] ut rectangulum B Λ A ad quadratum ex A K, ita transversum figuræ latus ad rectum: quare ut rectangulum A M B ad quadratum ex M N ita erit latus transversum ad rectum. ex quibus colligitur, punctum N in sectione esse: ergo E Z producta cum sectione conveniet in puncto N. similiter ostendemus, si ex altera parte producatur, cum sectione convenire.

νως κατηγμένην ἤχθω ἡ M N, καὶ προσεκβεβλήσθω ἐπ' εὐθείας ἡ H N. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ K Λ τῇ M N, ἡ δὲ K Θ τῇ H N, καὶ μία εὐθεῖά ἐστιν ἡ Λ M, ὅμοιόν ἐστι τὸ K Θ Λ τρίγωνον τῷ H M N τριγώνῳ. καὶ ἴση ἐστὶν ἡ Λ Θ τῇ H M· ἴση ἄρα ἐστὶν ἡ K Λ τῇ M N· ὥστε καὶ τὸ ἀπὸ K Λ τῷ ἀπὸ M N ἴσον ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ Λ Θ τῇ H M, ἡ δὲ A Θ τῇ B H, κοινὴ δὲ ἡ A B· ἴση ἄρα ἐστὶν ἡ B Λ τῇ A M· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ B Λ A τῷ ὑπὸ A M B· ὡς ἄρα τὸ ὑπὸ B Λ A πρὸς τὸ ἀπὸ K Λ οὕτως τὸ ὑπὸ A M B πρὸς τὸ ἀπὸ M N. καὶ ἔστιν ὡς τὸ ὑπὸ B Λ A πρὸς τὸ ἀπὸ Λ K οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα τὸ ὑπὸ A M B πρὸς τὸ ἀπὸ M N οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν· τὸ N ἄρα πρὸς τῇ τομῇ ἐστιν· ἡ E Z ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ κατὰ τὸ N. ὁμοίως δὴ δειχθήσεται ὅτι καὶ ἐπὶ τὰ ἕτερα μέρη ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ.

EUTOCIUS.

Quod si Γ Δ hyperbolam secet, eadem sequentur, quemadmodum in decimo octavo theoremate.

Ὅτι κἂν ἡ Γ Δ τέμνῃ τὴν ὑπερβολὴν τὰ αὐτὰ συμβήσεται, ὥσπερ ἐπὶ τοῦ δεκάτου ὀγδόου.

PROP. XXIX. Theor.

Si in oppositis sectionibus recta linea per centrum ducta occurrat uni sectioni; ulterius producta alteram quoque secabit sectionem.

ΠΡΟΤΑΣΙΣ κθ'.

Ἐὰν ἐν ἀντικειμέναις εὐθεῖα προσπίπτῃ διὰ τοῦ κέντρου πρὸς ὁποτέραν τῶν τομῶν· ἐκβαλλομένη τέμνει τὴν ἑτέραν τομήν.

SINT sectiones oppositæ, quarum diameter A B, centrum autem Γ; & recta Γ Δ sectionem A Δ secet: dico sectionem Γ Δ alteram quoque secare.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι ὧν διάμετρος ἡ A B, κέντρον δὲ τὸ Γ, καὶ ἡ Γ Δ τεμνέτω τὴν A Δ τομήν· λέγω ὅτι καὶ τὴν ἑτέραν τομὴν τεμεῖ.

Τεταγμένως

Τεταγμένως γὰρ κατήχθω ἡ ΕΔ, καὶ τῇ ΑΕ ἴση κείσθω ἡ ΒΖ, καὶ τεταγμένως ἤχθω ἡ ΖΗ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΕΑ τῇ ΒΖ, κοινὴ δὲ ἡ ΑΒ· ἴσον ἄρα τὸ ὑπὸ ΒΕΑ τῷ ὑπὸ ΑΖΒ. καὶ ἐπεί ἐστιν ὡς τὸ ὑπὸ ΒΕΑ πρὸς τὸ ἀπὸ ΔΕ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ἀλλὰ καὶ ὡς τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ἀπὸ ΖΗ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν· ὡς ἄρα τὸ ὑπὸ ΒΕΑ πρὸς τὸ ἀπὸ ΔΕ οὕτως τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ἀπὸ ΖΗ. ἴσον δὲ τὸ ὑπὸ ΒΕΑ τῷ ὑπὸ ΑΖΒ· ἴσον ἄρα καὶ τὸ ἀπὸ ΕΔ τῷ ἀπὸ ΖΗ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΕΓ τῇ ΓΖ, ἡ δὲ ΔΕ τῇ ΖΗ, καὶ εὐθεῖά ἐστιν ἡ ΕΖ, καὶ παράλληλος ἡ ΕΔ τῇ ΖΗ· καὶ ἡ ΔΗ ἄρα εὐθεῖά ἐστι, καὶ ἡ ΓΔ ἄρα τεμεῖ καὶ τὴν ἑτέραν τομήν.



Ordinatim enim applicetur ΒΔ; ipsique ΑΕ ponatur æqualis ΒΖ; & ΖΗ ordinatim ducatur. quoniam igitur ΒΑ, ΒΖ æquales sunt, & ΑΒ utrique communis; rectangulum ΒΕΑ rectangulo ΑΖΒ est æquale. & quoniam [per 21. huj.] ut rectangulum ΒΕΑ ad quadratum ex ΔΒ ita est transversum latus ad rectum: ut autem rectangulum ΑΖΒ ad quadratum ex ΖΗ ita latus transversum ad rectum: ergo ut rectangulum ΒΕΑ ad quadratum ex ΔΕ sic rectangulum ΑΖΒ ad quadratum ex ΖΗ. sed æquale est rectangulum ΒΕΑ rectangulo ΑΖΒ: quadratum igitur ex ΔΒ [per 14. 5.] quadrato ex ΖΗ ex æquale. quod cum ΕΓ æqualis sit ipsi ΓΖ; & ΔΕ ipsi ΖΗ; sitque ΕΖ recta, & ΕΔ ipsi ΖΗ parallela; erit [per 32. 6.] & ΔΗ recta: ergo ΓΔ sectionem quoque alteram secabit.

ΠΡΟΤΑΣΙΣ λ'.

Ἐὰν ἐν ἐλλείψει ἢ ἀντικειμέναις εὐθεῖα ἀχθῇ, ἐφ' ἑκάτερα τοῦ κέντρου συμπίπτουσα τῇ τομῇ· δίχα τμηθήσεται κατὰ τὸ κέντρον.

Prop. XXX. *Theor.*

Si in ellipsi, vel oppositis sectionibus, recta linea ducatur, ad utrasque centri partes sectioni occurrens: ad centrum bifariam secabitur.

Ἔστω ἔλλειψις, ἢ ἀντικείμεναι, διάμετρος δὲ αὐτῶν ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, καὶ διὰ τοῦ Γ ἤχθω τις εὐθεῖα ἡ ΔΓΕ· λέγω ὅτι ἴση ἐστὶν ἡ ΓΔ τῇ ΓΕ.

Ἤχθωσαν γὰρ τεταγμένως αἱ ΔΖ, ΕΗ. καὶ ἐπεί ἐστιν ὡς τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ἀπὸ ΖΔ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ἀλλὰ καὶ ὡς τὸ ὑπὸ ΑΗΒ πρὸς τὸ ἀπὸ ΗΕ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ἀπὸ ΖΔ οὕτως τὸ ὑπὸ ΑΗΒ πρὸς τὸ ἀπὸ ΗΕ· καὶ ἐναλλάξ, ὡς τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ὑπὸ ΑΗΒ οὕτως τὸ ἀπὸ ΔΖ πρὸς τὸ ἀπὸ ΗΕ. ὡς δὲ τὸ ἀπὸ ΔΖ πρὸς τὸ ἀπὸ ΕΗ οὕτως τὸ ἀπὸ ΖΓ πρὸς τὸ ἀπὸ ΓΗ· ἐναλλὰξ ἄρα ὡς τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ἀπὸ ΓΖ οὕτως τὸ ὑπὸ ΑΗΒ πρὸς τὸ ἀπὸ ΓΗ· καὶ [a] ὡς ἄρα (ἐπὶ μὲν τῆς ἐλλείψεως συνθέντι, ἐπὶ δὲ τῶν ἀντικειμένων ἀνάπαλιν καὶ ἀναστρέψαντι) τὸ ἀπὸ ΑΓ πρὸς τὸ



Sit ellipsis, vel oppositæ sectiones, quarum diameter ΑΒ, centrum Γ; & per Γ ducatur recta ΔΓΕ: dico ΓΔ ipsi ΓΕ æqualem esse.

Ordinatim enim applicentur ΔΖ, ΕΗ. & quoniam ut rectangulum ΒΖΑ ad quadratum ex ΖΔ ita est [per 21. huj.] transversum latus ad rectum; & ut rectangulum ΑΗΒ ad quadratum ex ΗΕ, ita latus transversum ad rectum: erit [per 11. 5.] ut rectangulum ΒΖΑ ad quadratum ex ΖΔ, ita rectangulum ΑΗΒ ad quadratum ex ΗΕ; & permutando [per 16. 5.] ut rectangulum ΒΖΑ ad rectangulum ΑΗΒ ita quadratum ex ΔΖ ad quadratum ex ΗΕ. ut autem quadratum ex ΔΖ ad quadratum ex ΕΗ ita [per 4. & 22. 6.] quadratum ex ΖΓ ad quadratum ex ΓΗ: ergo permutando, ut rectangulum ΒΖΑ ad quadratum ex ΓΖ ita rectangulum ΑΗΒ ad quadratum ex ΓΗ. * ut igitur (in ellipsi componendo, in oppositis vero sectionibus invertendo & per conversionem rationis) quadratum ex ΑΓ ad quadratum



ex

ex Γ Z, ita quadratum ex B Γ ad quadratum ex Γ H; quadratum autem ex A Γ æquale est quadrato ex Γ B: ergo & quadratum ex Z Γ quadrato ex Γ H æquale erit: idcircoque Z Γ ipsi Γ H æqualis. & cum Δ Z, H E inter se sint parallelæ, necesse est [per 4.1.] Δ Γ ipsi Γ E æqualem esse.

ἀπὸ Γ Z οὕτως τὸ ἀπὸ B Γ πρὸς τὸ ἀπὸ Γ H. ἴσον δὲ τὸ ἀπὸ A Γ τῷ ἀπὸ Γ B· ἴσον ἄρα καὶ τῷ ἀπὸ Z Γ τὸ ἀπὸ Γ H· ἴση ἄρα ἡ Z Γ τῇ Γ H. καί εἰσι παράλληλοι αἱ Δ Z, H E· ἴση ἄρα καὶ ἡ Δ Γ τῇ Γ E.

EUTOCIUS.

a Ut igitur in ellipsi componendo, in oppositis vero invertendo & per conversionem rationis.] In ellipsi quidem ita dicemus. quoniam ut rectangulum A Z B ad quadratum ex Δ Z ita est rectangulum A H B ad quadratum ex H E. ut autem quadratum ex Δ Z ad quadratum ex Z Γ ita quadratum ex H E ad quadratum ex H Γ; erit igitur ex æquali [per 22. 5.] ut rectangulum A Z B ad quadratum ex Z Γ ita rectangulum A H B ad quadratum ex H Γ, & componendo ut rectangulum A Z B una cum quadrato ex Z Γ ad quadratum ex Z Γ, hoc est [per 5. 2.] quadratum ex A Γ ad quadratum ex Z Γ (etenim recta A B secatur in partes æquales ad punctum Γ & in partes inæquales ad Z) ita rectangulum A H B una cum quadrato ex H Γ ad quadratum ex H Γ; hoc est, propter eandem causam, quadratum ex B Γ ad quadratum ex H Γ. & [per 16.5.] permutando ut quadratum ex A Γ ad quadratum ex Γ B ita quadratum ex Z Γ ad quadratum ex H Γ. At vero in sectionibus oppositis: quoniam est ut rectangulum B Z A ad quadratum ex Z Γ ita rectangulum A H B ad quadratum ex H Γ; erit invertendo ut quadratum ex Z Γ ad rectangulum B Z A ita quadratum ex H Γ ad rectangulum A H B, & per conversionem rationis, ut quadratum ex Z Γ ad quadratum ex Γ A ita quadratum ex H Γ ad quadratum ex Γ B. nam cum linea A B bifariam secetur in Γ, atque ei adjiciatur Z A, erit [per 6. 2.] rectangulum B Z A una cum quadrato ex A Γ æquale quadrato ex Γ Z: quare quadratum ex Γ Z superat rectangulum B Z A ipso quadrato ex A Γ. pulchre igitur dictum est sequi illud per conversionem rationis.





a Ὡς ἄρα ἐπὶ τῆς ἐλλείψεως συνθέντι, ἐπὶ δὲ τῶν ἀντικειμένων ἀνάπαλιν καὶ ἀναστρέψαντι.] Ἐπὶ μὲν οὖν τῆς ἐλλείψεως ἐροῦμεν. ἐπειδή ἐστιν ὡς τὸ ὑπὸ A Z B πρὸς τὸ ἀπὸ Δ Z οὕτως τὸ ὑπὸ A H B πρὸς τὸ ἀπὸ H E, ὡς δὲ τὸ ἀπὸ Δ Z πρὸς τὸ ἀπὸ Z Γ οὕτως τὸ ἀπὸ H E πρὸς τὸ ἀπὸ H Γ· δι' ἴσου ἄρα ὡς τὸ ἀπὸ A Z B πρὸς τὸ ἀπὸ Z Γ οὕτως τὸ ὑπὸ A H B πρὸς τὸ ἀπὸ H Γ, καὶ συνθέντι ὡς τὸ ὑπὸ A Z B μετὰ τοῦ ἀπὸ Z Γ πρὸς τὸ ἀπὸ Z Γ, τουτέστι τὸ ἀπὸ A Γ πρὸς τὸ ἀπὸ Z Γ· ἡ γὰρ A B τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Γ, εἰς δὲ ἄνισα κατὰ τὸ Z· οὕτως τὸ ὑπὸ A H B μετὰ τοῦ ἀπὸ H Γ πρὸς τὸ ἀπὸ H Γ, τουτέστιν τὸ ἀπὸ Γ B πρὸς τὸ ἀπὸ H Γ· καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ A Γ πρὸς τὸ ἀπὸ Γ B οὕτως τὸ ἀπὸ Z Γ πρὸς τὸ ἀπὸ H Γ. ἐπὶ δὲ τῶν ἀντικειμένων, ἐπεί ἐστιν ὡς τὸ ὑπὸ B Z A πρὸς τὸ ἀπὸ Z Γ οὕτως τὸ ὑπὸ A H B πρὸς τὸ ἀπὸ Γ H· ἀνάπαλιν ὡς τὸ ἀπὸ Z Γ πρὸς τὸ ὑπὸ B Z A οὕτως τὸ ἀπὸ H Γ πρὸς τὸ ὑπὸ A H B, καὶ ἀναστρέψαντι ὡς τὸ ἀπὸ Z Γ πρὸς τὸ ἀπὸ Γ A οὕτως τὸ ἀπὸ H Γ πρὸς τὸ ἀπὸ Γ B. εὐθεῖα γὰρ ἡ A B τέτμηται δίχα κατὰ τὸ Γ, καὶ πρόσκειται ἡ Z A, καὶ τὸ ὑπὸ B Z A μετὰ τοῦ ἀπὸ A Γ ἴσον ἐστὶ τῷ ἀπὸ Γ Z· ὥστε τὸ ἀπὸ Γ Z τοῦ ὑπὸ B Z A ὑπερέχει τῷ ἀπὸ A Γ. καὶ καλῶς εἴρηται τὸ ἀναστρέψαντι.

PROP. XXXI. *Theor.*

Si in transverso figuræ latere hyperbolæ sumatur aliquod punctum, non minorem abscindens ad verticem sectionis quam sit dimidia transversi lateris figuræ, & ab ipso ducta recta sectioni occurrat: si producatur cadet intra sectionem, versus ulteriora ejus.

SIT hyperbola, cujus diameter A B; & in ipsa sumatur punctum aliquod Γ, non minorem abscindens rectam Γ B, quam sit ipsius A B dimidia; & occurrat sectioni quævis recta Γ Δ: dico Γ Δ productam intra sectionem cadere.

ΠΡΟΤΑΣΙΣ λα'.

Ἐὰν ὑπερβολῆς ἐπὶ τῆς πλαγίας πλευρᾶς τοῦ εἴδους ληφθῇ τι σημεῖον, μὴ ἐλάττονα ἀπολαμβάνον πρὸς τῇ κορυφῇ τῆς τομῆς τῆς ἡμισείας τῆς πλαγίας τοῦ εἴδους πλευρᾶς, καὶ ἀπ' αὐτοῦ προσπέσῃ εὐθεῖα πρὸς τὴν τομήν· ἡ προσβληθεῖσα ἐντὸς πεσεῖται τῆς τομῆς, κατὰ τὰ ἑπόμενα μέρη τῆς τομῆς.

ΕΣΤΩ ὑπερβολὴ ἧς διάμετρος ἡ A B, καὶ εἰλήφθω ἐπ' αὐτῆς σημεῖόν τι τὸ Γ, μὴ ἐλάττονα ἀπολαμβάνον τὴν Γ B τῆς ἡμισείας τῆς A B, καὶ προσπιπτέτω τις εὐθεῖα πρὸς τὴν τομήν· λέγω ὅτι ἡ Γ Δ ἐκβαλλομένη ἐντὸς πεσεῖται τῆς τομῆς.

Ei

Εἰ γὰρ δυνατὸν, ἐκτὸς πιπτέτω τῆς τομῆς, ὡς ἡ Γ Δ Ε, καὶ ἀπὸ τυχόντος σημείου τοῦ Ε τεταγμένως κατήχθω ἡ Ε Η, καὶ ἡ Δ Θ. καὶ ἔστω πρότερον ἴση ἡ Α Γ τῇ Γ Β. καὶ ἐπεὶ τὸ ἀπὸ Ε Η πρὸς τὸ ἀπὸ Δ Θ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ Ζ Η πρὸς τὸ ἀπὸ Δ Θ, καὶ ὡς τὸ ἀπὸ Ε Η πρὸς τὸ ἀπὸ Δ Θ οὕτως τὸ ἀπὸ Η Γ πρὸς τὸ ἀπὸ Γ Θ, διὰ τὸ Ε Η παράλληλον εἶναι τῇ Δ Θ. ὡς δὲ τὸ ἀπὸ Ζ Η πρὸς τὸ ἀπὸ Δ Θ οὕτως τὸ ὑπὸ Α Η Β πρὸς τὸ ὑπὸ Α Θ Β, διὰ τὴν τομήν· τὸ ἄρα ἀπὸ Η Γ πρὸς τὸ ἀπὸ Θ Γ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ Α Η Β πρὸς τὸ ὑπὸ Α Θ Β· ἐναλλὰξ ἄρα τὸ ἀπὸ Γ Η πρὸς τὸ ὑπὸ Α Η Β μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ Γ Θ πρὸς τὸ ὑπὸ Α Θ Β. [a] διελόντι ἄρα, τὸ ἀπὸ Γ Β πρὸς τὸ ὑπὸ Α Η Β μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ Γ Β πρὸς τὸ ὑπὸ Α Θ Β· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ Γ Δ Ε ἐκτὸς πεσεῖται τῆς τομῆς, ἐντὸς ἄρα· καὶ διὰ τοῦτο, ἡ ἀπό τινος τῶν ἐπὶ τῆς Α Γ σημείων πολλῷ μᾶλλον ἐντὸς πεσεῖται, ἐπειδὴ καὶ ἡ Γ Δ ἐντὸς πεσεῖται.

Si enim fieri potest, cadat extra sectionem, ut Γ Δ Ε; & à quovis puncto Ε ordinatim applicetur Ε Η, itemque ipsa Δ Θ. sit autem primum linea Α Γ æqualis Γ Β. & quoniam [per 8.5.] quadratum ex Ε Η ad quadratum ex Δ Θ majorem rationem habet quam quadratum ex Ζ Η ad quadratum ex Δ Θ, & ut quadratum ex Ε Η ad quadratum ex Δ Θ ita [per 4. & 22. 6.] quadratum ex Η Γ ad quadratum ex Γ Θ; propterea quod Ε Η ipsi Δ Θ sit parallela. ut vero [per 12. huj.] quadratum ex Ζ Η ad quadratum ex Δ Θ ita rectangulum Α Η Β ad rectangulum Α Θ Β, propter sectionem: quadratum igitur ex Η Γ ad quadratum ex Θ Γ rationem majorem habet quam rectangulum Α Η Β ad rectangulum Α Θ Β: & permutando, quadratum ex Γ Η ad rectangulum Α Η Β habet majorem rationem, quam quadratum ex Γ Θ ad rectangulum Α Θ Β. [a] ergo dividendo, quadratum ex Γ Β ad rectangulum Α Η Β majorem habet rationem quam quadratum ex Γ Β ad rectangulum Α Θ Β: quod [per 8.5.] fieri non potest: igitur linea Γ Δ Ε non cadet extra sectionem: quare intra cadet: & idcirco quæ ab aliquo puncto rectæ Α Γ ad sectionem ducitur, multo magis cadet intra, quoniam & Γ Δ intra cadit.



EUTOCIUS.

[a] Διελόντι ἄρα, τὸ ἀπὸ Γ Β πρὸς τὸ ὑπὸ ΑΗΒ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ Γ Β πρὸς τὸ ὑπὸ ΑΘΒ.] Ἐπεὶ γὰρ εὐθεῖα ἡ Α Β τέμνεται δίχα κατὰ τὸ Γ, καὶ πρόσκειται αὐτῇ ἡ Β Η, τὸ ὑπὸ Α Η Β μετὰ τοῦ ἀπὸ Γ Β ἴσον ἐστὶ τῷ ἀπὸ Γ Η· ὥστε τὸ ἀπὸ Γ Η τοῦ ὑπὸ Α Η Β ὑπερέχει τῷ ἀπὸ Γ Β. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ τὸ ἀπὸ Γ Θ τοῦ ὑπὸ Α Θ Β ὑπερέχει τῷ ἀπὸ Γ Β. ὥστε ὀρθῶς εἴρηται τὸ διελόντι.

[a] Ergo dividendo, quadratum ex Γ Β ad rectangulum Α Η Β majorem habet rationem, quam quadratum ex Γ Β ad rectangulum Α Θ Β.] Quoniam enim recta linea Α Β bifariam secatur in Γ, & ipsi adjicitur linea Β Η, rectangulum Α Η Β una cum quadrato ex Γ Β [per 6. 2.] æquale est quadrato ex Γ Η: ergo quadratum ex Γ Η superat rectangulum Α Η Β quadrato ex Γ Β. & propter eandem causam quadratum ex Γ Θ superat rectangulum Α Θ Β ipso quadrato ex Γ Β. recte igitur dixit dividendo illud concludi.

ΠΡΟΤΑΣΙΣ λβ'.

Ἐὰν κώνου τομῆς διὰ τῆς κορυφῆς εὐθεῖα παρὰ τεταγμένως κατηγμένην ἀχθῇ, ἐφάπτεται τῆς τομῆς, καὶ εἰς τὸν μεταξὺ τόπον τῆς τε κώνου τομῆς καὶ τῆς εὐθείας ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

PROP. XXXII. *Theor.*

Si per verticem sectionis coni recta linea ordinatim applicatæ parallela ducatur, sectionem continget: & in locum, qui inter coni sectionem & rectam interjicitur, altera recta non cadet.

ΕΣΤΩ κώνου τομὴ πρότερον ἡ καλουμένη παραβολή, ἧς διάμετρος ἡ Α Β, καὶ ἀπὸ τοῦ Α παρὰ τεταγμένως κατηγμένην ἤχθω ἡ Α Γ· ὅτι μὲν οὖν ἡ Α Γ ἐκτὸς πίπτει τῆς τομῆς, δέδεικται. λέγω δὴ ὅτι καὶ εἰς τὸν μεταξὺ τόπον τῆς Α Γ εὐθείας καὶ τῆς τομῆς ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

Εἰ γὰρ δυνατὸν, παρεμπιπτέτω ὡς ἡ Α Δ, καὶ εἰλήφθω τι σημεῖον ἐπ' αὐτῆς τυχὸν τὸ Δ, καὶ τεταγμένως κατήχθω ἡ Δ Ε, καὶ ἔστω παρ' ἣν δύνανται αἱ καταγόμεναι τεταγμένως ἡ Α Ζ. καὶ ἐπεὶ τὸ ἀπὸ Δ Ε πρὸς τὸ ἀπὸ Ε Α μείζονα λόγον ἔχει ἤπερ

SIT coni sectio prius parabola, cujus diameter Α Β; & à puncto Α ducatur Α Γ ordinatim applicatæ parallela: cadet Α Γ extra sectionem, quod [ad 17. huj.] supra demonstratum est. dico in locum, qui inter Α Γ & sectionem interjicitur, alteram rectam non cadere.

Si enim fieri potest, cadat, ut Α Δ; sumaturque in ipsa quodvis punctum Δ; & ordinatim applicetur Δ Ε. sit autem Α Ζ, juxta quam possunt quæ à sectione ordinatim ducuntur. & quoniam [per 8. 5.] quadratum ex Δ Ε ad quadratum ex Ε Α majorem rationem habet quam quadratum ex HE ad quadratum ex EA; estque [per 11. huj.] quadratum ex HE æquale rectangulo ZAE: quadratum igitur ex ΔE ad quadratum ex EA majorem rationem habet quam rectangulum ZAE ad quadratum ex EA; hoc est [per 1. 6.] quam ZA ad AE. itaque fiat ut quadratum ex ΔE ad quadratum ex EA sic ZA ad AΘ:



& per Θ ducatur ΘΛK parallela ipsi EΔ. quoniam igitur est ut quadratum ex ΔE ad quadratum ex EA sic ZA ad ipsam AΘ, hoc est [per 1. 6.] rectangulum ZAΘ ad quadratum ex AΘ; & ut quadratum ex ΔE ad quadratum ex EA ita [per 4. & 22. 6.] quadratum ex KΘ ad quadratum ex ΘA: rectangulo autem ZAΘ æquale est [per 11. huj.] quadratum ex ΘΛ: quare ut quadratum ex KΘ ad quadratum ex ΘA sic quadratum ex ΛΘ ad quadratum ex ΘA: æqualis est igitur [per 11. 5.] linea KΘ ipsi ΘΛ; quod est absurdum. quocirca in locum inter rectam lineam AΓ & sectionem altera recta linea non cadet.

τὸ ἀπὸ ΗΕ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ δὲ ἀπὸ ΗΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΖΑΕ· καὶ τὸ ἀπὸ ΔΕ ἄρα πρὸς τὸ ἀπὸ ΕΑ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΖΑΕ πρὸς τὸ ἀπὸ ΕΑ, τουτέστιν ἡ ΖΑ πρὸς ΑΕ. πεποιήσθω οὖν ὡς τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ οὕτως ἡ ΖΑ πρὸς ΑΘ, καὶ διὰ τοῦ Θ παράλληλος ἤχθω τῇ ΕΔ ἡ ΘΛΚ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ οὕτως ἡ ΖΑ πρὸς ΑΘ, τουτέστι τὸ ὑπὸ ΖΑΘ πρὸς τὸ ἀπὸ ΑΘ· καὶ ἔστιν ὡς μὲν τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ οὕτως τὸ ἀπὸ ΚΘ πρὸς τὸ ἀπὸ ΘΑ, τῷ δὲ ὑπὸ ΖΑΘ ἴσον ἐστὶ τὸ ἀπὸ ΘΛ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΚΘ πρὸς τὸ ἀπὸ ΘΑ οὕτως τὸ ἀπὸ ΛΘ πρὸς τὸ ἀπὸ ΘΑ· ἴση ἄρα ἡ ΚΘ τῇ ΘΛ, ὅπερ ἄτοπον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς ΑΓ εὐθείας καὶ τῆς τομῆς ἑτέρα εὐθεῖα παρεμπεσεῖται.

Verum sit sectio hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter AB, & rectum

Ἔστω δὴ ἡ τομὴ ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, ὀρθία







figuræ latus AZ; juncta autem BZ producatur; & à puncto A ordinatim applicatis parallela ducatur AΓ, quæ extra sectionem cadet, ut [per 17. huj.]

δὲ ἡ ΑΖ, καὶ ἐπιζευχθεῖσα ἡ ΒΖ ἐκβεβλήσθω, καὶ ἀπὸ τοῦ Α τεταγμένως κατηγμένῃ ἤχθω ἡ ΑΓ. ὅτι μὲν οὖν ἐκτὸς πίπτει τῆς τομῆς δέδεικται.

δέικται· λέγω δὴ ὅτι καὶ εἰς τὸν μεταξὺ τόπον τῆς ΑΓ εὐθείας καὶ τῆς τομῆς ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

Εἰ γὰρ δυνατὸν παρεμπιπτέτω ὡς ἡ ΑΔ, καὶ εἰλήφθω τι σημεῖον ἐπ᾽ αὐτῆς τυχὸν τὸ Δ, καὶ τεταγμένως ἀπ᾽ αὐτοῦ κατήχθω ἡ ΔΕ, καὶ διὰ τοῦ Ε τῇ ΑΖ παράλληλος ἤχθω ἡ ΕΜ. καὶ ἐπεὶ τὸ ἀπὸ ΗΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΜ, πεποιήσθω τῷ ἀπὸ ΔΕ ἴσον τὸ ὑπὸ ΑΕΝ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΝ τεμνέτω τὴν ΖΜ κατὰ τὸ Ξ· καὶ διὰ μὲν τοῦ Ξ τῇ ΖΑ παράλληλος ἤχθω ἡ ΞΘ, διὰ δὲ τοῦ Θ τῇ ΑΓ ἡ ΘΛΚ. ἐπεὶ οὖν τὸ ἀπὸ ΔΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΑΕΝ, ἔστιν ὡς ἡ ΝΕ πρὸς ΕΔ οὕτως ἡ ΔΕ πρὸς ΕΑ· καὶ ὡς ἄρα ἡ ΝΕ πρὸς ΕΑ, οὕτως τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ. ἀλλ᾽ ὡς μὲν ἡ ΝΕ πρὸς ΕΑ οὕτως ἡ ΞΘ πρὸς ΘΑ, ὡς δὲ τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ οὕτως τὸ ἀπὸ ΚΘ πρὸς τὸ ἀπὸ ΘΑ· ὡς ἄρα ἡ ΞΘ πρὸς ΘΑ οὕτως τὸ ἀπὸ ΚΘ πρὸς τὸ ἀπὸ ΘΑ· μέση ἄρα ἀνάλογόν ἐστιν ἡ ΚΘ τῶν ΞΘ, ΘΑ· τὸ ἄρα ἀπὸ ΘΚ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΘΞ. ἔστι δὲ καὶ τὸ ἀπὸ ΛΘ τῷ ὑπὸ ΑΘΞ ἴσον, διὰ τὴν τομήν· τὸ ἄρα ἀπὸ ΚΘ ἴσον ἐστὶ τῷ ἀπὸ ΘΛ, ὅπερ ἄτοπον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς τε ΑΓ εὐθείας καὶ τῆς τομῆς ἑτέρα εὐθεῖα παρεμπεσεῖται.

ostensum est: dico in locum, qui inter lineam rectam ΑΓ & sectionem interjicitur, alteram rectam lineam non cadere.

Cadat enim, si fieri potest, ut ΑΔ; & in ipsa sumatur quodvis punctum Δ, à quo ΔΕ ordinatim applicetur; & per Ε ducatur ΕΜ ipsi ΑΖ parallela. & quoniam [per 12. vel 13. huj.] quadratum ex ΗΕ æquale est rectangulo ΑΕΜ; fiat rectangulum ΑΕΝ quadrato ex ΔΕ æquale; & juncta ΑΝ secet ΖΜ in puncto Ξ, deinde per Ξ ipsi ΖΑ parallela ducatur ΞΘ, & per Θ ducatur ΘΛΚ parallela ipsi ΑΓ: itaque cum quadratum ex ΔΕ æquale sit rectangulo ΑΕΝ, erit [per 17. 6.] ut ΝΕ ad ΕΔ ita ΔΕ ad ΕΑ: & idcirco [per cor. 20. 6.] ut linea ΝΕ ad ΕΑ, ita quadratum ex ΔΕ ad quadratum ex ΕΑ. sed [per 4. 6.] ut ΝΕ ad ΕΑ ita ΞΘ ad ΘΑ, & ut quadratum ex ΔΕ ad quadratum ex ΕΑ ita quadratum ex ΚΘ ad quadratum ex ΘΑ: ut igitur ΞΘ ad ΘΑ sic quadratum ex ΚΘ ad quadratum ex ΘΑ: ergo [per cor. 20. 6.] ΚΘ media proportionalis est inter ΞΘ, ΘΑ: & propterea [per 17. 6.] quadratum ex ΚΘ æquale rectangulo ΑΘΞ. est autem [per 12. vel 13. huj.] & quadratum ex ΛΘ rectangulo ΑΘΞ æquale, propter sectionem: ergo quadratum ex ΚΘ æquale est quadrato ex ΘΛ; quod fieri non potest. in locum igitur, qui est inter ΑΓ & sectionem, altera recta non cadet.

EUTOCIUS.

Ἐν τῷ ἑπτακαιδεκάτῳ θεωρήματι ἁπλούστερον ἔδειξεν, ὅτι ἡ διὰ τῆς κορυφῆς παρὰ κατηγμένην τεταγμένως ἀγομένη, τῆς τομῆς ἐφάπτεται. ἐνταῦθα δὲ τὸ ἐν τοῖς στοιχείοις ἐπὶ τοῦ κύκλου μόνον δεδειγμένον καθολικώτερον ἐπὶ πάσης κώνου τομῆς ὑπάρχον ἐπιδείκνυσι. δεῖ μέντοι ἐπιστῆσαι, ὅπερ κἀκεῖ ἐδείχθη, ὅτι καμπύλην μὲν ἴσως γραμμὴν οὐδὲν ἄτοπόν ἐστιν ἐμπίπτειν μεταξὺ τῆς εὐθείας καὶ τῆς τομῆς, εὐθεῖαν δὲ ἀμήχανον· τεμεῖ γὰρ αὐτὴ τὴν τομὴν καὶ οὐκ ἐφάψεται· δύο γὰρ ἐφαπτομένας εὐθείας κατὰ τοῦ αὐτοῦ σημείου εἶναι ἀδύνατον. πολυτρόπως δεδειγμένου τούτου τοῦ θεωρήματος ἐν διαφόροις ἐκδόσεσιν, ἡμεῖς τὴν ἁπλουστέραν καὶ σαφεστέραν ἐποιήσαμεν.

In septimodecimo theoremate simplicius ostendit, rectam, quæ per verticem ducitur ordinatim applicatæ parallela, sectionem ipsam contingere. hoc autem loco, id quod in elementis de circulo tantum demonstratur, universè de omni coni sectione ostendit. oportet autem scire, quod & illic demonstratum est, nullum fortasse sequi absurdum, si ponatur linea curva inter sectionem & rectam cadere. at vero ut cadat recta linea fieri non potest: secabit etenim ipsa, non continget sectionem; quoniam duæ rectæ in eodem puncto contingentes esse non possunt. cum autem hoc theorema multifariam demonstretur in diversis editionibus, nos simpliciorem & manifestiorem demonstrationem adscripsimus.

ΠΡΟΤΑΣΙΣ λγ′.

Ἐὰν ἐν παραβολῇ ληφθῇ τι σημεῖον, καὶ ἀπ᾽ αὐτοῦ τεταγμένως ἐπὶ τὴν διάμετρον καταχθῇ εὐθεῖα, καὶ τῇ ἀπολαμβανομένῃ ὑπ᾽ αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τεθῇ ἴση ἐπ᾽ εὐθείας ἀπ᾽ ἄκρας αὐτῆς· ἡ ἀπὸ τοῦ γενομένου σημείου ἐπὶ τὸ ληφθὲν σημεῖον ἐπιζευγνυμένη ἐφάψεται τῆς τομῆς.

PROP. XXXIII. *Theor.*

Si in parabola sumatur aliquod punctum, à quo recta linea ad diametrum ordinatim applicetur; & ei, quæ ab ipsa ex diametro abscinditur ad verticem, æqualis ponatur in directum ab ejus extremitate: recta linea, quæ à puncto sic invento ducitur ad illud quod sumptum fuerat, sectionem continget.

Ἔστω παραβολὴ ἧς διάμετρος ἡ ΑΒ, καὶ κατήχθω τεταγμένως ἡ ΓΔ, καὶ τῇ ΕΔ ἴση κείσθω ἡ ΑΕ. καὶ ἐπεζεύχθω ἡ ΑΓ· λέγω ὅτι ἡ ΑΓ ἐκβαλλομένη ἐκτὸς πεσεῖται τῆς τομῆς.

Εἰ γὰρ δυνατὸν, πιπτέτω ἐντὸς, ὡς ἡ ΓΖ, καὶ τεταγμένως κατήχθω ἡ ΗΒ. καὶ ἐπεὶ τὸ ἀπὸ ΗΒ πρὸς τὸ ἀπὸ ΓΔ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΒ πρὸς τὸ ἀπὸ ΓΔ, ἀλλ᾽ ὡς

Sit parabola, cujus diameter ΑΒ; & recta ΓΔ ordinatim applicetur, & ipsi ΕΔ æqualis ponatur ΑΕ, & jungatur ΑΓ: dico ΑΓ productam extra sectionem cadere.

Si enim fieri potest, cadat intra, ut ΓΖ; & ΗΒ ordinatim applicetur. & quoniam [per 8. 5.] quadratum ex ΗΒ ad quadratum ex ΓΔ majorem rationem habet quam quadratum ex ΖΒ ad quadratum ex ΓΔ, & [per 4. & 22. 6.] ut quadratum

quadratum ex ZB ad quadratum ex ΓΔ ita quadratum ex BA ad quadratum ex AΔ; ut autem quadratum ex HB ad quadratum ex ΓΔ ita [per 20. huj.] linea BE ad ΔE; ergo BE ad EΔ majorem rationem habet quam quadratum ex BA ad quadratum ex AΔ. sed [per 1. 6.] ut BE ad EΔ ita rectangulum BEA quater sumptum ad rectangulum AEΔ quater: rectangulum igitur BEA quater ad rectangulum AEΔ quater majorem habet rationem quam quadratum ex BA ad quadratum ex AΔ: & [per 16.5.] permutando, rectangulum BEA quater ad quadratum ex AB majorem rationem habet quam rectangulum AEΔ quater ad quadratum ex AΔ; quod fieri minime potest: nam cum linea AE ipsi EΔ sit æqualis, rectangulum AEΔ quater sumptum [per 4. 2.] æquale est quadrato ex AΔ, rectangulum vero BEA quater sumptum quadrato ex BA est minus; neque enim punctum E ipsam AB bifariam secat. igitur AΓ non cadet intra: quare sectionem ipsam contingat necesse est.



τὸ ἀπὸ ZB πρὸς τὸ ἀπὸ ΓΔ οὕτως τὸ ἀπὸ BA πρὸς τὸ ἀπὸ AΔ, ὡς δὲ τὸ ἀπὸ HB πρὸς τὸ ἀπὸ ΓΔ οὕτως ἡ BE πρὸς ΔE· ἡ BE ἄρα πρὸς EΔ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ BA πρὸς τὸ ἀπὸ AΔ. ἀλλ' ὡς ἡ BE πρὸς EΔ οὕτως τὸ τετράκις ὑπὸ BEA πρὸς τὸ τετράκις ὑπὸ AEΔ· καὶ τὸ τετράκις ἄρα ὑπὸ τῶν BEA πρὸς τὸ τετράκις ὑπὸ AEΔ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ BA πρὸς τὸ ἀπὸ AΔ· ἐναλλὰξ ἄρα τὸ τετράκις ὑπὸ BEA πρὸς τὸ ἀπὸ AB μείζονα λόγον ἔχει ἤπερ τὸ τετράκις ὑπὸ AEΔ πρὸς τὸ ἀπὸ AΔ, ὅπερ ἐστὶν ἀδύνατον· ἴσης γὰρ οὔσης τῆς AE τῇ EΔ, τὸ τετράκις ὑπὸ AEΔ τῷ ἀπὸ AΔ ἐστὶν ἴσον. τὸ δὲ τετράκις ὑπὸ BEA τοῦ ἀπὸ BA ἐστὶν ἔλασσον, τῆς γὰρ AB οὐκ ἔστι διχοτομία τὸ E σημεῖον. οὐκ ἄρα ἡ AΓ ἐντὸς πίπτει τῆς τομῆς· ἐφάπτεται ἄρα.

Prop. XXXIV. *Theor.*

Si in hyperbola, vel ellipsi, vel circuli circumferentia sumatur aliquod punctum; ab eoque recta linea ad diametrum ordinatim applicetur; & quam rationem habent lineæ interjectæ inter applicatam & terminos transversi lateris figuræ, eandem habeant inter se partes lateris transversi, ita ut quæ sunt ad verticem partes sibi ipsis respondeant: recta linea, conjungens punctum quod in transverso latere sumitur & punctum quod est in sectione, sectionem ipsam continget.

ΠΡΟΤΑΣΙΣ λδ'.

Ἐὰν ἐπὶ ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας ληφθῇ τι σημεῖον, καὶ ἀπ' αὐτοῦ καταχθῇ εὐθεῖα ἐπὶ τὴν διάμετρον τεταγμένως, καὶ ὃν ἔχουσι λόγον πρὸς ἀλλήλας αἱ ἀποτεμνόμεναι ὑπὸ τῆς κατηγμένης πρὸς τοῖς πέρασι τῆς πλαγίας τοῦ εἴδους πλευρᾶς, τοῦτον ἔχῃ τὰ τμήματα τῆς πλαγίας πλευρᾶς, ὥστε ὁμόλογα εἶναι τὰ πρὸς τῇ κορυφῇ τμήματα· ἡ τὸ ἐπὶ τῆς πλαγίας πλευρᾶς ληφθὲν σημεῖον καὶ τὸ ἐπὶ τῆς τομῆς ἐπιζευγνύουσα εὐθεῖα, ἐφάψεται τῆς τομῆς.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter AB; sumaturque aliquod punctum in sectione, quod sit Γ; & ab eo ΓΔ ordinatim applicetur; fiat autem ut BΔ ad ΔA sic BE ad EA; & jungatur EΓ: dico lineam ΓE sectionem contingere.

Si enim fieri potest, secet, ut EΓZ: & sumpto in ea aliquo puncto Z ordinatim applicetur HZΘ; per puncta vero A, B ducantur AΛ, BK ipsi EΓ parallelæ: & junctæ ΔΓ, BΓ, HΓ ad puncta K, Ξ, M producantur. itaque quoniam ut BΔ ad ΔA ita est BE ad EA; & ut BΔ ad ΔA sic [per 4. 6.] BK ad AN; ut autem BE ad AE ita [per 2. 6.] BΓ ad ΓΞ, hoc est [per 4. 6.] BK ad ΞN: erit ut BK ad AN ita BK ad NΞ. æqualis est igitur [per 9. 5.] AN ipsi NΞ: * & propterea [per 5.2.] rectangulum ANΞ majus est rectangulo AOΞ: quare [per 16. 6.] linea NΞ ad ΞO majorem habet ra-

ἜΣΤΩ ὑπερβολή, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ AB, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Γ, καὶ ἀπὸ τοῦ Γ τεταγμένως ἤχθω ἡ ΓΔ, καὶ πεποιήσθω ὡς ἡ BΔ πρὸς ΔA οὕτως ἡ BE πρὸς EA, καὶ ἐπεζεύχθω ἡ EΓ· λέγω ὅτι ἡ ΓE ἐφάπτεται τῆς τομῆς.

Εἰ γὰρ δυνατὸν, τεμνέτω ὡς ἡ EΓZ, καὶ εἰλήφθω τι σημεῖον ἐπ' αὐτῆς τὸ Z, καὶ τεταγμένως κατήχθω ἡ HZΘ, καὶ ἤχθωσαν διὰ τῶν A, B τῇ EΓ παράλληλοι αἱ AΛ, BK, καὶ ἐπιζευχθεῖσαι αἱ ΔΓ, BΓ, HΓ ἐκβεβλήσθωσαν ἐπὶ τὰ K, Ξ, M σημεῖα. καὶ ἐπεί ἐστιν ὡς ἡ BΔ πρὸς ΔA οὕτως ἡ BE πρὸς EA, ἀλλ' ὡς μὲν ἡ BΔ πρὸς ΔA οὕτως ἡ BK πρὸς AN, ὡς δὲ ἡ BE πρὸς AE οὕτως ἡ BΓ πρὸς ΓΞ, τουτέστιν ἡ BK πρὸς ΞN· ὡς ἄρα ἡ BK πρὸς AN οὕτως ἡ BK πρὸς NΞ· ἴση ἄρα ἐστὶν ἡ AN τῇ NΞ· [a] τὸ ἄρα ὑπὸ ANΞ μεῖζόν ἐστι τοῦ ὑπὸ AOΞ· ἡ NΞ ἄρα πρὸς ΞO μείζονα

ζονα λόγον ἔχει ἤπερ ἡ ΟΑ πρὸς ΑΝ. ἀλλ' ὡς ἡ ΝΞ πρὸς ΞΟ, οὕτως ἡ ΚΒ πρὸς ΒΜ· ἡ ΚΒ ἄρα πρὸς ΒΜ μείζονα λόγον ἔχει ἤπερ ἡ ΟΑ πρὸς ΑΝ· τὸ ἄρα ὑπὸ ΚΒ, ΑΝ μεῖζόν ἐστι τοῦ ὑπὸ ΜΒ, ΑΟ· ὥστε τὸ ὑπὸ ΚΒ, ΑΝ πρὸς τὸ ἀπὸ ΓΕ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΜΒ, ΑΟ πρὸς τὸ ἀπὸ ΓΕ. [b] ἀλλ' ὡς μὲν τὸ ὑπὸ ΚΒ, ΑΝ πρὸς τὸ ἀπὸ ΓΕ οὕτως τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΔΕ, διὰ τὴν ὁμοιότητα τῶν ΒΚΔ, ΕΓΔ, ΑΝΔ τριγώνων· ὡς δὲ τὸ ὑπὸ ΜΒ, ΑΟ πρὸς τὸ ἀπὸ ΓΕ οὕτως ἐστὶ τὸ ὑπὸ ΒΗΑ πρὸς τὸ ἀπὸ ΗΕ· τὸ ἄρα ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΔΕ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΒΗΑ πρὸς τὸ ἀπὸ ΗΕ·

tionem quam ΟΑ ad ΑΝ. sed [per 4. 6.] ut ΝΞ ad ΞΟ ita ΚΒ ad ΒΜ: ergo ΚΒ ad ΒΜ majorem rationem habet quam ΟΑ ad ΑΝ: ideoque [per 16. 6.] rectangulum quod fit sub ΚΒ, ΑΝ majus est eo quod fit sub ΒΜ, ΑΟ: sequitur igitur [per 9. 5.] rectangulum sub ΚΒ, ΑΝ ad quadratum ex ΓΕ majorem rationem habere quam rectangulum sub ΜΒ, ΑΟ ad quadratum ex ΓΕ. [b] at vero [per *Pappi* lem. 5.] ut rectangulum sub ΚΒ, ΑΝ ad quadratum ex ΓΕ, sic rectangulum ΒΔΑ ad quadratum ex ΔΕ, propter similitudinem triangulorum ΒΚΔ, ΕΓΔ, ΑΝΔ; & ut rectangulum sub ΜΒ, ΑΟ ad quadratum ex ΓΕ, sic rectangulum ΒΗΑ ad quadratum ex ΗΕ: ergo ΒΔΑ rectangulum ad quadratum ex ΔΕ majorem rationem habet quam rectangulum ΒΗΑ ad quadratum ex







ἐναλλὰξ ἄρα τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ὑπὸ ΒΗΑ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΗ. ἀλλ' ὡς μὲν τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ὑπὸ ΑΗΒ οὕτως τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΗΘ· ὡς δὲ τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΗ οὕτως τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΖΗ· καὶ τὸ ἀπὸ ΓΔ ἄρα πρὸς τὸ ἀπὸ ΘΗ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΖΗ· ἐλάσσων ἄρα ἐστὶν ἡ ΘΗ τῆς ΖΗ, ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ΕΓ τέμνει τὴν τομήν· ἐφάπτεται ἄρα.

ΗΒ; & permutando [per 16. 5.] rectangulum ΒΔΑ ad rectangulum ΒΗΑ majorem habet rationem quam quadratum ex ΔΕ ad quadratum ex ΕΗ. sed [per 21. huj.] ut rectangulum ΒΔΑ ad ipsum ΑΗΒ ita quadratum ex ΓΔ ad quadratum ex ΗΘ, & [per 4. & 22. 6.] ut quadratum ex ΔΕ ad quadratum ex ΕΗ sic quadratum ex ΓΔ ad quadratum ex ΖΗ: quadratum igitur ex ΓΔ ad quadratum ex ΘΗ majorem rationem habet quam quadratum ex ΓΔ ad quadratum ex ΖΗ: & idcirco [per 9. 5.] ΘΗ minor est ipsa ΗΖ; quod fieri non potest. igitur ΕΓ sectionem non secat: quare sectionem ipsam contingat necesse est.

EUTOCIUS.

Δεῖ ἐπιστῆσαι, ὅτι ἡ ΓΔ κατηγμένη ἐπὶ τὴν διάμετρον, ἐπὶ μὲν τῆς ὑπερβολῆς τὰς ΔΒ, ΔΑ ὁρίζουσα, τὴν ΒΑ καταλιμπάνει ὀφείλουσαν τμηθῆναι εἰς τὸν τῶν ΒΔ, ΔΑ λόγον· ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου περιφερείας ἀνάπαλιν, τὴν ΒΑ τέμνουσα εἰς ὡρισμένον λόγον τὸν τῶν ΒΔ, ΔΑ, ἐπιζητεῖν ἡμᾶς ποιεῖ τὸν τῶν ΒΕ, ΕΑ· οὐδὲν γὰρ δυσχερὲς

Sciendum est ΓΔ, quæ ad diametrum ordinatim applicatur, in hyperbola quidem terminare lineas ΔΒ, ΔΑ, cadens extra ipsam ΒΑ, quæ in ratione linearum ΒΔ, ΔΑ secari debet: in ellipsi vero & circuli circumferentia contrarium evenit, nam cum secet ipsam ΒΑ, necesse est ut inquiramus ΒΕ, ΕΑ in determinata ratione, in qua videlicet sunt ΒΔ, ΔΑ. neque enim diffi-

cile

cile est data ratione æqualem ipsi exhibere. sed & illud scire oportet, in unaquaque sectione duas descriptiones esse, nempe puncto Z vel intra Γ vel extra sumpto, ita ut omnes casus sex sint. utitur autem duobus lemmatibus quæ nos deinceps conscribemus.

[a] Et propterea rectangulum ΑΝΞ majus est rectangulo ΑΟΞ: quare linea ΝΞ ad ΞΟ majorem rationem habet quam ΟΑ ad ΑΝ.] Quoniam enim rectangulum ΑΝΞ rectangulo ΑΟΞ majus est, fiat rectangulo ΑΝΞ æquale rectangulum quod sub ipsa ΑΟ & alia quapiam, videlicet ΞΠ, continetur, quæ quidem major erit quam ΞΟ: est igitur [per 16. 6.] ut ΟΑ ad ΑΝ sic ΝΞ ad ΞΠ. sed [per 8. 5.] ΝΞ ad ΞΟ majorem rationem habet quam ad ΞΠ: ergo ΑΟ ad ΑΝ minorem habet rationem quam ΝΞ ad ΞΟ.



Sed & hujus conversum etiam constat, si ΞΝ ad ΞΟ majorem rationem habeat quam ΟΑ ad ΑΝ, & rectangulum ΑΝΞ majus esse rectangulo ΑΟΞ. fiat enim ut ΟΑ ad ΑΝ ita ΝΞ ad aliam majorem ipsa ΞΟ, videlicet ad ΞΠ: quare rectangulum ΑΝΞ æquale est rectangulo quod sub ΑΟ, ΞΠ continetur: rectangulum igitur ΑΝΞ rectangulo ΑΟΞ majus erit.

[b] At vero ut rectangulum sub ΚΒ, ΑΝ ad quadratum ex ΕΓ, sic rectangulum ΒΔΑ ad quadratum ex ΕΔ.] Quoniam igitur ob rectas ΑΝ, ΕΓ, ΚΒ parallelas, ut ΑΝ ad ΕΓ ita est [per 4. 6.] ΑΔ ad ΔΕ; ut autem ΕΓ ad ΚΒ ita ΕΔ ad ΔΒ: quare ex æquali ut ΑΝ ad ΚΒ ita ΑΔ ad ΔΒ, & propterea [per 1. 6.] ut quadratum ex ΑΝ ad rectangulum sub ΑΝ, ΚΒ, ita quadratum ex ΑΔ ad rectangulum ΑΔΒ. sed ut quadratum ex ΕΓ ad quadratum ex ΑΝ ita quadratum ex ΕΔ ad quadratum ex ΔΑ: ergo ex æquali, ut quadratum ex ΕΓ ad rectangulum sub ΑΝ, ΚΒ, ita quadratum ex ΕΔ ad rectangulum ΑΔΒ; & invertendo, ut rectangulum sub ΚΒ, ΑΝ ad quadratum ex ΕΓ, ita rectangulum ΒΔΑ ad quadratum ex ΕΔ.

λόγῳ δοθέντος ἴσον αὐτῷ ποιήσασθαι. δεῖ μέντοι εἰδέναι, ὅτι καθ' ἑκάστην τομὴν καταγραφαί εἰσι δύο, τοῦ Ζ σημείου ἢ ἐσωτέρω τοῦ Γ λαμβανομένου, ἢ ἐξωτέρω, ὥστε εἶναι τὰς πάσας πτώσεις ἕξ. χρῆται δὲ καὶ δυσὶ λήμμασιν ἅπερ ἑξῆς γράψομεν.

[a] Μεῖζον ἄρα τὸ ὑπὸ ΑΝΞ τοῦ ὑπὸ ΑΟΞ· ἡ ΝΞ ἄρα πρὸς ΞΟ μείζονα λόγον ἔχει ἤπερ ἡ ΟΑ πρὸς ΑΝ.] Ἐπεὶ γὰρ τὸ ὑπὸ ΑΝ, ΝΞ μεῖζόν ἐστι τοῦ ὑπὸ ΑΟ, ΟΞ, γινέσθω τῷ ὑπὸ ΑΝ, ΝΞ ἴσον τὸ ὑπὸ τῆς ΑΟ καὶ ἄλλης τινὸς τῆς ΞΠ, ἥτις μείζων ἔσται τῆς ΞΟ· ἔστιν ἄρα ὡς ἡ ΟΑ πρὸς ΑΝ οὕτως ἡ ΝΞ πρὸς ΞΠ. ἡ δὲ ΝΞ πρὸς ΞΟ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὴν ΞΠ· καὶ ἡ ΑΟ ἄρα πρὸς ΑΝ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΝΞ πρὸς ΞΟ.

Φανερὸν δὲ καὶ τὸ ἀνάπαλιν, ὅτι, κἂν ἡ ΞΝ πρὸς ΞΟ μείζονα λόγον ἔχῃ ἤπερ ἡ ΟΑ πρὸς ΑΝ, τὸ ὑπὸ ΞΝ, ΝΑ μεῖζόν ἐστι τοῦ ὑπὸ ΑΟΞ. γινέσθω γὰρ ὡς ἡ ΟΑ πρὸς ΑΝ οὕτως ἡ ΝΞ πρὸς μείζονα δηλονότι τῆς ΞΟ, ὡς τὴν ΞΠ· τῷ ἄρα ὑπὸ ΝΞ, ΝΑ ἴσον ἐστὶ τὸ ὑπὸ ΑΟ, ΞΠ· μεῖζον ἄρα ἐστὶ τὸ ὑπὸ ΞΝ, ΝΑ τοῦ ὑπὸ ΑΟ, ΟΞ.

[b] Ἀλλ' ὡς μὲν τὸ ὑπὸ ΚΒ, ΑΝ πρὸς τὸ ἀπὸ ΕΓ οὕτως τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΕΔ.] Ἐπεὶ γὰρ, διὰ τὸ παραλλήλους εἶναι τὰς ΑΝ, ΕΓ, ΚΒ, ἐστὶν ὡς ἡ ΑΝ πρὸς ΕΓ οὕτως ἡ ΑΔ πρὸς ΔΕ, ὡς δὲ ἡ ΕΓ πρὸς ΚΒ οὕτως ἡ ΕΔ πρὸς ΔΒ· δι' ἴσου ἄρα ὡς ἡ ΑΝ πρὸς ΚΒ οὕτως ἡ ΑΔ πρὸς ΔΒ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΑΝ πρὸς τὸ ὑπὸ ΑΝ, ΚΒ, οὕτως τὸ ἀπὸ ΑΔ πρὸς τὸ ὑπὸ ΑΔΒ. ὡς δὲ τὸ ἀπὸ ΕΓ πρὸς τὸ ἀπὸ ΑΝ οὕτως τὸ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΑ· δι' ἴσου ἄρα ὡς τὸ ἀπὸ ΕΓ πρὸς τὸ ὑπὸ ΑΝ, ΚΒ, οὕτως τὸ ἀπὸ ΕΔ πρὸς τὸ ὑπὸ ΑΔΒ· καὶ ἀνάπαλιν ὡς τὸ ὑπὸ ΚΒ, ΑΝ πρὸς τὸ ἀπὸ ΕΓ, οὕτως τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΕΔ.







Prop. XXXV. *Theor.*

Si parabolam recta linea contingat, conveniens cum diametro extra sectio-

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν παραβολῆς εὐθεῖα ἐφάπτηται, συμπίπτουσα τῇ διαμέτρῳ ἐκτὸς τῆς τομῆς· ἡ ἀπὸ τῆς ἁφῆς εὐθεῖα ἀχθεῖσα τεταγμένως ἐπὶ τὴν διάμετρον ἴσην ἀπολήψεται ἀπὸ τῆς διαμέτρου, πρὸς τῇ κορυφῇ τῆς τομῆς, τῇ μεταξὺ αὐτῆς καὶ τῆς ἐφαπτομένης· καὶ εἰς τὸν μεταξὺ τόπον τῆς ἐφαπτομένης καὶ τῆς τομῆς οὐδεμία εὐθεῖα παρεμπεσεῖται.

nem : quæ à tactu ad diametrum ordinatim applicatur, abſcindet ex diametro ad verticem ſectionis rectam æqualem ei quæ inter ipſam & contingentem interjicitur ; & in locum qui eſt inter contingentem & ſectionem alia recta non cadet.

ΕΣΤΩ παραβολὴ ἧς διάμετρος ἡ ΑΒ, καὶ τεταγμένως ἀνήχθω ἡ ΒΓ, καὶ ἔστω ἐφαπτομένη τῆς τομῆς ἡ ΑΓ· λέγω ὅτι ἡ ΑΗ ἴση ἐστὶ τῇ ΗΒ.

Εἰ γὰρ δυνατόν, ἔστω ἄνισος αὐτῇ, καὶ τῇ ΑΗ ἴση κείσθω ἡ ΗΕ, καὶ τεταγμένως ἀνήχθω ΕΖ, καὶ ἐπεζεύχθω ἡ ΑΖ· ἡ ΑΖ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ ΑΓ εὐθείᾳ· ὅπερ ἀδύνατον, δύο γὰρ ἔσται εὐθειῶν τὰ αὐτὰ πέρατα. οὐκ ἄρα ἄνισος ἐστιν ἡ ΑΗ τῇ ΗΒ· ἴση ἄρα.

ΛΕΓΩ δὴ ὅτι εἰς τὸν μεταξὺ τόπον τῆς τε ΑΓ εὐθείας καὶ τῆς τομῆς οὐδεμία εὐθεῖα παρεμπεσεῖται.

Εἰ γὰρ δυνατόν, παρεμπιπτέτω ἡ ΓΔ, καὶ τῇ ΗΔ ἴση κείσθω ἡ ΗΕ, καὶ τεταγμένως ἀνήχθω ἡ ΕΖ· ἡ ἄρα ἀπὸ τοῦ Δ ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη εὐθεῖα ἐφάπτεται τῆς τομῆς· ἐκβαλλομένη ἄρα ἐκτὸς πεσεῖται αὐτῆς· ὥστε συμπεσεῖται τῇ ΔΓ, καὶ δύο εὐθειῶν ἔσται τὰ αὐτὰ πέρατα, ὅπερ ἄτοπον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς τε τομῆς καὶ τῆς ΑΓ εὐθείας παρεμπεσεῖται εὐθεῖα.





SIT parabola, cujus diameter AB; ordinatimque applicetur BΓ; & ſit AΓ ſectionem contingens: dico AH ipſi HB æqualem eſſe.

Si enim fieri poteſt, ſit inæqualis; & ipſi AH æqualis ponatur HE; recta autem EZ ordinatim applicetur; & jungatur AZ: ergo [per 33. huj.] AZ producta conveniet cum AΓ; quod fieri non poteſt: duarum enim rectarum iidem termini eſſent. non ergo inæqualis eſt AH ipſi HB: quare neceſſario erit æqualis.

Rursus dico in locum, qui eſt inter AΓ & ſectionem, aliam rectam lineam non cadere.

Si enim fieri poſſit, cadat ΓΔ; ipſique HΔ æqualis ponatur HE; & EZ ordinatim applicetur: ergo [per 33. huj.] à puncto Δ ad Z ducta recta contingit ſectionem; quare producta extra ipſam cadet: & propterea conveniet cum ΔΓ, eruntque duarum rectarum iidem termini; quod eſt abſurdum. non igitur in locum, qui eſt inter ſectionem & AΓ, alia recta cadet.

ΠΡΟΤΑΣΙΣ λϛʹ.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας ἐφάπτηταί τις εὐθεῖα, συμπίπτουσα τῇ πλαγίᾳ τοῦ εἴδους πλευρᾷ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ εὐθεῖα τεταγμένως ἐπὶ τὴν διάμετρον· ἔσται ὡς ἡ ἀπολαμβανομένη ὑπὸ τῆς ἐφαπτομένης πρὸς τῷ πέρατι τῆς πλαγίας πλευρᾶς πρὸς τὴν ἀπολαμβανομένην ὑπὸ τῆς ἐφαπτομένης πρὸς τῷ ἑτέρῳ πέρατι τῆς πλευρᾶς, οὕτως ἡ ἀπολαμβανομένη ὑπὸ τῆς κατηγμένης πρὸς τῷ πέρατι τῆς πλευρᾶς πρὸς τὴν ἀπολαμβανομένην ὑπὸ τῆς κατηγμένης πρὸς τῷ ἑτέρῳ πέρατι τῆς πλευρᾶς, ὥστε τὰς ὁμολόγους συνεχεῖς εἶναι· καὶ εἰς τὸν μεταξὺ τόπον τῆς ἐφαπτομένης καὶ τῆς τοῦ κώνου τομῆς ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

Prop. XXXVI. *Theor.*

Si hyperbolam, vel ellipſim, vel circuli circumferentiam contingat quædam recta linea conveniens cum tranſverſo figuræ latere, & à tactu recta ad diametrum ordinatim applicetur: erit ut recta, quæ interjicitur inter contingentem & terminum tranſverſi lateris ad interjectam inter eandem & alterum lateris terminum, ita quæ eſt inter ordinatim applicatam & terminum lateris ad eam quæ eſt inter eandem & alterum terminum, adeo ut continuatæ inter ſe ſint quæ ſibi ipſis reſpondent; & in locum, qui inter contingentem & ſectionem coni interjicitur, altera recta non cadet.

SIT

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter AB; recta vero contingens sit ΓΔ, & ΓE ordinatim applicetur: dico ut BE ad BA sic esse BΔ ad ΔA.

Si enim non est ita; sit ut BΔ ad ΔA sic BH ad HA, & ordinatim applicetur HZ: ergo [per 34. huj.] quæ à puncto Δ ad Z ducitur recta sectionem continget, & producta conveniet cum ipsa ΓΔ: quare duarum rectarum iidem termini erunt; quod est absurdum.

ΕΣΤΩ ὑπερβολὴ, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, ἐφαπτομένη δὲ ἔστω ἡ ΓΔ, καὶ τεταγμένως κατήχθω ἡ ΓΕ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΒΕ πρὸς ΕΑ οὕτως ἡ ΒΔ πρὸς ΔΑ.

Εἰ γὰρ μή ἐστιν, ἔστω ὡς ἡ ΒΔ πρὸς ΔΑ οὕτως ἡ ΒΗ πρὸς ΗΑ, καὶ τεταγμένως ἀνήχθω ἡ ΗΖ· ἡ ἄρα ἀπὸ τοῦ Δ [ἐπὶ τὸ Ζ] ἐπιζευγνυμένη εὐθεῖα ἐφάψεται τῆς τομῆς· ἐκβαλλομένη ἄρα συμπεσεῖται τῇ ΓΔ· δύο ἄρα εὐθειῶν τὰ αὐτὰ πέρατά ἐστιν, ὅπερ ἄτοπον.



Dico etiam in locum, qui inter sectionem & ΓΔ interjicitur, nullam rectam cadere.

Si enim fieri potest, cadat ΓΘ; & ut BΘ ad ΘA ita fiat BH ad HA, & HZ ordinatim applicetur: juncta ergo ΘZ, si producatur, [per 34. huj.] conveniet cum ipsa ΘΓ, atque erunt duarum rectarum iidem termini; quod fieri non potest. non ergo inter sectionem & ΓΔ altera recta cadet.

ΛΕΓΩ ὅτι μεταξὺ τῆς τομῆς καὶ τῆς ΓΔ εὐθείας οὐδεμία εὐθεῖα παρεμπεσεῖται.

Εἰ γὰρ δυνατὸν, παρεμπιπτέτω ὡς ἡ ΓΘ, καὶ πεποιήσθω ὡς ἡ ΒΘ πρὸς ΘΑ οὕτως ἡ ΒΗ πρὸς ΗΑ, καὶ τεταγμένως ἀνήχθω ἡ ΗΖ· ἡ ἄρα ἀπὸ τοῦ Θ ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη εὐθεῖα ἐκβαλλομένη συμπεσεῖται τῇ ΘΓ· δύο ἄρα εὐθειῶν τὰ αὐτὰ πέρατά ἐστιν, ὅπερ ἀδύνατον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς τομῆς καὶ τῆς ΓΔ εὐθείας παρεμπεσεῖται εὐθεῖα.

Prop. XXXVII. *Theor.*

Si recta linea hyperbolam, vel ellipsim, vel circuli circumferentiam contingens cum diametro conveniat, & à tactu ad diametrum recta ordinatim applicetur: quæ interjicitur inter applicatam & centrum sectionis, una cum interjecta inter contingentem & sectionis centrum, continebit rectangulum æquale quadrato rectæ quæ est ex centro sectionis: sed una cum ea, quæ inter applicatam & contingentem interjicitur, continebit spatium, quod ad quadratum ordinatim applicatæ eandem rationem habet quam transversum figuræ latus ad rectum.

ΠΡΟΤΑΣΙΣ λζ.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὴν διάμετρον καταχθῇ εὐθεῖα τεταγμένως· ἡ ἀπολαμβανομένη εὐθεῖα ὑπὸ τῆς κατηγμένης πρὸς τῷ κέντρῳ τῆς τομῆς, μετὰ τῆς ἀπολαμβανομένης ὑπὸ τῆς ἐφαπτομένης πρὸς τῷ κέντρῳ τῆς τομῆς, ἴσον περιέξει τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τῆς τομῆς· μετὰ δὲ τῆς μεταξὺ τῆς κατηγμένης καὶ τῆς ἐφαπτομένης περιέχει χωρίον, λόγον ἔχον πρὸς τὸ ἀπὸ τῆς κατηγμένης τετράγωνον ὃν ἡ πλαγία πλευρὰ πρὸς τὴν ὀρθίαν.

ΕΣΤΩ

ΕΣΤΩ ὑπερβολή, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια ἧς διάμετρος ἡ ΑΒ, καὶ ἐφαπτομένη ἤχθω ἡ ΓΔ, καὶ κατήχθω τεταγμένως ἡ ΓΕ, κέντρον δὲ ἔστω τὸ Ζ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ὑπὸ ΔΖΕ τῷ ἀπὸ ΖΒ, καὶ ὡς τὸ ὑπὸ ΔΕΖ πρὸς τὸ ἀπὸ ΕΓ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν.



Ἐπεὶ γὰρ ἐφάπτεται ἡ ΓΔ τῆς τομῆς, καὶ τεταγμένως κατῆκται ἡ ΓΕ, ἔσται ὡς ἡ ΑΔ πρὸς ΔΒ οὕτως ἡ ΑΕ πρὸς ΕΒ· συνθέντι ἄρα ἐστὶν ὡς συναμφότερος ἡ ΑΔ, ΔΒ πρὸς ΔΒ οὕτως συναμφότερος ἡ ΑΕ, ΕΒ πρὸς ΕΒ, καὶ τῶν ἡγουμένων τὰ ἡμίση. ἐπὶ μὲν τῆς ὑπερβολῆς ἐροῦμεν. ἀλλὰ συναμφοτέρου μὲν τῆς ΑΕ, ΕΒ ἡμισειά ἐστιν ἡ ΖΕ, τῆς δὲ ΑΒ ἡ ΖΒ· ὡς ἄρα ἡ ΖΕ πρὸς ΕΒ οὕτως ἡ ΖΒ πρὸς ΒΔ· ἀναστρέψαντι ἄρα, ἐστὶν ὡς ἡ ΕΖ πρὸς ΖΒ οὕτως ἡ ΖΒ πρὸς ΖΔ· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΕΖΔ τῷ ἀπὸ ΖΒ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΖΕ πρὸς ΕΒ οὕτως ΖΒ πρὸς ΒΔ, τουτέστιν ἡ ΑΖ πρὸς ΔΒ· ἐναλλὰξ ὡς ἡ ΑΖ πρὸς ΖΕ οὕτως ἡ ΔΒ πρὸς ΒΕ, καὶ συνθέντι ὡς ἡ ΑΕ πρὸς ΕΖ οὕτως ἡ ΔΕ πρὸς ΕΒ· ὥστε τὸ ὑπὸ ΑΕΒ ἴσον τῷ ὑπὸ ΖΕΔ. ἔστι δὲ ὡς τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΓΕ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα τὸ ὑπὸ ΖΕΔ πρὸς τὸ ἀπὸ ΓΕ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν.

Ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς κύκλου περιφερείας. ἀλλὰ συναμφοτέρου μὲν τῆς ΑΔ, ΔΒ ἡμισειά ἐστιν ἡ ΔΖ, τῆς δὲ ΑΒ ἡμισειά ἐστιν ἡ ΖΒ· ὡς ἄρα ἡ ΖΔ πρὸς ΔΒ οὕτως ἡ ΖΒ πρὸς ΒΕ· ἀναστρέψαντι ἄρα ἐστὶν ὡς ἡ ΔΖ πρὸς ΖΒ οὕτως ἡ ΒΖ πρὸς ΖΕ· ἴσον ἄρα ἐστὶ τὸ ΔΖΕ τῷ ἀπὸ ΒΖ. ἀλλὰ τὸ μὲν ὑπὸ ΔΖΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΔΕΖ καὶ τῷ ἀπὸ ΖΕ, τὸ δὲ ἀπὸ ΒΖ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΒ





μετὰ τοῦ ἀπὸ ΖΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΖΕ· λοιπὸν ἄρα τὸ ὑπὸ ΔΕΖ λοιπῷ τῷ ὑπὸ ΑΕΒ ἴσον ἔσται· ὡς ἄρα τὸ ὑπὸ ΔΕΖ πρὸς τὸ ἀπὸ ΓΕ οὕτως τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΓΕ. ἀλλὰ ὡς τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΓΕ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν· ὡς ἄρα τὸ ὑπὸ ΔΕΖ πρὸς τὸ ἀπὸ ΕΓ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter ΑΒ; ducaturque contingens ΓΔ, & ΓΕ ordinatim applicetur; centrum autem sit Ζ: dico rectangulum ΔΖΕ quadrato ex ΖΒ æquale esse; & ut rectangulum ΔΕΖ ad quadratum ex ΕΓ ita transversum latus ad rectum.

Quoniam enim ΓΔ contingit sectionem, & ordinatim applicata est ΓΕ; erit [per 36.huj.] ut ΑΔ ad ΔΒ ita ΑΕ ad ΕΒ: ergo [per 18. 5.] componendo, ut utraque ΑΔ, ΔΒ ad ΔΒ ita utraque ΑΕ, ΕΒ ad ΒΒ; & antecedentium dimidia. In hyperbola quidem in hunc modum argumentabimur. sed utriusque ΑΕ, ΕΒ dimidia est ΖΕ, ipsius autem ΑΒ dimidia ΖΒ: ut igitur ΖΒ ad ΕΒ ita ΖΒ ad ΒΔ; & [per cor. 19. 5.] per conversionem rationis ut ΕΖ ad ΖΒ ita ΖΒ ad ΖΔ: quare [per 17. 6.] rectangulum ΕΖΔ quadrato ex ΖΒ est æquale. Et quoniam ut ΖΕ ad ΕΒ ita ΖΒ ad ΒΔ, hoc est ΑΖ ad ΔΒ; erit [per 16. 5.] permutando ut ΑΖ ad ΖΕ ita ΔΒ ad ΒΕ; & [per 18. 5.] componendo ut ΑΒ ad ΕΖ ita ΔΕ ad ΕΒ: ergo [per 17. 6.] rectangulum ΑΒΒ æquale est rectangulo ΖΕΔ. sed [per 21.huj.] ut rectangulum ΑΕΒ ad quadratum ΓΕ ita transversum latus ad rectum: ut igitur rectangulum ΖΕΔ ad quadratum ΓΕ ita transversum latus ad rectum.

In ellipsi vero, & circuli circumferentia hoc modo. sed utriusque ΑΔ, ΔΒ dimidia est ΔΖ; & ipsius ΑΒ dimidia ΖΒ: ergo ut ΖΔ ad ΔΒ ita ΖΒ ad ΒΕ; & [per cor. 19. 5.] per conversionem rationis, ut ΔΖ ad ΖΒ ita ΒΖ ad ΖΕ: rectangulum igitur ΔΖΒ [per 17. 6.] æquale est quadrato ex ΒΖ. At vero [per 3. 2.] rectangulum ΔΖΒ rectangulo ΔΕΖ una cum quadrato ex ΖΕ est æquale; & [per 5. 2.] quadratum ex ΒΖ æquale est rectangulo ΑΕΒ una cum quadrato ex ΖΕ. commune auferatur quadratum ex ΖΕ: reliquum igitur rectangulum ΔΕΖ reliquo ΑΕΒ æquale erit: ut igitur rectangulum ΔΕΖ ad quadratum ex ΓΕ, ita [per 7. 5.] rectangulum ΑΕΒ ad quadratum ex ΓΕ. sed [per 21. huj.] ut rectangulum ΑΕΒ ad quadratum ex ΓΕ ita transversum latus ad rectum: ergo ut rectangulum ΔΕΖ ad quadratum ex ΕΓ ita transversum latus ad rectum.

EUTOCIUS.

Ex his theorematibus patet, quomodo per datum punctum in diametro, vel vertice sectionis contingentem rectam ducere possimus.

Διὰ τούτων τῶν θεωρημάτων φανερόν, ὅπως ἐστὶ δυνατὸν διὰ τοῦ δοθέντος σημείου ἐπὶ τῆς διαμέτρου καὶ τῆς κορυφῆς τῆς τομῆς ἐφαπτομένην ἀγαγεῖν.

Prop. XXXVIII. *Theor.*

Si hyperbolam, vel ellipsim, vel circuli circumferentiam recta linea contingens cum secunda diametro conveniat; & à tactu ad diametrum applicetur recta alteri diametro parallela: quæ interjicitur inter applicatam & sectionis centrum, una cum interjecta inter contingentem & centrum sectionis, continebit rectangulum æquale quadrato quod fit ex dimidia secundæ diametri; sed una cum ea, quæ inter applicatam & contingentem interjicitur, spatium continebit, quod ad quadratum applicatæ eam rationem habeat, quam figuræ rectum latus ad transversum.

ΠΡΟΤΑΣΙΣ λη'.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ δευτέρᾳ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς εὐθεῖα καταχθῇ ἐπὶ τὴν αὐτὴν διάμετρον παράλληλος τῇ ἑτέρᾳ διαμέτρῳ· ἡ ἀπολαμβανομένη εὐθεῖα ὑπὸ τῆς κατηγμένης πρὸς τῷ κέντρῳ τῆς τομῆς, μετὰ μὲν τῆς ἀπολαμβανομένης ὑπὸ τῆς ἐφαπτομένης πρὸς τῷ κέντρῳ τῆς τομῆς, ἴσον περιέξει τῷ ἀπὸ τῆς ἡμισείας τῆς δευτέρας διαμέτρου τετραγώνῳ· μετὰ δὲ τῆς μεταξὺ τῆς κατηγμένης καὶ τῆς ἐφαπτομένης περιέξει χωρίον λόγον ἔχον πρὸς τὸ ἀπὸ τῆς κατηγμένης, ὃν ἔχει ἡ ὀρθία τοῦ εἴδους πλευρὰ πρὸς τὴν πλαγίαν.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter ΑΗΒ, secunda diameter ΓΗΔ; recta vero sectionem contingens sit ΕΛΖ, quæ conveniat cum ΓΔ in Ζ; & ΘΕ ipsi ΑΒ sit parallela: dico rectangulum ΖΗΘ quadrato ex ΓΗ æquale esse; & ut rectangulum ΗΘΖ ad quadratum ex ΘΕ ita rectum figuræ latus ad latus transversum.

ΕΣΤΩ ὑπερβολή, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια ἧς διάμετρος ἡ ΑΗΒ, δευτέρα δὲ διάμετρος ἡ ΓΗΔ, ἐφαπτομένη δὲ ἔστω τῆς τομῆς ἡ ΕΛΖ συμπίπτουσα τῇ ΓΔ κατὰ τὸ Ζ, παράλληλος δὲ ἔστω τῇ ΑΒ ἡ ΘΕ· λέγω ὅτι τὸ ὑπὸ ΖΗΘ τῷ ἀπὸ ΗΓ ἐστὶν ἴσον, καὶ ἔστιν ὡς τὸ ὑπὸ ΗΘΖ πρὸς τὸ ἀπὸ ΘΕ οὕτως ἡ ὀρθία πρὸς τὴν πλαγίαν.



Ordinatim namque applicatâ ΜΕ, erit [per 37. huj.] ut rectangulum ΗΜΛ ad quadratum ex ΜΕ ita transversum latus ad rectum. sed [per def. 2^{dæ} diam.] ut transversum latus ΒΑ ad ΓΔ ita ΓΔ ad latus rectum: ergo [per cor. 20. 6.]

Ἤχθω τεταγμένως ἡ ΜΕ· ἔστιν ἄρα ὡς τὸ ὑπὸ ΗΜΛ πρὸς τὸ ἀπὸ ΜΕ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν. ἀλλ' ἔστιν ὡς ἡ πλαγία ΒΑ πρὸς ΓΔ οὕτως ἡ ΓΔ πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα ἡ πλαγία ἡ πλαγία πρὸς τὴν ὀρθίαν οὕτως τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΓΔ, καὶ τὰ τέταρτα, τουτέστι τὸ ἀπὸ ΗΑ πρὸς τὸ ἀπὸ ΗΓ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΗΜΛ πρὸς τὸ ἀπὸ ΜΕ οὕτως τὸ ἀπὸ ΗΑ πρὸς τὸ ἀπὸ ΗΓ. τὸ δὲ ὑπὸ ΗΜΛ πρὸς τὸ ἀπὸ ΜΕ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ΗΜ πρὸς ΜΕ, τουτέστι πρὸς ΗΘ, καὶ ἐξ οὗ ὃν ἔχει ἡ ΛΜ πρὸς ΜΕ· ἀνάπαλιν ἄρα ὁ τοῦ ἀπὸ ΓΗ πρὸς τὸ ἀπὸ ΗΑ λόγος συνῆπται ἔκ τε τοῦ ὃν ἔχει ἡ ΕΜ πρὸς ΗΜ, τουτέστιν ΘΗ πρὸς ΜΗ, καὶ ἐκ τοῦ ὃν ἔχει ΕΜ πρὸς ΜΛ, τουτέστιν ἡ ΖΗ πρὸς ΗΛ· τὸ ἄρα ἀπὸ ΗΓ πρὸς τὸ ἀπὸ ΗΑ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ΘΗ πρὸς ΗΜ, καὶ ἐξ οὗ ὃν ἔχει ἡ ΖΗ πρὸς ΗΛ, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ὑπὸ ΖΗΘ πρὸς τὸ ὑπὸ ΜΗΛ· ὡς ἄρα τὸ ὑπὸ ΖΗΘ πρὸς τὸ ὑπὸ ΜΗΛ οὕτως τὸ ἀπὸ ΓΗ πρὸς τὸ ἀπὸ ΗΑ· καὶ ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ὑπὸ ΖΗΘ πρὸς τὸ ἀπὸ ΓΗ οὕτως τὸ ὑπὸ ΜΗΛ πρὸς τὸ ἀπὸ ΗΑ. ἴσον δὲ τὸ ὑπὸ ΜΗΛ τῷ ἀπὸ ΗΑ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΖΗΘ τῷ ἀπὸ ΗΓ. Πάλιν ἐπεί ἐστιν ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν οὕτως τὸ ἀπὸ ΕΜ πρὸς τὸ ὑπὸ ΗΜΛ, καὶ τὸ ἀπὸ ΕΜ πρὸς τὸ ὑπὸ ΗΜΛ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ΕΜ πρὸς ΗΜ, τουτέστιν ἡ ΘΗ πρὸς ΘΕ, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΕΜ πρὸς ΜΛ, τουτέστιν ἡ ΖΗ πρὸς ΗΛ, τουτέστιν ἡ ΖΘ πρὸς ΘΕ, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ὑπὸ ΖΘΗ πρὸς τὸ ἀπὸ ΘΕ· ὡς ἄρα τὸ ὑπὸ ΖΘΗ πρὸς τὸ ἀπὸ ΘΕ οὕτως ἡ ὀρθία πρὸς τὴν πλαγίαν.

ut transversum latus ad rectum ita quadratum ex ΑΒ ad quadratum ex ΓΔ: & [per 15.5.] ita horum quadratorum quartæ partes, videlicet quadratum ex ΗΑ ad quadratum ex ΗΓ: ut igitur rectangulum ΗΜΛ ad quadratum ex ΜΕ ita quadratum ex ΑΗ ad quadratum ex ΗΓ. sed [per 23. 6.] rectangulum ΗΜΛ ad quadratum ex ΜΕ compositam rationem habet ex ratione ΗΜ ad ΜΕ, hoc est [per 33.1.] ad ΗΘ, & ex ratione ΛΜ ad ΜΕ: quare invertendo ratio quadrati ex ΓΗ ad quadratum ex ΗΑ componitur ex ratione ΕΜ ad ΜΗ, hoc est ΘΗ ad ΗΜ, & ex ratione ΕΜ ad ΜΛ, hoc est [per 4. 6.] ΖΗ ad ΗΛ: ergo quadratum ex ΗΓ ad quadratum ex ΗΑ compositam habet rationem ex ratione ΘΗ ad ΗΜ, & ex ratione ΖΗ ad ΗΛ, quæ quidem eadem est [per 23. 6.] ac rectanguli ΖΗΘ ad rectangulum ΜΗΛ: ut igitur rectangulum ΖΗΘ ad ΜΗΛ rectangulum ita quadratum ex ΓΗ ad quadratum ex ΗΑ; & permutando ut rectangulum ΖΗΘ ad quadratum ex ΓΗ ita rectangulum ΜΗΛ ad quadratum ex ΗΑ. rectangulum autem ΜΗΛ [per 37. huj.] æquale est quadrato ex ΗΑ: ergo & rectangulum ΖΗΘ quadrato ex ΗΓ æquale erit. Rursus [per 21.huj.] ut rectum latus ad transversum ita quadratum ex ΕΜ ad rectangulum ΗΜΛ. quadratum vero ex ΕΜ ad rectangulum ΗΜΛ [per 23. 6.] compositam rationem habet ex ratione ΕΜ ad ΗΜ, hoc est ΗΘ ad ΘΕ; & ex ratione ΕΜ ad ΜΛ, hoc est [per 4. 6.] ΖΗ ad ΗΛ, sive ΖΘ ad ΘΕ: quare ratio hæc eadem est [per 23. 6.] quam habet rectangulum ΖΘΗ ad quadratum ex ΘΕ: ergo ut rectangulum ΖΘΗ ad quadratum ex ΘΕ ita rectum latus ad transversum.

Τῶν αὐτῶν ὑποκειμένων, δεικτέον ὅτι ἐστὶν ὡς ἡ μεταξὺ τῆς ἐφαπτομένης καὶ τοῦ πέρατος τῆς δευτέρας διαμέτρου, ἐπὶ τὰ αὐτὰ τῆς κατηγμένης, πρὸς τὴν μεταξὺ τῆς ἐφαπτομένης καὶ τοῦ ἑτέρου πέρατος τῆς δευτέρας διαμέτρου, οὕτως ἡ μεταξὺ τοῦ ἑτέρου πέρατος καὶ τῆς κατηγμένης πρὸς τὴν μεταξὺ τοῦ αὐτοῦ πέρατος καὶ τῆς κατηγμένης.

Iisdem positis ostendendum est, ut recta, quæ inter tangentem & terminum secundæ diametri ad partes applicatæ interjicitur, ad eam, quæ inter tangentem & alterum terminum secundæ diametri; ita esse rectam, quæ est inter alterum terminum & applicatam, ad eam quæ inter eundem terminum & applicatam.

Ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ ΖΗΘ τῷ ἀπὸ ΗΓ, τουτέστι τῷ ὑπὸ ΓΗΔ, ἴση γὰρ ἡ ΓΗ τῇ ΗΔ· ἔστιν ἄρα ὡς ἡ ΖΗ πρὸς ΗΔ οὕτως ἡ ΓΗ πρὸς ΗΘ, καὶ ἀναστρέψαντι ὡς ἡ ΖΗ πρὸς ΖΔ οὕτως ἡ ΗΓ πρὸς ΓΘ, καὶ τὰ διπλᾶ τῶν ἡγουμένων. ἔστι δὲ διπλασία τῆς ΗΖ [ἐπὶ μὲν τῆς πρώτης πτώσεως τῆς ὑπερβολῆς ἡ τῶν ΓΖ, ΖΔ ὑπεροχή, ἐπὶ δὲ τῆς δευτέρας] συναμφότερος ἡ ΓΖ, ΖΔ, διὰ τὸ ἴσην εἶναι τὴν ΓΗ τῇ ΗΔ, τῆς δὲ ΗΓ διπλασία ἡ ΓΔ· ὡς ἄρα [ἡ τῶν ΓΖ, ΖΔ ὑπεροχὴ ἢ] συναμφότερος ἡ ΓΖ, ΖΔ πρὸς ΖΔ οὕτως ἡ ΔΓ πρὸς ΓΘ, καὶ [συνθέντι ἐπὶ τῆς πρώτης πτώσεως, ἢ ἐπὶ τῆς δευτέρας] διελόντι ὡς ἡ ΓΖ πρὸς ΖΔ οὕτως ἡ ΔΘ πρὸς ΘΓ.

Quoniam enim [ex sup.prop.] æquale est rectangulum ΖΗΘ quadrato ex ΗΓ, hoc est rectangulo ΓΗΔ; nam linea ΓΗ æqualis est ipsi ΗΔ: erit [per 16.6.] ut ΖΗ ad ΗΔ ita ΓΗ ad ΗΘ; & [per cor. 19. 6.] per conversionem rationis, ut ΖΗ ad ΖΔ ita ΗΓ ad ΓΘ, & antecedentium dupla. est autem dupla ipsius ΗΖ differentia inter ΓΖ, ΖΔ, in primo casu hyperbolæ, at in secundo utraque ΓΖ, ΖΔ simul sumpta, ob æquales ΓΗ, ΗΔ; ac ΓΔ dupla est ipsius ΗΓ: ut igitur differentia vel summa ipsarum ΓΖ, ΖΔ ad ΖΔ ita ΓΔ ad ΓΘ, ac componendo in primo casu vel dividendo in secundo fiet ΓΖ ad ΖΔ sicut ΔΘ ad ΘΓ.

* Hæc demonstratio hyperbolæ tantum competit, sed levi mutatione ad ellipsin & circulum transferri potest, & in quibusdam codicibus theorema hoc sic reperitur enunciatum, convenientius nempe ellipsi & circulo, Ὡς ἡ μεταξὺ τῆς ἐφαπτομένης καὶ τοῦ πέρατος τῆς δευτέρας διαμέτρου, ἐπὶ τὰ αὐτὰ τῆς κατηγμένης, πρὸς τὴν μεταξὺ τῆς κατηγμένης καὶ τοῦ αὐτοῦ πέρατος, οὕτως ἡ μεταξὺ τῆς ἐφαπτομένης καὶ τοῦ ἑτέρου πέρατος τῆς δευτέρας διαμέτρου πρὸς τὴν μεταξὺ τοῦ ἑτέρου πέρατος καὶ τῆς κατηγμένης. Ut intercepta inter contingentem & terminum secundæ diametri ad partes applicatæ, ad interceptam inter applicatam & dictum terminum, ita intercepta inter contingentem & alterum terminum secundæ diametri ad intetceptum inter hunc alterum terminum & applicatam; hoc est ut ΓΖ ad ΖΔ ita ΓΘ ad ΘΔ: id quod ex trigesima sexta hujus manifestum est.

Corollarium.

Ex jam dictis manifestum est E Z contingere sectionem, sive rectangulum Z H Θ æquale sit quadrato ex H Γ, sive Z Θ H rectangulum ad quadratum ex Θ E eam, quam diximus, rationem habeat. converso enim modo illud facile ostendetur.

Πόρισμα.

Φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι ἡ E Z ἐφάπτεται τῆς τομῆς, ἐάν τε ἴσον ᾖ τὸ ὑπὸ Z H Θ τῷ ἀπὸ τῆς H Γ, ἐάν τε λόγον ἔχῃ τὸ ὑπὸ Z Θ H πρὸς τὸ ἀπὸ Θ E τὸν εἰρημένον. δειχθήσεται γὰρ ἀντιστρόφως.

EUTOCIUS.

In aliquibus exemplaribus hoc theorema in sola hyperbola demonstratum invenimus: sed hoc loco universaliter demonstratur, quoniam eadem contingunt & in diversis sectionibus. *Apollonio* autem visum est non solum hyperbolam sed etiam ellipsim secundam diametrum habere, ut sæpe ex ipso in superioribus didicimus. Et in ellipsi quidem casum non habet, in hyperbola vero tres habet casus. punctum enim Z, in quo recta sectionem contingens cum secunda diametro convenit, vel est infra Δ, vel in ipso Δ, vel supra; & propterea punctum Θ similiter tres locos obtinet. attendendum autem est, cum Z cadit infra Δ, & Θ infra Γ cadere; cum vero Z cadit in Δ, Θ cadit in Γ; & cum Z supra Δ, & Θ supra Γ cadit.

Ἐν τισιν ἀντιγράφοις τὸ θεώρημα τοῦτο ἐπὶ μόνης τῆς ὑπερβολῆς εὑρίσκεται δεδειγμένον. καθολικῶς δὲ ἐνταῦθα δέδεικται· τὰ γὰρ αὐτὰ συμβαίνει καὶ ἐπὶ τῶν ἄλλων τομῶν. καὶ τῷ Ἀπολλωνίῳ δὲ δοκεῖ μὲν οὐ μόνον τὴν ὑπερβολὴν, ἀλλὰ καὶ τὴν ἔλλειψιν ἔχειν δευτέραν διάμετρον, ὡς πολλάκις αὐτοῦ ἠκούσαμεν ἐν τοῖς προλαβοῦσι. καὶ ἐπὶ μὲν τῆς ἐλλείψεως πτῶσιν οὐκ ἔχει, ἐπὶ δὲ τῆς ὑπερβολῆς τρεῖς. τὸ γὰρ Z σημεῖον, καθ' ὃ συμβάλλει ἡ ἐφαπτομένη τῇ δευτέρᾳ διαμέτρῳ, ἢ κατωτέρω τοῦ Δ ἐστὶ, ἢ ἐπὶ τοῦ Δ, ἢ ἀνωτέρω τοῦ Δ· καὶ διὰ τοῦτο τὸ Θ ὁμοίως αὐτῷ τρεῖς ἕξει τόπους. καὶ προσεκτέον, ὅτι εἴτε κατωτέρω πίσῃ τὸ Z τοῦ Δ, καὶ τὸ Θ τοῦ Γ ἔσται κατωτέρω· εἴτε τὸ Z ἐπὶ τὸ Δ, καὶ τὸ Θ ἐπὶ τὸ Γ· εἴτε ἀνωτέρω τὸ Z τοῦ Δ, καὶ τὸ Θ τοῦ Γ ἔσται ἀνωτέρω.

Prop. XXXIX. *Theor.*

Si hyperbolam, vel ellipsim, vel circuli circumferentiam recta contingens cum diametro conveniat; & à tactu ad diametrum recta ordinatim applicetur: sumptâ quàvis rectâ ex duabus, quarum altera interjicitur inter applicatam & centrum sectionis, altera inter applicatam & contingentem, habebit ad eam applicata rationem compositam ex ratione quam habet altera dictarum rectarum ad applicatam, & ex ratione quam rectum figuræ latus habet ad transversum.

ΠΡΟΤΑΣΙΣ λθ'.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ εὐθεῖα ἐπὶ τὴν διάμετρον τεταγμένως· ἥτις ἂν ληφθῇ τῶν δύο εὐθειῶν, ὧν ἐστιν ἡ μὲν μεταξὺ τῆς κατηγμένης καὶ τοῦ κέντρου τῆς τομῆς, ἡ δὲ μεταξὺ τῆς κατηγμένης καὶ τῆς ἐφαπτομένης τῆς τομῆς, ἕξει πρὸς αὐτὴν ἡ κατηγμένη τὸν συγκείμενον λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ἑτέρα τῶν δύο εὐθειῶν πρὸς κατηγμένην, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ τοῦ εἴδους ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia cujus diameter A B, centrum autem Z; ducaturque Γ Δ sectionem contingens, & Γ E ordinatim applicetur: dico Γ E ad alteram rectarum Z E, E Δ rationem habere compositam ex ratione, quam habet rectum figuræ latus ad transversum, & ex ea quam altera dictarum rectarum Z E, E Δ habet ad ipsam E Γ.

ΕΣΤΩ ὑπερβολὴ, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια ἧς διάμετρος ἡ A B, κέντρον δὲ αὐτῆς τὸ Z, καὶ ἐφαπτομένη ἤχθω τῆς τομῆς ἡ Γ Δ, καὶ τεταγμένως κατήχθω ἡ Γ E· λέγω ὅτι ἡ Γ E πρὸς τὴν ἑτέραν τῶν Z E, E Δ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ἑτέρα τῶν Z E, E Δ πρὸς τὴν E Γ.



Sit enim rectangulum Z E Δ æquale rectangulo sub E Γ & recta H: & quoniam [per 37.huj.] ut rectangulum Z E Δ ad quadratum ex Γ E ita transversum latus ad rectum; atque rectangulum Z E Δ rectangulo sub E Γ & H æquale est: erit ut

Ἔστω γὰρ ἴσον τὸ ὑπὸ Z E Δ τῷ ὑπὸ E Γ καὶ τινὸς H· καὶ ἐπεί ἐστιν ὡς τὸ ὑπὸ Z E Δ πρὸς τὸ ἀπὸ Γ E οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ἴσον δέ ἐστι τὸ ὑπὸ Z E Δ τῷ ὑπὸ Γ E, H· ὡς ἄρα τὸ ὑπὸ

ὑπὸ ΓΕ, Η πρὸς τὸ ἀπὸ ΓΕ, τουτέστιν ἡ Η πρὸς ΓΕ, οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ὑπὸ ΖΕΔ τῷ ὑπὸ ΓΕ, Η, ἔστιν ὡς ἡ ΕΖ πρὸς ΕΓ οὕτως ἡ Η πρὸς ΕΔ. καὶ ἐπεὶ ἡ ΓΕ πρὸς ΕΔ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ΓΕ πρὸς Η καὶ τοῦ ὃν ἔχει ἡ Η πρὸς ΕΔ· ἀλλ' ἔστιν ὡς μὲν ἡ ΓΕ πρὸς Η οὕτως ἡ ὀρθία πρὸς τὴν πλαγίαν, ὡς δὲ ἡ Η πρὸς ΔΕ οὕτως ἡ ΖΕ πρὸς ΕΓ· ἡ ΓΕ ἄρα πρὸς ΕΔ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ὀρθία πρὸς τὴν πλαγίαν καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΖΕ πρὸς ΕΓ.

rectangulum sub ΓΕ & Η ad quadratum ex ΓΕ, hoc est [per 1. 6.] ut Η ad ΓΕ, ita transversum latus ad rectum. rursus quoniam rectangulum ΖΕΔ æquale est rectangulo sub ΓΕ & Η; ut ΕΖ ad ΕΓ ita [per 16. 6.] erit Η ad ΕΔ. habet autem ΓΕ ad ΕΔ rationem compositam ex ratione quam ΓΕ habet ad Η & ex ea quam Η habet ad ΕΔ; utque ΓΕ est ad Η (ut mox ostensum) ita rectum latus ad transversum; & ut Η ad ΔΕ ita ΖΕ ad ΕΓ: ergo ΓΕ ad ΕΔ rationem habebit compositam ex ratione quam habet rectum latus ad transversum, & ex ea quam ΖΕ habet ad ΕΓ.

ΠΡΟΤΑΣΙΣ μ'.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ δευτέρᾳ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ εὐθεῖα ἐπὶ τὴν αὐτὴν διάμετρον παράλληλος τῇ ἑτέρᾳ διαμέτρῳ· ἥτις ἂν ληφθῇ τῶν δύο εὐθειῶν, ὧν ἐστιν ἡ μὲν μεταξὺ τῆς κατηγμένης καὶ τοῦ κέντρου τῆς τομῆς, ἡ δὲ μεταξὺ τῆς κατηγμένης καὶ τῆς ἐφαπτομένης, ἕξει πρὸς αὐτὴν ἡ κατηγμένη τὸν συγκείμενον λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ πλαγία πρὸς τὴν ὀρθίαν καὶ ἐξ οὗ ὃν ἔχει ἡ ἑτέρα τῶν δύο εὐθειῶν πρὸς τὴν κατηγμένην.

Prop. XL. *Theor.*

Si hyperbolam, vel ellipsim, vel circuli circumferentiam recta linea contingens cum secunda diametro conveniat; & à tactu ad eandem diametrum recta applicetur diametro alteri parallela: sumptâ quâlibet rectâ ex duabus, quarum una inter applicatam & sectionis centrum interjicitur, altera inter applicatam & contingentem, habebit ad ipsam applicata rationem compositam ex ratione quam habet transversum figuræ latus ad rectum & ex ea quam altera dictarum rectarum habet ad applicatam.

ΕΣΤΩ ὑπερβολὴ, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια ἡ ΑΒ, διάμετρος δὲ αὐτῆς ἡ ΒΖΓ, δευτέρα δὲ ἡ ΔΖΕ, καὶ ἐφαπτομένη ἤχθω ἡ ΘΛΑ, καὶ τῇ ΓΒ παράλληλος ἡ ΑΗ· λέγω ὅτι ἡ ΑΗ πρὸς τὴν ἑτέραν τῶν ΘΗ, ΖΗ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ πλαγία πρὸς τὴν ὀρθίαν καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ἑτέρα τῶν ΖΗ, ΘΗ πρὸς τὴν ΗΑ.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia ΑΒ, cujus diameter ΒΖΓ, & secunda diameter ΔΖΕ; ducaturque recta sectionem contingens ΘΛΑ, & ipsi ΓΒ parallela ducatur ΑΗ: dico ΑΗ ad alteram rectarum ΘΗ, ΗΖ rationem habere compositam ex ratione quam habet transversum figuræ latus ad rectum, & ex ea quam altera dictarum rectarum ΖΗ, ΘΗ habet ad ipsam ΗΑ.



Ἔστω τὸ ὑπὸ ΘΗΖ ἴσον τῷ ὑπὸ ΗΑ, Κ. καὶ ἐπεί ἐστιν ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν οὕτως τὸ ὑπὸ ΘΗΖ πρὸς τὸ ἀπὸ ΗΑ, τῷ δὲ ὑπὸ ΘΗΖ ἴσον τὸ ὑπὸ ΗΑ, Κ· καὶ τὸ ὑπὸ ΗΑ, Κ ἄρα πρὸς τὸ ἀπὸ ΗΑ, τουτέστιν ἡ Κ πρὸς ΑΗ, ἔστιν ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν· καὶ ἐπεὶ ἡ ΑΗ πρὸς ΗΖ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ΑΗ πρὸς Κ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ Κ πρὸς ΗΖ· ἀλλ' ὡς μὲν ἡ ΗΑ πρὸς Κ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ὡς δὲ ἡ Κ πρὸς ΗΖ οὕτως

Sit enim rectangulum ΘΗΖ rectangulo quod fit sub ΗΑ & Κ æquale. itaque quoniam [per 38. huj.] ut rectum latus ad transversum ita rectangulum ΘΗΖ ad quadratum ex ΗΑ; rectangulo autem ΘΗΖ æquale est [ex hyp.] id quod fit sub ΗΑ & Κ: erit rectangulum sub ΗΑ & Κ ad quadratum ex ΗΑ, hoc est [per 1. 6.] Κ ad ΑΗ, ut latus rectum ad transversum: & quoniam ΑΗ ad ΗΖ compositam habet rationem ex ratione quam habet ΑΗ ad Κ & ex ea quam Κ habet ad ΗΖ; estque ut ΗΑ ad Κ ita transversum latus ad rectum; & [per 16. 6.] ut Κ ad ΗΖ ita

Θ H ad H A, propterea quod rectangulum Θ H Z æquale est rectangulo sub A H & K: constat ergo A H ad H Z compositam habere rationem ex ratione diametri transversæ ad latus rectum & ex ea quam Θ H habet ad H A.

οὕτως ἡ Θ H πρὸς H A, διὰ τὸ ἴσον εἶναι τὸ ὑπὸ Θ H Z τῷ ὑπὸ A H, K· ἡ A H ἄρα πρὸς H Z τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ πλαγία πρὸς τὴν ὀρθίαν καὶ ἐκ τοῦ ὃν ἔχει ἡ H Θ πρὸς H A.

Prop. XLI. *Theor.*

Si in hyperbola, vel ellipsi, vel circuli circumferentia recta linea ordinatim applicetur ad diametrum; & ab applicata, & ab ea quæ ex centro, parallelogramma æquiangula describantur; habeat autem applicata ad reliquum parallelogrammi latus rationem compositam ex ratione quam habet ea quæ ex centro ad reliquum latus, & ex ratione quam rectum figuræ latus habet ad transversum: parallelogrammum factum à recta, quæ inter centrum & applicatam interjicitur, simile parallelogrammo quod fit ab ea quæ ex centro, in hyperbola quidem excedit parallelogrammum ab applicata parallelogrammo quod fit ab ea quæ ex centro; in ellipsi vero & circuli circumferentia, una cum parallelogrammo quod fit ab applicata æquale est parallelogrammo facto ab ea quæ ex centro.

ΠΡΟΤΑΣΙΣ μα´.

Ἐὰν ἐν ὑπερβολῇ, ἢ ἐλλείψει, ἢ κύκλου περιφερείᾳ εὐθεῖα καταχθῇ τεταγμένως ἐπὶ τὴν διάμετρον, καὶ ἀπὸ τῆς τεταγμένης καὶ τῆς ἐκ τοῦ κέντρου ἀναγραφῇ εἴδη παραλληλόγραμμα ἰσογώνια, ἔχῃ δὲ ἡ κατηγμένη πλευρὰ πρὸς τὴν λοιπὴν τοῦ εἴδους πλευρὰν τὸν συγκείμενον λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ἐκ τοῦ κέντρου πρὸς λοιπὴν τοῦ εἴδους πλευρὰν, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ τοῦ εἴδους τῆς τομῆς ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν· τὸ ἀπὸ τῆς μεταξὺ τοῦ κέντρου καὶ τῆς κατηγμένης εἶδος, τὸ ὅμοιον τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου εἴδει, ἐπὶ μὲν τῆς ὑπερβολῆς, μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς κατηγμένης εἴδους τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου εἴδει· ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου περιφερείας, μετὰ τοῦ ἀπὸ τῆς κατηγμένης εἴδους, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου εἴδει.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter A B, centrum E; & ordinatim applicetur Γ Δ; à lineis autem E A, Γ Δ æquiangula parallelogramma describantur, quæ sint A Z, Δ H; & habeat Γ Δ ad Γ H rationem compositam ex ratione quam habet A E ad E Z & ex ea quam rectum figuræ latus habet ad transversum: dico in hyperbola parallelogrammum quod fit ex E Δ, simile ipsi A Z, parallelogrammis A Z, H Δ æquale esse: in ellipsi vero & circuli circumferentia, parallelogrammum quod fit ex Δ E, simile A Z, una cum parallelogrammo H Δ ipsi A Z esse æquale.

Fiat enim ut rectum figuræ latus ad transversum ita Δ Γ ad Γ Θ. & quoniam [ex hyp.] ut Δ Γ ad Γ Θ ita rectum latus ad transversum; ut autem Δ Γ ad Γ Θ ita [per 1. 6.] quadratum ex Δ Γ ad rectangulum Δ Γ Θ; & [per 21. huj.] ut rectum latus ad transversum ita quadratum ex Δ Γ ad rectangulum B Δ A: erit [per 9. 5.] rectangulum B Δ A rectangulo Δ Γ Θ æquale. rursus quoniam Δ Γ ad Γ H rationem habet compositam ex ratione quam habet A E ad E Z & ex ea quam rectum latus ad transversum, hoc est quam Δ Γ habet ad Γ Θ. sed & Δ Γ ad Γ H compositam rationem habet ex ratione Δ Γ ad Γ Θ & ex ratione Θ Γ ad Γ H: erit igitur ratio composita ex ratione A E ad E Z & ex ratione Δ Γ ad Γ Θ eadem quæ componitur ex ratione Δ Γ ad Γ Θ & ex ratione Θ Γ ad Γ H. communis auferatur, ratio scilicet Δ Γ ad Γ Θ: reliqua igitur ratio A E ad E Z ea-

Ἔστω ὑπερβολὴ, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ A B, κέντρον δὲ τὸ E, καὶ τεταγμένως κατήχθω ἡ Γ Δ, καὶ ἀπὸ τῶν E A, Γ Δ ἰσογώνια εἴδη ἀναγεγράφθω τὰ A Z, Δ H, καὶ ἡ Γ Δ πρὸς τὴν Γ H τὸν συγκείμενον ἐχέτω λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ A E πρὸς E Z καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν· λέγω ὅτι, ἐπὶ μὲν τῆς ὑπερβολῆς, τὸ ἀπὸ τῆς E Δ εἶδος, τὸ ὅμοιον τῷ A Z, ἴσον ἐστὶ τοῖς A Z, H Δ· ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου, τὸ ἀπὸ τῆς E Δ, ὅμοιον τῷ A Z, μετὰ τοῦ H Δ ἴσον ἐστὶ τῷ A Z.

Πεποιήσθω γὰρ ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν οὕτως ἡ Δ Γ πρὸς Γ Θ. καὶ ἐπεί ἐστιν ὡς ἡ Δ Γ πρὸς Γ Θ οὕτως ἡ ὀρθία πρὸς τὴν πλαγίαν, ἀλλ᾽ ὡς ἡ Δ Γ πρὸς Γ Θ οὕτως τὸ ἀπὸ τῆς Δ Γ πρὸς τὸ ὑπὸ τῶν Δ Γ Θ, ὡς δὲ ἡ ὀρθία πρὸς τὴν πλαγίαν οὕτως τὸ ἀπὸ Δ Γ πρὸς τὸ ὑπὸ B Δ A· ἴσον ἄρα τὸ ὑπὸ B Δ A τῷ ὑπὸ Δ Γ Θ. καὶ ἐπεὶ ἡ Δ Γ πρὸς Γ H τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ A E πρὸς E Z καὶ τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν, τουτέστιν ἡ Δ Γ πρὸς Γ Θ· ἔτι δὲ ἡ Δ Γ πρὸς Γ H τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ Δ Γ πρὸς Γ Θ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ Θ Γ πρὸς Γ H· ὁ ἄρα συγκείμενος λόγος, ἔκ τε τοῦ ὃν ἔχει ἡ A E πρὸς E Z καὶ ἐκ τοῦ ὃν ἔχει ἡ Δ Γ πρὸς Γ Θ, ὁ αὐτός ἐστι τῷ συγκειμένῳ λόγῳ, ἔκ τε τοῦ ὃν ἔχει ἡ Δ Γ πρὸς Γ Θ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ Θ Γ πρὸς Γ H. κοινὸς ἀφῃρήσθω ὁ τῆς Γ Δ πρὸς Γ Θ· λοιπὸς ἄρα ὁ τῆς A E

πρὸς

πρὸς ΕΖ λόγος λοιπῷ τῷ τῆς ΘΓ πρὸς ΓΗ λόγῳ ἐστὶν ὁ αὐτός. ἀλλ' ὡς μὲν ἡ ΘΓ πρὸς ΓΗ οὕτως τὸ ὑπὸ ΘΓΔ πρὸς τὸ ὑπὸ ΗΓΔ, ὡς δὲ ἡ ΑΕ πρὸς ΕΖ οὕτως τὸ ἀπὸ ΑΕ πρὸς τὸ ὑπὸ ΑΕΖ· ὡς ἄρα τὸ ὑπὸ ΘΓΔ πρὸς τὸ ὑπὸ ΗΓΔ οὕτως τὸ ἀπὸ ΕΑ πρὸς τὸ ὑπὸ ΑΕΖ. τὸ δὲ ὑπὸ ΘΓΔ ἴσον ἐδείχθη τῷ ὑπὸ ΒΔΑ· ὡς ἄρα τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ὑπὸ ΗΓΔ οὕτως τὸ ἀπὸ ΑΕ πρὸς τὸ ὑπὸ ΑΕΖ, καὶ ἐναλλὰξ ὡς τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΑΕ οὕτως τὸ ὑπὸ ΗΓΔ πρὸς τὸ ὑπὸ ΑΕΖ. ὡς δὲ τὸ ὑπὸ ΗΓΔ πρὸς τὸ ὑπὸ ΑΕΖ οὕτως τὸ ΔΗ παραλληλόγραμμον πρὸς τὸ ΖΑ, ἰσογώνια γάρ ἐστι καὶ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν, τῆς ΗΓ πρὸς ΑΕ καὶ τῆς ΓΔ πρὸς ΕΖ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΒΔΑ πρὸς

dem est quæ reliqua ΘΓ ad ΓΗ. ut autem ΘΓ ad ΓΗ ita [per 1. 6.] rectangulum ΘΓΔ ad rectangulum ΗΓΔ; & ut ΑΕ ad ΕΖ ita quadratum ex ΑΕ ad rectangulum ΑΕΖ: ergo [per 11. 5.] ut rectangulum ΘΓΔ ad rectangulum ΗΓΔ ita quadratum ex ΑΒ ad rectangulum ΑΕΖ. sed ostensum est rectangulum ΘΓΔ æquale esse rectangulo ΒΔΑ: ut igitur rectangulum ΒΔΑ ad rectangulum ΗΓΔ ita quadratum ex ΑΒ ad rectangulum ΑΕΖ; permutandoque [per 16.5.] ut rectangulum ΒΔΑ ad quadratum ex ΑΕ ita rectangulum ΗΓΔ ad ipsum ΑΕΖ. sed ut rectangulum ΗΓΔ ad ΑΕΖ rectangulum ita parallelogrammum ΔΗ ad parallelogrammum ΖΑ; parallelogramma enim [ex hyp.] æquiangula sunt, & [per 22.6.] rationem habent compositam ex ratione laterum ΗΓ ad ΑΕ & ΓΔ ad ΕΖ: quare ut rectangulum ΒΔΑ ad quadra-



τὸ ἀπὸ ΕΑ οὕτως τὸ ΗΔ πρὸς ΑΖ. λεκτέον τοίνυν ἐπὶ μὲν τῆς ὑπερβολῆς· ὡς τὸ ὑπὸ ΒΔΑ μετὰ τοῦ ἀπὸ ΑΕ πρὸς τὸ ἀπὸ ΑΕ, τουτέστι τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, οὕτως τὰ ΗΔ, ΑΖ πρὸς τὸ ΑΖ. ὡς δὲ τὸ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΕΑ οὕτως τὸ ἀπὸ ΕΔ εἶδος τὸ ὅμοιον καὶ ὁμοίως ἀναγεγραμμένον τῷ ΑΖ πρὸς τὸ ΑΖ· ὡς ἄρα τὰ ΗΔ, ΑΖ πρὸς τὸ ΑΖ οὕτως τὸ ἀπὸ ΕΔ εἶδος ὅμοιον τῷ ΑΖ πρὸς τὸ ΑΖ· τὸ ἀπὸ ΕΔ ἄρα εἶδος τὸ ὅμοιον τῷ ΑΖ ἴσον ἐστὶ τοῖς ΗΔ, ΑΖ.

Ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου περιφερείας ἐροῦμεν· ἐπεὶ οὖν ἐστιν ὡς ὅλον τὸ ἀπὸ ΑΕ πρὸς ὅλον τὸ ΑΖ οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΑΔΒ πρὸς ἀφαιρεθὲν τὸ ΔΗ, καὶ λοιπόν ἐστι πρὸς λοιπὸν ὡς ὅλον πρὸς ὅλον. ἀπὸ δὲ τοῦ ἀπὸ ΕΑ ἐὰν ἀφαιρεθῇ τὸ ὑπὸ ΒΔΑ, λοιπόν ἐστι τὸ ἀπὸ

tum ex ΑΕ ita parallelogrammum ΗΔ ad ipsum ΑΖ. itaque dicendum in hyperbola: ut rectangulum ΒΔΑ una cum quadrato ex ΑΒ ad quadratum ex ΑΕ, hoc est [per 6. 2.] quadratum ex ΔΕ ad quadratum ex ΕΑ, sic parallelogramma ΗΔ, ΑΖ ad parallelogrammum ΑΖ. sed [per 20. 6.] ut quadratum ex ΕΔ ad quadratum ex ΕΑ sic parallelogrammum quod fit ex ΕΔ, simile & similiter descriptum ipsi ΑΖ, ad parallelogrammum ΑΖ: ut igitur parallelogramma ΔΗ, ΑΖ ad parallelogrammum ΑΖ, sic parallelogrammum à ΕΔ descriptum & simile ipsi ΑΖ ad ΑΖ: ergo parallelogrammum à ΔΕ factum & simile ipsi ΑΖ æquale est parallelogrammis ΗΔ, ΑΖ.

In ellipsi vero & circuli circumferentia dicemus. quoniam ut totum, quadratum scilicet ex ΑΕ, ad totum parallelogrammum ΑΖ, sic ablatum rectangulum ΑΔΒ ad ablatum parallelogrammum ΔΗ: erit [per 19.5.] reliquum ad reliquum sicut totum ad totum. quod si à quadrato ex ΕΑ auferatur rectangulum ΒΔΑ, relinquetur

[per

[per 5. 2.] quadratum ex Δ E: ut igitur quadratum ex Δ E ad excessum quo parallelogrammum A Z excedit parallelogrammum Δ H, sic quadratum ex A E ad parallelogrammum A Z. sed [per 23.6.] ut quadratum ex A E ad parallelogrammum A Z sic quadratum ex Δ E ad parallelogrammum quod fit à Δ E simile ipsi A Z: ergo ut quadratum ex Δ E ad excessum quo parallelogrammum A Z excedit ipsum Δ H, sic quadratum ex Δ E ad parallelogrammum Δ E simile ipsi A Z: parallelogrammum igitur ex Δ E simile A Z æquale est excessui quo parallelogrammum A Z excedit Δ H: quare [per 9. 5.] sequitur parallelogrammum à Δ E, simile ipsi A Z, una cum parallelogrammo Δ H ipsi A Z æquale esse.

ΔΕ· ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὴν ὑπεροχὴν ᾗ ὑπερέχει τὸ ΑΖ τοῦ ΔΗ, οὕτως τὸ ἀπὸ ΑΕ πρὸς τὸ ΑΖ. ἀλλ᾽ ὡς τὸ ἀπὸ ΑΕ πρὸς τὸ ΑΖ οὕτως τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΔΕ εἶδος ὅμοιον τῷ ΑΖ· ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὴν ὑπεροχὴν ᾗ ὑπερέχει τὸ ΑΖ τοῦ ΔΗ, οὕτως τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΔΕ εἶδος τὸ ὅμοιον τῷ ΑΖ· ἴσον ἄρα τὸ ἀπὸ τῆς ΔΕ εἶδος ὅμοιον τῷ ΑΖ τῇ ὑπεροχῇ ᾗ ὑπερέχει τὸ ΑΖ τοῦ ΔΗ· τὸ ἄρα ἀπὸ ΔΕ εἶδος τὸ ὅμοιον τῷ ΑΖ μετὰ τοῦ ΔΗ ἴσον ἐστὶ τῷ ΑΖ.

EUTOCIUS.

Theorema hoc in hyperbola casum non habet; in ellipsi vero, si applicata in centrum cadat & reliqua eodem modo disponantur, parallelogrammum quod fit ab applicata parallelogrammo quod fit ab ea quæ ex centro æquale erit. sit enim ellipsis cujus diameter A B, centrum Δ, ordinatimque applicetur Γ Δ, & ab ipsis Γ Δ, Δ A parallelogramma æquiangula describantur Δ H, A Z; habeat autem Δ Γ ad Γ H rationem compositam ex ratione quam habet A Δ ad Δ Z & ex ea quam rectum figuræ latus habet ad transversum: dico parallelogrammum A Z æquale esse parallelogrammo Δ H. quoniam enim in superioribus ostensum est, ut quadratum ex A Δ ad parallelogrammum A Z ita esse rectangulum A Δ B ad parallelogrammum Δ H: erit permutando, ut quadratum ex A Δ ad rectangulum A Δ B ita parallelogrammum A Z ad parallelogrammum Δ H. sed quadratum ex A Δ æquale est rectangulo A Δ B: ergo parallelogrammum A Z parallelogrammo Δ H æquale erit.



Τὸ θεώρημα τοῦτο ἐπὶ τῆς ὑπερβολῆς πτῶσιν οὐκ ἔχει. ἐπὶ δὲ τῆς ἐλλείψεως, ἐὰν ἡ καταγομένη ἐπὶ τὸ κέντρον πίπτῃ, τὰ δὲ λοιπὰ γένηται τὰ αὐτά, τὸ ἀπὸ τῆς καταγμένης εἶδος ἴσον ἔσται τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου εἴδει. ἔστω γὰρ ἔλλειψις, ἧς διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Δ, καὶ κατήχθω τεταγμένως ἡ ΓΔ, καὶ ἀναγεγράφθω ἀπό τε τῆς ΓΔ καὶ τῆς ΑΔ εἴδη ἰσογώνια, τὰ ΔΗ, ΑΖ, ἐχέτω δὲ ἡ ΔΓ πρὸς ΓΗ τὸν συγκείμενον λόγον, ἔκ τε τοῦ ὃν ἔχει ἡ ΑΔ πρὸς ΔΖ καὶ τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν· λέγω ὅτι τὸ ΑΖ ἴσον ἐστὶ τῷ ΔΗ. ἐπεὶ γὰρ ἐν τῷ ἑξῆς δέδεικται, ὡς τὸ ἀπὸ ΑΔ πρὸς τὸ ΑΖ οὕτως τὸ ὑπὸ ΑΔΒ πρὸς τὸ ΔΗ· φημὶ ὅτι καὶ ἐναλλάξ ὡς τὸ ἀπὸ ΑΔ πρὸς τὸ ὑπὸ ΑΔΒ οὕτως τὸ ΑΖ πρὸς τὸ ΔΗ. ἴσον δὲ τὸ ἀπὸ ΑΔ τῷ ὑπὸ ΑΔΒ· ἴσον ἄρα καὶ τὸ ΑΖ τῷ ΔΗ.

Prop. XLII. *Theor.*

Si recta parabolam contingens cum diametro conveniat, & à tactu ad diametrum recta ordinatim applicetur; sumpto autem quovis puncto in sectione, applicentur ad diametrum duæ rectæ, altera quidem contingenti parallela, altera vero parallela ei quæ à tactu ordinatim applicata est: triangulum quod ab ipsis constituitur æquale erit parallelogrammo contento ab ordinatim à tactu applicata, & ea quæ interjicitur inter parallelam & verticem sectionis.

ΠΡΟΤΑΣΙΣ μβ΄.

Ἐὰν παραβολῆς εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς ἀχθῇ εὐθεῖα ἐπὶ τὴν διάμετρον τεταγμένως, ληφθέντος δέ τινος ἐπὶ τῆς τομῆς σημείου καταχθῶσιν ἐπὶ τὴν διάμετρον δύο εὐθεῖαι, ὧν ἡ μὲν αὐτῶν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν ἀπὸ τῆς ἁφῆς κατηγμένην· τὸ γινόμενον ὑπ᾽ αὐτῶν τρίγωνον ἴσον ἐστὶ τῷ περιεχομένῳ παραλληλογράμμῳ ὑπό τε τῆς ἀπὸ τῆς ἁφῆς κατηγμένης, καὶ τῆς ἀπολαμβανομένης ὑπὸ τῆς παραλλήλου πρὸς τῇ κορυφῇ τῆς τομῆς.

Sit parabola, cujus diameter A B, ducaturque linea A Γ sectionem contingens, & Γ Θ ordinatim applicetur; à quovis autem puncto Δ applicetur Δ Z, & per Δ quidem ducatur Δ E ipsi A Γ parallela, per Γ vero Γ H parallela ipsi B Z; denique per B ducatur B H ipsi Θ Γ parallela: dico triangulum Δ E Z æquale esse parallelogrammo Z H.

Ἔστω παραβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ ἤχθω ἐφαπτομένη τῆς τομῆς ἡ ΑΓ, καὶ τεταγμένως κατήχθω ἡ ΓΘ, καὶ ἀπό τινος σημείου τυχόντος κατήχθω ἡ ΔΖ, καὶ διὰ μὲν τοῦ Δ τῇ ΑΓ παράλληλος ἤχθω ἡ ΔΕ, διὰ δὲ τοῦ Γ τῇ ΒΖ ἡ ΓΗ, καὶ διὰ τοῦ Β τῇ ΘΓ ἡ ΒΗ· λέγω ὅτι τὸ ΔΕΖ τρίγωνον ἴσον ἐστὶ τῷ ΗΖ παραλληλογράμμῳ.

Ἐπεὶ

Ἐπεὶ γὰρ τῆς τομῆς ἐφάπτεται ἡ Α Γ, καὶ τεταγμένως κατῆκται ἡ Γ Θ, ἴση ἐστὶν ἡ Α Β τῇ Β Θ· διπλασία ἄρα ἐστὶν ἡ Α Θ τῆς Θ Β· τὸ Α Θ Γ ἄρα τρίγωνον τῷ Β Γ παραλληλογράμμῳ ἐστὶν ἴσον. καὶ ἐπεί ἐστιν ὡς τὸ ἀπὸ Γ Θ πρὸς τὸ ἀπὸ Δ Ζ οὕτως ἡ Θ Β πρὸς Β Ζ, διὰ τὴν τομὴν, ἀλλ' ὡς μὲν τὸ ἀπὸ Γ Θ πρὸς τὸ ἀπὸ Δ Ζ οὕτως τὸ Α Γ Θ τρίγωνον πρὸς τὸ Ε Δ Ζ

Quoniam enim Α Γ sectionem contingit, & ordinatim applicata est Γ Θ, erit [per 35. hujus] Α Β æqualis ipsi Β Θ, & Α Θ dupla ipsius Θ Β; triangulum igitur Α Θ Γ [per 41. 1.] parallelogrammo Β Γ est æquale. & quoniam [per 20. hujus] ut quadratum ex Γ Θ ad quadratum ex Δ Ζ ita linea Θ Β ad ipsam Β Ζ, propter sectionem; ut autem quadratum ex Γ Θ ad quadratum ex Δ Ζ ita [per





τρίγωνον, ὡς δὲ ἡ Θ Β πρὸς Β Ζ οὕτως τὸ Η Θ παραλληλόγραμμον πρὸς τὸ Η Ζ παραλληλόγραμμον· ἔστιν ἄρα ὡς τὸ Α Γ Θ τρίγωνον πρὸς τὸ Ε Δ Ζ τρίγωνον οὕτως τὸ Θ Η παραλληλόγραμμον πρὸς τὸ Η Ζ παραλληλόγραμμον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ Α Γ Θ τρίγωνον πρὸς τὸ Η Θ παραλληλόγραμμον οὕτως τὸ Ε Δ Ζ τρίγωνον πρὸς τὸ Η Ζ παραλληλόγραμμον. ἴσον δὲ τὸ Α Γ Θ τρίγωνον τῷ Η Θ παραλληλογράμμῳ· ἴσον ἄρα ἐστὶ τὸ Ε Δ Ζ τρίγωνον τῷ Η Ζ παραλληλογράμμῳ.

4. & 20. 6.] triangulum Α Γ Θ ad triangulum Ε Δ Ζ; & [per 1. 6.] ut Θ Β ad Β Ζ ita parallelogrammum Η Θ ad parallelogrammum Η Ζ: erit [per 11. 5.] ut triangulum Α Γ Θ ad triangulum Β Δ Ζ ita Θ Η parallelogrammum ad parallelogrammum Η Ζ; & permutando, ut Α Γ Θ triangulum ad parallelogrammum Η Θ ita triangulum Ε Δ Ζ ad parallelogrammum Η Ζ. sed triangulum Α Γ Θ æquale est parallelogrammo Η Θ: ergo triangulum Ε Δ Ζ parallelogrammo Η Ζ æquale erit.

EUTOCIUS.

Τὸ θεώρημα τοῦτο ἔχει πτώσεις ἕνδεκα, μίαν μὲν ἐὰν ἐσωτέρω λαμβάνηται τὸ Δ τοῦ Γ· δῆλον γὰρ ὅτι καὶ παράλληλοι ἐσωτέρω πεσοῦνται τῶν Α Γ, Γ Θ. ἑτέρας δὲ πέντε οὕτως, ἐὰν τὸ Δ ἐξωτέρω ληφθῇ τοῦ Γ, ἡ μὲν Δ Ζ παράλληλος δηλονότι ἐξωτέρω πεσεῖται τῆς Θ Γ, ἡ δὲ Δ Ε ἢ μεταξὺ τῶν Α, Β, ἢ ἐπὶ τὸ Β, ἢ μεταξὺ τῶν Β, Θ, ἢ ἐπὶ τὸ Θ, ἢ ἐξωτέρω τοῦ Θ· τοῦ γὰρ Α ἐξωτέρω πεσεῖν αὐτὴν ἀδύνατον, ἐπειδὴ τὸ Δ ἐξωτέρω ἐστὶ τοῦ Γ, καὶ δῆλον ὅτι καὶ ἡ δι' αὐτοῦ παράλληλος ἀγομένη τῇ Α Γ ἐσωτέρω τοῦ Α πεσεῖται. ἐὰν δὲ τὸ Δ ἐπὶ τὰ ἕτερα μέρη παραληφθῇ τῆς τομῆς, ἢ ἀμφότεραι αἱ παράλληλοι μεταξὺ τῶν Β, Θ παρεμπεσοῦνται, ἢ μὲν Δ Ζ ἐσωτέρω τῆς Θ Γ, τὸ δὲ Ε ἐπὶ τὸ Θ· ἢ τῆς Δ Ζ ὡσαύτως μενούσης, τὸ Ε ἐξωτέρω τοῦ Θ ἐλεύσεται. τοῦ δὲ Ε πάλιν ἐξωτέρω πίπτοντος, τὸ Ζ ἢ ἐπὶ τὸ Θ πεσεῖται, ὡς εἶναι τὴν Γ Θ Δ μίαν εὐθεῖαν, (εἰ καὶ μὴ σώζεται κυρίως τότε τὸ τῆς παραλλήλου ἰδίωμα) ἢ ἐξωτέρω τοῦ Θ. δεῖ δὲ, ἐπὶ τῆς ἀποδείξεως τῶν τελευταίων πέντε πτώσεων, τὴν Δ Ζ ἐκβάλλειν ἕως τῆς τομῆς καὶ τῆς Η Γ παραλλήλου, καὶ οὕτως ποιεῖσθαι τὴν ἀπόδειξιν. δυνατὸν δὲ καὶ ἄλλην μίαν καταγραφὴν ἐπινοεῖν ἐκ τούτων, ὅταν διὰ λαμβανομένου ἑτέρου σημείου αἱ ἐξ ἀρχῆς εὐθεῖαι ποιῶσι τὸ λεγόμενον. ἀλλὰ τοῦτο θεώρημά ἐστιν, οὐ πτῶσις.

Hoc theorema undecim habet casus, unum quidem si Δ intra Γ sumatur; constat enim rectas parallelas cadere intra ipsas Α Γ, Γ Θ. alios autem quinque casus habet si Δ sumatur extra Γ: nam recta parallela Δ Ζ cadet extra Θ Γ, & Δ Ε vel inter Α & Β cadet, vel in ipso Β, vel inter Β & Θ, vel in Θ, vel extra Θ; ut enim extra Α cadat fieri non potest, quoniam cum Δ sit extra Γ, & quæ per ipsum rectæ Α Γ parallela ducitur, intra Α cadet. quod si Δ sumatur ex altera parte sectionis; vel utræque parallelæ inter Β & Θ cadent, vel Δ Ζ quidem cadet intra Θ Γ, punctum vero Ε in Θ; vel, Δ Ζ hunc situm retinente, punctum Ε cadet extra Θ. puncto vero Ε cadente extra Θ, punctum Ζ vel in Θ cadet, ita ut Γ Θ Δ sit recta linea (quanquam tunc non exacte parallelarum proprietas servetur) vel extra Θ cadet. oportet autem in demonstratione quinque casuum postremorum rectam Δ Ζ usque ad sectionem & ad ipsam parallelam Η Γ producere, atque sic demonstrationem absolvere. sed ex his aliam quandam descriptionem mente concipere possumus; cum nempe per sumptum aliud punctum, quæ in principio supponebantur rectæ efficiant rem propositam. sed hoc theorema est, non casus.

ΠΡΟΤΑΣΙΣ μγ΄.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ,

Prop. XLIII. Theor.

Si hyperbolam, vel ellipsim, vel circuli circumferentiam recta linea contingens

gens

gens conveniat cum diametro; & à tactu ad diametrum recta ordinatim applicetur; huic vero parallela ducatur per verticem sectionis, quæ cum recta per tactum & centrum ducta conveniat; & sumpto aliquo puncto in sectione, ab eo ad diametrum duæ rectæ ducantur, una quidem contingenti parallela, altera vero parallela ei quæ à tactu applicata est: triangulum ab ipsis factum in hyperbola minus erit quam triangulum, quod abscindit linea per centrum & tactum ducta, triangulo facto ab ea quæ ex centro similique abscisso; in ellipsi vero & circuli circumferentia, una cum triangulo abscisso ad centrum æquale erit triangulo quod ab ea quæ ex centro describitur, similique abscisso.

καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ εὐθεῖα τεταγμένως ἐπὶ τὴν διάμετρον, καὶ ταύτῃ διὰ τῆς κορυφῆς παράλληλος ἀχθῇ συμπίπτουσα τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένῃ εὐθείᾳ, ληφθέντος δέ τινος σημείου ἐπὶ τῆς τομῆς, ἀχθῶσι δύο εὐθεῖαι ἐπὶ τὴν διάμετρον, ὧν ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν ἐπὶ τῆς ἁφῆς κατηγμένην· τὸ γινόμενον ὑπ᾽ αὐτῶν τρίγωνον, ἐπὶ μὲν τῆς ὑπερβολῆς, τριγώνου, ὃ ἀποτέμνει ἡ διὰ τοῦ κέντρου καὶ τῆς ἁφῆς, ἔλασσον ἔσται τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τριγώνῳ τῷ ὁμοίῳ τῷ ἀποτεμνομένῳ· ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου περιφερείας, μετὰ τοῦ ἀποτεμνομένου πρὸς τῷ κέντρῳ τριγώνου ἴσον ἔσται τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τριγώνῳ ὁμοίῳ τῷ ἀποτεμνομένῳ.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter ΑΒ, centrumque Γ; ducaturque recta ΔΕ sectionem contingens; & juncta ΓΕ, ordinatim applicetur ΕΖ; sumatur autem aliquod punctum in sectione, quod sit Η; & ducatur recta ΗΘ contingenti parallela, & ΗΚΜ ordinatim applicetur; per Β vero ordinatim applicetur recta ΒΛ: dico triangulum ΚΜΓ differre à triangulo ΓΛΒ triangulo ΗΚΘ.

ΕΣΤΩ ὑπερβολὴ, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, καὶ ἤχθω ἐφαπτομένη τῆς τομῆς ἡ ΔΕ, καὶ ἐπεζεύχθω ἡ ΓΕ, καὶ τεταγμένως κατήχθω ἡ ΕΖ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Η, καὶ τῇ ἐφαπτομένῃ παράλληλος ἤχθω ἡ ΗΘ, καὶ τεταγμένως κατήχθω ἡ ΗΚΜ, διὰ δὲ τοῦ Β τεταγμένως ἀνήχθω ἡ ΒΛ· λέγω ὅτι τὸ ΚΜΓ τρίγωνον τοῦ ΓΛΒ τριγώνου διαφέρει τῷ ΗΚΘ τριγώνῳ.



Quoniam enim linea ΕΔ sectionem contingit, ordinatim vero applicata est ΕΖ; [per 39. huj.] habebit ΕΖ ad ΖΔ rationem compositam ex ratione ΓΖ ad ΖΕ, & ex ratione recti lateris ad transversum. sed [per 4. 6.] ut ΕΖ ad ΖΔ ita ΗΚ ad ΚΘ; & ut ΓΖ ad ΖΕ ita ΓΒ ad ΒΛ: ergo ΗΚ ad ΚΘ rationem habebit compositam ex ratione ΓΒ ad ΒΛ, & ex ratione recti lateris ad transversum: quare, ex iis quæ in quadragesimo primo theoremate ostendimus, triangulum ΓΚΜ à triangulo ΒΓΛ differt triangulo ΗΘΚ; etenim in parallelogrammis triangulorum istorum duplis hæc demonstrata sunt.

Ἐπεὶ γὰρ τῆς τομῆς ἐφάπτεται μὲν ἡ ΕΔ, κατηγμένη δὲ ἐστιν ἡ ΕΖ· ἡ ΕΖ πρὸς ΖΔ τὸν συγκείμενον ἔχει λόγον, ἐκ τοῦ τῆς ΓΖ πρὸς ΖΕ καὶ τῆς ὀρθίας πρὸς τὴν πλαγίαν. ἀλλ᾽ ὡς μὲν ἡ ΕΖ πρὸς ΖΔ οὕτως ἡ ΗΚ πρὸς ΚΘ, ὡς δὲ ἡ ΓΖ πρὸς ΖΕ οὕτως ἡ ΓΒ πρὸς ΒΛ· ἕξει ἄρα ἡ ΗΚ πρὸς ΚΘ τὸν συγκείμενον λόγον, ἐκ τοῦ τῆς ΓΒ πρὸς ΒΛ καὶ τῆς ὀρθίας πρὸς τὴν πλαγίαν· καὶ διὰ τὰ δεδειγμένα ἐν τεσσαρακοστῷ πρώτῳ θεωρήματι, τὸ ΓΚΜ τρίγωνον τοῦ ΒΓΛ τριγώνου διαφέρει τῷ ΗΘΚ· καὶ γὰρ ἐπὶ τῶν διπλασίων αὐτῶν παραλληλογράμμων τὰ αὐτὰ δέδεικται.

EUTOCIUS.

Ἐν τισι φέρεται ἀπόδειξις τοῦ θεωρήματος τούτου τοιαύτη.

Ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ ΖΓΔ τῷ ἀπὸ ΓΒ· ἔστιν ἄρα ὡς ἡ ΖΓ πρὸς ΓΒ οὕτως ἡ ΓΒ πρὸς ΓΔ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΓΖ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΓΒ εἶδος οὕτως ἡ ΖΓ πρὸς τὴν ΓΔ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΖΓ πρὸς τὸ ἀπὸ ΓΒ οὕτως τὸ ΕΓΖ τρίγωνον πρὸς τὸ ΒΓΛ τρίγωνον, ὡς δὲ ἡ ΖΓ πρὸς ΓΔ οὕτως τὸ ΕΖΓ τρίγωνον πρὸς τὸ ΕΓΔ τρίγωνον· ὡς ἄρα τὸ ΕΓΖ τρίγωνον πρὸς τὸ ΒΓΛ τρίγωνον οὕτως τὸ ΕΓΖ πρὸς τὸ ΕΓΔ τρίγωνον· ἴσον ἄρα τὸ ΕΓΔ τρίγωνον τῷ ΒΓΛ· ἔστιν ἄρα, ἐπὶ μὲν τῆς ὑπερβολῆς ἀναστρέψαντι, ἐπὶ δὲ τῆς ἐλλείψεως ἀνάπαλιν καὶ διελόντι καὶ ἔτι ἀνάπαλιν, ὡς τὸ ΕΖΓ τρίγωνον πρὸς τὸ ΕΛΒΖ τετράπλευρον οὕτως τὸ ΕΓΖ πρὸς τὸ ΕΔΖ τρίγωνον· ἴσον ἄρα τὸ ΕΔΖ τρίγωνον τῷ ΕΛΒΖ τετραπλεύρῳ. [a] καὶ ἐπεί ἐστιν ὡς τὸ ἀπὸ ΓΖ πρὸς τὸ ἀπὸ ΓΒ οὕτως τὸ ΕΓΖ τρίγωνον πρὸς τὸ ΛΓΒ τρίγωνον, ἐπὶ μὲν τῆς ὑπερβολῆς διελόντι, ἐπὶ δὲ τῆς ἐλλείψεως ἀνάπαλιν καὶ ἀναστρέψαντι καὶ ἀνάπαλιν, ἐστὶν ὡς τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ἀπὸ ΒΓ οὕτως τὸ ΕΛΒΖ τετράπλευρον πρὸς τὸ ΒΛΓ τρίγωνον· ὁμοίως καὶ ὡς τὸ ἀπὸ ΓΒ πρὸς τὸ ὑπὸ ΑΚΒ οὕτως τὸ ΛΓΒ τρίγωνον πρὸς τὸ ΜΛΒΚ τετράπλευρον· δι' ἴσου ἄρα ὡς τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ὑπὸ ΑΚΒ οὕτως τὸ ΕΛΒΖ τετράπλευρον πρὸς τὸ ΜΒΚΛ. ὡς δὲ τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ὑπὸ ΑΚΒ οὕτως τὸ ἀπὸ ΕΖ πρὸς τὸ ἀπὸ ΗΚ, ὡς δὲ τὸ ἀπὸ ΕΖ πρὸς τὸ ἀπὸ ΗΚ οὕτως τὸ ΕΔΖ τρίγωνον πρὸς τὸ ΗΘΚ τρίγωνον· καὶ ὡς ἄρα τὸ ΕΔΖ πρὸς τὸ ΗΘΚ οὕτως τὸ ΕΛΒΖ τετράπλευρον πρὸς τὸ ΜΛΒΚ, καὶ ἐναλλὰξ ὡς τὸ ΕΔΖ τρίγωνον πρὸς τὸ ΕΛΒΖ οὕτως τὸ ΗΘΚ πρὸς τὸ ΜΛΒΚ. ἴσον δὲ τὸ ΕΔΖ τῷ ΕΛΒΖ ἐδείχθη· ἴσον ἄρα καὶ τὸ ΗΘΚ τῷ ΜΛΒΚ τετραπλεύρῳ· τὸ ἄρα ΚΜΓ τρίγωνον τοῦ ΗΘΚ διαφέρει τῷ ΓΛΒ τριγώνῳ.

Ἐπιστῆσαι δεῖ ἐν ταύτῃ τῇ δείξει, (ὀλίγην γὰρ ἀσάφειαν ἔχει ἐν ταῖς ἀναλογίαις τῆς ἐλλείψεως) ἵνα τὰ διὰ τὴν συντομίαν τοῦ στοιχειωτοῦ ὁμοῦ λεγόμενα διῃρημένως ποιήσωμεν. οἷον φησι [a] [Ἐπεί ἐστιν ὡς τὸ ἀπὸ ΖΓ πρὸς τὸ ἀπὸ ΓΒ οὕτως τὸ ΕΓΖ τρίγωνον πρὸς τὸ ΛΓΒ· ἀνάπαλιν καὶ ἀναστρέψαντι καὶ ἀνάπαλιν.] ἔστι γὰρ ἀνάπαλιν ὡς τὸ ἀπὸ ΒΓ πρὸς τὸ ἀπὸ ΓΖ οὕτως τὸ ΛΒΓ πρὸς τὸ ΕΖΓ· ἀναστρέψαντι δὲ ὡς τὸ ἀπὸ ΒΓ πρὸς τὸ ὑπὸ ΑΖΒ (τοῦτ' ἔστιν ἡ ὑπεροχὴ τοῦ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΓΖ, διὰ τὸ διχοτομίαν εἶναι τὸ Γ τῆς ΑΒ) οὕτως τὸ ΛΒΓ τρίγωνον πρὸς τὸ ΕΒΖΛ τετράπλευρον, καὶ ἀνάπαλιν ὡς τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ἀπὸ ΒΓ οὕτως τὸ ΕΛΒΖ τετράπλευρον πρὸς τὸ ΒΛΓ τρίγωνον. Ἔχει δὲ πτώσεις, ἐπὶ μὲν τῆς ὑπερβολῆς, ἕνδεκα, ὅσας εἶχε καὶ τὸ πρὸ αὐτοῦ ἐπὶ τῆς παραβολῆς, καὶ ἄλλην μίαν ὅταν τὸ ἐπὶ τοῦ Η λαμβανόμενον σημεῖον τὸ αὐτὸ ᾖ τῷ Ε. τότε γὰρ συμβαίνει τὸ ΕΔΖ τρίγωνον μετὰ τοῦ ΛΒΓ ἴσον εἶναι τῷ ΓΕΖ· δέδεικται μὲν γὰρ τὸ ΕΔΖ τρίγωνον ἴσον τῷ ΛΒΖΕ τετραπλεύρῳ, τὸ δὲ ΛΒΖΕ τοῦ ΓΕΖ τριγώνου διαφέρει τῷ ΛΒΓ. ἐπὶ δὲ τῆς ἐλλείψεως, ἢ τὸ αὐτό ἐστι τὸ Η τῷ Ε, ἢ ἐσωτέρω λαμβάνεται τοῦ Ε· καὶ δῆλον ὅτι ἀμφότεραι αἱ παράλληλοι μεταξὺ πίπτουσι τῶν Δ, Ζ, ὡς

In aliquibus codicibus hujus theorematis talis legitur demonstratio.

Quoniam enim [per 37. huj.] rectangulum ΖΓΔ æquale est quadrato ex ΓΒ; erit [per 17. 6.] ut ΖΓ ad ΓΒ ita ΓΒ ad ΓΔ: quare [per 20. 6.] ut figura quæ fit ex ΓΖ ad figuram ex ΓΒ ita linea ΖΓ ad ΓΔ. sed ut figura ex ΖΓ ad figuram ex ΓΒ ita ΕΓΖ triangulum ad triangulum ΒΓΛ, & ut linea ΖΓ ad ipsam ΓΔ ita [per 1. 6.] ΕΖΓ triangulum ad triangulum ΕΓΔ: ut igitur ΕΓΖ triangulum ad triangulum ΒΓΛ ita triangulum ΒΓΖ ad ipsum ΕΓΔ: propterea que [per 9. 5.] triangulum ΕΓΔ triangulo ΒΓΛ est æquale: ergo in hyperbola, per conversionem rationis; & in ellipsi, invertendo dividendoque & rursus invertendo, ut ΕΖΓ triangulum ad quadrilaterum ΕΛΒΖ ita triangulum ΕΓΖ ad triangulum ΕΔΖ: quare triangulum ΕΔΖ æquale est quadrilatero ΕΛΒΖ. [a] & quoniam ut quadratum ex ΓΖ ad quadratum ex ΓΒ ita triangulum ΕΓΖ ad triangulum ΛΓΒ; in hyperbola quidem dividendo, in ellipsi autem invertendo, & per conversionem rationis & rursus invertendo, erit ut rectangulum ΑΖΒ ad quadratum ex ΒΓ ita quadrilaterum ΕΛΒΖ ad triangulum ΒΛΓ; & similiter ut quadratum ex ΓΒ ad rectangulum ΑΚΒ ita triangulum ΛΓΒ ad quadrilaterum ΜΛΒΚ: ergo ex æquali, ut rectangulum ΑΖΒ ad rectangulum ΑΚΒ ita ΕΛΒΖ quadrilaterum ad quadrilaterum ΜΒΚΛ. ut autem rectangulum ΑΖΒ ad rectangulum ΑΚΒ ita [per 21. huj.] quadratum ex ΕΖ ad quadratum ex ΗΚ: & ut quadratum ex ΕΖ ad quadratum ex ΗΚ ita triangulum ΕΔΖ ad triangulum ΗΘΚ: quare ut triangulum ΕΔΖ ad triangulum ΗΘΚ ita quadrilaterum ΕΛΒΖ ad quadrilaterum ΜΛΒΚ; & permutando ut triangulum ΕΔΖ ad quadrilaterum ΕΛΒΖ ita triangulum ΗΘΚ ad quadrilaterum ΜΛΒΚ. sed triangulum ΕΔΖ ostensum est [supra] æquale quadrilatero ΕΛΒΖ; ergo & triangulum ΗΘΚ quadrilatero ΜΛΒΚ est æquale: triangulum igitur ΚΜΓ à triangulo ΓΛΒ differt triangulo ΗΘΚ.

Sed cum hæc demonstratio obscuritatem quandam habeat in proportionibus ellipseos, enitendum est ut ea quæ breviter dicta sunt latius explicentur. [a] [Quoniam, *inquit*, ut quadratum ex ΖΓ ad quadratum ex ΓΒ ita triangulum ΕΓΖ ad triangulum ΛΓΒ, erit invertendo & per conversionem rationis rursusque invertendo.] est enim invertendo ut quadratum ΒΓ ad quadratum ex ΓΖ ita ΛΒΓ triangulum ad ΕΖΓ: & per conversionem rationis, ut quadratum ex ΒΓ ad rectangulum ΑΖΒ (hoc est, ad excessum quo quadratum ex ΓΒ excedit quadratum ex ΓΖ, quia punctum Γ lineam ΑΒ bifariam secat) ita triangulum ΛΒΓ ad quadrilaterum ΕΒΖΛ: & invertendo, ut rectangulum ΑΖΒ ad quadratum ex ΒΓ ita quadrilaterum ΕΛΒΖ ad ΒΛΓ triangulum. Habet autem in hyperbola casus undecim, quot habebat præcedens theorema in parabola, & præterea alium quendam; cum scilicet punctum quod in Η sumitur idem sit quod Ε. tunc enim contingit triangulum ΕΔΖ una cum triangulo ΛΒΓ æquale esse triangulo ΓΕΖ; etenim ostensum est triangulum ΕΔΖ quadrilatero ΛΒΖΕ æquale esse, quadrilaterum autem ΛΒΖΕ à triangulo ΓΕΖ ipso ΛΒΓ triangulo differt. sed in ellipsi vel punctum Η idem est quod Ε vel intra Ε sumitur: & tunc utrasque parallelas inter Δ & Ζ cadere perspicuum

spicuum est. quod si H sumatur infra E, & ab eo ducta ipsi EZ parallela cadat inter Z & Γ, punctum Θ quinque casus efficit: vel enim cadit inter Δ & B, vel in B, vel inter B & Z, vel in Z, vel inter Z & Γ.

Si vero quæ per H ducitur applicatæ parallela in centrum Γ cadat, punctum Θ alios quinque efficit casus. attendendum tamen est triangulum hic factum à lineis quæ ipsis BΔ, EZ sunt parallelæ triangulo ΛBΓ æquale esse. quoniam enim ut quadratum ex EZ ad quadratum ex HΓ ita triangulum EΔZ ad triangulum HΘΓ, similia enim triangula sunt; & ut quadratum ex EZ ad quadratum ex HΓ ita rectangulum BZA ad rectangulum BΓA, hoc est ad quadratum ex BΓ: erit ut triangulum EΔZ ad ipsum HΘΓ ita rectangulum BZA ad quadratum ex BΓ. ut autem rectangulum BZA ad quadratum ex BΓ ita ostensum est esse quadrilaterum ΛBZE ad triangulum ΛBΓ: ut igitur triangulum EΔZ ad HΘΓ ita quadrilaterum ΛBZE ad triangulum ΛBΓ, & permutando ut triangulum EΔZ ad quadrilaterum ΛBZE ita triangulum HΘΓ ad triangulum ΛBΓ. sed æquale est triangulum EΔZ quadrilatero ΛBZE: triangulum igitur HΘΓ triangulo ΛBΓ est æquale. possumus autem hæc etiam aliter probare, si dicamus in parallelogrammis triangulorum duplis eadem demonstrata esse; videlicet in quadragesimo primo theoremate.



Quod si ducta per H parallela ipsi EZ cadat inter Γ & A, producatur quidem quousque linea ΓE cum ipsa conveniat; & punctum Θ septem casus efficiet. vel enim inter B & Δ cadit, vel in B, vel inter B & Z, vel in Z, vel inter Z & Γ, vel in Γ, vel inter Γ & A: & in his casibus contingit differentiam triangulorum ΛBΓ, HΘK constitui à rectis ΛΓ, ΓB infra Γ productis. si vero H sumatur in altera parte sectionis, & ea quæ per H ducitur ipsi EZ parallela inter B & Z cadat, producetur, ob demonstrationem, quousque secet ipsam ΛΓ; & punctum Θ faciet septem casus: vel inter B & Z cadens, vel in Z, vel inter Z & Γ, vel in Γ, vel inter Γ & A, vel in A, vel infra A. si vero HK cadat inter Z & Γ, punctum Θ quinque casus efficiet. vel enim erit inter Z & Γ, vel in Γ, vel inter Γ & A, vel in A, vel infra A. sed si HK in centrum Γ cadat, punctum Θ casus efficiet tres: vel inter Γ & A cadens vel in A vel extra A. atque in his casibus rursus contingit triangulum HΘK æquale esse triangulo ΛBΓ. si vero HK cadat inter Γ & A, punctum Θ vel cadet inter Γ & A, vel in A, vel extra A. itaque in ellipsi casus omnes erunt quadraginta duo, & totidem in circuli circumferentia; ita ut hujus theorematis casus omnes sint nonaginta sex.



ἔχει ἐν τῷ ῥητῷ. εἰ δὲ ἐξωτέρω ληφθείη τὸ H τοῦ E, καὶ ἡ ἀπ' αὐτοῦ τῇ BZ παράλληλος μεταξὺ πέσῃ τῶν Z, Γ, τὸ Θ σημεῖον ποιεῖ πτώσεις πέντε· ἢ γὰρ μεταξὺ τῶν Δ, B πίπτει, ἢ ἐπὶ τὸ B, ἢ μεταξὺ τῶν B, Z, ἢ ἐπὶ τὸ Z, ἢ μεταξὺ τῶν Z, Γ.

Ἐὰν δὲ ἡ διὰ τοῦ H τῇ κατηγμένῃ παράλληλος ἐπὶ τὸ Γ κέντρον πίπτει, τὸ Θ πάλιν σημεῖον ποιήσει ἄλλας πέντε πτώσεις ὡσαύτως. καὶ δεῖ ἐπὶ τούτῳ σημειώσασθαι ὅτι τὸ ὑπὸ τῶν παραλλήλων ταῖς EΔ, EZ γινόμενον τρίγωνον ἴσον γίνεται τῷ ΛBΓ τριγώνῳ. ἐπεὶ γάρ ἐστιν ὡς τὸ ἀπὸ BZ πρὸς τὸ ἀπὸ HΓ οὕτως τὸ EΔZ τρίγωνον πρὸς τὸ HΘΓ, ὅμοιον γάρ· ὡς δὲ τὸ ἀπὸ EZ πρὸς τὸ ἀπὸ HΓ οὕτως τὸ ὑπὸ BZA πρὸς τὸ ὑπὸ BΓA, τοῦτ' ἔστι τὸ ἀπὸ BΓ· ὡς ἄρα τὸ EΔZ τρίγωνον πρὸς τὸ HΘΓ οὕτως τὸ ὑπὸ BZA πρὸς τὸ ἀπὸ BΓ· ὡς δὲ τὸ ὑπὸ BZA πρὸς τὸ ἀπὸ BΓ οὕτως ἐδείχθη ἔχον τὸ ΛBZE τετράπλευρον πρὸς τὸ ΛBΓ τρίγωνον· καὶ ὡς ἄρα τὸ EΔZ τρίγωνον πρὸς τὸ HΘΓ οὕτως τὸ ΛBZE τετράπλευρον πρὸς τὸ ΛBΓ τρίγωνον, καὶ ἐναλλὰξ ὡς τὸ EΔZ πρὸς τὸ ΛBZE τετράπλευρον οὕτως τὸ HΘΓ πρὸς τὸ ΛBΓ τρίγωνον. ἴσον δὲ τὸ EΔZ τῷ ΛBZE· ἴσον ἄρα HΘΓ τρίγωνον τῷ ΛBΓ. καὶ ἄλλως δὲ ταύτας δυνατὸν δεῖξαι, λέγοντας, ὅτι ἐπὶ τῶν διπλασίων αὐτῶν παραλληλογράμμων ταῦτα δέδεικται, ὄντος λόγου τοῦ μα'. θεωρήματος.

Ἐὰν δὲ ἡ διὰ τοῦ H τῇ EZ παράλληλος ἀγομένη μεταξὺ πέσῃ τῶν Γ, A, ἐκβληθήσεται μὲν ἕως ὅτι ἡ ΓE αὐτῇ συμπέσῃ, τὸ δὲ Θ σημεῖον ποιήσει πτώσεις ἑπτά. ἢ γὰρ μεταξὺ τῶν B, Δ, ἢ ἐπὶ τὸ B πίπτει, ἢ μεταξὺ τῶν B, Z, ἢ ἐπὶ τὸ Z, ἢ μεταξὺ τῶν Z, Γ, ἢ ἐπὶ τὸ Γ, ἢ μεταξὺ τῶν Γ, A. καὶ ἐπὶ τούτων τῶν πτώσεων συμβαίνει τὴν διαφορὰν τῶν ΛBΓ, HΘK τριγώνων κατωτέρω συνίστασθαι τοῦ ΛΓ, ΓB εὐθείαις ὑπὸ τοῦ Γ ἐκβαλλομέναις. ἐὰν δὲ τὸ H ἐπὶ τὰ ἕτερα μέρη ληφθῇ τῆς τομῆς, καὶ ἡ ἀπὸ τοῦ H τῇ EZ παράλληλος μεταξὺ πίπτει τῶν B, Z, ἐκβληθήσεται μὲν, διὰ τὴν ἀπόδειξιν, ἕως οὗ τέμῃ τὴν ΛΓ· τὸ δὲ Θ σημεῖον ποιήσει ζ'. πτώσεις· ἢ μεταξὺ ὂν τῶν B, Z, ἢ ἐπὶ τὸ Z πίπτον, ἢ μεταξὺ τῶν Z, Γ, ἢ ἐπὶ τὸ Γ, ἢ μεταξὺ τῶν Γ, A, ἢ ἐπὶ τὸ A, ἢ ἐξωτέρω τοῦ A. ἐὰν δὲ ἡ HK μεταξὺ πίπτῃ τῶν Z, Γ, τὸ Θ ποιήσει πτώσεις πέντε· ἢ γὰρ μεταξὺ τῶν Z, Γ πεσεῖται, ἢ ἐπὶ τὸ Γ, ἢ μεταξὺ τῶν Γ, A, ἢ ἐπὶ τὸ A, ἢ ἐξωτέρω τοῦ A. ἐὰν δὲ ἡ HK ἐπὶ τὸ Γ κέντρον πίπτει, τὸ Θ σημεῖον ποιήσει πτώσεις τρεῖς· ἢ μεταξὺ πίπτον τῶν A, Γ, ἢ ἐπὶ τὸ A, ἢ ἐξωτέρω τοῦ A. καὶ ἐπὶ τούτων τῶν πτώσεων συμβήσεται πάλιν τὸ HΘK τρίγωνον ἴσον γίνεσθαι τῷ ΛBΓ τριγώνῳ. ἐὰν δὲ ἡ HK μεταξὺ πίπτει τῶν Γ, A, τὸ Θ σημεῖον ἢ μεταξὺ τῶν Γ, A πεσεῖται, ἢ ἐπὶ τὸ A, ἢ ἐξωτέρω τοῦ A. συμβαίνει οὖν ἐπί τινος ἐλλείψεως τὰς πάσας πτώσεις εἶναι μβ', καὶ ἐπὶ τῆς τοῦ κύκλου περιφερείας τοσαύτας· ὥστε εἶναι τὰς πάσας πτώσεις τούτου τοῦ θεωρήματος ϟς'.

Prop. XLIV. *Theor.*

Si unam oppositarum sectionum recta linea contingens cum diametro conveniat, à tactu vero ad diametrum recta ordinatim applicetur; atque huic parallela ducatur per verticem alterius sectionis, ita ut conveniat cum recta

ΠΡΟΤΑΣΙΣ μδ'.

Ἐὰν μιᾶς τῶν ἀντικειμένων εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ τις εὐθεῖα τεταγμένως ἐπὶ τὴν διάμετρον, καὶ ταύτῃ διὰ τῆς κορυφῆς τῆς ἑτέρας τομῆς παράλληλος ἀχθῇ συμπίπτουσα τῇ διατῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένη εὐθεῖα, ληφθέντος δὲ ἐπὶ τῆς τομῆς τοῦ ἔτυχε σημείου, καταχθῶσιν εὐθεῖαι ἐπὶ τὴν διάμετρον, ὧν ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν κατηγμένην ἀπὸ τῆς ἁφῆς τεταγμένως· τὸ γινόμενον ὑπ᾽ αὐτῶν τρίγωνον τριγώνου, ὃ ἀποτέμνει ἡ κατηγμένη πρὸς τῷ κέντρῳ τῆς τομῆς, ἔλασσον ἔσται τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τριγώνῳ ὁμοίῳ τῷ ἀποτεμνομένῳ.

per tactum & centrum ducta; sumpto autem in sectione quovis puncto, applicentur ad diametrum duæ rectæ, quarum altera contingenti sit parallela, altera parallela ei quæ à tactu ordinatim applicata est: triangulum ab ipsis factum minus est quam triangulum quod abscindit applicata ad centrum sectionis, triangulo simili abscisso ab ea quæ ex centro.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ Α Ζ, Β Ε, διάμετρος δὲ αὐτῶν ἡ Α Β, κέντρον δὲ τὸ Γ, καὶ ἀπό τινος σημείου τῶν ἐπὶ τῆς Ζ Α τομῆς τοῦ Ζ ἐφαπτομένη ἤχθω τῆς τομῆς ἡ Ζ Η, τεταγμένως δὲ ἡ Ζ Ο, καὶ ἐπιζευχθεῖσα ἡ Γ Ζ ἐκβεβλήσθω, ὡς ἡ Γ Ε, καὶ διὰ τοῦ Β τῇ Ζ Ο παράλληλος ἡ Β Λ, καὶ εἰλήφθω σημεῖόν τι ἐπὶ τῆς Β Ε τομῆς τὸ Ν, καὶ ἀπὸ τοῦ Ν τεταγμένως κατήχθω ἡ Ν Θ, τῇ δὲ Ζ Η παράλληλος ἤχθω ἡ Ν Κ· λέγω ὅτι τὸ Θ Κ Ν τρίγωνον τοῦ Γ Μ Θ τριγώνου ἔλασσόν ἐστι τῷ Γ Β Λ τριγώνῳ.

SINT oppositæ sectiones A Z, B E, quarum diameter A B, centrum Γ; & ab aliquo puncto eorum quæ sunt in sectione Z A, videlicet à puncto Z, ducatur recta Z H sectionem contingens; ordinatimque applicetur Z O; & juncta Z Γ producatur, ut ad E; per B vero ducatur B Λ ipsi Z O parallela; & sumatur aliquod punctum in sectione B E, quod sit N; à quo N Θ ordinatim applicetur, atque ipsi Z H parallela ducatur N K: dico triangulum Θ K N minus esse quam triangulum Γ M Θ, triangulo Γ B Λ.

Διὰ γὰρ τοῦ Ε τῆς Β Ε τομῆς ἐφαπτομένη ἤχθω ἡ Ε Δ, τεταγμένως δὲ ἡ Ε Ξ. [a] ἐπεὶ οὖν ἀντικείμεναί εἰσιν αἱ Ζ Α, Β Ε, ὧν διάμετρος ἡ Α Β, ἡ δὲ διὰ τοῦ κέντρου ἡ Ζ Γ Ε, καὶ ἐφαπτόμεναι τῶν τομῶν αἱ Ζ Η, Ε Δ· τῇ Ζ Η παράλληλός ἐστιν ἡ Δ Ε. ἡ δὲ Ν Κ παράλληλός ἐστι τῇ Ζ Η· καὶ τῇ Ε Δ ἄρα παράλληλός ἐστιν ἡ Ν Κ, ἡ δὲ Μ Θ τῇ Β Λ. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ Β Ε, ἧς διάμετρος ἡ Α Β, κέντρον δὲ τὸ Γ, ἐφαπτομένη δὲ τῆς τομῆς ἡ Δ Ε, τεταγμένως δὲ κατηγμένη ἡ Ε Ξ, καὶ τῇ Ε Ξ παράλληλός ἐστιν ἡ Β Λ, καὶ εἴληπται ἐπὶ τῆς τομῆς σημεῖον τὸ Ν, ἀφ᾽ οὗ τεταγμένως μὲν κατῆκται ἡ Ν Θ, παράλληλος δὲ ἦκται τῇ Δ Ε ἡ Κ Ν· τὸ ἄρα Ν Θ Κ τρίγωνον τοῦ Θ Μ Γ τριγώνου ἔλασσόν ἐστι τῷ Γ Β Λ τριγώνῳ. τοῦτο γὰρ ἐν τῷ τεσσαρακοστῷ τρίτῳ θεωρήματι δέδεικται.



Ducatur enim per B recta E Δ contingens sectionem E B; & E Ξ ordinatim applicetur. [a] itaq; quoniam oppositæ sectiones sunt Z A, B E, quarum diameter A B; & recta Z Γ E per centrum ducitur; & Z H, E Δ sectiones contingunt: erit Δ E ipsi Z H parallela. est autem [ex hyp.] N K parallela ipsi Z H: ergo & N K ipsi E Δ; & M Θ ipsi B Λ parallela est. quoniam igitur hyperbola est B E, cujus diameter A B, centrum Γ; & recta Δ E sectionem contingit, ordinatimque applicata est E Ξ; & ipsi E Ξ parallela est B Λ; sumitur autem in sectione punctum N, & ab eo ordinatim applicatur N Θ, & ipsi Δ E parallela ducitur K N: erit triangulum N Θ K minus quam triangulum Θ M Γ ipso Γ B Λ triangulo. hoc enim in quadragesimo tertio theoremate ostensum est.

EUTOCIUS.

[a] Ἐπεὶ οὖν ἀντικείμεναί εἰσιν αἱ Ζ Α, Β Ε, ὧν διάμετρος ἡ Α Β, ἡ δὲ διὰ τοῦ κέντρου ἡ Ζ Γ Ε, καὶ ἐφαπτόμεναι τῶν τομῶν αἱ Ζ Η, Δ Ε· παράλληλός ἐστιν ἡ Δ Ε τῇ Ζ Η.] Ἐπεὶ γὰρ ὑπερβολή ἐστιν ἡ Α Ζ, καὶ ἐφαπτομένη ἡ Ζ Η, καὶ κατηγμένη ἡ Ζ Ο· ἴσον ἐστὶ τὸ ὑπὸ Ο Γ Η τῷ ἀπὸ Γ Α, διὰ τὸ λζʹ. θεώρημα. ὁμοίως δὲ καὶ τὸ ὑπὸ Ξ Γ Δ τῷ ὑπὸ Γ Β ἐστὶν ἴσον· ἔστιν ἄρα ὡς τὸ ὑπὸ Ο Γ Η πρὸς τὸ ἀπὸ Α Γ οὕτως τὸ ὑπὸ Ξ Γ Δ πρὸς τὸ ἀπὸ Β Γ· καὶ ἐναλλὰξ ὡς τὸ ὑπὸ Ο Γ Η πρὸς τὸ ὑπὸ Ξ Γ Δ οὕτως τὸ ἀπὸ Α Γ πρὸς τὸ ἀπὸ Γ Β· ἴσον ἄρα τὸ ὑπὸ Ο Γ Η τῷ ὑπὸ Ξ Γ Δ. καὶ ἔστιν ἡ Ο Γ τῇ Γ Ξ ἴσον· καὶ ἡ Η Γ ἄρα τῇ Γ Δ ἐστὶν ἴση. ἔστι δὲ καὶ ἡ Ζ Γ ἴση τῇ Γ Ε, διὰ τὸ λʹ·

[a] Itaque quoniam oppositæ sectiones sunt Z A, B E, quarum diameter A B, & recta Z Γ E per centrum ducitur, & Z H, Δ E sectiones contingunt; erit Δ E ipsi Z H parallela.] Quoniam enim hyperbola est A Z, rectaque Z H sectionem contingit, & applicata est Z O; erit rectangulum O Γ H æquale quadrato ex Γ A, ex trigesimo septimo theoremate. & similiter rectangulum Ξ Γ Δ quadrato ex Γ B æquale est: igitur ut rectangulum O Γ H ad quadratum ex A Γ ita rectangulum Ξ Γ Δ ad quadratum ex B Γ; & permutando, ut rectangulum O Γ H ad rectangulum Ξ Γ Δ ita quadratum ex A Γ ad quadratum ex Γ B; quare rectangulum O Γ H æquale est rectangulo Ξ Γ Δ. estque linea O Γ æqualis ipsi Γ Ξ, ergo & H Γ ipsi Γ Δ. sed Z Γ ipsi Γ E est æqualis, ex trigesimo theoremate: lineæ igi-

tur ZΓ, ΓH æquales sunt ipsis EΓ, ΓΔ, angulosque æquales continent ad Γ; sunt enim ad verticem: quare & ZH ipsi BΔ est æqualis, & angulus ΓHZ angulo ΓΔE. & alterni sunt: ergo ZH ipsi EΔ parallela est. Casus hujus theorematis duodecim sunt, quemadmodum in hyperbola diximus in quadragesimo tertio theoremate, atque eadem est demonstratio.

Prop. XLV. *Theor.*

Si hyperbolam, vel ellipsim, vel circuli circumferentiam recta linea contingens cum secunda diametro conveniat; & à tactu ad eandem diametrum recta applicetur diametro alteri parallela, & per tactum & centrum ducta recta producatur; sumpto autem in sectione quovis puncto, ad secundam diametrum ducantur duæ rectæ, quarum una contingenti, altera applicatæ sit parallela: triangulum quod ab ipsis constituitur, in hyperbola quidem, majus est quam triangulum abscissum ab applicata ad centrum, triangulo cujus basis est recta contingens & vertex centrum sectionis; in ellipsi vero & circuli circumferentia, unà cum triangulo abscisso, æquale est triangulo cujus basis recta contingens & vertex sectionis centrum.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia ABΓ, cujus diameter AΘ, secunda diameter ΔΘΛ, & centrum Θ; recta vero ΓMΛ sectionem contingat in Γ, ducaturque ΓΔ ipsi AΘ parallela, & juncta ΓΘ producatur; sumpto deinde in sectione quovis puncto B, ducantur ad secundam diametrum rectæ BE, BZ, quæ ipsis ΛΓ, ΓΔ sint parallelæ: dico triangulum BEZ, in hyperbola quidem, majus esse quam triangulum HΘZ triangulo ΛΓΘ; in ellipsi vero & circulo, triangulum BEZ unà cum ZHΘ æquale esse triangulo ΓΛΘ.

Ducantur enim ΓK, BN parallelæ ipsi ΔΘ. & quoniam recta ΓΛM sectionem contingit; atque applicata est ΓK; habebit [per 39. huj.] ΓK ad KΘ rationem compositam ex ratione quam habet MK ac KΓ & ex ea quam rectum figuræ latus habet ad transversum. ut autem MK ad KΓ ita [per 4. 6.] ΓΔ ad ΔΛ: ergo ΓK ad KΘ rationem compositam habet ex ratione ΓΔ ad ΔΛ & ex ratione recti lateris ad transversum. atque est triangulum ΓΔΛ figura quæ fit ex KΘ; & triangulum ΓΘK, hoc est ΓΔΘ, figura quæ fit ex ΓK, hoc est ex ΔΘ: quare triangulum ΓΔΛ, in hyperbola quidem, majus est quam triangulum ΓKΘ, triangulo facto ex AΘ, simili ipsi ΓΔΛ; in ellipsi vero & circulo triangulum ΓKΘ una cum ipso ΓΔΛ eidem triangulo est æquale. hoc enim in parallelogrammis triangulorum duplis, in quadragesimo primo theoremate, demonstratum est. itaque quoniam triangulum ΓΔΛ à triangulo ΓKΘ, vel ΓΔΘ,

αἱ ἄρα ZΓ, ΓH ἴσαι εἰσὶ ταῖς EΓ, ΓΔ. καὶ γωνίας ἴσας περιέχουσι τὰς πρὸς τὸ Γ, κατὰ κορυφὴν γάρ· ὥστε καὶ ἡ ZH τῇ EΔ ἐστὶν ἴση, καὶ ἡ ὑπὸ ΓHZ γωνία τῇ ὑπὸ ΓΔE. καί εἰσιν ἐναλλάξ· παράλληλος ἄρα ἐστὶν ἡ ZH τῇ EΔ. αἱ πτώσεις αὐτοῦ ιβʹ. εἰσί, καθάπερ ἐπὶ τῆς ὑπερβολῆς ἐν τῷ μγʹ. ἐλέχθη, καὶ ἡ ἀπόδειξις ἡ αὐτή.

ΠΡΟΤΑΣΙΣ μεʹ.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ δευτέρᾳ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ τις εὐθεῖα ἐπὶ τὴν αὐτὴν διάμετρον παράλληλος τῇ ἑτέρᾳ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἐκβληθῇ, ληφθέντος δὲ τοῦ ἔτυχεν ἐπὶ τῆς τομῆς σημείου, ἀχθῶσι δύο εὐθεῖαι ἐπὶ τὴν δευτέραν διάμετρον, ὧν ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν κατηγμένην· τὸ γινόμενον ὑπ' αὐτῶν τρίγωνον, ἐπὶ μὲν τῆς ὑπερβολῆς, τριγώνου, ὃ ἀποτέμνει ἡ κατηγμένη πρὸς τῷ κέντρῳ, μεῖζόν ἐστι τῷ τριγώνῳ, οὗ βάσις μὲν ἡ ἐφαπτομένη, κορυφὴ δὲ τὸ κέντρον τῆς τομῆς· ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου, μετὰ τοῦ ἀποτεμνομένου ἴσον ἔσται τῷ τριγώνῳ, οὗ βάσις μὲν ἡ ἐφαπτομένη, κορυφὴ δὲ τὸ κέντρον τῆς τομῆς.

ΕΣΤΩ ὑπερβολή, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια ἡ ABΓ, ἧς διάμετρος μὲν ἡ AΘ, δευτέρα δὲ ΔΘΛ, κέντρον δὲ τὸ Θ, καὶ ἡ μὲν ΓMΛ ἐφαπτέσθω κατὰ τὸ Γ, ἡ δὲ ΓΔ ἤχθω παρὰ τὴν AΘ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΓ ἐκβεβλήσθω, καὶ εἰλήφθω ἐπὶ τῆς τομῆς τυχὸν σημεῖον τὸ B, καὶ ἀπὸ τοῦ B ἤχθωσαν αἱ BE, BZ, παρὰ τὰς ΛΓ, ΓΔ, ἐπὶ τὴν δευτέραν διάμετρον· λέγω ὅτι, ἐπὶ μὲν τῆς ὑπερβολῆς, τὸ BEZ τρίγωνον τοῦ HΘZ μεῖζόν ἐστι τῷ ΛΓΘ· ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου, τὸ BZE τρίγωνον μετὰ τοῦ ZHΘ ἴσον ἐστὶ τῷ ΓΛΘ.

Ἤχθωσαν γὰρ αἱ ΓK, BN παρὰ τὴν ΔΘ. ἐπεὶ οὖν ἐφάπτεται ἡ ΓΛM, κατῆκται δὲ ἡ ΓK· ἡ ΓK πρὸς KΘ τὸν συγκείμενον λόγον ἔχει, ἐκ τοῦ ὃν ἔχει ἡ MK πρὸς KΓ καὶ τοῦ ὃν ἔχει τοῦ εἴδους ἡ ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν. ὡς δὲ ἡ MK πρὸς KΓ οὕτως ἡ ΓΔ πρὸς ΔΛ· ἡ ΓK ἄρα πρὸς KΘ λόγον ἔχει τὸν συγκείμενον, ἐκ τοῦ τῆς ΓΔ πρὸς ΔΛ καὶ τοῦ τῆς ὀρθίας πρὸς τὴν πλαγίαν. καὶ ἔστι τὸ ΓΔΛ τρίγωνον τὸ ἀπὸ τῆς KΘ εἶδος, τὸ δὲ ΓKΘ, τουτέστι τὸ ΓΔΘ, τὸ ἀπὸ τῆς ΓK εἶδος, τουτέστι τὸ ἀπὸ τῆς ΔΘ· τὸ ΓΔΛ ἄρα τρίγωνον τοῦ ΓKΘ, ἐπὶ μὲν τῆς ὑπερβολῆς, μεῖζόν ἐστι τῷ ἀπὸ τῆς AΘ τριγώνῳ ὁμοίῳ τῷ ΓΔΛ· ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου, τὸ ΓKΘ μετὰ τοῦ ΓΔΛ ἴσον ἐστὶ τῷ αὐτῷ. καὶ γὰρ ἐπὶ τῶν διπλασίων αὐτῶν τοῦτο ἐδείχθη ἐν τῷ τεσσαρακοστῷ πρώτῳ θεωρήματι. ἐπεὶ οὖν τὸ ΓΔΛ τρίγωνον τοῦ ΓKΘ, ἤτοι τοῦ ΓΔΘ,

διαφέρει

διαφέρει τῷ ἀπὸ τῆς ΑΘ τριγώνῳ ὁμοίῳ τῷ ΓΔΛ, διαφέρει δὲ καὶ τῷ ΓΘΛ τριγώνῳ· ἴσον ἄρα τὸ ΓΘΛ τρίγωνον τῷ ἀπὸ τῆς ΑΘ ὁμοίῳ τῷ ΓΔΛ τριγώνῳ. ἐπεὶ οὖν τὸ μὲν ΒΖΕ τρίγωνον ὅμοιόν ἐστι τῷ ΓΔΛ, τὸ δὲ ΗΖΘ τῷ ΓΔΘ· τὸν αὐτὸν ἄρα λόγον ἔχει. καὶ ἔστι τὸ μὲν ΒΖΕ

differt triangulo quod fit ex ΑΘ ipsi ΓΔΛ simili; differt autem & triangulo ΓΘΛ: erit ΓΘΛ triangulum æquale ei quod fit ex ΑΘ simili ipsi ΓΔΛ. rursus quoniam [per 4. 6.] triangulum ΒΖΕ simile est triangulo ΓΔΛ, & triangulum ΗΖΘ triangulo ΓΔΘ; ipsorum latera inter se eandem rationem habent. atque est triangulum



τὸ ἀπὸ τῆς ΝΘ μεταξὺ τῆς κατηγμένης καὶ τοῦ κέντρου, τὸ δὲ ΗΖΘ τὸ ἀπὸ τῆς ΒΝ κατηγμένης, τουτέστι τῆς ΖΘ· καὶ διὰ τὰ δεδειγμένα πρότερον τὸ ΒΖΕ τοῦ ΗΘΖ διαφέρει τῷ ἀπὸ τῆς ΑΘ ὁμοίῳ τῷ ΓΔΛ, ὥστε καὶ τῷ ΓΛΘ.

ΒΖΕ, quod fit ex ΝΘ inter applicatam & centrum interjecta; triangulum vero ΗΖΘ, quod fit ex applicatâ ΒΝ, hoc est ex ΖΘ: igitur ex iis, quæ prius [ad 41. huj.] ostensa sunt, triangulum ΒΖΕ à triangulo ΗΘΖ differt triangulo, quod fit ex ΑΘ, simili ipsi ΓΔΛ; quare & triangulo ΓΛΘ.

EUTOCIUS.

Ἐπιστῆσαι χρὴ ὅτι τὸ θεώρημα τοῦτο πλείους ἔχει πτώσεις. ἐπὶ μὲν γὰρ τῆς ὑπερβολῆς ἔχει εἴκοσι. τὸ γὰρ ἀντὶ τοῦ Β λαμβανόμενον σημεῖον ἢ ταυτόν ἐστιν τῷ Γ, ἢ ταυτὸν τῷ Α· καὶ τότε συμβαίνει τὸ ἀπὸ τῆς ΑΘ τρίγωνον ὅμοιον τῷ ΔΛΓ ταυτὸν εἶναι τῷ ἀποτεμνομένῳ τριγώνῳ ὑπὸ τῶν παραλλήλων τῶν ΔΛ, ΛΓ. ἐὰν δὲ μεταξὺ ληφθῇ τὸ Β σημεῖον τῶν Α, Γ, καὶ τὰ Δ, Λ ἀνωτέρω ὦσι τῶν περάτων τῆς δευτέρας διαμέτρου, γίνονται πτώσεις τρεῖς· τὰ γὰρ Ζ, Ε ἢ ἀνωτέρω τῶν περάτων φέρονται, ἢ ἐπ' αὐτά, ἢ κατωτέρω. ἐὰν δὲ τὰ Δ, Λ ἐπὶ τὰ πέρατα ὦσι τῆς δευτέρας διαμέτρου, τὰ Ζ, Ε κατωτέρω ἐνεχθήσονται. ὁμοίως

Attendendum est hoc theorema plures habere casus: in hyperbola enim viginti habet. nam punctum quod pro Β sumitur, vel idem est quod Γ, vel idem quod Α; & tunc contingit, triangulum factum ex ΑΘ simile ipsi ΔΓΛ idem esse quod à lineis parallelis ipsi ΔΛ, ΛΓ abscinditur. si vero Β sumatur inter Α, Γ, & puncta Δ, Λ sint supra terminos secundæ diametri, fient tres casus: nam puncta Ζ, Ε vel supra terminos ferentur, vel in ipsos, vel infra. si vero Δ, Λ sint in terminis secundæ diametri, Ζ, Ε infra terminos erunt. Similiter si Β sumatur

matur extra Γ; & ΘΓ ad H producatur, tres alios casus fieri contingit; nempe ipso Δ vel supra terminos secundæ diametri existente, vel in ipsis, vel infra, & similiter Z faciet tres casus. sin autem B sumatur ex altera parte sectionis, producetur ΓΘ ad H, propter demonstrationem: & BZ, BE tres casus efficient, quoniam Z, E vel ad terminos secundæ diametri ferentur, vel supra, vel infra. Ellipsis vero & circuli circumferentiæ varios casus nunc non explicabimus, tot enim sunt quot in præcedenti theoremate sumuntur. erunt igitur hujus theorematis casus omnes centum. sed possunt hæc eadem etiam in oppositis sectionibus demonstrari.

δὲ καὶ ἐὰν ἐξωτέρω ληφθῇ τοῦ Γ τὸ Β, καὶ ἡ ΘΓ ἐπὶ τὸ Η ἐκβληθήσεται, συμβαίνει δὲ οὕτως γίνεσθαι ἄλλας πτώσεις τρεῖς· τοῦ γὰρ Δ σημείου ἢ ἀνωτέρω φερομένου τοῦ πέρατος τῆς δευτέρας διαμέτρου, ἢ ἐπ' αὐτό, ἢ κατωτέρω· καὶ τὸ Ζ ὁμοίως φερόμενον ποιήσει τὰς τρεῖς πτώσεις. ἐὰν δὲ ἐπὶ τὰ ἕτερα μέρη τῆς τομῆς ληφθῇ τὸ Β σημεῖον, ἡ μὲν ΓΘ ἐκβληθήσεται ἐπὶ τὸ Η, διὰ τὴν ἀπόδειξιν· αἱ δὲ Β Ζ, Β Ε ποιοῦσι πτώσεις τρεῖς, ἐπειδὴ τὰ Ζ, Ε ἐπὶ τὸ πέρας φέρεται τῆς δευτέρας διαμέτρου, ἢ ἀνωτέρω, ἢ κατωτέρω. τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου περιφερείας οὐ τὰ ποικίλα ἐροῦμεν· ἔστι γὰρ ὅσα ἐν τῷ προλαβόντι θεωρήματι ληφθῇ. ὥστε εἶναι τὰς πτώσεις τοῦ θεωρήματος τούτου ρ΄. δύναται δὲ τὰ τῆς προτάσεως δείκνυσθαι καὶ ἐπὶ ἀντικειμένων.

PROP. XLVI. *Theor.*

Si parabolam recta linea contingens cum diamatro conveniat: quæ per tactum ducitur diametro parallela ad easdem partes sectionis, rectas in sectione ductas contingenti parallelas bifariam secabit.

ΠΡΟΤΑΣΙΣ μς΄.

Ἐὰν παραβολῆς εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ· ἡ διὰ τῆς ἁφῆς παράλληλος ἀγομένη τῇ διαμέτρῳ ἐπὶ ταὐτὰ τῆς τομῆς, τὰς ἀγομένας ἐν τῇ τομῇ παρὰ τὴν ἐφαπτομένην δίχα τέμνει.

SIT parabola, cujus diametar ΑΒΔ, & recta ΑΓ sectionem contingat; per Γ vero ducatur ΘΓΜ parallela ΑΔ; &, sumpto in sectione quovis puncto Λ, ducatur ΛΝΖΕ ipsi ΑΓ parallela: dico ΛΝ ipsi ΝΖ æqualem esse.



Ducantur enim ordinatim ΒΘ, ΚΖΗ, ΛΜΔ. & quoniam ex iis, quæ in quadragesimo secundo theoremate demonstravimus, triangulum ΕΛΔ æquale est parallelogrammo ΒΜ, & triangulum ΕΖΗ parallelogrammo ΒΚ: parallelogrammum igitur reliquum ΗΜ æquatur quadrilatero ΛΖΗΔ. commune auferatur ΜΔΗΖΝ quinquelaterum: reliquum igitur triangulum ΚΖΝ reliquo ΛΜΝ erit æquale. sed ΚΖ [ex hyp.] parallela est ipsi ΛΜ: ergo [per 4. 6. & 14. 5.] ΖΝ ipsi ΛΝ æqualis erit.

Ἔστω παραβολή, ἧς διάμετρος ἡ ΑΒΔ, καὶ ἐφαπτέσθω τῆς τομῆς ἡ ΑΓ, διὰ δὲ τοῦ Γ τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΘΓΜ, καὶ εἰλήφθω ἐπὶ τῆς τομῆς τυχὸν σημεῖον τὸ Λ, καὶ ἤχθω τῇ ΑΓ παράλληλος ἡ ΛΝΖΕ· λέγω ὅτι ἐστὶν ἴση ἡ ΛΝ τῇ ΖΝ.

Ἤχθωσαν τεταγμένως αἱ ΒΘ, ΖΗΚ, ΛΜΔ. ἐπεὶ οὖν, διὰ τὰ δεδειγμένα ἐν τῷ μβ΄. θεωρήματι, ἴσον ἐστὶ τὸ ΕΛΔ τρίγωνον τῷ ΒΜ παραλληλογράμμῳ, τὸ δὲ ΕΖΗ τῷ ΒΚ· λοιπὸν ἄρα τὸ ΗΜ παραλληλόγραμμον λοιπῷ τῷ ΛΖΗΔ τετραπλεύρῳ ἐστὶν ἴσον. κοινὸν ἀφῃρήσθω τὸ ΜΔΗΖΝ πεντάπλευρον· λοιπὸν ἄρα τὸ ΚΖΝ τρίγωνον τῷ ΛΜΝ ἴσον ἐστί. καὶ ἔστι παράλληλος ἡ ΚΖ τῇ ΛΜ, ἴση ἄρα ἡ ΖΝ τῇ ΛΝ.

EUTOCIUS.

Hoc theorema plures casus habet. demonstrabimus autem habita ratione casuum quadragesimi secundi theorematis; ut exempli causa, si Z cadat in B, ita dicemus. Quoniam triangulum ΒΛΔ [per 42. huj.] æquale est parallelogrammo ΘΒΔΜ, commune auferatur ΝΜΔΒ; erit reliquum ΛΜΝ triangulo ΘΝΒ æquale.



In reliquis autem sic. Quoniam triangulum ΛΕΔ parallelogrammo ΘΒΔΜ est æquale, & triangulum ΗΖΕ parallelogrammo ΘΒΗΚ: erit reliquum ΖΛΔΗ æquale reliquo ΚΗΔΜ. commune auferatur ΝΜΔΗΖ. ac reliquum ΛΝΜ triangulo ΚΖΝ æquale est.

Τοῦτο τὸ θεώρημα πτώσεις ἔχει πλείους. δείξομεν δὲ προσέχοντες τῇ πτώσει τοῦ μβ΄. ὑποδείγματος δὲ χάριν, ἐὰν τὸ Ζ ἐπὶ τὸ Β πίπτοι, αὐτόθεν ἐροῦμεν. ἐπεὶ τὸ ΒΛΔ ἴσον ἐστὶ τῷ ΘΒΔΜ, κοινὸν ἀφῃρήσθω τὸ ΝΜΔΒ· λοιπὸν ἄρα τὸ ΛΜΝ τῷ ΘΝΒ ἐστὶν ἴσον.

Ἐπὶ δὲ τοῖς λοιποῖς ἐροῦμεν. ἐπειδὴ τὸ ΛΕΔ τῷ ΘΒΔΜ ἐστὶν ἴσον, καὶ τὸ ΗΖΕ τῷ ΘΒΗΚ· λοιπὸν ἄρα τὸ ΖΛΔΗ λοιπῷ τῷ ΚΗΔΜ ἐστὶν ἴσον. κοινὸν ἀφῃρήσθω τὸ ΝΜΔΗΖ· καὶ τὸ λοιπὸν τὸ ΛΝΜ τῷ λοιπῷ ΚΖΝ ἴσον ἐστί.

ΠΡΟΤΑΣΙΣ μζ.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἀχθῇ ἐπὶ ταὐτὰ τῆς τομῆς· δίχα τεμεῖται ἀγομένας ἐν τῇ τομῇ παρὰ τὴν ἐφαπτομένην.

Ἔστω ὑπερβολή, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια, ἧς διάμετρος μὲν ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, καὶ ἐφαπτομένη τῆς τομῆς ἤχθω ἡ ΔΕ, καὶ ἐπεζεύχθω ἡ ΓΕ καὶ ἐκβεβλήσθω, καὶ εἰλήφθω τυχὸν σημεῖον ἐπὶ τῆς τομῆς τὸ Ν, καὶ διὰ τὸ Ν τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΘΝΟΗ· λέγω ὅτι ἴση ἐστὶν ἡ ΝΟ τῇ ΟΗ.

Prop. XLVII. *Theor.*

Si hyperbolam, vel ellipsim, vel circuli circumferentiam recta linea contingens cum diametro conveniat; & per tactum & centrum ducatur recta ad easdem partes ad quas sectio: rectas quæ in sectione ducuntur contingenti parallelas bifariam secabit.

Sit hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter ΑΒ, centrum Γ, ducaturque ΔΕ sectionem contingens, & juncta ΓΕ producatur; sumpto autem in sectione quovis puncto Ν, ducatur per Ν linea ΘΝΟΗ ipsi ΔΕ parallela: dico ΝΟ ipsi ΟΗ æqualem esse.



Κατήχθωσαν γὰρ τεταγμένως αἱ ΞΝΖ, ΒΛ, ΗΜΚ· διὰ τὰ δεδειγμένα ἄρα ἐν τῷ μγʹ. θεωρήματι, ἴσον ἐστὶ τὸ μὲν ΘΝΖ τρίγωνον τῷ ΛΒΖΞ τετραπλεύρῳ, τὸ δὲ ΗΘΚ τρίγωνον τῷ ΛΒΚΜ· καὶ λοιπὸν ἄρα τὸ ΝΗΚΖ τετράπλευρον λοιπῷ τῷ ΜΚΖΞ ἐστὶν ἴσον. κοινὸν ἀφῃρήσθω τὸ ΟΝΖΚΜ πεντάπλευρον· λοιπὸν ἄρα τὸ ΟΜΗ τρίγωνον λοιπῷ τῷ ΝΞΟ ἐστὶν ἴσον. καὶ ἔστι παράλληλος ἡ ΜΗ τῇ ΝΞ· ἴση ἄρα ἡ ΝΟ τῇ ΟΗ.

Applicentur enim ordinatim ΞΝΖ, ΒΛ, ΗΜΚ: ergo, ex demonstratis in quadragesimo tertio theoremate, triangulum ΘΝΖ æquale erit quadrilatero ΛΒΖΞ, & ΗΘΚ triangulum quadrilatero ΛΒΚΜ: reliquum igitur ΝΗΚΖ quadrilaterum reliquo ΜΚΖΞ est æquale. commune auferatur ΟΝΖΚΜ quinquelaterum: atque erit reliquum triangulum ΟΜΗ æquale reliquo ΟΞΝ. atque est ΜΗ parallela ipsi ΝΞ: ergo [per 4.6. & 14.5.] ΝΟ ipsi ΟΗ est æqualis.

EUTOCIUS.

Τοῦτο τὸ θεώρημα ἐπὶ μὲν τῆς ὑπερβολῆς πτώσεις ἔχει ὅσας τὸ πρὸ αὐτοῦ ἐπὶ τῆς παραβολῆς εἶχε· τὰς δὲ ἀποδείξεις αὐτῶν ποιησόμεθα, προσέχοντες ταῖς πτώσεσι τοῦ μγʹ. θεωρήματος· καὶ ἐπὶ τῆς ἐλλείψεως τὰς ἀποδείξεις ἐκ τῶν πτώσεων τοῦ μγʹ. οἷον ἐπὶ τῆς ὑποκειμένης καταγραφῆς, τοῦ Η σημείου ἐκτὸς εἰλημμένου. ἐπειδὴ ἴσον ἐστὶ τὸ ΛΑΓ τρίγωνον τοῖς ΘΗΩ, ΩΓΜ,



Hoc theorema in hyperbola tot habet casus quot habebat præcedens in parabola: demonstrationes autem eorum faciemus, attendentes ad casus quadragesimi tertii theorematis: pariterque in ellipsi, ut in subjecta figura, cum punctum Η extra sumitur. quoniam triangulum ΛΑΓ æquale est triangulis ΘΗΩ, ΩΓΜ, hoc est triangulis ΟΘΓ, ΟΗΜ; atque est idem triangulum ΛΑΓ æquale triangulo ΞΠΓ & quadrilatero ΛΑΠΞ, sive triangulo ΝΘΠ, ex iis quæ demonstrata sunt in quadragesimo tertio theoremate: erunt igitur triangula ΞΠΓ, ΝΘΠ æqualia triangulis ΟΘΓ, ΟΜΗ. commune auferatur triangulum ΘΟΓ: reliquum igitur triangulum ΞΟΝ æquale est reliquo ΗΟΜ. & est ΝΞ parallela ipsi ΜΗ; ergo ΝΟ ipsi ΟΗ est æqualis.

τουτέστι τοῖς ΟΘΓ, ΟΗΜ τριγώνοις, τὸ δὲ ΛΑΓ ἴσον ἐστὶ τῷ τε ΞΠΓ τριγώνῳ καὶ τῷ ΛΑΠΞ τετραπλεύρῳ, τουτέστι τῷ ΝΘΠ τριγώνῳ, διὰ τὰ δεδειγμένα ἐν τῷ μγ΄. θεωρήματι· καὶ τὰ ΞΠΓ, ΝΘΠ ἄρα τρίγωνα ἴσα ἐστὶ τοῖς ΟΘΓ, ΟΜΗ τριγώνοις. κοινὸν ἀφῃρήσθω τὸ ΘΟΓ τρίγωνον· λοιπὸν ἄρα τὸ ΞΟΝ τῷ ΗΟΜ ἴσον ἐστί. καὶ παράλληλος ἡ ΝΞ τῇ ΜΗ· ἴση ἄρα ἡ ΝΟ τῇ ΟΗ.

Prop. XLVIII. *Theor.*

Si unam oppositarum sectionum recta linea contingens cum diametro conveniat, & per tactum & centrum producta recta secet alteram sectionem: quæ in altera sectione ducta fuerit contingenti parallela à recta producta bifariam secabitur.

ΠΡΟΤΑΣΙΣ μη΄.

Ἐὰν μιᾶς τῶν ἀντικειμένων εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἐκβληθεῖσα τέμνῃ τὴν ἑτέραν τομήν· ἥτις ἂν ἀχθῇ ἐν τῇ ἑτέρᾳ τομῇ παρὰ τὴν ἐφαπτομένην δίχα τμηθήσεται ὑπὸ τῆς ἐκβληθείσης.

Sint oppositæ sectiones, quarum diameter ΑΒ, centrumque Γ, & ΚΛ sectionem Α contingat, junctaque ΛΓ producatur; sumpto autem in Β sectione puncto Ν, per Ν ducatur ΝΗ, parallela ipsi ΛΚ: dico ΝΟ ipsi ΟΗ æqualem esse.



Ducatur enim per Ε sectionem contingens ΕΔ, & erit [ex 30. huj.] ΕΔ ipsi ΑΚ parallela; quare & ipsi ΝΗ. quoniam igitur hyperbola est ΒΕΝ, cujus centrum Γ, & ΔΕ sectionem contingit, & juncta est ΓΕ; sumitur autem in sectione punctum Ν, per quod ipsi ΔΕ parallela ducta est ΝΗ: ex iis quæ in hyperbola [per propositionem præced.] ostendimus, erit ΝΟ ipsi ΟΗ æqualis.

Ἔστωσαν ἀντικείμεναι, ὧν διάμετρος μὲν ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, καὶ τῆς Α τομῆς ἐφαπτέσθω ἡ ΚΛ, καὶ ἐπεζεύχθω ἡ ΛΓ καὶ ἐκβεβλήσθω, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς Β τομῆς τὸ Ν, καὶ διὰ τοῦ Ν τῇ ΛΚ παράλληλος ἤχθω ἡ ΝΗ· λέγω ὅτι ἡ ΝΟ τῇ ΟΗ ἐστὶν ἴση.

Ἤχθω γὰρ διὰ τοῦ Ε ἐφαπτομένη τῆς τομῆς ἡ ΕΔ· ἡ ΕΔ ἄρα τῇ ΑΚ παράλληλός ἐστιν, ὥστε καὶ τῇ ΝΗ. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ ΒΕΝ, ἧς κέντρον τὸ Γ καὶ ἐφαπτομένη ἡ ΔΕ, καὶ ἐπέζευκται ἡ ΓΕ, καὶ εἴληπται ἐπὶ τῆς τομῆς σημεῖον τὸ Ν, καὶ δι᾽ αὐτοῦ παράλληλος ἦκται ἡ ΝΗ· διὰ τὸ προδεδειγμένον ἐπὶ τῆς ὑπερβολῆς, ἴση ἐστὶν ἡ ΝΟ τῇ ΟΗ.

EUTOCIUS.

Hujus etiam theorematis casus ita se habent, ut in quadragesimo septimo theoremate dictum est de hyperbolæ descriptione.

Καὶ τούτου αἱ πτώσεις ὡσαύτως ἔχουσι τοῖς προειρημένοις ἐπὶ τοῦ μζ΄. κατὰ τὴν τῆς ὑπερβολῆς καταγραφήν.

Prop. XLIX. *Theor.*

Si parabolam recta linea contingens cum diametro conveniat, & per tactum ducatur recta diametro parallela; à vertice vero ducatur parallela ordinatim applicatæ; & fiat ut portio contingentis inter applicatam & tactum interjecta ad portionem parallelæ itidem inter tactum & applicatam interjectæ, ita quædam recta ad duplam contingentis: quæ à sectione ducta fuerit parallela contingenti, ad

ΠΡΟΤΑΣΙΣ μθ΄.

Ἐὰν παραβολῆς εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ μὲν τῆς ἁφῆς ἀχθῇ παράλληλος τῇ διαμέτρῳ, ἀπὸ δὲ τῆς κορυφῆς ἀχθῇ παρὰ τεταγμένως κατηγμένην, καὶ ποιηθῇ ὡς τὸ τμῆμα τῆς ἐφαπτομένης τὸ μεταξὺ τῆς ἀνηγμένης καὶ τῆς ἁφῆς πρὸς τὸ τμῆμα τῆς παραλλήλου τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης, οὕτως εὐθεῖά τις πρὸς τὴν διπλασίαν τῆς ἐφαπτομένης· ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ παράλληλος τῇ ἐφαπτομένη, ἐπὶ τὴν διὰ τῆς ἁφῆς ἠγμένην εὐθεῖαν παράλληλον τῇ διαμέτρῳ, δυνήσεται τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ πεπορισμένης εὐθείας καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῆς πρὸς τῇ ἁφῇ.

Ἔστω παραβολή, ἧς διάμετρος ἡ Μ Β Γ, ἐφαπτομένη δὲ ἡ Γ Δ, καὶ διὰ τοῦ Δ τῇ Β Γ παράλληλος ἤχθω ἡ Ζ Δ Ν, τεταγμένως δὲ ἀνήχθω ἡ Ζ Β, καὶ πεποιήσθω ὡς ἡ Ε Δ πρὸς Δ Ζ οὕτως εὐθεῖά τις ἡ Η πρὸς τὴν διπλασίαν τῆς Γ Δ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Κ, καὶ ἤχθω διὰ τοῦ Κ τῇ Γ Δ παράλληλος ἡ Κ Λ Π· λέγω ὅτι τὸ ἀπὸ τῆς Κ Λ ἴσον ἐστὶ τῷ ὑπὸ τῆς Η καὶ τῆς Δ Λ, τουτέστιν ὅτι, διαμέτρου οὔσης τῆς Δ Λ, ὀρθία ἐστὶν ἡ Η.

Κατήχθωσαν γὰρ τεταγμένως αἱ Δ Ξ, Κ Ν Μ. καὶ ἐπεὶ ἡ Γ Δ ἐφάπτεται τῆς τομῆς, τεταγμένως δὲ κατῆκται ἡ Δ Ξ, ἴση ἐστὶν ἡ Γ Β τῇ Β Ξ. ἡ δὲ Β Ξ τῇ Ζ Δ ἴση ἐστίν· καὶ ἡ Γ Β ἄρα τῇ Ζ Δ ἐστὶν ἴση· ὥστε καὶ τὸ Ε Γ Β τρίγωνον τῷ Ε Ζ Δ τριγώνῳ. κοινὸν προσκείσθω τὸ Δ Ε Β Μ Ν σχῆμα· τὸ ἄρα Δ Γ Μ Ν τετράπλευρον τῷ Ζ Μ παραλληλογράμμῳ ἐστὶν ἴσον, τουτέστι τῷ Κ Π Μ τριγώνῳ. κοινὸν ἀφῃρήσθω τὸ Λ Π Μ Ν τετράπλευρον· [a] λοιπὸν ἄρα τὸ Κ Λ Ν τρίγωνον τῷ Γ Λ παραλληλογράμμῳ ἐστὶν ἴσον. καὶ ἔστιν ἴση ἡ ὑπὸ Δ Λ Π γωνία τῇ ὑπὸ Κ Λ Ν· διπλάσιον ἄρα ἐστὶ τὸ ὑπὸ Κ Λ Ν τοῦ ὑπὸ Λ Δ Γ. καὶ ἐπεί ἐστιν ὡς ἡ Ε Δ πρὸς Δ Ζ οὕτως ἡ Η πρὸς τὴν διπλασίαν τῆς Γ Δ, ἔστι δὲ καὶ ὡς ἡ Ε Δ πρὸς Δ Ζ οὕτως ἡ Κ Λ πρὸς Λ Ν· καὶ ὡς ἄρα ἡ Η πρὸς τὴν διπλασίαν τῆς Γ Δ οὕτως ἡ Κ Λ πρὸς Λ Ν. ἀλλ' ὡς μὲν ἡ Κ Λ πρὸς Λ Ν οὕτως τὸ ἀπὸ Κ Λ πρὸς τὸ ὑπὸ Κ Λ Ν, ὡς δὲ ἡ Η πρὸς τὴν διπλασίαν τῆς Δ Γ οὕτω τὸ ὑπὸ Η, Δ Λ πρὸς τὸ δὶς ὑπὸ Γ Δ Λ· ὡς ἄρα τὸ ἀπὸ Κ Λ πρὸς τὸ ὑπὸ Κ Λ Ν οὕτως τὸ ὑπὸ Η, Δ Λ πρὸς τὸ δὶς ὑπὸ Γ Δ Λ, καὶ ἐναλλάξ. ἴσον δέ ἐστι τὸ ὑπὸ Κ Λ Ν τῷ δὶς ὑπὸ Γ Δ Λ· ἴσον ἄρα καὶ τὸ ἀπὸ Κ Λ τῷ ὑπὸ Η, Δ Λ.

rectam quæ per tactum ducitur diametro parallelam, poterit rectangulum contentum sub inventa linea & ea quæ inter ipsam & tactum interjicitur.

SIT parabola cujus diameter Μ Β Γ; & Γ Δ sectionem contingat; per Δ vero ipsi Β Γ parallela ducatur Ζ Δ Ν; & Ζ Β ordinatim applicetur; fiatque ut Ε Δ ad Δ Ζ ita quædam recta Η ad duplam ipsius Γ Δ; &, sumpto in sectione puncto Κ, ducatur per Κ ipsi Γ Δ parallela Κ Λ Π: dico quadratum ex Κ Λ æquale esse rectangulo sub Η & Δ Λ; hoc est, diametro existente Δ Λ, lineam Η esse rectum latus.



Applicentur enim ordinatim Δ Ξ, Κ Ν Μ. & quoniam Γ Δ sectionem contingit, ordinatim vero applicata est Δ Ξ; erit [per 4.6.] Γ Β æqualis Β Ξ. sed [per 35. huj.] Β Ξ est æqualis Ζ Δ: ergo Γ Β ipsi Ζ Δ æqualis erit; & propterea [per 33. 1.] triangulum Ε Γ Β æquale triangulo Ε Ζ Δ. commune addatur, figura scilicet Δ Ε Β Μ Ν: quadrilaterum igitur Δ Γ Μ Ν æquale est parallelogrammo Ζ Μ, hoc est [per 42.huj.] triangulo Κ Π Μ. commune auferatur quadrilaterum ΛΠΜΝ: [a] ergo reliquum triangulum Κ Λ Ν parallelogrammo Λ Γ est æquale. angulus autem Δ Λ Π [per 15.1.] æqualis est angulo Κ Λ Ν: quare [per *Pappi* lem.8.] rectangulum ΚΛΝ duplum est rectanguli Λ Δ Γ: quoniam igitur [ex hyp.] ut Ε Δ ad Δ Ζ ita est linea Η ad duplam ipsius Γ Δ, & [per 4. 6.] ut Ε Δ ad Δ Ζ ita Κ Λ ad Λ Ν; erit ut Η ad duplam Γ Δ ita Κ Λ ad Λ Ν. sed [per 1. 6.] ut Κ Λ ad Λ Ν ita quadratum ex Κ Λ ad rectangulum Κ Λ Ν; & ut Η ad duplam Γ Δ ita rectangulum sub Η & Δ Λ ad duplum rectanguli Γ Δ Λ: quare ut quadratum ex Κ Λ ad rectangulum Κ Λ Ν ita rectangulum sub Η & Δ Λ ad duplum ipsius Γ Δ Λ rectanguli; & [per 16. 5.] permutando. est autem [ex modo ostensis] Κ Λ Ν rectangulum æquale duplo rectanguli Γ Δ Λ: ergo [per 14. 5.] quadratum ex Κ Λ rectangulo sub Η & Δ Λ æquale erit.

EUTOCIUS.

[a] Λοιπὸν ἄρα Κ Λ Ν τρίγωνον τῷ Δ Λ Π Γ παραλληλογράμμῳ ἐστὶν ἴσον. καὶ ἴση ἐστὶν ἡ ὑπὸ Δ Λ Π γωνία τῇ ὑπὸ Κ Λ Ν γωνίᾳ· διπλάσιον ἄρα ἐστὶ τὸ ὑπὸ ΚΛΝ τοῦ ὑπὸ ΛΔΓ.] ἐκκείσθω γὰρ χωρὶς τὸ Κ Λ Ν τρίγωνον, καὶ τὸ Δ Λ Π Τ παραλληλόγραμμον. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ Κ Λ Ν τρίγωνον τῷ Δ Π παραλληλογράμμῳ, ἤχθω διὰ τοῦ Ν τῇ Λ Κ παράλληλος ἡ Ν Ρ, διὰ δὲ τοῦ Κ τῇ Λ Ν ἡ Κ Ρ· παραλλη-



[a] Ergo reliquum triangulum Κ Λ Ν parallelogrammo Δ Λ Π Γ est æquale. angulus autem Δ Λ Π æqualis est angulo Κ Λ Ν: quare rectangulum Κ Λ Ν duplum est rectanguli Λ Δ Γ.] Triangulum enim Κ Λ Ν seorsim describatur, itemque parallelogrammum Δ Λ Π Γ. & quoniam triangulum Κ Λ Ν æquale est parallelogrammo Δ Π, ducatur per Ν ipsi Λ Κ parallela Ν Ρ, & per Κ ducatur Κ Ρ parallela ipsi Λ Ν: parallelogrammum igitur

tur est ΛΡ, & duplum trianguli ΚΛΝ; quare & parallelogrammi ΔΠ duplum. producantur ΔΓ, ΛΠ ad puncta Σ, Τ, ponaturque ipsi ΔΓ æqualis ΓΣ, & ΠΤ æqualis ipsi ΛΠ, & jungatur ΣΤ: ergo ΔΤ parallelogrammum est duplum ipsius ΔΠ, & idcirco ΛΡ parallelogrammum æquale parallelogrammo ΛΣ. est autem & æquiangulum, quoniam anguli ad Λ secundum verticem sunt æquales. sed [per 14.6.] æqualium & æquiangulorum parallelogrammorum latera quæ circa æquales angulos sunt reciproce proportionalia. ergo ut ΚΛ ad ΛΤ, hoc est ad ΔΣ, ita ΔΛ ad ΛΝ; propterea que [per 16.6.] rectangulum ΚΛΝ æquale est rectangulo ΛΔΣ. & cum ΔΣ dupla sit ipsius ΔΓ, rectangulum ΚΛΝ rectanguli ΛΔΓ duplum erit.

At si recta quidem ΔΓ ipsi ΛΠ sit parallela, ΓΠ vero non sit parallela ipsi ΛΔ; erit ΔΓΠΛ trapezium: & tunc dico rectangulum ΚΛΝ æquale esse ei quod sub ΔΛ & utraque ipsarum ΓΔ, ΛΠ continetur. si enim parallelogrammum ΛΡ compleatur sicuti prius, producanturque ΔΓ, ΛΠ, ita ut ipsi ΛΠ æqualis ponatur ΓΣ, & ipsi ΔΓ æqualis ΠΤ, & jungatur ΣΤ; fiet ΔΤ parallelogrammum duplum ipsius ΔΠ, & eadem erit demonstratio. hoc autem utile est ad ea quæ sequuntur.



λόγραμμον ἄρα ἐστὶ τὸ ΛΡ, καὶ διπλάσιον τοῦ ΚΛΝ τριγώνου· ὥστε καὶ τοῦ ΔΠ παραλληλογράμμου. ἐκβεβλήσθωσαν δὴ αἱ ΔΓ, ΛΠ ἐπὶ τοὺς Σ, Τ, καὶ κείσθω τῇ ΔΓ ἴση ἡ ΓΣ, τῇ δὲ ΛΠ ἡ ΠΤ, καὶ ἐπεζεύχθω ἡ ΣΤ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΔΤ διπλάσιον τοῦ ΔΠ· ὥστε ἴσον τὸ ΛΡ τῷ ΛΣ. ἔστι δὲ τοῦτο καὶ ἰσογώνιον, διὰ τὸ τὰς πρὸς τῷ Λ γωνίας κατὰ κορυφὴν οὔσας ἴσας εἶναι. τῶν δὲ ἴσων ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ ὑπὸ τὰς ἴσας γωνίας πλευραί· ἔστιν ἄρα ὡς ἡ ΚΛ πρὸς τὴν ΛΤ, τουτ' ἔστι πρὸς τὴν ΔΣ, οὕτως ἡ ΔΛ πρὸς ΛΝ, καὶ τὸ ὑπὸ ΚΛΝ ἴσον ἐστὶ τῷ ὑπὸ ΛΔΣ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΔΣ τῆς ΔΓ, τὸ ὑπὸ ΚΛΝ διπλάσιόν ἐστι τοῦ ΛΔΓ.

Ἐὰν δὲ ἡ μὲν ΔΓ τῇ ΛΠ ἐστὶ παράλληλος, ἡ δὲ ΓΠ τῇ ΛΔ μὴ ἐστι παράλληλος, τραπέζιον μὲν δηλονότι ἐστὶ τὸ ΔΓΠΛ· καὶ οὕτως δή φημι, ὅτι τὸ ὑπὸ ΚΛΝ ἴσον ἐστὶ τῷ ὑπὸ ΔΛ καὶ συναμφοτέρου τῆς ΓΔ, ΛΠ. ἐὰν γὰρ τὸ μὲν ΛΡ ἀναπληρωθῇ, ὡς προείρηται, ἐκβληθῶσι δὲ καὶ ΔΓ, ΛΠ, καὶ τεθῇ τῇ μὲν ΛΠ ἴση ἡ ΓΣ, τῇ δὲ ΔΓ ἡ ΠΤ, καὶ ἐπιζευχθῇ ἡ ΣΤ· παραλληλόγραμμον ἔσται τὸ ΔΤ διπλάσιον τοῦ ΔΠ, καὶ ἡ ἀπόδειξις ἡ αὐτή. ἁρμόσει χρησίμως δὲ τοῦτο εἰς τὰ ἑξῆς.

Prop. L. *Theor.*

Si hyperbolam, vel ellipsim, vel circuli circumferentiam recta linea contingens cum diametro conveniat; & per tactum & centrum recta producatur; à vertice autem ordinatim applicata conveniat cum ea quæ ducitur per tactum & centrum; fiatque ut portio contingentis inter tactum & applicatam interjecta ad portionem ductæ per tactum & centrum, quæ itidem inter tactum & applicatam interjicitur, ita quædam recta ad duplam contingentis: quæ à sectione ducitur contingenti parallela ad rectam per tactum & centrum ductam, poterit spatium rectangulum quod adjacet inventæ rectæ, latitudinem habens interjectam inter ipsam & tactum; in hyperbola quidem excedens figurâ simili contentæ sub duplâ ejus quæ est inter centrum & tactum & inventâ lineâ; in ellipsi vero & circulo, eâdem deficiens.

ΠΡΟΤΑΣΙΣ ν′.

Ἐὰν ὑπερβολῆς, ἢ ἐλλείψεως, ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἐκβληθῇ, ἀπὸ δὲ τῆς κορυφῆς ἀναχθεῖσα εὐθεῖα παρὰ τεταγμένως κατηγμένην συμπίπτῃ τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένῃ εὐθείᾳ, καὶ ποιηθῇ ὡς τὸ τμῆμα τῆς ἐφαπτομένης τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης πρὸς τὸ τμῆμα τῆς ἠγμένης διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης, οὕτως εὐθεῖά τις πρὸς τὴν διπλασίαν τῆς ἐφαπτομένης· ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ παράλληλος τῇ ἐφαπτομένῃ, ἐπὶ τὴν διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένην, δυνήσεται τὸ χωρίον ὀρθογώνιον παρακείμενον παρὰ τὴν πορισθεῖσαν, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς πρὸς τῇ ἁφῇ, ἐπὶ μὲν τῆς ὑπερβολῆς, ὑπερβάλλον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπὸ τῆς διπλασίας τῆς μεταξὺ τοῦ κέντρου καὶ τῆς ἁφῆς καὶ τῆς πορισθείσης εὐθείας, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου, ἐλλεῖπον.

SIT hyperbola, vel ellipsis, vel circuli circumferentia, cujus diameter ΑΒ, centrum Γ; & ΔΕ sectionem contingat; juncta vero ΓΕ producatur ad utrasque partes; ponaturque ΓΚ ipsi ΕΓ æqualis; & per Β ordinatim applicetur ΒΖΗ; deinde per Ε ad rectos angulos ipsi ΕΓ ducatur ΕΘ; fiatque ut ΖΕ ad ΕΗ ita ΕΘ ad duplam ipsius ΕΔ, & juncta ΘΚ

Ἔστω ὑπερβολή, ἢ ἔλλειψις, ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, ἐφαπτομένη δὲ ἡ ΔΕ, καὶ ἐπιζευχθεῖσα ἡ ΓΕ ἐκβεβλήσθω ἐφ' ἑκάτερα, καὶ κείσθω τῇ ΕΓ ἴση ἡ ΓΚ, καὶ διὰ τοῦ Β τεταγμένως ἀνήχθω ἡ ΒΖΗ, διὰ δὲ τοῦ Ε τῇ ΕΓ πρὸς ὀρθὰς ἤχθω ἡ ΕΘ, καὶ γινέσθω ὡς ἡ ΖΕ πρὸς ΕΗ οὕτως ἡ ΕΘ πρὸς τὴν διπλασίαν τῆς ΕΔ, καὶ ἐπιζευχθεῖσα

ἐπιζευχθεῖσα ἡ ΘΚ ἐκβεβλήσθω, καὶ εἰλήφθω τι ἐπὶ τῆς τομῆς σημεῖον τὸ Λ, καὶ δι' αὐτοῦ τῇ ΕΔ παράλληλος ἤχθω ἡ ΛΜΞ, τῇ δὲ ΒΗ ἡ ΛΝΡ, τῇ δὲ ΕΘ ἡ ΜΠ· λέγω ὅτι τὸ ἀπὸ ΛΜ ἴσον ἐστὶ τῷ ὑπὸ ΕΜΠ.

Ἤχθω γὰρ διὰ τοῦ Γ τῇ ΚΠ παράλληλος ἡ ΓΣΟ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΓ τῇ ΚΓ, ὡς δὲ ἡ ΕΓ πρὸς ΚΓ οὕτως ἡ ΕΣ πρὸς ΣΘ· ἴση ἄρα καὶ ἡ ΕΣ τῇ ΣΘ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΖΕ πρὸς ΕΗ οὕτως ἡ ΘΕ πρὸς τὴν διπλασίαν τῆς ΕΔ, καί ἐστι τῆς ΕΘ ἡμίσεια ἡ ΕΣ· ἔστιν ἄρα ὡς ἡ ΖΕ πρὸς ΕΗ οὕτως ἡ ΣΕ πρὸς ΕΔ. ὡς δὲ ἡ ΖΕ πρὸς ΕΗ οὕτως ἡ ΛΜ πρὸς ΜΡ· ὡς ἄρα

producatur; sumpto denique in sectione puncto Λ, per ipsum ducatur ΛΜΞ ipsi quidem ΕΔ parallela; ΛΝΡ vero parallela ipsi ΒΗ; ipsique ΕΘ parallela ΜΠ: dico quadratum ex ΛΜ rectangulo ΕΜΠ æquale esse.

Ducatur enim per Γ recta ΓΣΟ parallela ipsi ΚΠ. itaque quoniam ΕΓ æqualis est ipsi ΚΓ, & [per 2. 6.] ut ΕΓ ad ΓΚ ita ΕΣ ad ΣΘ; erit ΕΣ ipsi ΣΘ æqualis. & quoniam [ex hyp.] ut ΖΕ ad ΕΗ ita ΘΕ ad duplam ΕΔ, atque est ipsius ΕΘ dimidia ΕΣ: erit ut ΖΕ ad ΕΗ ita ΣΕ ad ΕΔ. ut autem ΖΕ ad ΕΗ ita [per 4. 6.] ΛΜ ad ΜΡ: ergo ut ΛΜ ad ΜΡ ita







ἡ ΛΜ πρὸς ΜΡ οὕτως ἡ ΣΕ πρὸς ΕΔ. καὶ ἐπεὶ τὸ ΡΝΓ τρίγωνον τοῦ ΗΒΓ τριγώνου, τουτέστι τοῦ ΓΔΕ, ἐπὶ μὲν τῆς ὑπερβολῆς μεῖζον ἐδείχθη, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου ἔλασσον τῷ ΛΝΞ· κοινῶν ἀφαιρεθέντων, ἐπὶ μὲν τῆς ὑπερβολῆς τοῦ τε ΕΓΔ τριγώνου καὶ τοῦ ΝΡΜΞ τετραπλεύρου, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου τοῦ ΜΞΓ τριγώνου· τὸ ΛΜΡ τρίγωνον τῷ ΜΕΔΞ τετραπλεύρῳ ἐστὶν ἴσον. καὶ ἔστι παράλληλος ἡ ΜΞ τῇ ΔΕ, ἡ δὲ ὑπὸ ΛΜΡ γωνία τῇ ὑπὸ ΕΜΞ ἐστὶν ἴση· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΛΜΡ τῷ ὑπὸ τῆς ΕΜ καὶ συναμφοτέρου τῆς ΕΔ, ΜΞ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΜΓ πρὸς ΓΕ οὕτως ἥτε ΜΞ πρὸς ΔΕ καὶ ἡ ΜΟ πρὸς ΕΣ· ὡς ἄρα ἡ ΜΟ πρὸς ΕΣ οὕτως ἡ ΜΞ πρὸς ΔΕ· καὶ συνθέντι, ὡς συναμφότερος ἡ ΜΟ, ΕΣ πρὸς ΕΣ οὕτω συναμφότερος ἡ ΜΞΕΔ πρὸς ΕΔ· ἐναλλὰξ ἄρα ὡς συναμφότερος ἡ ΜΟ, ΣΕ πρὸς συναμφότερον τὴν ΞΜ, ΕΔ οὕτως ἡ ΣΕ πρὸς ΕΔ. ἀλλ' ὡς μὲν συναμφότερος ἡ ΜΟ, ΕΣ πρὸς συναμφότερον τὴν ΜΞ, ΔΕ οὕτως τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΟ, ΕΣ καὶ τῆς ΕΜ πρὸς τὸ ὑπὸ

ΣΕ ad ΕΔ. sed cum demonstratum sit [in 43. 1. huj.] triangulum ΡΝΓ in hyperbola quidem majus esse quam triangulum ΗΒΓ, hoc est quam triangulum ΓΔΕ; in ellipsi vero & circulo minus, ipso ΛΝΞ triangulo: communibus ablatis, in hyperbola scilicet triangulo ΕΓΔ & ΝΡΜΞ quadrilatero, in ellipsi autem & circulo, triangulo ΜΞΓ; erit ΛΜΡ triangulum quadrilatero ΜΕΔΞ æquale. atque est [ex hyp.] ΜΞ parallela ipsi ΔΕ, & [per 15. 1.] angulus ΛΜΡ æqualis angulo ΕΜΞ; ergo [ex lem. *Pappi* 8.] rectangulum ΛΜΡ æquale est rectangulo sub ΕΜ & utraque ipsarum ΕΔ, ΜΞ contento. & quoniam [per 4. 6.] ut ΜΓ ad ΓΕ ita & ΜΞ ad ΔΕ & ΜΟ ad ΕΣ: ut igitur ΜΟ ad ΕΣ ita ΜΞ ad ΔΕ; & componendo [per 18. 5.] ut utraque ΜΟ, ΣΕ ad ΕΣ ita utraque ΜΞ, ΔΕ ad ΕΔ: quare permutando, ut utraque ΜΟ, ΣΕ ad utramque ΞΜ, ΕΔ ita ΣΕ ad ΕΔ. sed ut utraque ΜΟ, ΣΕ ad utramque ΜΞ, ΔΕ ita [per 1. 6.] rectangulum sub utraque ΜΟ, ΣΕ & ipsa ΕΜ ad contentum sub utraque

ΜΞ, ΕΔ & ΕΜ. ut autem ΣΕ ad ΕΔ ita [ut supra ostensum] ΖΕ ad ΕΗ, hoc est [per 4. 6.] ΛΜ ad ΜΡ; atque adeo [per 1.6.] quadratum ex ΛΜ ad rectangulum ΛΜΡ: quare ut rectangulum contentum sub utraque ΜΟ, ΕΣ & ΜΕ ad contentum sub utraque ΜΞ, ΔΕ & ΕΜ, ita quadratum ex ΛΜ ad rectangulum ΛΜΡ; & permutando, ut rectangulum contentum sub utraque ΜΟ, ΕΣ & ΕΜ ad quadratum ex ΜΛ, ita contentum sub utraque ΜΞ, ΔΕ & ΕΜ ad ΛΜΡ rectangulum: est autem [ut supra ostensum] rectangulum ΛΜΡ æquale rectangulo sub ΜΕ & utraque ΜΞ, ΔΕ: ergo quadratum ex ΛΜ æquale est rectangulo sub ΕΜ & utraque ΜΟ, ΣΕ. est autem ΣΕ ipsi ΣΘ æqualis, & [per 33. 1.] ΣΘ ipsi ΟΠ: quadratum igitur ex ΛΜ rectangulo ΕΜΠ æquale erit.

συναμφοτέρου τῆς ΜΞ, ΕΔ καὶ τῆς ΕΜ. ὡς δὲ ἡ ΣΕ πρὸς ΕΔ οὕτως ἡ ΖΕ πρὸς ΕΗ, τουτέστιν ἡ ΛΜ πρὸς ΜΡ, τουτέστι τὸ ἀπὸ ΛΜ πρὸς τὸ ὑπὸ ΛΜΡ· ὡς ἄρα τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΟ, ΕΣ καὶ τῆς ΜΕ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΞ, ΔΕ καὶ τῆς ΕΜ οὕτως τὸ ἀπὸ ΛΜ πρὸς τὸ ὑπὸ ΛΜΡ· καὶ ἐναλλὰξ ὡς τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΟ, ΕΣ καὶ τῆς ΜΕ πρὸς τὸ ἀπὸ ΛΜ, οὕτως τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΞ, ΕΔ καὶ τῆς ΜΕ πρὸς τὸ ὑπὸ ΛΜΡ. ἴσον δὲ τὸ ὑπὸ ΛΜΡ τῷ ὑπὸ τῆς ΜΕ καὶ συναμφοτέρου τῆς ΜΞ, ΕΔ· ἴσον ἄρα καὶ τὸ ἀπὸ ΛΜ τῷ ὑπὸ ΕΜ καὶ συναμφοτέρου τῆς ΜΟ, ΕΣ. καὶ ἔστιν ἡ μὲν ΣΕ τῇ ΣΘ ἴση, ἡ δὲ ΣΘ τῇ ΟΠ· ἴσον ἄρα τὸ ἀπὸ ΛΜ τῷ ὑπὸ ΕΜΠ.

EUTOCIUS.

Casus hujus theorematis ita se habent ut in quadragesimo tertio, sicut & casus subsequentis theorematis quinquagesimi primi.

Πτώσεις τούτου τοῦ θεωρήματος ὡσαύτως ἔχουσι τῷ τοῦ μγ'. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ να'.

Prop. LI. *Theor.*

Si quamlibet oppositarum sectionum recta linea contingens cum diametro conveniat, & per tactum & centrum recta producatur usque ad alteram sectionem; à vertice vero ducatur recta parallela ordinatim applicatæ, conveniensque cum recta per tactum & centrum ducta; & fiat ut portio contingentis inter applicatam & tactum ad portionem ductæ per tactum & centrum quæ inter tactum & applicatam interjicitur, ita quædam recta ad duplam contingentis: quæ in altera sectione ducitur parallela contingenti ad rectam per tactum & centrum ductam, poterit rectangulum quod adjacet inventæ lineæ, latitudinem habens interceptam inter ipsam & tactum, excedens vero figura simili ei quæ sub linea inter oppositas sectiones interjectâ & inventâ rectâ continetur.

ΠΡΟΤΑΣΙΣ να'.

Ἐὰν ὁποτερασοῦν τῶν ἀντικειμένων εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἐκβληθῇ τις εὐθεῖα ἕως τῆς ἑτέρας τομῆς, ἀπὸ δὲ τῆς κορυφῆς εὐθεῖα ἀναχθῇ παρὰ τεταγμένως κατηγμένην, καὶ συμπίπτῃ τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένῃ εὐθείᾳ, καὶ γενηθῇ ὡς τὸ τμῆμα τῆς ἐφαπτομένης τὸ μεταξὺ τῆς ἀνηγμένης καὶ τῆς ἁφῆς πρὸς τὸ τμῆμα τῆς ἠγμένης διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης, οὕτως εὐθεῖά τις πρὸς τὴν διπλασίαν τῆς ἐφαπτομένης· ἥτις ἂν ἐν τῇ ἑτέρᾳ τῶν τομῶν ἀχθῇ ἐπὶ τὴν διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένην εὐθεῖαν παράλληλος τῇ ἐφαπτομένῃ, δυνήσεται τὸ παρακείμενον ὀρθογώνιον παρὰ τὴν προσπορισθεῖσαν, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς πρὸς τῇ ἁφῇ, ὑπερβάλλον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπὸ τῆς μεταξὺ τῶν ἀντικειμένων καὶ τῆς προσπορισθείσης εὐθείας.

SINT oppositæ sectiones, quarum diameter ΑΒ, centrum Ε; & ducatur ΓΔ sectionem Β contingens, junctaque ΓΕ producatur; ordinatim vero applicetur ΒΛΗ, & fiat ut ΛΓ ad ΓΗ ita quædam recta Κ ad duplam ΓΔ: itaque perspicuum est [ex præced.] in sectione ΒΓ lineas parallelas ipsi ΓΔ, quæ ducuntur ad rectam ΕΓ productam, posse spatia adjacentia rectæ Κ, latitudinemque habentia lineam quæ est inter ipsas & tactum, & excedentia figura simili contentæ sub linea ΓΖ & Κ; dupla est enim ΖΓ ipsius ΓΕ. dico igitur idem evenire in sectione ΖΑ.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι, ὧν διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Ε, καὶ ἤχθω τῆς Β τομῆς ἐφαπτομένη ἡ ΓΔ, καὶ ἐπεζεύχθω ἡ ΓΕ καὶ ἐκβεβλήσθω, καὶ ἤχθω τεταγμένως ἡ ΒΛΗ, καὶ πεποιήσθω ὡς ἡ ΛΓ πρὸς ΓΗ οὕτως εὐθεῖά τις ἡ Κ πρὸς τὴν διπλασίαν τῆς ΓΔ· ὅτι μὲν οὖν αἱ ἐν τῇ ΒΓ τομῇ παράλληλοι τῇ ΓΔ ἐπὶ τὴν ἐπ' εὐθείας τῇ ΕΓ δύνανται τὰ παρὰ τὴν Κ παρακείμενα χωρία, πλάτη ἔχοντα τὰς ἀπολαμβανομένας ὑπ' αὐτῶν πρὸς τῇ ἁφῇ, ὑπερβάλλοντα εἴδει ὁμοίῳ τῷ ὑπὸ ΓΖ, Κ, φανερόν· διπλασία γάρ ἐστιν ἡ ΖΓ τῆς ΓΕ. λέγω δὴ ὅτι καὶ ἐν τῇ ΖΑ τομῇ τὸ αὐτὸ συμβήσεται.

Ηχθω

Ἤχθω γὰρ διὰ τοῦ Ζ ἐφαπτομένη τῆς Α Ζ τομῆς ἡ Μ Ζ, καὶ τεταγμένως ἀνήχθω ἡ Α Ξ Ν. καὶ ἐπεὶ ἀντικείμεναί εἰσιν αἱ Β Γ, Α Ζ, ἐφαπτόμεναι δὲ αὐτῶν αἱ Γ Δ, Μ Ζ· ἴση ἄρα καὶ παράλληλός ἐστιν ἡ Γ Δ τῇ Μ Ζ. ἴση δὲ καὶ ἡ Γ Ε τῇ Ε Ζ· καὶ ἡ Ε Δ ἄρα τῇ Ε Μ ἐστιν ἴση. καὶ ἐπεί ἐστιν ὡς ἡ Λ Γ πρὸς Γ Η οὕτως ἡ Κ πρὸς τὴν διπλασίαν τῆς Γ Δ, τουτέστι τῆς Μ Ζ· καὶ ὡς ἄρα ἡ Ξ Ζ πρὸς Ζ Ν οὕτως ἡ Κ πρὸς τὴν διπλασίαν τῆς Μ Ζ. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ Α Ζ, ἧς διάμετρος ἡ Α Β, ἐφαπτομένη δὲ ἡ Μ Ζ, καὶ τεταγμένως ἦκται ἡ Α Ν, καί ἐστιν ὡς ἡ Ξ Ζ πρὸς Ζ Ν οὕτως ἡ Κ πρὸς τὴν διπλασίαν τῆς Ζ Μ· ὅσαι ἂν ἀπὸ τῆς τομῆς παράλληλοι τῇ Ζ Μ ἀχθῶσιν ἐπὶ τὴν ἐπ' εὐθείας τῇ Ε Ζ, δυνήσονται τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῆς Κ εὐθείας καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῶν πρὸς τῷ Ζ σημείῳ, ὑπερβάλλον εἴδει ὁμοίῳ τῷ ὑπὸ Γ Ζ, Κ.

Ducatur per Z linea M Z quæ sectionem A Z contingat; ordinatimque applicetur A Ξ N. & quoniam oppositæ sectiones sunt B Γ, A Z, atque ipsas contingunt Γ Δ, M Z; erit [ex 30. huj.] Γ Δ ipsi M Z æqualis & parallela. est autem Γ E æqualis ipsi E Z: ergo & E Δ ipsi E M. sed quoniam ut Λ Γ ad Γ H ita [ex hyp.] linea K ad duplam ipsius Γ Δ, sive M Z; erit ut Ξ Z ad Z N ita K ad duplam M Z. cum autem A Z hyperbola est, cujus diameter A B, & M Z ipsam contingit; ordinatim vero applicata est A N; & ut Ξ Z ad Z N ita K ad duplam Z M: ergo [per 50. huj.] quæcunque à sectione ducuntur parallelæ ipsi M Z ad E Z in directum productam, poterunt rectangulum contentum sub linea K & interjecta inter ipsas & punctum Z, excedensque figura simili ei quæ sub Γ Z & K continetur.



Πόρισμα.

Δεδειγμένων δὲ τούτων συμφανὲς ὅτι ἐν μὲν τῇ παραβολῇ ἑκάστη τῶν παρὰ τὴν ἐκ τῆς γεννήσεως διάμετρον ἀγομένων εὐθειῶν διάμετρός ἐστιν· ἐν δὲ τῇ ὑπερβολῇ, καὶ τῇ ἐλλείψει, καὶ ταῖς ἀντικειμέναις ἑκάστη τῶν διὰ τοῦ κέντρου ἀγομένων εὐθειῶν· καὶ διότι ἐν μὲν τῇ παραβολῇ, αἱ καταγόμεναι ἐφ' ἑκάστην τῶν διαμέτρων παρὰ τὰς ἐφαπτομένας τὰ παρὰ τὴν αὐτὴν παρακείμενα ὀρθογώνια δυνήσονται· ἐν τῇ ὑπερβολῇ καὶ ταῖς ἀντικειμέναις τὰ παρὰ τὴν αὐτὴν παρακείμενα χωρία καὶ ὑπερβάλλοντα τῷ αὐτῷ εἴδει· ἐν δὲ τῇ ἐλλείψει τὰ παρὰ τὴν αὐτὴν παρακείμενα καὶ ἐλλείποντα τῷ αὐτῷ εἴδει· καὶ διότι πάντα ὅσα προδέδεικται περὶ τὰς τομὰς συμβαίνοντα, συμπαραλαμβανομένων τῶν ἀρχικῶν διαμέτρων, καὶ τῶν ἄλλων διαμέτρων παραλαμβανομένων τὰ αὐτὰ συμβήσεται.

Corollarium.

Itaque his demonstratis perspicuum est [per 46. huj.] in parabola unamquamque rectarum, quæ diametro ex generatione ducuntur parallelæ, diametrum esse; in hyperbola vero, ellipsi, & oppositis sectionibus, [per 47. & 48. huj.] unamquamque earum quæ per centrum ducuntur: ideoq; in parabola quidem [per 49. huj.] applicatas ad unamquamque diametrum parallelas contingentibus posse rectangula ipsi adjacentia; in hyperbola & oppositis sectionibus [per 50. & 51. huj.] posse rectangula adjacentia ipsi quæ excedunt eâdem figurâ; in ellipsi autem [per 50. huj.] quæ eâdem deficiunt: igitur quæcunque circa sectiones adhibitis principalibus diametris demonstrata sunt, & aliis diametris assumptis eadem quoque contingent.

EUTOCIUS.

Τὴν ἐκ τῆς γεννήσεως διάμετρον λέγει τὴν γενομένην ἐν τῷ κώνῳ κοινὴν τομὴν τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου· ταύτην δὲ καὶ ἀρχικὴν διάμετρον λέγει. καί φησιν ὅτι πάντα τὰ δεδειγμένα συμπτώματα τῶν τομῶν ἐν τοῖς προειρημένοις θεωρήμασιν, ὑποτεθειμένων τῶν ἀρχικῶν διαμέτρων, συμβαίνειν δύναται καὶ τῶν ἄλλων πασῶν διαμέτρων ὑποτιθεμένων.

Diametrum ex generatione vocat communem sectionem plani secantis & trianguli per axem quæ in ipso cono efficitur; quam & principalem diametrum appellat. dicit autem omnia accidentia sectionum, quæ in superioribus theorematibus demonstrata sunt competere principalibus diametris, & aliis quibuscunque diametris assumptis etiam contingere.

ΠΡΟΤΑΣΙΣ νβ'.

Εὐθείας δοθείσης ἐν ἐπιπέδῳ καθ' ἓν σημεῖον πεπερασμένης, εὑρεῖν ἐν τῷ ἐπιπέδῳ κώνου τομὴν τὴν καλουμένην παραβολήν, ἧς διάμετρος ἡ δοθεῖσα εὐθεῖα, κορυφὴ δὲ τὸ πέρας τῆς εὐθείας· ἥτις δὲ ἂν ἀπὸ τῆς τομῆς καταχθῇ ἐπὶ τὴν διάμετρον ἐν δοθείσῃ γωνίᾳ, δυνήσεται τὸ πε-

Prop. LII. *Probl.*

Rectâ datâ in plano ad unum punctum terminatâ, invenire in plano coni sectionem quæ parabola appellatur, cujus diameter erit data recta & vertex rectæ terminus; quæ vero à sectione ad diametrum in dato angulo applicatur, poterit rectangulum

gulum contentum sub rectâ quæ est inter ipsam & verticem sectionis & alterâ quadam data rectâ.

ριεχόμενον ὀρθογώνιον τῷ ὑπὸ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῆς πρὸς τῇ κορυφῇ τῆς τομῆς καὶ ἑτέρας τινὸς δοθείσης εὐθείας.

SIT recta data positione A B ad A punctum terminata, altera autem magnitudine data sit Γ Δ; & datus angulus primum sit rectus: oporteat autem in subjecto plano invenire parabolam, ita ut ejus diameter sit A B; & vertex A, rectum autem figuræ latus Γ Δ, ordinatim ductis in recto angulo applicatis, hoc est, ut A B sit axis.

Producatur A B ad E, sumaturque ipsius Γ Δ quarta pars Γ H; & sit E A major quam Γ H, inter ipsas autem Γ Δ, E A media proportionalis sit Θ: est igitur [per cor. 20. 6.] ut Γ Δ ad E A ita quadratum ex Θ ad quadratum ex E A. sed Γ Δ est minor quam quadrupla ipsius E A: ergo & quadratum ex Θ quadrati ex E A minus est quam quadruplum; & propterea Θ minor quam dupla ipsius E A. cum igitur duæ rectæ E A majores sint quam Θ; fieri potest [per 22. 1.] ut ex Θ & duabus E A triangulum constituatur. igitur [per 22. 1.] super E A constituatur triangulum E A Z [per prop. 12. 11.] rectum ad subjectum planum, ita ut E A æqualis sit A Z & Θ æqualis Z E; ducaturque [per 31. 1.] A K parallela ipsi E Z, & Z K ipsi E A. deinde intelligatur conus, cujus vertex Z punctum, basis autem circulus circa diametrum K A, rectus ad planum quod per A Z K transit: erit igitur conus ille rectus, quoniam A Z æqualis est Z K. itaque secetur conus plano quod circulo K A æquidistet; faciatque [per 4. huj.] sectionem circulum M N Ξ, rectum videlicet ad planum transiens per M Z N: & sit circuli M N Ξ & trianguli M Z N communis sectio M N: quare M N circuli diameter est. communis autem sectio plani subjecti & circuli sit Ξ Λ. quoniam igitur circulus MNΞ rectus est ad triangulum MNΞ, rectumque est subjectum planum ad triangulum M Z N; communis ipsorum sectio Ξ Λ [per 19. 11.] ad triangulum M Z N, hoc est ad K Z A, perpendicularis erit: quare & ad omnes rectas lineas quæ in triangulo ipsam contingunt, adeoque ad utramque ipsarum M N, A B. rursus quoniam conus basim habens circulum M N Ξ, verticem vero punctum Z, secatur plano ad triangulum M Z N recto, quod sectionem facit circulum MNΞ; & secatur altero plano subjecto secante basim coni secundum rectam Ξ Λ perpendicularem ipsi M N, quæ communis est sectio circuli M N Ξ & trianguli M Z N: communis autem sectio subjecti plani & trianguli M Z N, videlicet A B, parallela est lateri coni Z K M: erit [per 11. huj.] coni sectio in subjecto plano facta parabola, cujus diameter A B, & rectæ à sectione



ΕΣΤΩ θέσει δοθεῖσα ἡ Α Β πεπερασμένη κατὰ τὸ Α, ἑτέρα δὲ ἡ Γ Δ τῷ μεγέθει, ἡ δὲ δοθεῖσα γωνία ἔστω πρότερον ὀρθή· δεῖ δὴ εὑρεῖν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ παραβολήν, ἧς διάμετρος μὲν ἡ Α Β, κορυφὴ δὲ τὸ Α, ὀρθία δὲ ἡ Γ Δ, αἱ δὲ καταγόμεναι τεταγμένως ἐν ὀρθῇ γωνίᾳ καταχθῶσιν, τουτέστιν ἵνα ἄξων ᾖ ἡ Α Β.

Ἐκβεβλήσθω ἡ Α Β ἐπὶ τὸ Ε, καὶ εἰλήφθω τῆς Γ Δ τέταρτον μέρος ἡ Γ Η, τῆς δὲ Γ Η μείζων ἔστω ἡ Ε Α, καὶ τῶν Γ Δ, Ε Α μέση ἀνάλογον εἰλήφθω ἡ Θ· ἔστιν ἄρα ὡς ἡ Γ Δ πρὸς Ε Α οὕτως τὸ ἀπὸ Θ πρὸς τὸ ἀπὸ Ε Α. ἡ δὲ Γ Δ τῆς Ε Α ἐλάττων ἐστὶν ἢ τετραπλασία, καὶ τὸ ἀπὸ Θ τοῦ ἀπὸ Ε Α ἔλαττόν ἐστιν ἢ τετραπλάσιον· ἡ Θ ἄρα τῆς Ε Α ἐλάττων ἐστὶν ἢ διπλῆ. ἐπεὶ οὖν δύο αἱ Ε Α τῆς Θ μείζονές εἰσι· δυνατὸν ἄρα ἐστὶν ἐκ τῆς Θ καὶ δύο τῶν Ε Α τρίγωνον συστήσασθαι. συνεστάτω τοίνυν ἐπὶ τῆς Ε Α τρίγωνον τὸ Ε Α Ζ ὀρθὸν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, ὥστε ἴσην εἶναι τὴν μὲν Ε Α τῇ ΑΖ, τὴν δὲ Θ τῇ Ζ Ε· καὶ ἤχθω τῇ μὲν Ζ Ε παράλληλος ἡ ΑΚ, τῇ δὲ Ε Α ἡ Ζ Κ. νοείσθω κῶνος, οὗ κορυφὴ τὸ Ζ σημεῖον, βάσις δὲ ὁ περὶ διάμετρον τὴν Κ Α κύκλος, ὀρθὸς ὢν πρὸς τὸ διὰ τῶν Α Ζ Κ ἐπίπεδον· ἔσται δὴ ὀρθὸς ὁ κῶνος, ἴση γὰρ ἡ Α Ζ τῇ Ζ Κ. τετμήσθω δὲ ὁ κῶνος ἐπιπέδῳ παραλλήλῳ τῷ Κ Α κύκλῳ, καὶ ποιείτω τομὴν τὸν Μ Ν Ξ κύκλον, ὀρθὸν δηλονότι πρὸς τὸ διὰ τῶν Μ Ζ Ν ἐπίπεδον, καὶ ἔστω τοῦ Μ Ν Ξ κύκλου καὶ τοῦ Μ Ζ Ν τριγώνου κοινὴ τομὴ ἡ Μ Ν· διάμετρος ἄρα ἐστὶ τοῦ κύκλου. ἔστω δὲ τοῦ ὑποκειμένου ἐπιπέδου καὶ τοῦ κύκλου κοινὴ τομὴ ἡ Ξ Λ. ἐπεὶ οὖν ὁ Μ Ν Ξ κύκλος ὀρθός ἐστι πρὸς τὸ Μ Ζ Ν τρίγωνον, ὀρθὸν δὲ καὶ τὸ ὑποκείμενον ἐπίπεδον πρὸς τὸ Μ Ζ Ν τρίγωνον· ἡ κοινὴ ἄρα αὐτῶν τομὴ ἡ Ξ Λ ὀρθή ἐστι πρὸς τὸ Μ Ζ Ν τρίγωνον, τουτέστι τὸ Κ Ζ Α· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας, καὶ οὔσας ἐν τῷ τριγώνῳ, ὀρθή ἐστιν· ὥστε καὶ πρὸς ἑκατέραν τῶν Μ Ν, Α Β. πάλιν ἐπεὶ κῶνος, οὗ βάσις μὲν ὁ Μ Ν Ξ κύκλος, κορυφὴ δὲ τὸ Ζ σημεῖον, τέτμηται ἐπιπέδῳ ὀρθῷ πρὸς τὸ Μ Ζ Ν τρίγωνον, καὶ ποιεῖ τομὴν τὸν Μ Ν Ξ κύκλον, τέτμηται δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τῷ ὑποκειμένῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν τὴν Ξ Λ πρὸς ὀρθὰς οὖσαν τῇ Μ Ν, ἡ κοινή ἐστι τομὴ τοῦ τε Μ Ν Ξ κύκλου καὶ τοῦ Μ Ζ Ν τριγώνου· ἡ δὲ κοινὴ τομὴ τοῦ ὑποκειμένου ἐπιπέδου καὶ τοῦ Μ Ζ Ν τριγώνου ἡ Α Β παράλληλός ἐστι τῇ Ζ Κ Μ πλευρᾷ τοῦ κώνου· ἡ ἄρα γινομένη ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ τομὴ τοῦ κώνου παραβολή ἐστι, διάμετρος δὲ αὐτῆς ἡ Α Β, αἱ δὲ καταγόμεναι

γόμεναι ἀπὸ τῆς τομῆς ἐπὶ τὴν ΑΒ τεταγμένως, ἐν ὀρθῇ καταχθήσονται γωνίᾳ, παράλληλοι γάρ εἰσι τῇ ΖΛ πρὸς ὀρθὰς οὔσῃ τῇ ΑΒ. καὶ ἐπεὶ αἱ τρεῖς ἀνάλογόν εἰσιν, αἱ ΓΔ, Θ, ΕΑ, ἴση δὲ ἡ μὲν ΕΑ τῇ ΑΖ καὶ τῇ ΖΚ, ἡ δὲ Θ τῇ ΕΖ καὶ τῇ ΑΚ· ἔστιν ἄρα ὡς ἡ ΓΔ πρὸς ΑΚ οὕτως ἡ ΑΚ πρὸς ΑΖ· καὶ ὡς ἄρα ἡ ΓΔ πρὸς ΑΖ οὕτως τὸ ἀπὸ ΑΚ πρὸς τὸ ἀπὸ ΑΖ, τουτέστι τὸ ὑπὸ ΑΖΚ· ὀρθία ἄρα ἐστὶν ἡ ΓΔ τῆς τομῆς, τοῦτο γὰρ δέδεικται ἐν τῷ ἑνδεκάτῳ θεωρήματι.

ΤΩΝ αὐτῶν ὑποκειμένων, μὴ ἔστω ἡ δοθεῖσα γωνία ὀρθή, καὶ κείσθω αὐτῇ ἴση ἡ ὑπὸ ΘΑΕ, καὶ τῆς ΓΔ ἔστω ἡμίσεια ΑΘ, καὶ ἀπὸ τοῦ Θ ἐπὶ τὴν ΑΕ κάθετος ἤχθω ἡ ΘΕ, καὶ διὰ τοῦ Ε τῇ ΒΘ παράλληλος ἡ ΕΛ, καὶ ἀπὸ τοῦ Α ἐπὶ τὴν ΕΛ κάθετος ἤχθω ἡ ΑΛ, καὶ τετμήσθω ἡ ΕΛ δίχα κατὰ τὸ Κ, καὶ ἀπὸ τοῦ Κ τῇ ΕΛ πρὸς ὀρθὰς ἤχθω ἡ ΚΜ, καὶ ἐκβεβλήσθω ἐπὶ τὰ Ζ, Η, καὶ τῷ ἀπὸ τῆς ΑΛ ἴσον ἔστω τὸ ὑπὸ ΛΚΜ, καὶ δύο δοθεισῶν εὐθειῶν τῆς ΛΚ, ΚΜ, τῆς μὲν ΚΛ θέσει πεπερασμένης κατὰ τὸ Κ, τῆς δὲ ΚΜ μεγέθει, καὶ γωνίας ὀρθῆς, γεγράφθω παραβολή, ἧς διάμετρος ἡ ΚΛ, κορυφὴ δὲ τὸ Κ, ὀρθία δὲ ἡ ΚΜ, ὡς προδέδεικται· ἥξει δὲ διὰ τοῦ Α, διὰ τὸ ἴσον εἶναι τὸ ἀπὸ ΑΛ τῷ ὑπὸ ΛΚΜ, καὶ ἐφάψεται τῆς τομῆς ἡ ΕΑ, διὰ τὸ ἴσην εἶναι τὴν ΕΚ τῇ ΚΛ, καὶ ἔστιν ἡ ΘΑ τῇ ΕΚΛ παράλληλος· ἡ ΘΑΒ ἄρα διάμετρός ἐστι τῆς τομῆς, καὶ αἱ ἐπ' αὐτὴν ἀπὸ τῆς τομῆς καταγόμεναι παράλληλοι τῇ ΑΕ δίχα τμηθήσονται ὑπὸ τῆς ΑΒ, καταχθήσονται δὲ ἐν γωνίᾳ τῇ ὑπὸ ΘΑΕ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΕΘ γωνία τῇ ὑπὸ ΑΗΖ, κοινὴ δὲ ἡ πρὸς τὸ Α· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΘΕ τρίγωνον τῷ ΑΗΖ· ὡς ἄρα ἡ ΘΑ πρὸς ΕΑ οὕτως ἡ ΖΑ πρὸς ΑΗ· ὡς ἄρα ἡ διπλασία τῆς ΑΘ πρὸς τὴν διπλασίαν τῆς ΑΕ οὕτως ἡ ΖΑ πρὸς ΑΗ. ἡ δὲ ΓΔ τῆς ΘΑ διπλῆ· ὡς ἄρα ἡ ΖΑ πρὸς ΑΗ οὕτως ἡ ΓΔ πρὸς τὴν διπλασίαν τῆς ΑΕ, διὰ δὴ τὰ δεδειγμένα ἐν τῷ τεσσαρακοστῷ ἐννάτῳ θεωρήματι ὀρθία ἐστὶν ἡ ΓΔ.

ad ipsam AB ordinatim ductæ, in recto angulo applicabuntur; parallelæ enim sunt rectæ ZΛ quæ est ad AB perpendicularis. & quoniam tres rectæ ΓΔ, Θ, EA proportionales sunt; æqualis autem [per 33. 1.] EA ipsi AZ & ipsi ZK, atque Θ æqualis EZ & AK: erit ut ΓΔ ad AK ita AK ad AZ: quare [per cor. 20. 6.] ut ΓΔ ad AZ ita quadratum ex AK ad quadratum ex AZ, hoc est ad id quod sub AZK continetur: ergo rectum sectionis latus est ΓΔ; illud enim in undecimo theoremate demonstratum fuit.

IISDEM positis, non sit datus angulus rectus; ponaturque illi æqualis ΘAE angulus; & [per 2. & 10. 1.] sit AΘ dimidia ipsius ΓΔ; à Θ vero [per 12. 1.] ducatur ΘE ad AE perpendicularis, perque E [per 31. 1.] ipsi BΘ parallela ducatur EΛ, & ab A ad EΛ perpendicularis AΛ: deinde [per 10. 1.] secta EΛ bifariam in K, ab ipso K ducatur KM [per 11. 1.] ad rectos angulos ipsi EΛ; & ad puncta Z, H producatur; & [ope 11. 6.] quadrato ex AΛ æquale sit rectangulum ΛKM, atque duabus rectis lineis ΛK, KM datis, ΛK quidem positione & ad K terminata, KM vero magnitudine; &, dato angulo recto, describatur parabola, ut superius dictum est, cujus diameter KΛ, vertex K, & rectum latus KM: transibit autem ea per A [per 11. huj.] propterea quod quadratum ex AΛ rectangulo ΛKM est æquale; & [per 33. huj.] linea EA sectionem continget, quoniam KΛ æqualis est EK, & ΘA est parallela ipsi EKΛ: ergo [per 46. huj.] ΘAB diameter erit sectionis; & à sectione ad eam applicatæ ipsi AE parallelæ bifariam dividentur à linea AB; & [per 29. 1.] in angulo ΘAE applicabuntur. quoniam igitur angulus AEΘ æqualis est angulo AHZ, & communis qui ad A; triangulum AΘE simile est [per 4. 6.] AHZ triangulo: ut ergo ΘA ad EA ita ZA ad AH; & ideo ut dupla AΘ ad duplam AE ita ZA ad AH. sed cum ΓΔ sit dupla ipsius ΘA, erit ut ZA ad AH ita ΓΔ ad duplam ipsius AE: quare, per ea quæ in theoremate quadragesimo nono ostensa sunt, erit ΓΔ rectum sectionis latus.



ΠΡΟΤΑΣΙΣ νγ'.

Δύο δοθεισῶν εὐθειῶν πεπερασμένων πρὸς ὀρθὰς ἀλλήλαις, τῆς ἑτέρας ἐκβαλλομένης ἐπὶ ταὐτὰ τῇ ὀρθῇ γωνίᾳ· εὑρεῖν ἐπὶ τῆς προσεκβληθείσης κώνου τομὴν τὴν καλουμένην ὑπερβολὴν ἐν τῷ αὐτῷ ἐπιπέδῳ ταῖς εὐθείαις, ὅπως ἡ μὲν προσεκβληθεῖσα διάμετρος ᾖ τῆς τομῆς, κορυφὴ δὲ τὸ πρὸς τῇ γωνίᾳ σημεῖον, ἥτις δὲ ἂν καταχθῇ ἀπὸ τῆς τομῆς ἐπὶ τὴν διάμετρον, γωνίαν ποιοῦσα ἴσην τῇ δοθείσῃ, δυνήσεται παρακείμενον

PROP. LIII. *Probl.*

Datis duabus rectis terminatis quæ ad rectos inter se angulos constituantur, & altera producta ad easdem partes ad quas angulus rectus: invenire in recta producta coni sectionem quæ hyperbola dicitur, in eodem plano in quo sunt datæ rectæ, ita ut producta diameter sectionis sit, & vertex punctum quod ad angulum consistit; quæ vero à sectione ad diametrum applicatur, angulum faciens æqualem dato, possit ctangulum quod adjaceat alteri rectæ, latitudinem habens rectam interjectam inter applicatam & verticem sectionis, excedens vero figura simili & similiter posita ei quæ datis à principio rectis continetur.

SINT datæ rectæ terminatæ AB, BΓ ad rectos inter se angulos, & producatur AB ad Δ: oportet igitur in plano, quod per ABΓ transit, invenire hyperbolam; ita ut ejus diameter sit ABΔ, vertex B punctum, & rectum figuræ latus BΓ; quæ vero à sectione ad BΔ in dato angulo applicentur, possint rectangula adjacentia ipsi BΓ, quæ latitudines habeant lineas interjectas inter ipsas & punctum B, excedantque figura simili & similiter posita ei quæ sub rectis AB, BΓ continetur.

Sit datus angulus primum rectus, ª & super AB planum erigatur [ope 12. 11.] rectum ad subjectum planum, in quo circa AB circulus describatur AEBZ; ita ut pars diametri circuli, quæ in portione AEB comprehenditur ad partem comprehensam in portione AZB non majorem rationem habeat quam AB ad BΓ; & [per 30.3.] secetur AEB circumferentia bifariam in E; ducaturque [per 10. 1.] à puncto E ad AB perpendicularis EK, quæ ad Λ producatur: ergo EΛ diameter est circuli. quod si ut AB ad BΓ ita fuerit EK ad KΛ, usi essemus puncto Λ: sin minus, fiat [per 12.6.] ut AB ad BΓ ita EK ad minorem ipsâ KΛ, quæ sit KM; & per M [per 31. 1.] ducatur MZ parallela ipsi AB; junctisque AZ, EZ, ZB, per B ducatur BΞ ipsi ZE parallela. itaque quoniam angulus AZE æqualis est [per 27. 3.] angulo EZB; angulus autem AZE [per 29. 1.] angulo AΞB, & EZB ipsi ΞBZ: erit & ΞBZ ipsi ZΞB æqualis; quare [per 6. 1.] & ZB æqualis ipsi ZΞ. intelligatur conus cujus vertex Z, & basis circulus circa diametrum BΞ, rectus ad ZBΞ triangulum: erit itaque is conus rectus, quia ZB æqualis est ZΞ. producantur ZB, ZΞ, MZ; & secetur conus plano, quod circulo BΞ æquidistet; erit igitur [per 4. huj.] ea sectio circulus, qui sit HΠΘP, cujus circuli diameter est HΘ. communis autem sectio circuli HΘ & subjecti plani sit ΠΔP: erit igitur ΠΔP ad utramque ipsarum HΘ, ΔB perpendicularis: (uterque enim circulorum ΞB, ΘH rectus est ad triangulum ZHΘ; sed & subjectum planum ad ZHΘ rectum est: ergo [per 19. 11.] communis ipsorum sectio ΠΔP erit & ad ZHΘ perpendicularis, ac proinde ad omnes rectas,

*



ὀρθογώνιον παρὰ τὴν ἑτέραν εὐθεῖαν, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπὸ τῆς κατηγμένης πρὸς τῇ κορυφῇ, ὑπερβάλλον εἴδει ὁμοίῳ καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν ἐξ ἀρχῆς εὐθειῶν.

ΕΣΤΩΣΑΝ αἱ δοθεῖσαι δύο εὐθεῖαι πεπερασμέναι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΑΒ, ΒΓ, καὶ ἐκβεβλήσθω ἡ ΑΒ ἐπὶ τὸ Δ· δεῖ δὴ εὑρεῖν ἐν τῷ διὰ τῶν ΑΒΓ ἐπιπέδῳ ὑπερβολήν, ἧς διάμετρος μὲν ἔσται ἡ ΑΒΔ, κορυφὴ δὲ τὸ Β, ὀρθία δὲ ἡ ΒΓ, αἱ δὲ καταγόμεναι ἀπὸ τῆς τομῆς ἐπὶ τὴν ΒΔ ἐν τῇ δοθείσῃ γωνίᾳ δυνήσονται τὰ παρὰ τὴν ΒΓ παρακείμενα, πλάτη ἔχοντα τὰς ἀπολαμβανομένας ὑπ' αὐτῶν πρὸς τῷ Β, ὑπερβάλλοντα εἴδει ὁμοίῳ καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν ΑΒ, ΒΓ.

Ἔστω ἡ δοθεῖσα γωνία πρότερον ὀρθή, ª καὶ ἀνεστάτω ἀπὸ τῆς ΑΒ ἐπίπεδον ὀρθὸν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ ἐν αὐτῷ περὶ τὴν ΑΒ κύκλος γεγράφθω ὁ ΑΕΒΖ, ὥστε τὸ τμῆμα τῆς διαμέτρου τοῦ κύκλου, τὸ ἐν τῷ ΑΕΒ τμήματι, πρὸς τὸ τμῆμα τῆς διαμέτρου, τὸ ἐν τῷ ΑΖΒ, μὴ μείζονα λόγον ἔχειν τοῦ ὃν ἔχει ἡ ΑΒ πρὸς ΒΓ· καὶ τετμήσθω ἡ ΑΕΒ δίχα κατὰ τὸ Ε, καὶ ἤχθω ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΒ κάθετος ἡ ΕΚ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Λ· διάμετρος ἄρα ἐστὶν ἡ ΕΛ. εἰ μὲν οὖν ἐστιν ὡς ἡ ΑΒ πρὸς ΒΓ οὕτως ἡ ΕΚ πρὸς ΚΛ, τῷ Λ ἂν ἐχρησάμεθα· εἰ δὲ μή, γενέσθω ὡς ἡ ΑΒ πρὸς ΒΓ οὕτως ἡ ΕΚ πρὸς ἐλάσσονα τῆς ΚΛ τὴν ΚΜ, καὶ διὰ τοῦ Μ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΜΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΕΖ, ΖΒ, καὶ διὰ τοῦ Β τῇ ΖΕ παράλληλος ἡ ΒΞ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΑΖΕ γωνία τῇ ὑπὸ ΕΖΒ, ἀλλ' ἡ μὲν ὑπὸ ΑΖΕ τῇ ὑπὸ ΑΞΒ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΕΖΒ τῇ ΞΒΖ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΞΒΖ ἄρα τῇ ὑπὸ ΖΞΒ ἐστιν ἴση· καὶ ἄρα ἡ ΖΒ τῇ ΖΞ. νενοήσθω κῶνος, οὗ κορυφὴ μὲν τὸ Ζ σημεῖον, βάσις δὲ ὁ περὶ τὴν ΒΞ διάμετρον κύκλος, ὀρθὸς ὢν πρὸς τὸ ΒΖΞ τρίγωνον· ἔσται δὴ ὁ κῶνος ὀρθός, ἴση γὰρ ἡ ΖΒ τῇ ΖΞ. ἐκβεβλήσθωσαν δὲ αἱ ΖΒ, ΖΞ, ΜΖ, καὶ τετμήσθω ὁ κῶνος ἐπιπέδῳ παραλλήλῳ τῷ ΒΞ κύκλῳ· ἔσται δὴ ἡ τομὴ κύκλος. ἔστω ὁ ΗΠΘΡ· ὥστε διάμετρός ἐστι τοῦ κύκλου ἡ ΗΘ· κοινὴ δὲ τομὴ τοῦ ΗΘ κύκλου καὶ τοῦ ὑποκειμένου ἐπιπέδου ἔστω ἡ ΠΔΡ· ἔσται δὴ ἡ ΠΔΡ πρὸς ἑκατέραν τῶν ΗΘ, ΑΒΔ ὀρθή· (ἑκάτερος γὰρ τῶν ΞΒ, ΘΗ κύκλος ὀρθός ἐστι πρὸς τὸ ΖΗΘ τρίγωνον, ἔστι δὲ καὶ τὸ ὑποκείμενον ἐπίπεδον ὀρθὸν πρὸς τὸ ΖΗΘ· καὶ ἡ κοινὴ ἄρα αὐτῶν τομὴ ἡ ΠΔΡ ὀρθή ἐστι πρὸς τὸ ΖΗΘ, καὶ πρὸς πάσας

ἄρα

ἄρα ταῖς ἀπτομέναις αὐτῆς εὐθείαις, καὶ οὔσαις ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ὀρθὰς ποιεῖ γωνίας· τέτμηται ἄρα ἐπιπέδῳ ὀρθῷ πρὸς τὸ ΖΗΘ τρίγωνον, καὶ ποιεῖ τομὴν τὸν ΗΠΘΡ κύκλον.) καὶ ἐπεὶ κῶνος, οὗ βάσις μὲν ὁ ΗΘ κύκλος, κορυφὴ δὲ τὸ Ζ, τέτμηται καὶ ἑτέρῳ ἐπιπέδῳ τῷ ὑποκειμένῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν τὴν ΠΔΡ πρὸς ὀρθὰς τῇ ΗΔΘ, ἡ δὲ κοινὴ τομὴ τοῦ τε ὑποκειμένου ἐπιπέδου καὶ τοῦ ΗΖΘ, τουτέστιν ἡ ΔΒ, ἐκβαλλομένη ἐπὶ τὸ Β συμπίπτει τῇ ΗΖ κατὰ τὸ Α· ὑπερβολὴ ἄρα ἐστὶν, διὰ τὰ προδεδειγμένα, ἡ τομὴ ἡ ΠΒΡ, ἧς κορυφὴ μὲν ἔσται τὸ Β σημεῖον, αἱ δὲ καταγόμεναι ἐπὶ τὴν ΒΔ τεταγμένως ἐν ὀρθῇ γωνίᾳ καταχθήσονται), παράλληλοι γάρ εἰσι τῇ ΠΔΡ.

Καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒ πρὸς ΒΓ οὕτως ἡ ΕΚ πρὸς ΚΜ, ὡς δὲ ἡ ΕΚ πρὸς ΚΜ οὕτως ἡ ΕΝ πρὸς ΝΖ, τουτέστι τὸ ὑπὸ ΕΝΖ πρὸς τὸ ἀπὸ ΝΖ· ὡς ἄρα ἡ ΑΒ πρὸς ΒΓ οὕτως τὸ ὑπὸ ΕΝΖ πρὸς τὸ ἀπὸ ΝΖ. ἴσον δὲ τὸ ὑπὸ ΕΝΖ τῷ ὑπὸ ΑΝΒ· ὡς ἄρα ἡ ΑΒ πρὸς ΓΒ οὕτως τὸ ὑπὸ ΑΝΒ πρὸς τὸ ἀπὸ ΝΖ. τὸ δὲ ὑπὸ ΑΝΒ πρὸς τὸ ἀπὸ ΝΖ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ τῆς ΑΝ πρὸς ΝΖ καὶ τῆς ΒΝ πρὸς ΝΖ· ἀλλ' ὡς μὲν ἡ ΑΝ πρὸς ΝΖ οὕτως ἡ ΑΔ πρὸς ΔΗ καὶ ἡ ΖΟ πρὸς ΟΗ, ὡς δὲ ἡ ΒΝ πρὸς ΝΖ οὕτως ἡ ΖΟ πρὸς ΟΘ· ἡ ἄρα ΑΒ πρὸς ΒΓ τὸν συγκείμενον ἔχει λόγον, ἐκ τοῦ ὃν ἔχει ἡ ΖΟ πρὸς ΟΗ καὶ ἡ ΖΟ πρὸς ΟΘ, τουτέστι τὸ ἀπὸ ΖΟ πρὸς τὸ ὑπὸ ΗΟΘ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς ΒΓ οὕτως τὸ ἀπὸ ΖΟ πρὸς τὸ ὑπὸ ΗΟΘ. καὶ ἔστι παράλληλος ἡ ΖΟ τῇ ΑΔ· πλαγία ἄρα πλευρά ἐστιν ἡ ΑΒ, ὀρθία δὲ ἡ ΒΓ· ταῦτα γὰρ ἐν τῷ δωδεκάτῳ θεωρήματι δέδεικται).

ΜΗ ἔστω δὴ ἡ δεδομένη γωνία ὀρθὴ, καὶ ἔστωσαν αἱ δοθεῖσαι εὐθεῖαι ἡ ΑΒ, ΑΓ, ἡ δὲ δοθεῖσα γωνία ἔστω ἴση τῇ ὑπὸ τῶν ΒΑΘ· δεῖ δὴ γράψαι ὑπερβολὴν, ἧς διάμετρος μὲν ἔσται ἡ ΑΒ, ὀρθία δὲ ἡ ΑΓ, αἱ δὲ καταγόμεναι ἐν τῇ ὑπὸ ΘΑΒ γωνίᾳ τεταγμένως καταχθήσονται).

Τετμήσθω ἡ ΑΒ δίχα κατὰ τὸ Δ, [b] καὶ ἐπὶ τῆς ΑΔ γεγράφθω ἡμικύκλιον τὸ ΑΖΔ, καὶ ἤχθω εἰς τὸ ἡμικύκλιον παράλληλος τῇ ΑΘ ἡ ΖΗ, ποιοῦσα τὸν τοῦ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΔΗΑ λόγον τὸν αὐτὸν τῷ τῆς ΑΓ πρὸς ΑΒ, καὶ ἐπεζεύχθω ἡ ΖΘΔ καὶ ἐκβεβλήσθω, καὶ τῶν ΖΔ, ΔΘ μέση ἀνάλογον ἔστω ἡ ΔΛ, καὶ κείσθω τῇ ΛΔ ἴση ἡ ΔΚ, τὸ δὲ ἀπὸ τῆς ΑΖ ἴσον ἔστω τῷ ὑπὸ ΛΖΜ, καὶ ἐπεζεύχθω ἡ ΚΜ, καὶ διὰ τοῦ Λ πρὸς ὀρθὰς ἤχθω τῇ ΚΖ ἡ ΛΝ, καὶ ἐκβεβλήσθω ἐπὶ τὰ Ο, Ξ· καὶ δύο δοθεισῶν εὐθειῶν

quæ ipsam contingunt atque in eodem plano consistunt, rectos facit angulos; secatur igitur plano triangulo ΖΗΘ recto, sectionemque facit circulum ΗΠΘΡ.) quoniam vero conus, cujus basis est circulus ΗΘ & vertex Ζ, secatur plano subjecto secante basim coni secundum rectam lineam ΠΔΡ perpendicularem ad ΗΔΘ: & communis sectio subjecti plani & trianguli ΗΖΘ, videlicet ΔΒ, producta ad partes Β convenit cum ΗΖ in puncto Α: erit ex iis, quæ [ad 12. huj.] demonstrata sunt, sectio ΠΒΡ hyperbola, cujus vertex Β, & ordinatim ductæ ad diametrum ΒΔ in recto angulo applicabuntur; parallelæ etenim sunt ipsi ΠΔΡ.

Quoniam autem ut ΑΒ ad ΒΓ ita [per constr.] est ΕΚ ad ΚΜ; & [per 2. 6.] ut ΕΚ ad ΚΜ ita ΕΝ ad ΝΖ, hoc est [per 1.6.] rectangulum ΕΝΖ ad quadratum ex ΝΖ: erit ut ΑΒ ad ΒΓ ita ΕΝΖ rectangulum ad quadratum ex ΝΖ. sed [per 35. 3.] ΕΝΖ rectangulum æquale est rectangulo ΑΝΒ: ergo ut ΑΒ ad ΓΒ ita rectangulum ΑΝΒ ad quadratum ex ΝΖ. rectangulum autem ΑΝΒ ad quadratum ex ΝΖ rationem habet compositam ex ratione ΑΝ ad ΝΖ & ex ratione ΒΝ ad ΝΖ; sed [per 4. 6.] ut ΑΝ ad ΝΖ, ita ΑΔ ad ΔΗ ut & ΖΟ ad ΟΗ; & ut ΒΝ ad ΝΖ ita ΖΟ ad ΟΘ: quare ΑΒ ad ΒΓ rationem compositam habet ex ratione ΖΟ ad ΟΗ & ex ratione ΖΟ ad ΟΘ; hoc est [per 23. 6.] ex ratione quadrati ex ΖΟ ad rectangulum ΗΟΘ: est igitur ut ΑΒ ad ΒΓ ita quadratum ex ΖΟ ad ΗΟΘ rectangulum. atque [per constr.] est ΖΟ parallela ipsi ΑΔ: sequitur ergo ΑΒ esse transversum figuræ latus & ΒΓ rectum; etenim hæc in duodecimo theoremate ostensa sunt.

Non sit autem datus angulus rectus, sintque rectæ datæ ΑΒ, ΑΓ; & datus angulus æqualis sit angulo ΒΑΘ: oportet igitur describere hyperbolam, ita ut ejus diameter sit ΑΒ, & rectum latus ΑΓ, ductæ vero ordinatim ad diametrum in angulo ΘΑΒ applicentur.



Secetur [per 10. 1.] ΑΒ bifariam in Δ: & [b] super ΑΔ describatur semicirculus ΑΖΔ, & ducatur quædam recta ΖΗ ad semicirculum parallela ipsi ΑΘ; ita ut fiat ratio quadrati ex ΖΗ ad rectangulum ΔΗΑ eadem quam habet recta ΑΓ ad rectam ΑΒ; & juncta ΖΘΔ producatur; inter ipsas autem ΖΔ, ΔΘ media proportionalis sit [per 13. 6.] recta ΔΛ, ponaturque ipsi ΛΔ æqualis ΔΚ; & [ope 11.6.] quadrato ex ΑΖ æquale fiat rectangulum ΛΖΜ, & jungatur ΚΜ; deinde per Λ ad rectos angulos ipsi ΚΖ ducatur ΛΝ ad quæ Ο, Ξ producatur: datis autem duabus rectis

rectis terminatis ΚΛ, ΛΝ, ad rectos inter se angulos, describatur [ex superius ostensis] hyperbola, cujus transversum quidem latus sit ΚΛ, rectum vero ΛΝ; & à sectione ad diametrum ductæ in recto angulo applicentur, & possint rectangula adjacentia lineæ ΛΝ, quæ latitudines habeant interjectas inter ipsas & punctum Λ, excedantque figura simili ipsi ΚΛΝ: transibit igitur sectio per Α, cum [ex hyp.] quadratum ex ΑΖ æquale sit rectangulo ΛΖΜ; & linea ΑΘ [per 37. huj.] sectionem continget, rectangulum enim ΖΔΘ quadrato ex ΔΛ est æquale: ac propterea ΑΒ diameter est sectionis. quoniam vero [ex constr.] ut ΓΑ ad duplam ΑΔ, hoc est ad ΑΒ, ita quadratum ex ΖΗ ad rectangulum ΔΗΑ; & ΓΑ ad duplam ΑΔ compositam rationem habet ex ratione ΓΑ ad duplam ΑΘ & ex ratione duplæ ΑΘ ad duplam ΔΑ, hoc est ex ratione ΑΘ ad ΔΑ sive [per 4. 6.] ΖΗ ad ΗΔ: habebit ΓΑ ad ΑΒ rationem compositam ex ratione ΓΑ ad duplam ΑΘ & ex ratione ΖΗ ad ΗΔ. habet autem & quadratum ex ΖΗ ad rectangulum ΔΗΑ rationem compositam ex ratione ΖΗ ad ΗΔ & ex ratione ΖΗ ad ΗΑ: ratio igitur composita ex ratione ΓΑ ad duplam ΑΘ & ex ratione ΖΗ ad ΗΔ, eadem est ac ratio composita ex ratione ΖΗ ad ΗΔ & ex ratione ΖΗ ad ΗΑ. communis auferatur ratio ΖΗ ad ΗΔ: ergo ut ΓΑ ad duplam ΑΘ ita ΖΗ ad ΗΑ, & [per 4. 6.] ut ΖΗ ad ΗΑ ita ΟΑ ad ΑΞ: ut igitur ΓΑ ad duplam ΑΘ ita ΟΑ ad ΑΞ. quod cum ita sit, erit ΑΓ ea juxta quam possunt quæ à sectione ducuntur: hoc enim in quinquagesimo theoremate demonstratum est.



πεπερασμένων, πρὸς ὀρθὰς τε ἀλλήλαις, τῆς ΚΛ, ΛΝ, γεγράφθω ὑπερβολή, ἧς πλαγία πλευρὰ ἔστω ἡ ΚΛ, ὀρθία δὲ ἡ ΛΝ, αἱ δὲ καταγόμεναι ἐπὶ τὴν διάμετρον ἀπὸ τῆς τομῆς ἐν ὀρθῇ γωνίᾳ κατηχθήσονται, καὶ δυνήσονται τὰ παρὰ τὴν ΛΝ παρακείμενα ὀρθογώνια, πλάτη ἔχοντα τὰς ἀπολαμβανομένας ὑπ' αὐτῶν πρὸς τὸ Λ, ὑπερβάλλοντα εἴδει ὁμοίῳ τῷ ὑπὸ ΚΛΝ· ἥξει δὴ ἡ τομὴ διὰ τοῦ Α, ἴσον γάρ ἐστι τὸ ἀπὸ ΑΖ τῷ ὑπὸ ΛΖΜ, καὶ ἐφάψεται αὐτῆς ἡ ΑΘ, τὸ γὰρ ὑπὸ ΖΔΘ ἴσον ἐστὶ τῷ ἀπὸ ΔΛ· ὥστε ἡ ΑΒ διάμετρός ἐστι τῆς τομῆς. καὶ ἐπεί ἐστιν ὡς ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΔ, τουτέστι τὴν ΑΒ, οὕτως τὸ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΔΗΑ· ἀλλ' ἡ μὲν ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΔ τὸν συγκείμενον ἔχει λόγον, ἐκ τοῦ ὃν ἔχει ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ διπλασία τῆς ΑΘ πρὸς τὴν διπλασίαν τῆς ΔΑ, τουτέστιν ἡ ΑΘ πρὸς ΔΑ, τουτέστιν ἡ ΖΗ πρὸς ΗΔ· ἡ ΓΑ ἄρα πρὸς ΑΒ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ τῆς ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ καὶ τοῦ τῆς ΖΗ πρὸς ΗΔ. ἔχει δὲ καὶ τὸ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΔΗΑ τὸν συγκείμενον λόγον, ἐκ τοῦ ὃν ἔχει ἡ ΖΗ πρὸς ΗΔ καὶ ἡ ΖΗ πρὸς ΗΑ· ὁ ἄρα συγκείμενος λόγος, ἔκ τε τοῦ τῆς ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ καὶ τοῦ τῆς ΖΗ πρὸς ΗΔ, ὁ αὐτός ἐστι τῷ συγκειμένῳ, ἔκ τε τοῦ τῆς ΖΗ πρὸς ΗΑ καὶ τοῦ τῆς ΖΗ πρὸς ΗΔ. κοινὸς ἀφῃρήσθω ὁ τῆς ΖΗ πρὸς ΗΔ λόγος· ἔστιν ἄρα ὡς ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ οὕτως ἡ ΖΗ πρὸς ΗΑ. ὡς δὲ ἡ ΖΗ πρὸς ΗΑ οὕτως ἡ ΟΑ πρὸς ΑΞ· ὡς ἄρα ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ οὕτως ἡ ΟΑ πρὸς ΑΞ. ὅταν δὲ τοῦτο ᾖ, παρ' ἣν δύνανται ἔσται ἡ ΑΓ· τοῦτο γὰρ δέδεικται ἐν τῷ ν΄. θεωρήματι.

EUTOCIUS.

[a] Et super ΑΒ planum erigatur, rectum ad subjectum planum, in quo circa ΑΒ describatur circulus ΑΕΒΖ, ita ut pars diametri circuli, quæ in portione ΑΕΒ comprehenditur, ad partem comprehensam in portione ΑΖΒ non majorem rationem habeat quam ΑΒ ad ΒΓ.] Sint duæ rectæ lineæ ΑΒ, ΒΓ, & oporteat circa ΑΒ circulum describere, cujus diameter à linea ΑΒ ita dividatur, ut pars ipsius, quæ est ad Γ, ad reliquam partem non majorem rationem habeat, quam ΑΒ ad ΒΓ. ponatur jam eandem habere; seceturque ΑΒ bifariam in Δ, & per Δ ad rectos angulos ipsi ΑΒ ducatur ΕΔΖ, & fiat ut ΑΒ ad ΒΓ ita ΕΔ ad ΔΖ; atque ΕΖ bifariam secetur: constat ergo, si



[a] Καὶ ἀνεστάτω ἀπὸ τῆς ΑΒ ἐπίπεδον ὀρθὸν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ ἐν αὐτῷ περὶ τὴν ΑΒ γεγράφθω κύκλος ὁ ΑΕΒΖ, ὥστε τὸ τμῆμα τῆς διαμέτρου τοῦ κύκλου, τὸ ἐν τῷ ΑΕΒ τμήματι, πρὸς τὸ τμῆμα τῆς διαμέτρου τοῦ κύκλου, τὸ ἐν τῷ ΑΖΒ τμήματι, μὴ μείζονα λόγον ἔχειν ὃν ἔχει ἡ ΑΒ πρὸς ΒΓ.] Ἔστωσαν δύο εὐθεῖαι αἱ ΑΒ, ΒΓ, καὶ δέον ἔστω περὶ τὴν ΑΒ κύκλον γράψαι, ὥστε τὴν διάμετρον αὐτοῦ τέμνεσθαι ὑπὸ τῆς ΑΒ οὕτως ὥστε τὸ πρὸς τὸ Γ μέρος αὐτῆς πρὸς τὸ λοιπὸν μὴ μείζονα λόγον ἔχειν τοῦ τῆς ΑΒ πρὸς ΒΓ. ὑποκείσθω μὲν νῦν τὸν αὐτὸν ἔχειν, καὶ τετμήσθω ἡ ΑΒ δίχα κατὰ τὸ Δ, καὶ δι' αὐτοῦ Δ πρὸς ὀρθὰς τῇ ΑΒ ἤχθω ἡ ΕΔΖ, καὶ γεγονέτω ὡς ἡ ΑΒ πρὸς ΒΓ οὕτως ἡ ΕΔ πρὸς ΔΖ, καὶ δίχα τετμήσθω ἡ ΕΖ· δῆλον

λον δῆλον, ὅτι, εἰ μὲν ἡ ΑΒ τῇ ΒΓ ἐστὶν ἴση, καὶ ἡ ΕΗ τῇ ΔΖ, ἡ διχοτομία ἔσται τῆς ΕΖ τὸ Δ· εἰ δὲ ἡ ΑΒ τῆς ΒΓ μείζων καὶ ἡ ΕΔ τῆς ΔΖ, ἡ διχοτομία κατωτέρω ἐστὶ τοῦ Δ· εἰ δὲ ἡ ΑΒ τῆς ΒΓ ἐλάσσων, ἀνωτέρω. ἔστω νῦν τέως κατωτέρω ὡς τὸ Η, καὶ κέντρῳ τῷ Η, διαστήματι τῷ ΗΖ κύκλος γεγράφθω. δεῖ δὴ διὰ τῶν Α, Β σημείων ἥξειν, ἢ ἐξωτέρω, ἢ ἐσωτέρω. καὶ εἰ μὲν διὰ τῶν Α, Β σημείων ἔρχεται, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν. ὑπερπιπτέτω δὲ τὰ Α, Β, καὶ ἐκβληθεῖσα ἐφ' ἑκάτερα ἡ ΑΒ συμβαλλέτω τῇ περιφερείᾳ κατὰ τὰ Θ, Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΘ, ΘΕ, ΕΚ, ΚΖ, καὶ ἤχθω διὰ τοῦ Β τῇ μὲν ΖΚ παράλληλος ἡ ΜΒ, τῇ δὲ ΚΕ ἡ ΒΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΜΑ, ΑΛ· ἔσονται δὴ καὶ αὗται παράλληλοι ταῖς ΖΘ, ΘΕ, διὰ τὸ ἴσην εἶναι τὴν μὲν ΑΔ τῇ ΔΒ, τὴν δὲ ΔΘ τῇ ΔΚ, καὶ πρὸς ὀρθὰς εἶναι τὴν ΕΔΖ τῇ ΘΚ. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Κ γωνία, καὶ παράλληλοι αἱ ΜΒ, ΒΛ ταῖς ΖΚ, ΚΕ, ὀρθὴ ἄρα καὶ ἡ πρὸς τῷ Β, διὰ τὰ αὐτὰ δὴ καὶ ἡ πρὸς τῷ Α· ὥστε ὁ περὶ τὴν ΜΛ κύκλος γραφόμενος ἥξει διὰ τῶν Α, Β, γεγράφθω, ὡς ὁ ΜΑΛΒ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΜΒ τῇ ΖΚ, ἔστιν ὡς ἡ ΖΔ πρὸς ΔΜ οὕτως ἡ ΚΔ πρὸς ΔΒ, ὁμοίως δὲ καὶ ὡς ἡ ΚΔ πρὸς ΔΒ οὕτως ἡ ΕΔ πρὸς ΔΛ, καὶ ἐναλλὰξ ὡς ἡ ΕΔ πρὸς ΔΖ οὕτως ἡ ΛΔ πρὸς ΔΜ· ὡς ἄρα ἡ ΑΒ πρὸς ΒΓ οὕτως ἡ ΛΔ πρὸς ΔΜ. ὁμοίως δὲ καὶ εἰ ὁ γραφόμενος ὑπὸ τῆς ΖΕ κύκλος τέμνει τὴν ΑΒ, τὸ αὐτὸ δειχθήσεται.

[b] Καὶ ἐπὶ τῆς ΑΔ γεγράφθω ἡμικύκλιον τὸ ΑΖΔ, καὶ ἤχθω εἰς τὸ ἡμικύκλιον παράλληλος τῇ ΑΘ ἡ ΖΗ, ποιοῦσα τὸν τοῦ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΔΗΑ λόγον τὸν αὐτὸν τῷ τῆς ΓΑ πρὸς τὴν ΑΒ.] Ἔστω ἡμικύκλιον τὸ ΑΒΓ ἐπὶ διαμέτρου τῆς ΑΓ, ὁ δὲ δοθεὶς λόγος ὁ τῆς ΕΖ πρὸς ΖΗ, καὶ δέον ἔστω ποιῆσαι τὰ προκείμενα. κείσθω τῇ ΕΖ ἴση ἡ ΖΘ, καὶ τετμήσθω ἡ ΘΗ δίχα κατὰ τὸ Κ, καὶ ἤχθω ἐν τῷ ἡμικυκλίῳ τυχοῦσα εὐθεῖα ἡ ΓΒ ἐν γωνίᾳ τῇ ὑπὸ ΑΓΒ· καὶ ἀπὸ τοῦ Λ κέντρου ἤχθω ἐπ' αὐτὴν κάθετος, καὶ ἐκβληθεῖσα συμβαλλέτω τῇ περιφερείᾳ κατὰ τὸ Ν, καὶ διὰ τοῦ Ν τῇ ΓΒ παράλληλος ἤχθω ἡ ΝΜ· ἐφάψεται ἄρα τοῦ κύκλου. καὶ πεποιήσθω ὡς ἡ ΖΘ πρὸς ΘΚ οὕτως ἡ ΜΞ πρὸς ΝΞ, καὶ κείσθω τῇ ΝΞ ἴση ἡ ΝΟ, καὶ ἐπεζεύχθωσαν αἱ ΛΞ, ΛΟ τέμνουσαι τὸ ἡμικύκλιον κατὰ τὰ Ρ, Π, καὶ ἐπεζεύχθω ἡ ΠΡΔ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΝΞ τῇ ΝΟ, κοινὴ τε καὶ πρὸς ὀρθὰς ἡ ΝΛ· ἴση ἄρα καὶ ἡ ΛΟ τῇ ΛΞ. ἔστι δὲ καὶ ἡ ΛΠ ἴση τῇ ΛΡ· καὶ λοιπὴ ἄρα ἡ ΠΟ τῇ ΡΞ ἐστὶν ἴση· παράλληλος ἄρα ἐστὶν ἡ ΠΡΔ τῇ ΜΟ. καὶ ἔστιν ὡς ἡ ΖΘ πρὸς ΘΚ οὕτως ἡ ΜΞ πρὸς ΝΞ, ὡς δὲ ἡ ΘΚ πρὸς ΘΗ οὕτως ἡ ΝΞ πρὸς ΞΟ· δι' ἴσου ἄρα ὡς ἡ ΘΖ πρὸς ΘΗ οὕτως ἡ ΜΞ πρὸς ΞΟ. καὶ ἀνάπαλιν ὡς ἡ ΗΘ πρὸς ΘΖ οὕτως ἡ ΟΞ πρὸς ΞΜ· καὶ συνθέντι ὡς ἡ ΗΖ πρὸς ΖΘ, τουτέστι πρὸς ΖΕ, οὕτως ἡ ΟΜ πρὸς ΜΞ, τουτέστιν ἡ ΠΔ πρὸς ΔΡ. ὡς δὲ ἡ ΠΔ πρὸς ΔΡ οὕτως τὸ ὑπὸ ΠΔΡ πρὸς τὸ ἀπὸ ΔΡ. ἴσον δὲ τὸ ὑπὸ ΠΔΡ τῷ ὑπὸ ΑΔΓ· ὡς ἄρα ἡ ΗΖ πρὸς ΖΕ οὕτως τὸ ὑπὸ ΑΔΓ πρὸς τὸ ἀπὸ ΔΡ· ἀνάπαλιν ἄρα ὡς ἡ ΖΕ πρὸς ΖΗ οὕτως τὸ ἀπὸ ΔΡ πρὸς τὸ ὑπὸ ΑΔΓ.



quidem AB sit æqualis BΓ, & EΔ ipsi ΔZ æqualem esse, & ideo punctum Δ rectam EZ bifariam secare: si vero AB sit major BΓ & EΔ ipsâ ΔZ, punctum quod bifariam secat EZ infra Δ cadet: & si minor sit, cadet supra. jam cadat infra ut in H; & centro quidem H, intervallo autem HZ circulus describatur. necessarium autem est eum vel per puncta A, B transire, vel extra, vel intra. & si transeat per A, B, factum jam erit quod oportebat. verum cadat extra A, B, & producatur AB in utramque partem, ut conveniat cum circumferentia circuli in punctis Θ, K; junctisque ZΘ, ΘE, EK, KZ, ducatur per B linea MB parallela ZK, & BΛ parallela ipsi KE, & jungantur MA, AΛ: quæ ipsis ZΘ, ΘE parallelæ erunt, propterea quod æquales inter se sint AΔ, ΔB, itemque ΔΘ, ΔK, & EΔZ sit ad rectos angulos ipsi ΘK. quoniam igitur [per 31. 3.] angulus K rectus est, & MB, BΛ parallelæ ipsis ZK, KE; erit & qui ad B rectus, & eadem ratione qui ad A: quare circulus circa MΛ descriptus per puncta A, B transibit. describatur ille, sitque MAΛB. & quoniam MB parallela est ipsi ZK; erit [per 4. 6.] ut ZΔ ad ΔM ita KΔ ad ΔB, & similiter ut KΔ ad ΔB ita EΔ ad ΔΛ, & permutando ut EΔ ad ΔZ ita ΛΔ ad ΔM: ergo ut AB ad BΓ ita ΛΔ ad ΔM. quod si circulus circa ZE descriptus secet AB, idem nihilominus demonstrabitur.

[b] Et super AΔ describatur semicirculus AZΔ, & ducatur quædam recta ZH ad semicirculum parallela ipsi AΘ; faciens rationem quadrati ex ZH ad rectangulum ΔHA eandem quam habet ΓA ad AB.] Sit semicirculus ABΓ circa diametrum AΓ, data autem ratio sit EZ ad ZH, & oporteat facere ea quæ proposita sunt. ponatur ipsi EZ æqualis ZΘ, & ΘH in puncto K bifariam dividatur, ducaturque in semicirculo quæpiam recta ΓB in angulo AΓB, & à centro Λ ad ipsam perpendicularis ducatur, quæ producta occurrat circuli circumferentiæ in N, & per N ipsi ΓB parallela sit NM: ergo [per 16.3.] NM circulum continget. itaque fiat [per 10. 6.] ut ZΘ ad ΘK ita MΞ ad NΞ, & ipsi NΞ æqualis ponatur NO; jungantur autem ΛΞ, ΛO quæ semicirculum in punctis P, Π secent, & ducatur ΠPΔ. quoniam igitur NΞ æqualis est NO, communisque & ad rectos angulos NΛ; erit [per 4.1.] ΛO ipsi ΛΞ æqualis. sed ΛΠ est æqualis ΛP; ergo & reliqua ΠO reliquæ PΞ; & propterea [per 2.6.] ΠPΔ ipsi MO est parallela. est autem ut ZΘ ad ΘK ita MΞ ad ΞN, & ut ΘK ad ΘH ita NΞ ad ΞO; ex æquali igitur ut ΘZ ad ΘH ita MΞ ad ΞO, invertendoque ut HΘ ad ΘZ ita OΞ ad ΞM; & componendo erit ut HZ ad ZΘ, hoc est ad ZE, ita OM ad MΞ, hoc est ΠΔ ad ΔP. ut autem ΠΔ ad ΔP ita [per 1. 6.] rectangulum ΠΔP ad quadratum ex ΔP. sed [per 36. 3.] rectangulum ΠΔP æquale est rectangulo AΔΓ: ergo ut HZ ad ZE ita AΔΓ rectangulum ad quadratum ex ΔP, & invertendo ut ZE ad ZH ita quadratum ex ΔP ad rectangulum AΔΓ.

ΠΡΟΤΑΣΙΣ νδ.

Δύο δοθεισῶν εὐθειῶν πεπερασμένων, καὶ πρὸς ὀρθὰς ἀλλήλαις· εὑρεῖν περὶ διάμετρον τὴν ἑτέραν αὐτῶν κώνου τομὴν τὴν καλουμένην ἔλλειψιν, ἐν τῷ αὐτῷ ἐπιπέδῳ ταῖς εὐθείαις, ἧς κορυφὴ

Prop. LIV. *Probl.*

Datis duabus rectis lineis terminatis, atque ad rectos inter se angulos: invenire, circa alteram ipsarum tanquam diametrum coni, sectionem quæ ellipsis appellatur, in eodem plano in

quo sunt datæ rectæ; ita ut vertex sit punctum ad rectum angulum, & rectæ à sectione ad diametrum sub angulo dato possint applicatæ rectangula adjacentia alteri datæ, quæ latitudinem habeant rectam inter ipsas & verticem sectionis interjectam, deficiantque figurâ simili & similiter positâ ei quæ sub datis rectis continetur.

ἔσται τὸ πρὸς τῇ ὀρθῇ γωνίᾳ σημεῖον, αἱ δὲ καταγόμεναι ἀπὸ τῆς τομῆς ἐπὶ τὴν διάμετρον ἐν γωνίᾳ δοθείσῃ δυνήσονται τὰ παρακείμενα ὀρθογώνια παρὰ τὴν ἑτέραν εὐθεῖαν, πλάτος ἔχοντα τὴν ἀπολαμβανομένην ὑπ' αὐτῶν πρὸς τῇ κορυφῇ τῆς τομῆς, ἐλλείποντα εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν δοθεισῶν εὐθειῶν περιεχομένῳ.

SINT datæ rectæ AB, AΓ ad rectos angulos constitutæ, quarum major AB: oportet vero in subjecto plano describere ellipsim, ita ut ejus diameter sit AB, vertex A, & rectum latus AΓ; ductæ vero à sectione ad AB in dato angulo applicentur, & possint spatia adjacentia ipsi AΓ, quæ latitudines habeant lineas interjectas inter ipsas & punctum A, deficiantque figurâ simili & similiter positâ ei quæ sub BA, AΓ continetur.

Sit datus angulus primum rectus; & [ope 12.11.] juxta AB planum attollatur rectum ad subjectum planum, atque in ipso super AB circuli portio AΔB descripta [per 30. 3.] bifariam dividatur in Δ, & jungantur ΔA, ΔB: ponatur autem ipsi AΓ æqualis AΞ, & [per 31.1.] per Ξ ducatur ΞO parallela ipsi BΔ; &

ΕΣΤΩΣΑΝ αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ AB, AΓ πρὸς ὀρθὰς ἀλλήλαις, ὧν μείζων ἡ AB· δεῖ δὴ ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ γράψαι ἔλλειψιν, ἧς διάμετρος μὲν ἔσται ἡ AB, κορυφὴ δὲ τὸ A, ὀρθία δὲ ἡ AΓ, αἱ δὲ καταγόμεναι καταχθήσονται ἀπὸ τῆς τομῆς ἐπὶ τὴν AB ἐν δεδομένῃ γωνίᾳ, καὶ δυνήσονται τὰ παρὰ τὴν AΓ παρακείμενα, πλάτη ἔχοντα τὰς ἀπολαμβανομένας ὑπ' αὐτῶν πρὸς τῷ A, ἐλλείποντα εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν BA, AΓ.

Ἔστω δὲ ἡ δοθεῖσα γωνία πρότερον ὀρθή, καὶ ἀνεστάτω ἀπὸ τῆς AB ἐπίπεδον ὀρθὸν πρὸς τὸ ὑποκείμενον, καὶ ἐν αὐτῷ ἐπὶ τῆς AB τμῆμα κύκλου γεγράφθω τὸ AΔB, οὗ διχοτομία ἔστω τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΔA, ΔB, καὶ κείσθω τῇ AΓ ἴση ἡ AΞ, καὶ διὰ τοῦ Ξ τῇ ΔB παράλληλος ἤχθω ἡ ΞO, διὰ δὲ τοῦ O τῇ AB



per O ipsi AB parallela OZ; junctaque ΔZ conveniat cum AB producta in puncto E: erit igitur [per 7. 5.] ut BA ad AΓ ita BA ad AΞ, hoc est ΔA ad AO, hoc est [per 2. 6.] ΔE ad EZ; deinde jungantur AZ, ZB & producantur, sumaturque in ZA quodvis punctum H, & [per 31. 1.] per H ipsi ΔE parallela ducatur HΛ, quæ cum AB producta conveniat in K; denique producatur ZO, & conveniat cum HK in Λ. quoniam igitur circumferentia AΔ æqualis est ipsi ΔB; & [per 27. 3.] angulus ABΔ angulo ΔZB æqualis erit. & quo-

παράλληλος ἡ OZ, καὶ ἐπεζεύχθω ἡ ΔZ, καὶ συμπιπτέτω τῇ AB ἐκβληθείσῃ κατὰ τὸ E· ἔσται δὴ ὡς ἡ BA πρὸς AΓ οὕτως ἡ BA πρὸς AΞ, τουτέστιν ἡ ΔA πρὸς AO, τουτέστιν ἡ ΔE πρὸς EZ· καὶ ἐπεζεύχθωσαν αἱ AZ, ZB καὶ ἐκβεβλήσθωσαν, καὶ εἰλήφθω ἐπὶ τῆς ZA τυχὸν σημεῖον τὸ H, καὶ δι' αὐτοῦ τῇ ΔE παράλληλος ἤχθω ἡ HΛ, καὶ συμπιπτέτω τῇ AB ἐκβληθείσῃ κατὰ τὸ K· ἐκβεβλήσθω δὲ ἡ ZO καὶ συμπιπτέτω τῇ HK κατὰ τὸ Λ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ AΔ περιφέρεια τῇ ΔB, ἴση ἐστὶν ἡ ὑπὸ ABΔ γωνία τῇ ὑπὸ ΔZB.

ΔZB. καὶ ἐπεὶ ἡ ὑπὸ EZA γωνία δυσὶ ταῖς ὑπὸ ZAΔ, ZΔA ἐστὶν ἴση, ἀλλ' ἡ μὲν ὑπὸ ZAΔ τῇ ὑπὸ ZBΔ ἐστὶν ἴση, ἡ δὲ ὑπὸ ZΔA τῇ ὑπὸ ZBA· καὶ ἡ ὑπὸ EZA ἄρα τῇ ὑπὸ ΔBA ἐστὶν ἴση, τουτέστι τῇ ὑπὸ BZΔ. ἔστι δὲ καὶ παράλληλος ἡ ΔE τῇ ΛH· ἡ ἄρα ὑπὸ EZA τῇ ὑπὸ ZHΘ ἐστὶν ἴση. ἡ δὲ ὑπὸ ΔZB τῇ ὑπὸ ZΘH· ὥστε καὶ ἡ ὑπὸ ZHΘ τῇ ὑπὸ ZΘH ἐστὶν ἴση, καὶ ἡ ZH τῇ ZΘ ἐστὶν ἴση. γεγράφθω δὴ περὶ τὴν ΘH κύκλος ὁ HΘN ὀρθὸς πρὸς τὸ ΘHZ τρίγωνον, καὶ νοείσθω κῶνος, οὗ βάσις μὲν ὁ HΘN κύκλος, κορυφὴ δὲ τὸ Z σημεῖον· ἔσται δὴ ὁ κῶνος ὀρθὸς διὰ τὸ ἴσην εἶναι τὴν HZ τῇ ZΘ. καὶ ἐπεὶ ὁ HΘN κύκλος ὀρθός ἐστι πρὸς τὸ ΘHZ ἐπίπεδον, ἔστι δὲ καὶ τὸ ὑποκείμενον ἐπίπεδον ὀρθὸν πρὸς τὸ διὰ τοῦ HΘZ ἐπίπεδον· καὶ ἡ κοινὴ τομὴ αὐτῶν ἄρα πρὸς τὸ διὰ τοῦ HΘZ ἐπίπεδον ὀρθὴ ἔσται. ἔστω δὲ ἡ κοινὴ τομὴ αὐτῶν ἡ KM· ἡ KM ἄρα ὀρθή ἐστι πρὸς ἑκατέραν τῶν AK, KH. καὶ ἐπεὶ κῶνος, οὗ βάσις μὲν ὁ HΘN κύκλος, κορυφὴ δὲ τὸ Z σημεῖον, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιεῖ τομὴν τὸ HΘZ τρίγωνον, τέτμηται δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τῷ διὰ τῶν AK, KM, ὅ ἐστι τὸ ὑποκείμενον, κατ' εὐθεῖαν τὴν KM πρὸς ὀρθὰς οὖσαν τῇ HK, καὶ τὸ ἐπίπεδον συμπίπτει ταῖς ZH, ZΘ πλευραῖς τοῦ κώνου· ἡ ἄρα γινομένη τομὴ ἔλλειψίς ἐστιν, ἧς διάμετρος ἡ AB, αἱ δὲ καταγόμεναι καταχθήσονται ἐν ὀρθῇ γωνίᾳ, παράλληλοι γάρ εἰσι τῇ KM. καὶ ἐπεὶ ἐστιν ὡς ἡ ΔE πρὸς EZ οὕτως τὸ ὑπὸ ΔEZ, τουτέστι τὸ ὑπὸ BEA, πρὸς τὸ ἀπὸ EZ· τὸ δὲ ὑπὸ BEA πρὸς τὸ ἀπὸ EZ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ τῆς BE πρὸς EZ καὶ τοῦ τῆς AE πρὸς EZ· ἀλλ' ὡς μὲν ἡ BE πρὸς EZ οὕτως ἡ BK πρὸς KΘ, τουτέστιν ἡ ZΛ πρὸς ΛΘ, ὡς δὲ ἡ AE πρὸς EZ οὕτως ἡ AK πρὸς KH, τουτέστιν ἡ ZΛ πρὸς ΛH· ἡ BA ἄρα πρὸς AΓ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ τῆς ZΛ πρὸς ΛH καὶ τοῦ τῆς ZΛ πρὸς ΛΘ· ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ἀπὸ ZΛ πρὸς τὸ ὑπὸ HΛΘ. ὅταν δὲ τοῦτο ᾖ, ὀρθία τοῦ εἴδους πλευρά ἐστιν ἡ AΓ, ὡς δέδεικται ἐν τῷ δεκάτῳ τρίτῳ θεωρήματι.

niam angulus EZA æqualis est [per 32. 1.] duobus angulis ZAΔ, ZΔA; atque est [per 27. 3.] ZAΔ angulus æqualis angulo ZBΔ, ut etiam ZΔA ipsi ZBA: erit angulus EZA æqualis angulo ΔBA, hoc est [per 27. 3.] BZΔ. verum ΔE parallela est ipsi ΛH: igitur angulus EZA æqualis est [per 29. 1.] angulo ZHΘ. at ΔZB ipsi ZΘH: quare sequitur ZHΘ angulum angulo ZΘH esse æqualem, & [per 6. 1.] lineam ZH lineæ ZΘ. itaque circa HΘ describatur circulus HΘN, rectus ad triangulum ΘHZ; & intelligatur conus, cujus basis circulus HΘN & vertex punctum Z: erit igitur is conus rectus, ob HZ æqualem ipsi ZΘ. & quoniam circulus HΘN rectus est ad ΘHZ planum; est autem & planum subjectum rectum ad planum quod per HΘZ transit: ideo [per 19. 11.] communis ipsorum sectio ad planum per HΘZ perpendicularis erit. communis autem sectio sit linea KM: ergo KM perpendicularis est ad utramque ipsarum AK, KH. rursus quoniam conus, cujus basis est circulus HΘN & vertex Z, secatur plano per axem, quod facit sectionem triangulum HΘZ; secatur autem & altero plano per AK, KM transeunte, quod est subjectum planum, secundum rectam lineam KM perpendicularem ad HK, & planum illud occurrit ipsis ZH, ZΘ lateribus coni: erit [per 13. huj.] sectio genita ellipsis, cujus diameter AB, ductæ vero à sectione ad AB in recto angulo applicabuntur; sunt enim [per 13. huj.] ipsi KM parallelæ. quoniam vero ut ΔE ad EZ ita [per 1. 6.] rectangulum ΔEZ, hoc est [per 36. 3.] BEA, ad quadratum ex EZ; rectangulum autem BEA [per 23. 6.] ad quadratum ex EZ compositam rationem habet ex ratione BE ad EZ & ex ratione AE ad EZ; utque BE ad EZ ita [per 4. 6.] BK ad KΘ, hoc est ZΛ ad ΛΘ, & ut AE ad EZ ita AK ad KH, hoc est ZΛ ad ΛH: habebit igitur BA ad AΓ rationem compositam ex ratione ZΛ ad ΛH & ex ratione ZΛ ad ΛΘ. quæ quidem ratio eadem est [per 23. 6.] quam habet quadratum ex ZΛ ad HΛΘ rectangulum: ergo ut BA ad AΓ ita quadratum ex ZΛ ad rectangulum HΛΘ. quod cum ita sit, AΓ erit rectum figuræ latus, ut ostensum est in 13. theoremate.

ΤΩΝ αὐτῶν ὑποκειμένων, ἔστω ἡ AB ἐλάσσων τῆς AΓ· καὶ δέον ἔστω περὶ διάμετρον τὴν AB γράψαι ἔλλειψιν, ὥστε ὀρθίαν εἶναι τὴν AΓ.



Τετμήσθω ἡ AB δίχα κατὰ τὸ Δ, καὶ ἀπὸ τοῦ Δ τῇ AB πρὸς ὀρθὰς ἤχθω ἡ EΔZ, καὶ τῷ ὑπὸ BAΓ ἴσον ἔστω τὸ ἀπὸ ZE, ὥστε ἴσην εἶναι τὴν ZΔ τῇ ΔE, καὶ τῇ AB παράλληλος ἤχθω ἡ ZH· καὶ πεποιήσθω ὡς ἡ AΓ πρὸς AB οὕτως ἡ EZ πρὸς ZH· μείζων ἄρα καὶ ἡ EZ τῆς ZH. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ὑπὸ ΓAB τῷ ἀπὸ EZ· ἔστιν ὡς ἡ ΓA πρὸς AB οὕτως τὸ ἀπὸ ZE πρὸς τὸ ἀπὸ AB, καὶ τὸ ἀπὸ ΔZ πρὸς τὸ ἀπὸ ΔA. ὡς δὲ ἡ ΓA πρὸς AB οὕτως ἡ EZ πρὸς ZH· ὡς ἄρα ἡ EZ πρὸς ZH

IISDEM positis, sit linea AB minor ipsa AΓ: & oporteat circa diametrum AB ellipsim describere, ita ut AΓ sit rectum figuræ latus.

Secetur AB bifariam in Δ; à quo ad rectos angulos ipsi AB ducatur EΔZ: & rectangulo BAΓ æquale sit [ope 13. 6.] quadratum ex ZE, & ZΔ æqualis sit ipsi ΔE; ipsi vero AB parallela ducatur ZH, & fiat [per 12. 6.] ut AΓ ad AB ita EZ ad ZH: major est igitur EZ quam ZH. & quoniam rectangulum ΓAB æquale est quadrato ex EZ; ut ΓA ad AB ita est [per cor. 20. 6.] quadratum ex ZE ad quadratum ex AB, & quadratum ex ΔZ ad quadratum ex AΔ. ut autem ΓA ad AB ita EZ ad ZH: ergo ut EZ ad ZH ita

ita quadratum ex Z Δ ad quadratum ex Δ A. sed quadratum ex Z Δ æquale est rectangulo Z Δ E: quare ut E Z ad Z H ita rectangulum E Δ Z ad quadratum ex A Δ. duabus igitur rectis terminatis E Z, Z H aptatisque ad rectos inter se angulos, quarum [per præc.cas.] major est E Z, describatur ellipsis, ita ut E Z diameter sit & Z H rectum figuræ latus: transibit itaque sectio per A, quoniam ut rectangulum Z Δ E ad quadratum ex Δ A ita est E Z ad Z H. atque est A Δ æqualis Δ B: transibit igitur etiam per B, ac propterea ellipsis circa A B descripta erit. & quoniam ut Γ A ad A B ita quadratum ex Z Δ ad quadratum ex Δ A, atque est quadratum ex Δ A rectangulo A Δ B æquale: erit ut Γ A ad A B ita quadratum ex Δ Z ad rectangulum A Δ B: quare A Γ est rectum figuræ latus.



οὕτως τὸ ἀπὸ Z Δ πρὸς τὸ ἀπὸ Δ A. τὸ δὲ ἀπὸ Z Δ ἴσον ἐστὶ τῷ ὑπὸ Z Δ E· ὡς ἄρα ἡ E Z πρὸς Z H οὕτως τὸ ὑπὸ E Δ Z πρὸς τὸ ἀπὸ A Δ. δύο οὖν εὐθειῶν πεπερασμένων τῶν E Z, Z H πρὸς ὀρθὰς ἀλλήλαις κειμένων, καὶ μείζονος οὔσης τῆς E Z, γεγράφθω ἔλλειψις ἧς διάμετρος μὲν ἡ E Z, ὀρθία δὲ ἡ Z H· ἥξει δὴ ἡ τομὴ διὰ τοῦ A, διὰ τὸ εἶναι ὡς τὸ ὑπὸ Z Δ E πρὸς τὸ ἀπὸ Δ A οὕτως ἡ E Z πρὸς Z H. καὶ ἔστιν ἴση ἡ A Δ τῇ Δ B· ἐλεύσεται οὖν καὶ διὰ τοῦ B, γέγραπται οὖν ἔλλειψις περὶ τὴν A B. καὶ ἐπεί ἐστιν ὡς ἡ Γ A πρὸς A B οὕτως τὸ ἀπὸ Z Δ πρὸς τὸ ἀπὸ Δ A, τὸ δὲ ἀπὸ Δ A ἴσον τῷ ὑπὸ A Δ B· ὡς ἄρα ἡ Γ A πρὸς A B οὕτως τὸ ἀπὸ Δ Z πρὸς τὸ ὑπὸ A Δ B· ὥστε ὀρθία ἐστὶν ἡ A Γ.

Sed non sit datus angulus rectus, sitque ipsi æqualis B A Δ, & secta A B bifariam in E circa A E semicirculus A E Z describatur; in quo ipsi A Δ parallela ducatur Z H, ita ut faciat rationem quadrati ex Z H ad rectangulum A H E eandem quam habet Γ A ad ipsam A B; & junctæ A Z, E Z producantur, & sumatur [per 13. 6.] inter ipsas Δ E, E Z media proportionalis

Ἀλλὰ δὲ μὴ ἔστω ἡ δοθεῖσα γωνία ὀρθή, καὶ ἔστω αὐτῇ ἴση ἡ ὑπὸ B A Δ, καὶ τετμήσθω ἡ A B δίχα κατὰ τὸ E, [a] καὶ ἐπὶ τῆς A E γεγράφθω ἡμικύκλιον τὸ A E Z, καὶ ἐν αὐτῷ τῇ A Δ παράλληλος ἤχθω ἡ Z H ποιοῦσα τὸν τοῦ ἀπὸ Z H πρὸς τὸ ὑπὸ A H E λόγον τὸν αὐτὸν τῷ τῆς Γ A πρὸς τὴν A B, καὶ ἐπεζεύχθωσαν αἱ A Z, E Z καὶ ἐκβεβλήσθωσαν, καὶ εἰ-



E Θ, cui æqualis ponatur E K; fiat autem [ope 12. 6.] quadrato ex A Z æquale rectangulum Θ Z Λ, jungaturque K Λ; & per Θ ipsi Θ Z ad rectos angulos ducatur M Θ Ξ parallela ipsi A Z Λ, rectus est enim [per 31. 3.] angulus qui ad Z; atque datis duabus rectis terminatis & ad rectos inter se angulos K Θ, Θ M, describatur ellipsis [per cas. præc.] cujus diameter transversa K Θ, & rectum figuræ latus Θ M; ductæ vero à sectione ad Θ K in recto angulo applicentur: transibit igitur sectio per A, quia quadratum ex Z A rectangulo Θ Z Λ est æquale. & quoniam Θ E æqualis est E K, & A E ipsi E B; etiam per B transibit sectio, cujus centrum erit E & diameter A E B, & [per prop. 37. vel 38. huj.] Δ A sectionem continget, propterea quod rect-

λήφθω τῶν Δ E, E Z μέση ἀνάλογον ἡ E Θ, καὶ τῇ E Θ ἴση κείσθω ἡ E K, καὶ πεποιήσθω τῷ ἀπὸ A Z ἴσον τὸ ὑπὸ Θ Z Λ, καὶ ἐπεζεύχθω ἡ K Λ, καὶ ἀπὸ τοῦ Θ τῇ Θ Z πρὸς ὀρθὰς ἤχθω ἡ Θ M Ξ, παράλληλος γινομένη τῇ A Z Λ, ὀρθὴ γὰρ ἡ πρὸς τῷ Z· καὶ δύο δοθεισῶν πεπερασμένων πρὸς ὀρθὰς ἀλλήλαις τῶν K Θ, Θ M, γεγράφθω ἔλλειψις, ἧς διάμετρος πλαγία ἡ K Θ, ὀρθία δὲ τοῦ εἴδους πλευρὰ ἡ Θ M, αἱ δὲ καταγόμεναι ἐπὶ τὴν Θ K ἐν ὀρθῇ γωνίᾳ καταχθήσονται· ἥξει δὴ ἡ τομὴ διὰ τοῦ A, διὰ τὸ ἴσον εἶναι τὸ ἀπὸ Z A τῷ ὑπὸ Θ Z Λ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν Θ E τῇ E K, ἡ δὲ A E τῇ E B, ἥξει καὶ διὰ τοῦ B ἡ τομή· καὶ ἔσται κέντρον μὲν τὸ E, διάμετρος δὲ ἡ A E B, καὶ ἐφάψεται τῆς τομῆς ἡ Δ A, διὰ τὸ

ἴσον

ἴσον εἶναι τὸ ὑπὸ ΔΕΖ τῷ ἀπὸ ΕΘ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΓΑ πρὸς ΑΒ οὕτως τὸ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΑΗΕ, ἀλλ' ἡ μὲν ΓΑ πρὸς ΑΒ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ τῆς ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΔΑ καὶ ἐκ τοῦ τῆς διπλασίας τῆς ΑΔ πρὸς τὴν ΑΒ, τουτέστι τοῦ τῆς ΔΑ πρὸς ΑΕ, τὸ δὲ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΑΗΕ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ τῆς ΖΗ πρὸς ΗΕ καὶ ἐκ τοῦ τῆς ΖΗ πρὸς ΗΑ· ὁ ἄρα συγκείμενος λόγος, ἔκ τε τοῦ τῆς ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΔ καὶ ἐκ τοῦ τῆς ΔΑ πρὸς ΑΕ, ὁ αὐτός ἐστι τῷ συγκειμένῳ ἔκ τε τοῦ τῆς ΖΗ πρὸς ΗΕ καὶ τοῦ τῆς ΖΗ πρὸς ΗΑ. ἀλλ' ὡς ἡ ΔΑ πρὸς ΑΕ οὕτως ἡ ΖΗ πρὸς ΗΕ· κοινοῦ ἄρα ἀφαιρεθέντος τούτου τοῦ λόγου, ἔσται ὡς ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΔ οὕτως ἡ ΖΗ πρὸς ΗΑ, τουτέστιν ἡ ΞΑ πρὸς ΑΝ. ὅταν δὲ τοῦτο ᾖ, ὀρθία τοῦ εἴδους πλευρά ἐστιν ἡ ΑΓ.

angulum ΔΕΖ æquale eſt quadrato ex ΕΘ. & quoniam [per conſtr.] ut ΓΑ ad ΑΒ ita quadratum ex ΖΗ ad rectangulum ΑΗΕ; ſed ΓΑ ad ΑΒ rationem habet compoſitam ex ratione ΓΑ ad duplam ΔΑ & ex ratione duplæ ΑΔ ad ΑΒ, hoc eſt [per 15. 5.] ex ratione ΔΑ ad ΑΕ; quadratum vero ex ΖΗ ad rectangulum ΑΗΕ [per 24. 6.] compoſitam rationem habet ex ratione ΖΗ ad ΗΕ & ex ratione ΖΗ ad ΗΑ: ergo ratio compoſita ex ratione ΓΑ ad duplam ΑΔ & ex ratione ΔΑ ad ΑΕ eadem eſt quæ componitur ex ratione ΖΗ ad ΗΕ & ratione ΖΗ ad ΗΑ. ſed ut ΔΑ ad ΑΕ ita [per 4.6.] ΖΗ ad ΗΕ: ergo, ſublata communi hac ratione, erit ut ΓΑ ad duplam ΑΔ ita ΖΗ ad ΗΑ; hoc eſt ΞΑ ad ΑΝ. quando autem hoc ita ſit, linea ΑΓ [per 50. huj.] eſt rectum figuræ latus.

EUTOCIUS.

[a] Καὶ ἐπὶ τῆς ΑΕ γεγράφθω ἡμικύκλιον τὸ ΑΕΖ, καὶ τῇ ΑΔ παράλληλος ἤχθω ἐν αὐτῷ ἡ ΖΗ, λόγον ποιοῦσα τοῦ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΑΗΕ τὸν αὐτὸν τῷ τῆς ΓΑ πρὸς τὴν ΑΒ.] Ἔστω ἡμικύκλιον τὸ ΑΒΓ, καὶ ἐν αὐτῷ εὐθεῖά τις ἡ ΑΒ, καὶ κείσθωσαν δύο εὐθεῖαι ἄνισοι αἱ ΔΕ, ΕΖ, καὶ ἐκβεβλήσθω ἡ ΕΖ ἐπὶ τὸ Η, καὶ τῇ ΔΕ ἴση κείσθω ἡ ΖΗ, καὶ τετμήσθω ὅλη ἡ ΕΗ δίχα κατὰ τὸ Θ· καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Κ, καὶ ἀπ' αὐτοῦ κάθετος ἐπὶ τὴν ΑΒ ἤχθω, καὶ συμβαλλέτω τῇ περιφερείᾳ κατὰ τὸ Λ, καὶ διὰ τοῦ Λ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΛΜ, καὶ ἐκβληθεῖσα ἡ ΚΑ συμβαλλέτω τῇ ΛΜ κατὰ τὸ Μ, καὶ πεποιήσθω ὡς ἡ ΘΖ πρὸς ΖΗ οὕτως ἡ ΛΜ πρὸς ΜΝ, καὶ τῇ ΛΝ ἴση ἔστω ἡ ΛΞ, καὶ ἐπιζευχθεῖσαι αἱ ΝΚ, ΚΞ καὶ ἐκβεβλήσθωσαν, καὶ ἀναπληρωθεὶς ὁ κύκλος τεμνέτω αὐτὰς κατὰ τὰ Ο, Π, καὶ ἐπιζεύχθω ἡ ΟΡΠ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΖΘ πρὸς ΖΗ οὕτως ἡ ΛΜ πρὸς ΜΝ· συνθέντι ἄρα ὡς ἡ ΘΗ πρὸς ΗΖ οὕτως ἡ ΛΝ πρὸς ΝΜ, καὶ ἀνάπαλιν ὡς ἡ ΖΗ πρὸς ΗΘ οὕτως ἡ ΝΜ πρὸς ΝΛ. ὡς δὲ ἡ ΖΗ πρὸς ΗΕ οὕτως ἡ ΜΝ πρὸς ΝΞ· καὶ διελόντι ὡς ἡ ΖΗ πρὸς ΖΕ οὕτως ἡ ΝΜ πρὸς ΜΞ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΝΛ τῇ ΛΞ, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΛΚ· ἴση ἄρα καὶ ἡ ΚΝ τῇ ΚΞ. ἔστι δὲ καὶ ἡ ΚΟ τῇ ΚΠ ἴση· παράλληλος ἄρα ἡ ΝΞ τῇ ΟΠ· ὅμοιον ἄρα τὸ ΚΜΝ τρίγωνον τῷ ΚΡΟ τριγώνῳ, καὶ τὸ ΚΜΞ τῷ ΠΡΚ· ἔστιν ἄρα ὡς ἡ ΚΜ πρὸς ΚΡ οὕτως ἡ ΜΝ πρὸς ΡΟ. ἀλλὰ καὶ ὡς αὐτὴ ἡ ΚΜ πρὸς ΚΡ οὕτως ἡ ΜΞ πρὸς ΠΡ· καὶ ὡς ἄρα ἡ ΝΜ πρὸς ΡΟ οὕτως ἡ ΜΞ πρὸς ΠΡ, καὶ ἐναλλὰξ ὡς ἡ ΝΜ πρὸς ΜΞ οὕτως ἡ ΟΡ πρὸς ΡΠ. ἀλλ' ὡς μὲν ἡ ΝΜ πρὸς ΜΞ οὕτως ἡ ΖΘ πρὸς ΖΕ, τουτέστιν ἡ ΔΕ πρὸς ΕΖ, ὡς δὲ ἡ ΟΡ πρὸς ΡΠ οὕτως τὸ ἀπὸ ΟΡ πρὸς τὸ ὑπὸ ΟΡΠ· καὶ ὡς ἄρα ἡ ΔΕ πρὸς ΕΖ οὕτως τὸ ἀπὸ ΟΡ πρὸς τὸ ὑπὸ ΟΡΠ. ἴσον δὲ τὸ ὑπὸ ΟΡΠ τῷ ὑπὸ ΑΡΓ· ὡς ἄρα ἡ ΔΕ πρὸς ΕΖ οὕτως τὸ ἀπὸ ΟΡ πρὸς τὸ ὑπὸ ΑΡΓ.



[a] Et circa ΑΕ ſemicirculus ΑΕΖ deſcribatur, in quo ipſi ΑΔ parallela ducatur ΖΗ, ita ut faciat rationem quadrati ex ΖΗ ad rectangulum ΑΗΕ eandem quam habet ΓΑ ad ipſam ΑΒ.] Sit ſemicirculus ΑΒΓ in quo recta quæpiam ΑΒ, ponanturque duæ rectæ inæquales ΔΕ, ΕΖ, & producatur ΕΖ ad Η, & ſit ΖΗ æqualis ipſi ΔΕ, & tota ΕΗ in Θ bifariam dividatur; ſumpto autem circuli centro Κ, ab eo ducatur perpendicularis ad ΑΒ, quæ circumferentiæ circuli occurrat in Λ, perque Λ ipſi ΑΒ parallela ducatur ΛΜ, & ΚΑ producta conveniat cum ΛΜ in puncto Μ, & fiat ut ΘΖ ad ΖΗ ita ΛΜ ad ΜΝ, atque ipſi ΛΝ æqualis ſit ΛΞ, & junctæ ΝΚ, ΚΞ producantur, adeo ut à completo circulo ſecentur in punctis Ο, Π, & jungatur ΟΡΠ. quoniam igitur ut ΖΘ ad ΖΗ ita eſt ΛΜ ad ΜΝ; componendo erit ut ΘΗ ad ΗΖ ita ΛΝ ad ΝΜ, & invertendo ut ΖΗ ad ΗΘ ita ΝΜ ad ΝΛ. ut autem ΖΗ ad ΗΕ ita ΜΝ ad ΝΞ, & dividendo ut ΖΗ ad ΖΕ ita ΝΜ ad ΜΞ. & quoniam ΝΛ æqualis eſt ΛΞ, communiſque & ad rectos angulos ΛΚ; erit & ΚΝ æqualis ΚΞ. & eſt ΚΟ ipſi ΚΠ æqualis: parallela igitur eſt [per 2. 6.] ΝΞ ipſi ΟΠ, atque ob id triangulum ΚΜΝ ſimile triangulo ΚΡΟ, & triangulum ΚΜΞ ipſi ΠΡΚ; erit ut ΚΜ ad ΚΡ ita ΜΝ ad ΡΟ. ſed ut eadem ΚΜ ad ΚΡ ita ΜΞ ad ΠΡ: quare ut ΝΜ ad ΡΟ ita ΜΞ ad ΠΡ, & permutando ut ΝΜ ad ΜΞ ita ΟΡ ad ΡΠ. ſed ut ΝΜ ad ΜΞ ita ΖΗ ad ΖΕ, hoc eſt ΔΕ ad ΕΖ; ut autem ΟΡ ad ΡΠ ita [per 1. 6.] quadratum ex ΟΡ ad rectangulum ΟΡΠ. ut igitur ΔΕ ad ΕΖ ita quadratum ex ΟΡ ad rectangulum ΟΡΠ. ſed [per 35. 3.] eſt rectangulum ΟΡΠ rectangulo ΑΡΓ æquale: ut igitur ΔΕ ad ΕΖ ita quadratum ex ΟΡ ad rectangulum ΑΡΓ.

Prop. LV. *Probl.*

Datis duabus rectis lineis terminatis, atque ad rectos inter ſe angulos: invenire oppoſitas ſectiones, quarum diameter ſit una datarum rectarum, & vertices ejuſdem lineæ termini; ita ut applicatæ ab utraque ſectione in dato angulo poſſint ſpatia adjacentia alteri rectæ, excedentia vero figurâ ſimili ei quæ ſub datis rectis continetur.

SINT datæ rectæ terminatæ ad rectos inter ſe angulos ΒΕ, ΒΘ, & datus angulus ſit Η: oportet utique circa unam rectarum ΒΕ, ΒΘ ſectiones oppoſitas deſcribere, ita ut ordinatim applicatæ in angulo Η applicentur.

Datis igitur duabus rectis ΒΕ, ΒΘ, deſcribatur hyperbola ΑΒΓ, cujus diameter tranſverſa ſit ΒΕ, & rectum figuræ latus ΘΒ; ductæ vero ad illam quæ in directum ipſi ΒΕ conſtituitur, applicentur in angulo Η. ſit ea ΒΓ; quod quomodo fieri oporteat, jam [ad 53. huj.] dictum eſt; ducatur per Ε recta ΕΚ ad rectos angulos ipſi ΒΕ, quæ ſit æqualis ΒΘ; & deſcribatur ſimiliter alia hyperbola ΔΕΖ, ita ut ejus diameter ſit ΒΕ, rectum figuræ latus ΒΚ, & ductæ à ſectione ordinatim applicentur in angulo qui angulo Η æqualis ſit: conſtat igitur Β, Ε ſectiones eſſe oppoſitas, quarum diameter una eademque eſt, atque latera recta inter ſe æqualia.

ΠΡΟΤΑΣΙΣ νε'.

Δύο δοθεισῶν εὐθειῶν πρὸς ὀρθὰς ἀλλήλαις πεπερασμένων· εὑρεῖν ἀντικειμένας, ὧν διάμετρός ἐστι μία τῶν εὐθειῶν, κορυφὴ δὲ τὰ πέρατα τῆς εὐθείας, αἱ δὲ καταγόμεναι ἐν ἑκατέρᾳ τῶν τομῶν ἐν τῇ δοθείσῃ γωνίᾳ δυνήσονται τὰ παρὰ τὴν ἑτέραν παρακείμενα, καὶ ὑπερβάλλοντα εἴδει ὁμοίῳ τῷ ὑπὸ τῶν δοθεισῶν εὐθειῶν περιεχομένῳ.

ΕΣΤΩΣΑΝ αἱ δοθεῖσαι δύο εὐθεῖαι πρὸς ὀρθὰς ἀλλήλαις πεπερασμέναι, αἱ ΒΕ, ΒΘ, ἡ δὲ δοθεῖσα γωνία ἔστω ἡ Η· δεῖ γράψαι ἀντικειμένας περὶ μίαν τῶν ΒΕ, ΒΘ, ὥστε τὰς καταγομένας κατάγεσθαι ἐν γωνίᾳ τῇ Η.



Καὶ δύο δοθεισῶν εὐθειῶν τῶν ΒΕ, ΒΘ, γεγράφθω ὑπερβολὴ ΑΒΓ, ἧς διάμετρος ἔσται πλαγία ἡ ΒΕ, ὀρθία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘΒ, αἱ δὲ καταγόμεναι ἐπὶ τὴν ἐπ' εὐθείας τῇ ΒΕ καταχθήσονται ἐν γωνίᾳ τῇ Η. καὶ ἔστω ἡ ΑΒΓ, τοῦτο γὰρ ὡς δεῖ γενέσθαι προγέγραπται· ἤχθω δὴ διὰ τοῦ Ε τῇ ΒΕ πρὸς ὀρθὰς ἡ ΕΚ, ἴση οὖσα τῇ ΒΘ, καὶ γεγράφθω ὁμοίως ἄλλη ὑπερβολὴ ἡ ΔΕΖ, ἧς διάμετρος μὲν ἡ ΒΕ, ὀρθία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΕΚ, αἱ δὲ καταγόμεναι ἀπὸ τῆς τομῆς τεταγμένως καταχθήσονται ἐν τῇ γωνίᾳ τῇ Η· φανερὸν δὴ ὅτι αἱ Β, Ε εἰσὶν ἀντικείμεναι, διάμετρος δὲ αὐτῶν μία ἐστί, καὶ ὀρθίαι ἴσαι.

Prop. LVI. *Probl.*

Datis duabus rectis lineis ſeſe bifariam ſecantibus: circa utramque ipſarum ſectiones oppoſitas deſcribere; ita ut rectæ datæ ſint conjugatæ earum diametri, & ut quarumlibet oppoſitarum ſectionum diameter poſſit figuram aliarum oppoſitarum.

SINT datæ duæ rectæ lineæ ſe invicem ſecantes ΑΓ, ΔΕ: oportet jam circa utramque ipſarum quaſi diametrum oppoſitas ſectiones deſcribere, ita ut ΑΓ, ΔΕ conjugatæ ſint inter ſe, nempe ut ΔΕ quidem poſſit figuram earum quæ circa ΑΓ ſunt, ΑΓ vero figuram earum poſſit quæ circa ΔΕ.

Sit [ope 11.6.] quadrato ex ΔΒ æquale rectangulum ΑΓΛ, ſitque ΛΓ ipſi ΓΑ ad rectos angulos; & duabus datis rectis ad rectos inter ſe angulos conſtitutis ΑΓ, ΓΛ, deſcriban-

ΠΡΟΤΑΣΙΣ νς'.

Δύο δοθεισῶν εὐθειῶν δίχα τεμνουσῶν ἀλλήλας γράψαι περὶ ἑκατέραν αὐτῶν ἀντικειμένας τομάς, ὥστε εἶναι αὐτῶν συζυγεῖς διαμέτρους τὰς εὐθείας, καὶ τὴν τῶν δύο ἀντικειμένων διάμετρον τὸ τῶν ἑτέρων ἀντικειμένων δύνασθαι εἶδος.

ΕΣΤΩΣΑΝ αἱ δοθεῖσαι δύο εὐθεῖαι, δίχα τέμνουσαι ἀλλήλας, αἱ ΑΓ, ΔΕ· δεῖ δὴ περὶ ἑκατέραν αὐτῶν διάμετρον γράψαι ἀντικειμένας, ἵνα ὦσιν αἱ ΑΓ, ΔΕ συζυγεῖς ἐν αὐταῖς, καὶ ἡ μὲν ΔΕ τὸ τῶν περὶ τὴν ΑΓ εἶδος δύνηται, ἡ δὲ ΑΓ τὸ τῶν περὶ τὴν ΔΕ.

Ἔστω τῷ ἀπὸ ΔΕ ἴσον τὸ ὑπὸ ΑΓΛ, πρὸς ὀρθὰς δὲ ἔστω ἡ ΛΓ τῇ ΓΑ, καὶ δύο δοθεισῶν εὐθειῶν πρὸς ὀρθὰς ἀλλήλαις τῶν ΑΓ, ΓΛ, γεγράφθωσαν φθωσιν ἀντικείμεναι αἱ ΖΑΗ, ΘΓΚ, ὧν διάμετρος μὲν ἔστω πλαγία ἡ ΓΑ, ὀρθία δὲ ἡ ΓΛ, αἱ δὲ καταγόμεναι ἀπὸ τῶν τομῶν ἐπὶ τὴν ΓΑ καταχθήσονται ἐν τῇ γωνίᾳ τῇ δοθείσῃ τῇ ὑπὸ τῶν ΔΒΓ· ἔσται δὴ ἡ ΔΕ δευτέρα διάμετρος τῶν ἀντικειμένων, μέσον τε γὰρ λόγον ἔχει τῶν τοῦ εἴδους πλευρῶν, καὶ παρὰ τεταγμένως κατηγμένην οὖσα δίχα τέτμηται κατὰ τὸ Β. ἔστω δὴ πάλιν τῷ ἀπὸ ΑΓ ἴσον τὸ ὑπὸ ΔΕ, ΔΡ, πρὸς ὀρθὰς δὲ ἔστω ἡ ΔΡ τῇ ΔΕ, καὶ δύο δοθεισῶν εὐθειῶν πρὸς ὀρθὰς ἀλλήλαις κειμένων τῶν ΕΔ, ΔΡ, γεγράφθωσαν ἀντικείμεναι αἱ ΜΔΝ, ΟΕΞ, ὧν διάμετρος μὲν πλαγία ἡ ΔΕ, ὀρθία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΔΡ, αἱ δὲ καταγόμεναι ἀπὸ τῶν τομῶν καταχθήσονται ἐπὶ τὴν ΔΕ ἐν τῇ δοθείσῃ γωνίᾳ· ἔσται δὴ καὶ τῶν ΜΔΝ, ΞΕΟ δευτέρα διάμετρος ἡ ΑΓ, ὥστε ἡ μὲν ΑΓ τὰς τῇ ΔΕ παραλλήλους μεταξὺ τῶν ΖΑΗ, ΘΓΚ τομῶν δίχα τέμνει, ἡ δὲ ΔΕ τὰς τῇ ΑΓ· ὅπερ ἔδει ποιῆσαι. καλείσθωσαν δὲ αὗται αἱ τομαὶ ΣΥΖΥΓΕΙΣ.



tur [per præced.] oppositæ sectiones ΖΑΗ, ΘΓΚ, quarum diameter transversa sit ΓΑ, & rectum latus ΓΛ, ductæ autem à sectionibus ad ΓΑ in dato angulo ΔΒΓ applicentur: erit [ex def. 2dæ diam.] ipsa ΔΕ secunda diameter oppositarum sectionum, quia est media proportionalis inter latera figuræ, & ordinatim applicatæ parallela est, & ad Β bifariam secatur. Sit rursus [ope 11.6.] quadrato ex ΑΓ æquale rectangulum ΕΔ, ΔΡ; & sit ΔΡ ad rectos angulos ipsi ΔΕ: itaque datis duabus rectis ad rectos inter se angulos, ΕΔ, ΔΡ, sectiones oppositæ ΜΔΝ, ΟΕΞ [per 55. huj.] describantur, quarum transversa diameter ΔΕ & ΔΡ rectum figuræ latus; ductæ vero à sectionibus applicentur ad ΔΕ in dato angulo: recta igitur ΑΓ secunda diameter erit sectionum ΜΔΝ, ΞΕΟ; ergo ΑΓ parallelas ipsi ΔΕ, inter sectiones ΖΑΗ, ΘΓΚ ductas, bifariam secat; ΔΕ vero parallelas ipsi ΑΓ: quod erat faciendum. vocentur autem hujusmodi sectiones CONJUGATÆ.

EUTOCIUS.

Εἴρηται μὲν, ἐν τοῖς μετὰ τὸ ι'. θεώρημα σχολίοις, ὁ σκοπὸς τῶν ιγ'. πρώτων θεωρημάτων· καὶ ἐν τοῖς εἰς τὸ ἑκκαιδέκατον, ὁ τῶν ἑξῆς τριῶν. δεῖ δὲ εἰδέναι ὅτι ἐν μὲν τῷ ιζ'. φησίν, ὅτι ἡ διὰ τῆς κορυφῆς παρὰ τεταγμένως κατηγμένην ἀγομένη ἐκτὸς πίπτει· ἐν δὲ τῷ ιη'. φησίν, ὅτι ἡ παράλληλος τῇ ὁπωσοῦν ἐφαπτομένῃ ἐντὸς τῆς τομῆς ἀγομένη τεμεῖ τὴν τομήν· ἐν τῷ ιθ'. ὅτι ἡ ἀπό τινος σημείου διὰ τῆς διαμέτρου παρὰ τεταγμένως κατηγμένη συμπίπτει τῇ τομῇ· ἐν τῷ κ'. καὶ κα'. τὰς παρὰ τεταγμένως κατηγμένας ζητεῖ τῶν τομῶν, ὅπως ἔχουσι πρὸς ἀλλήλας, καὶ τὰ τῆς διαμέτρου ὑπ' αὐτῶν γινόμενα τμήματα· ἐν τῷ κβ'. καὶ κγ'. λέγει περὶ τῆς εὐθείας τῆς κατὰ δύο σημεῖα τῇ τομῇ συμπιπτούσης· ἐν τῷ κδ'. καὶ κε'. περὶ τῆς εὐθείας καθ' ἓν τι τομῇ συμπιπτούσης, τουτέστιν ἐφαπτομένης· ἐν τῷ κς'. περὶ τῆς ἀγομένης παραλλήλου τῇ διαμέτρῳ τῆς παραβολῆς καὶ τῆς ὑπερβολῆς· ἐν τῷ κζ'. περὶ τῆς τεμνούσης τὴν διάμετρον τῆς παραβολῆς, ὅτι κατ' ἀμφότερα μέρη συμπίπτει τῇ τομῇ· ἐν τῷ κη'. περὶ τῆς ἀγομένης παραλλήλου τῇ ἐφαπτομένῃ μιᾶς τῶν ἀντικειμένων· ἐν τῷ κθ'. περὶ τῆς διὰ τοῦ κέντρου τῶν ἀντικειμένων ἐκβαλλομένης· ἐν τῷ λ'. φησίν, ὅτι διχοτομεῖται ἡ διὰ τοῦ κέντρου ἐκβαλλομένη τῆς ἐλλείψεως καὶ τῶν ἀντικειμένων· ἐν τῷ λα'. φησίν, ὅτι ἐπὶ τῆς ὑπερβολῆς ἡ ἐφαπτομένη τὴν διάμετρον τέμνει μεταξὺ τῆς κορυφῆς καὶ τοῦ κέντρου· ἐν τῷ λβ'. καὶ γ'. καὶ δ'. καὶ ε'. καὶ ς'· περὶ τῶν ἐφαπτομένων ποιεῖται τὸν λόγον· ἐν τῷ λζ'. περὶ τῶν ἐφαπτομένων, καὶ τῶν ἀπὸ τῆς ἁφῆς κατηγμένων τῆς ἐλλείψεως καὶ τῆς ὑπερβολῆς· ἐν τῷ λη'. περὶ τῶν ἐφαπτομένων τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, ὅπως ἔχουσι πρὸς τὴν δευτέραν διάμετρον· ἐν τῷ λθ'. καὶ μ'. περὶ τῶν αὐτῶν ποιεῖται τὸν λόγον. τοὺς συγκειμένους ἐκ τούτων λόγους ἐπιζητῶν· ἐν τῷ μα'. περὶ τῶν ἀναγραφομένων παραλληλογράμμων ἀπὸ τῆς κατηγμένης καὶ τῆς ἐκ τοῦ κέντρου ὑπερβολῆς καὶ τῆς ἐλ-

Scripsimus, in commentariis post decimum theorema, quodnam fuerit propositum *Apollonio* in primis tredecim theorematibus; & in commentariis in sextum decimum de tribus sequentibus dictum est. Scire vero oportet quod in septimo decimo asserit rectam, quæ per verticem ducitur ordinatim applicatæ parallela, extra sectionem cadere: in decimo octavo rectam, quæ utcunque contingenti parallela intra sectionem ducitur, ipsam secare: in decimo nono rectam, quæ ducitur ab aliquo puncto diametri ordinatim applicatæ parallela, cum sectione convenire: in vigesimo & vigesimo primo rectas in sectionibus ordinatim applicatas inquirit, quomodo inter sese habeant, itemque diametri portiones quæ ab ipsis fiunt: in vigesimo secundo & vigesimo tertio tractat de recta quæ in duobus punctis sectioni occurrit: in vigesimo quarto & vigesimo quinto de ea quæ ipsi occurrit in uno puncto tantum, hoc est de recta quæ sectionem contingit: in vigesimo sexto de ea quæ diametro parabolæ & hyperbolæ parallela ducitur: in vigesimo septimo de recta secante parabolæ diametrum, nempe quod ex utraque parte sectioni occurrat: in vigesimo octavo de ea quæ parallela ducitur contingenti unam oppositarum sectionum: in vigesimo nono de ea quæ per centrum oppositarum transiens producitur: in trigesimo dicit, quod recta quæ transit per centrum ellipseos & oppositarum sectionum bifariam dividitur: in trigesimo primo quod recta, quæ hyperbolam contingit, diametrum secat inter centrum & verticem sectionis: in 32. 33. 34 35. 36. de proprietatibus rectarum contingentium agitur: in trigesimo septimo de contingentibus & de iis quæ à tactu applicantur in hyperbola & ellipsi: in trigesimo octavo de contingentibus hyperbolam & ellipsim, quo modo se habeant ad secundam diametrum: in trigesimo nono & quadragesimo de iisdem agit, rationes ex hisce compositas inquirens: in quadragesimo primo de parallelogrammis descriptis ab applicata & ab ea quæ ex centro hyperbolæ &

& ellipseos: in quadragesimo secundo asserit triangulum in parabola ex contingente & applicata factum æquale esse parallelogrammo, quod cum eo æqualem altitudinem habet & in dimidia basi constituitur: in quadragesimo tertio inquirit, in hyperbola & ellipsi, quomodo se habeant inter se triangula quæ à contingentibus & applicatis fiunt: in quadragesimo quarto idem inquirit in oppositis sectionibus: in quadragesimo quinto idem in secunda diametro hyperbolæ & ellipseos: in quadragesimo sexto de aliis parabolæ diametris quæ sunt post diametrum principalem: in quadragesimo septimo de aliis diametris hyperbolæ & ellipseos: in quadragesimo octavo de aliis diametris oppositarum sectionum: in quadragesimo nono de rectis juxta quas possunt applicatæ ad alias parabolæ diametros: in quinquagesimo de iisdem in hyperbola & ellipsi: in quinquagesimo primo de iisdem in oppositis sectionibus. itaque his præmissis subjungit, ad instar epilogi cujusdam, in quinquagesimo secundo problema, quo ostendit quomodo parabola in plano describatur: in quinquagesimo tertio, quomodo describatur hyperbola: in quinquagesimo quarto, quomodo ellipsis: in quinquagesimo quinto, quomodo oppositæ sectiones: in quinquagesimo sexto de conjugatis sectionibus agit.

λείψεως· ἐν τῷ μβʹ. ἐπὶ τῆς παραβολῆς λέγει ἴσον εἶναι τὸ ὑπὸ τῆς ἐφαπτομένης καὶ τῆς κατηγμένης καταλαμβανόμενον τρίγωνον τῷ ἰσοϋψεῖ αὐτῷ παραλληλογράμμῳ ἡμίσειαν ἔχοντι βάσιν· ἐν τῷ μγʹ. ἐπὶ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως ζητεῖ πῶς ἔχουσι πρὸς ἄλληλα τὰ ὑπὸ τῶν ἐφαπτομένων καὶ τῶν κατηγμένων ἀπολαμβανόμενα τρίγωνα· ἐν τῷ μδʹ. τὸ αὐτὸ ἐν ταῖς ἀντικειμέναις· ἐν τῷ μεʹ τὸ αὐτὸ ἐπὶ τῆς δευτέρας διαμέτρου τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως· ἐν τῷ μϛʹ. περὶ τῶν μετὰ τὴν ἀρχικὴν διάμετρον τῆς παραβολῆς ἑτέρων· ἐν τῷ μζʹ. περὶ τῶν ἑτέρων διαμέτρων τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως· ἐν τῷ μηʹ. περὶ τῶν ἑτέρων διαμέτρων τῶν ἀντικειμένων· ἐν τῷ μθʹ. περὶ τῶν παρ᾽ ἃς δύνανται αἱ καταγόμεναι ἐπὶ τὰς ἑτέρας διαμέτρους τῆς παραβολῆς· ἐν τῷ νʹ. περὶ τοῦ αὐτοῦ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως· ἐν τῷ ναʹ. περὶ τοῦ αὐτοῦ τῶν ἀντικειμένων. ταῦτα εἰπὼν καὶ προσθεὶς τοῖς εἰρημένοις ἐπίλογόν τινα, ἐν τῷ νβʹ. δεικνύει πρόβλημα, ὡς δυνατὸν ἐν ἐπιπέδῳ γράψαι τὴν παραβολήν· ἐν τῷ νγʹ. λέγει πῶς δεῖ γράψαι τὴν ὑπερβολήν· ἐν τῷ νδʹ. πῶς δεῖ γράψαι τὴν ἔλλειψιν· ἐν τῷ νεʹ. λέγει πῶς δεῖ γράψαι ἀντικειμένας· ἐν τῷ νϛʹ. περὶ τῶν συζυγῶν ἀντικειμένων.

ΠΑΠΠΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΛΗΜΜΑΤΑ
ΕΙΣ ΚΩΝΙΚΩΝ ΤΟ ΔΕΥΤΕΡΟΝ
ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΓΑΙΟΥ.

PAPPI ALEXANDRINI
LEMMATA
IN SECUNDUM LIBRUM CONICORUM
APOLLONII PERGÆI.

ΛΗΜΜΑ α'.

Δύο δοθεισῶν τῶν ΑΒ, ΒΓ, καὶ εὐθείας τῆς ΔΕ· εἰς τὰς ΑΒ, ΒΓ ἐναρμόσαι εὐθεῖαν ἴσην τῇ ΔΕ καὶ παράλληλον αὐτῇ.

ΤΟΥΤΟ δὲ φανερόν. ἐὰν γὰρ διὰ τοῦ Ε τῇ ΑΒ παράλληλον ἀγάγωμεν τὴν ΕΓ, διὰ δὲ τοῦ Γ τῇ ΔΕ παράλληλος ἀχθῇ ἡ ΓΑ· ἔσται, διὰ τὸ παραλληλόγραμμον εἶναι τὸ ΑΓΕΔ, ἡ ΑΓ ἴση τῇ ΔΕ καὶ παράλληλος, καὶ ἐνήρμοσται εἰς τὰς δοθείσας εὐθείας τὰς ΑΒ, ΒΓ.



LEMMA I.

Datis duabus rectis lineis ΑΒ, ΒΓ, & data recta ΔΕ; inter ipsas ΑΒ, ΒΓ coaptare rectam ipsi ΔΕ æqualem & parallelam.

HOC autem manifestum est. nam si per Ε ducatur ΕΓ parallela ΑΒ, & per Γ ipsi ΔΕ parallela ΓΑ; erit, propter ΑΓΕΔ parallelogrammum, [per 34. 1.] ΑΓ ipsi ΔΕ æqualis & parallela, & inter datas rectas ΑΒ, ΒΓ coaptata est.

ΛΗΜΜΑ β'.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, καὶ ἔστω ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΔΕ πρὸς ΕΖ, καὶ παράλληλος ἡ μὲν ΑΒ τῇ ΔΕ, ἡ δὲ ΒΓ τῇ ΕΖ· ὅτι καὶ ἡ ΑΓ τῇ ΔΖ ἐστὶ παράλληλος.

Ἐκβεβλήσθω ἡ ΒΓ καὶ συμπιπτέτω ταῖς ΔΕ, ΔΖ κατὰ τὰ Η, Θ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΔΕ πρὸς ΕΖ, καί εἰσιν ἴσαι αἱ Β, Ε γωνίαι, διὰ τὸ εἶναι δύο παρὰ δύο· ἴση ἄρα ἐστὶ καὶ ἡ Γ τῇ Ζ, τουτέστι τῇ Θ, διὰ τὸ παραλλήλους εἶναι τὰς ΕΖ, ΗΘ· παράλληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΔΘ.



LEMMA II.

Sint duo triangula ΑΒΓ, ΔΕΖ; sitque ut ΑΒ ad ΒΓ ita ΔΕ ad ΕΖ, & ΑΒ quidem sit parallela ΔΕ, ΒΓ vero ipsi ΕΖ: dico & ΑΓ ipsi ΔΖ parallelam esse.

PRoducatur ΒΓ; & conveniat cum ΔΕ, ΔΖ in punctis Η, Θ. itaque quoniam est ut ΑΒ ad ΒΓ ita ΔΕ ad ΕΖ, & anguli ad Β, Ε æquales, quia duæ rectæ sunt duabus parallelæ; erit [per 6. 6.] angulus Γ æqualis angulo Ζ, hoc est angulo Θ, propter parallelas ΕΖ, ΗΘ: ergo ΑΓ ipsi ΔΘ est parallela.

ΛΗΜΜΑ γ'.

Ἔστω εὐθεῖα ἡ ΑΒ, καὶ ἔστωσαν ἴσαι αἱ ΑΓ, ΔΒ, καὶ μεταξὺ τῶν Γ, Δ εἰλήφθω τυχὸν σημεῖον τὸ Ε· ὅτι τὸ ὑπὸ ΑΔΒ μετὰ τοῦ ὑπὸ ΓΕΔ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΒ.

LEMMA III.

Sit recta ΑΒ, sintque æquales ΑΓ, ΔΒ, & inter Γ & Δ sumatur quodvis punctum Ε: dico rectangulum ΑΔΒ una cum rectangulo ΓΕΔ æquale esse rectangulo ΑΕΒ.

Secetur enim recta ΓΔ bifariam in puncto Z, quomodocunque se habuerit punctum E. & quoniam [per 5.2.] rectangulum AΔB una cum quadrato ex ZΔ æquale est quadrato ex ZB; sed quadrato quidem ex ZΔ rectangulum ΓEΔ una cum quadrato ex ZE est æquale, quadrato vero ex ZB æquale rectangulum AEB una cum quadrato ex ZE: erit igitur rectangulum AΔB una cum rectangulo ΓEΔ & quadrato ex ZE æquale rectangulo AEB & quadrato ex ZE. commune auferatur quadratum ex ZE: reliquum igitur AΔB rectangulum una cum rectangulo ΓEΔ æquale est rectangulo AEB.



Τετμήσθω ἡ ΓΔ δίχα, ὅπως ἂν ἔχῃ τὸ πρὸς τὸ E σημεῖον, κατὰ τὸ Z. καὶ ἐπεὶ τὸ ὑπὸ AΔB μετὰ τοῦ ἀπὸ ZΔ ἴσον ἐστὶ τῷ ἀπὸ ZB, ἀλλὰ τῷ μὲν ἀπὸ ZΔ ἴσον ἐστὶ τὸ ὑπὸ ΓEΔ μετὰ τοῦ ἀπὸ ZE, τῷ δὲ ἀπὸ ZB ἴσον ἐστὶ τὸ ὑπὸ AEB μετὰ τοῦ ἀπὸ ZE· τὸ ἄρα ὑπὸ AΔB μετὰ τοῦ ὑπὸ ΓEΔ καὶ τοῦ ἀπὸ ZE ἴσον ἐστὶ τῷ τε ὑπὸ AEB καὶ τῷ ἀπὸ ZE. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ZE· λοιπὸν ἄρα τὸ ὑπὸ AΔB μετὰ τοῦ ὑπὸ ΓEΔ ἴσον ἐστὶ τῷ ὑπὸ AEB.

LEMMA IV.

Sit recta AB, & æquales sint AΓ, ΔB, & inter Γ, Δ sumatur quodvis punctum E: dico rectangulum AEB æquale esse rectangulo ΓEΔ una cum rectangulo ΔAΓ.

ΛΗΜΜΑ δ′.

Ἔστω εὐθεῖα ἡ AB, καὶ ἔστωσαν ἴσαι αἱ AΓ, ΔB, καὶ μεταξὺ τῶν ΓΔ εἰλήφθω τυχὸν σημεῖον τὸ E· ὅτι τὸ ὑπὸ AEB ἴσον ἐστὶ τῷ τε ὑπὸ ΓEΔ καὶ τῷ ὑπὸ ΔAΓ.

Secetur enim recta ΓΔ bifariam in puncto Z, quomodocunque se habuerit punctum E: quare tota AZ ipsi ZB est æqualis: rectangulum igitur AEB una cum quadrato ex EZ æquale est [per 5.2.] quadrato ex AZ: rectangulum autem AEB cum quadrato ex EZ æquale est rectangulo ΔAΓ una cum quadrato ex ΓZ. sed & quadratum ex ΓZ est æquale rectangulo ΓEΔ una cum quadrato ex EZ. auferatur commune quadratum ex EZ; erit igitur reliquum rectangulum AEB æquale rectangulo ΓEΔ una cum rectangulo ΔAΓ.



Τετμήσθω γὰρ ἡ ΓΔ δίχα, ὅπως ἂν ἔχῃ τὸ πρὸς τὸ E σημεῖον, κατὰ τὸ Z· καὶ ὅλη ἄρα ἡ AZ τῇ ZB ἴση ἐστίν· τὸ μὲν ἄρα ὑπὸ AEB μετὰ τοῦ ἀπὸ EZ ἴσον ἐστὶ τῷ ἀπὸ AZ· ὥστε τὸ ὑπὸ AEB μετὰ τοῦ ἀπὸ EZ ἴσον ἐστὶ τῷ ὑπὸ ΔAΓ καὶ τῷ ἀπὸ ΓZ. ἀλλὰ τὸ ἀπὸ ΓZ ἴσον ἐστὶ τῷ τε ὑπὸ ΓEΔ καὶ τῷ ἀπὸ EZ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ EZ τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ AEB ἴσον ἐστὶ τῷ τε ὑπὸ ΔEΓ καὶ τῷ ὑπὸ ΔAΓ.

LEMMA V.

Sint duo triangula ABΓ, ΔEZ; & sit angulus quidem Γ æqualis angulo Z, angulus vero B angulo E major: dico BΓ ad ΓA minorem rationem habere quam EZ ad ZΔ.

ΛΗΜΜΑ ε′.

Ἔστω δύο τρίγωνα τὰ ABΓ, ΔEZ, καὶ ἔστω ἴση ἡ μὲν Γ τῇ Z, μείζων δὲ ἡ B τῆς E· ὅτι ἡ BΓ πρὸς ΓA ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ EZ πρὸς ZΔ.





Constituatur enim angulus ΓBH æqualis angulo E, & est angulus Γ angulo Z æqualis: ergo [per 4. 6.] ut BΓ ad ΓH ita EZ ad ZΔ. sed [per 8. 5.] BΓ ad ΓA minorem habet rationem quam BΓ ad ΓH: igitur BΓ ad ΓA minorem rationem habet quam EZ ad ZΔ.

Συνεστάτω τῇ B γωνίᾳ ἴση ἡ ὑπὸ ΓBH, ἔστι δὲ καὶ ἡ Γ τῇ Z ἴση· ἔστιν ἄρα ὡς ἡ BΓ πρὸς ΓH οὕτως ἡ EZ πρὸς ZΔ. ἀλλὰ ἡ BΓ πρὸς τὴν ΓA ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ BΓ πρὸς ΓH· καὶ ἡ BΓ ἄρα πρὸς ΓA ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ EZ πρὸς ZΔ.

LEMMA VI.

Habeat rursus BΓ ad ΓA majorem rationem quam EZ ad ZΔ, & sit angulus Γ æqualis angulo Z: dico angulum B angulo E minorem esse.

ΛΗΜΜΑ ϛ′.

Ἐχέτω δὴ πάλιν ἡ BΓ πρὸς ΓA μείζονα λόγον ἤπερ ἡ EZ πρὸς ZΔ, ἴση δὲ ἔστω ἡ Γ γωνία τῇ Z· ὅτι πάλιν γίνεται ἐλάσσων ἡ B γωνία τῆς E γωνίας.





Quoniam enim BΓ ad ΓA majorem rationem habet quam EZ ad ZΔ; si igitur fiat ut BΓ ad ΓA ita EZ ad aliam quandam; erit ea [per 10. 5.] minor quam ZΔ. sit ea recta ZH, & EH jungatur. cumque circa æquales angulos latera proportionalia sint, erit angulus ad B [per 6. 6.] æqualis angulo ZEH, qui angulo ZEΔ minor est.

Ἐπεὶ γὰρ ἡ BΓ πρὸς ΓA μείζονα λόγον ἔχει ἤπερ ἡ EZ πρὸς ZΔ· ἐὰν ἄρα ποιῶ ὡς ἡ BΓ πρὸς τὴν ΓA οὕτως ἡ EZ πρὸς τινα ἄλλην, ἔσται πρὸς ἐλάσσονα τῆς ZΔ. ἔστω πρὸς τὴν ZH, καὶ ἐπεζεύχθω ἡ EH. καὶ περὶ ἴσας γωνίας ἀνάλογόν εἰσιν αἱ πλευραί· ἴση ἄρα ἐστὶν ἡ B γωνία τῇ ὑπὸ ZEH, ἐλάσσονι οὔσῃ τῆς ZEΔ. ὅ. ἔ. δ.

ΛΗΜΜΑ ζ.

Ἔστω ὅμοια τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, καὶ διήχθωσαν αἱ ΑΗ, ΔΘ οὕτως, ὥστε εἶναι ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ οὕτως τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ· ὅτι γίνεται ὅμοιον καὶ τὸ ΑΗΓ τρίγωνον τῷ ΔΘΖ τριγώνῳ.

Ἐπεὶ γάρ ἐστιν ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ οὕτω τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ, ἀλλ' ὁ μὲν τοῦ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ λόγος συνῆπται ἔκ τε τοῦ ὃν ἔχει ἡ ΒΓ πρὸς ΓΑ καὶ τοῦ τῆς ΗΓ πρὸς ΓΑ· ὁ δὲ τοῦ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ συνῆπται ἔκ τε τοῦ τῆς ΕΖ πρὸς ΖΔ καὶ τοῦ τῆς ΖΘ πρὸς ΖΔ, ὧν ὁ τῆς ΒΓ πρὸς ΓΑ λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΕΖ πρὸς ΖΔ, διὰ τὴν ὁμοιότητα τῶν τριγώνων· λοιπὸς ἄρα ὁ τῆς ΗΓ πρὸς ΓΑ λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΘΖ πρὸς ΖΔ. καὶ περὶ ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΗΓ τρίγωνον τῷ ΔΘΖ τριγώνῳ. ὅ. ἔ. δ.

LEMMA VII.

Sint triangula similia ΑΒΓ, ΔΕΖ; & ita ducantur ΑΗ, ΔΘ, ut sit rectangulum ΒΓΗ ad quadratum ex ΓΑ sicut rectangulum ΕΖΘ ad quadratum ex ΖΔ: dico & triangulum ΑΗΓ triangulo ΔΘΖ simile esse.


Α
Β Η Γ


Δ
Ε Θ Ζ

Quoniam enim [ex hyp.] est ut rectangulum ΒΓΗ ad quadratum ex ΓΑ ita rectangulum ΕΖΘ ad quadratum ex ΖΔ; sed [per 23. 6.] ratio quidem rectanguli ΒΓΗ ad quadratum ex ΓΑ composita est ex ratione quam habet ΒΓ ad ΓΑ & ratione ΗΓ ad ΓΑ; ratio autem rectanguli ΕΖΘ ad quadratum ex ΖΔ componitur ex ratione ΕΖ ad ΖΔ & ratione ΘΖ ad ΖΔ; quarum quidem ratio ΒΓ ad ΓΑ eadem est quæ ΕΖ ad ΖΔ, ob similitudinem triangulorum: erit igitur reliqua ratio ΗΓ ad ΓΑ eadem quæ ipsius ΘΖ ad ΖΔ. & [ex hyp.] sunt circa æquales angulos: ergo [per 6. 6.] triangulum ΑΗΓ triangulo ΔΘΖ simile erit.

ΛΗΜΜΑ η.

Διὰ μὲν οὖν τοῦ συνημμένου λόγου, ὡς προγέγραπται. ἔστω δὲ νῦν ἀποδεῖξαι μὴ προσχρησάμενον τῷ συνημμένῳ λόγῳ.

Κείσθω τῷ μὲν ὑπὸ ΒΓΗ ἴσον τὸ ὑπὸ ΑΓΚ· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΚ οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΗ. τῷ δὲ ὑπὸ ΕΖΘ ἴσον κείσθω τὸ ὑπὸ ΔΖΛ· ἔστιν ἄρα ὡς ἡ ΕΖ πρὸς ΖΛ οὕτως ἡ ΔΖ πρὸς ΖΘ. ὑπόκειται δὲ ὡς τὸ ὑπὸ ΒΓΗ, τοῦτ' ἔστι τὸ ὑπὸ ΑΓΚ, πρὸς τὸ ἀπὸ ΑΓ, τοῦτ' ἔστιν ὡς ἡ ΚΓ πρὸς ΓΑ, οὕτω τὸ ὑπὸ ΕΖΘ, τοῦτ' ἔστι τὸ ὑπὸ ΔΖΛ πρὸς τὸ ἀπὸ ΔΖ, τοῦτ' ἔστιν ἡ ΛΖ πρὸς ΖΔ. ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς ΓΑ οὕτως ἡ ΕΖ πρὸς ΖΔ, διὰ τὴν ὁμοιότητα τῶν τριγώνων· καὶ ὡς ἄρα ἡ ΒΓ πρὸς ΓΚ οὕτως ἡ ΕΖ πρὸς ΖΛ. ἀλλ' ὡς μὲν ἡ ΒΓ πρὸς ΓΚ οὕτως ἐδείχθη ἡ ΑΓ πρὸς ΓΗ, ὡς δὲ ἡ ΕΖ πρὸς ΖΛ οὕτως ἡ ΔΖ πρὸς ΖΘ· καὶ ὡς ἄρα ἡ ΑΓ πρὸς ΓΗ οὕτως ἡ ΔΖ πρὸς ΖΘ. καὶ περὶ ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΓΗ τρίγωνον τῷ ΔΖΘ τριγώνῳ. ὁμοίως καὶ τὸ ΑΗΒ τῷ ΔΘΕ· ὥστε καὶ τὸ ΑΒΓ τῷ ΔΕΖ. ὅ. ἔ. δ.

LEMMA VIII.

Hoc igitur per rationem compositam, eo quem diximus modo, demonstratur. sed jam liceat idem aliter demonstrare absque composita ratione.


Α
Β Η Γ
Κ


Δ
Ε Θ Ζ
Λ

Ponatur enim rectangulo ΒΓΗ æquale rectangulum ΑΓΚ: ergo [per 16. 6.] ut ΒΓ ad ΓΚ ita ΑΓ ad ΓΗ. ipsi vero rectangulo ΕΖΘ æquale ponatur rectangulum ΔΖΛ: erit igitur ut ΕΖ ad ΖΛ ita ΔΖ ad ΖΘ. sed positum est ut rectangulum ΒΓΗ, hoc est regulum ΑΓΚ, ad quadratum ex ΑΓ, hoc est [per 1. 6.] ut ΚΓ ad ΓΑ ita rectangulum ΕΖΘ, hoc est ipsum ΔΖΛ ad quadratum ex ΔΖ, videlicet ut ΛΖ ad ΖΔ. ut autem ΒΓ ad ΓΑ ita ΕΖ ad ΖΔ, ob similitudinem triangulorum: ergo [per 22. 5.] ut ΒΓ ad ΓΚ ita ΕΖ ad ΖΛ. sed ut ΒΓ ad ΓΚ ita ostensa est ΑΓ ad ΓΗ; itemque ut ΕΖ ad ΖΛ ita ΔΖ ad ΖΘ: ut igitur ΑΓ ad ΓΗ ita erit ΔΖ ad ΖΘ. & sunt circa æquales angulos: triangulum igitur ΑΓΗ [per 6. 6.] simile est triangulo ΔΖΘ. & eadem ratione triangulum ΑΗΒ simile est triangulo ΔΘΕ, sicut triangulum ΑΒΓ ipsi ΔΕΖ simile est.

ΛΗΜΜΑ θ.

Ἔστω ὅμοιον τὸ μὲν ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, τὸ δὲ ΑΗΒ τῷ ΔΕΘ· ὅτι γίνεται ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ οὕτω τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ.

Ἐπεὶ γὰρ, διὰ τὴν ὁμοιότητα, ἴση ἐστὶν ὅλη μὲν ἡ Α ὅλῃ τῇ Δ, ἡ δὲ ὑπὸ ΒΑΗ τῇ ὑπὸ ΕΔΘ· λοιπὴ ἄρα ἡ ὑπὸ ΗΑΓ λοιπῇ τῇ ὑπὸ ΘΔΖ ἐστὶν ἴση. ἀλλὰ καὶ ἡ Γ

LEMMA IX.

Sit triangulum quidem ΑΒΓ simile triangulo ΔΕΖ, uti & triangulum ΑΗΒ triangulo ΔΕΘ simile: dico ut rectangulum ΒΓΗ ad quadratum ex ΓΑ ita esse rectangulum ΕΖΘ ad quadratum ex ΖΔ.

Quoniam enim, propter similitudinem triangulorum, totus angulus Α toti Δ est æqualis; angulus autem ΒΑΗ æqualis est angulo ΕΔΘ: erit igitur reliquus ΗΑΓ reliquo ΘΔΖ æqualis. sed & angulus

gulus Γ est æqualis angulo Z: est igitur [per 4. 6.] ut HΓ ad ΓA ita ΘZ ad ZΔ. ut autem BΓ ad ΓA ita EZ ad ZΔ: ergo & composita ratio compositæ rationi eadem erit: ut igitur rectangulum BΓH est ad quadratum ex ΓA ita rectangulum EZΘ ad quadratum ex ZΔ.





τῇ Ζ· ἔστιν ἄρα ὡς ἡ ΗΓ πρὸς τὴν ΓΑ οὕτως ἡ ΘΖ πρὸς τὴν ΖΔ. ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΑ οὕτως ἡ ΕΖ πρὸς ΖΔ· καὶ ὁ συνημμένος ἄρα τῷ συνημμένῳ ἐστὶν ὁ αὐτός· ἔστιν ἄρα ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΓΑ οὕτω τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ.

Aliter absque ratione composita.

POnatur rectangulo BΓH æquale rectangulum AΓK, & rectangulo EZΘ æquale rectangulum ΔZΛ; erit rursus ut BΓ ad ΓK ita AΓ ad ΓH. ut autem EZ ad ZΛ ita ΔZ ad ZΘ: &, eadem ratione qua supra, demonstrabimus ut AΓ ad ΓH ita esse ΔZ ad ZΘ: ergo ut BΓ ad ΓK ita EZ ad ZΛ. sed & ut BΓ ad ΓA ita EZ ad ZΔ, ob triangulorum similitudinem: ex æquali igitur [per 22.5.] ut KΓ ad ΓA, hoc est [per 1.6.] ut rectangulum KΓA sive rectangulum BΓH ad quadratum ex ΓA ita ΛZ ad ZΔ, hoc est rectangulum ΛZΔ sive rectangulum EZΘ, ad quadratum ex ZΔ.





Ἄλλως μὴ διὰ τοῦ συνημμένου.

ΚΕίσθω τῷ μὲν ὑπὸ ΒΓΗ ἴσον τὸ ὑπὸ ΑΓΚ, τῷ δὲ ὑπὸ ΕΖΘ ἴσον τὸ ὑπὸ ΔΖΛ· ἔσται πάλιν ὡς μὲν ἡ ΒΓ πρὸς ΓΚ οὕτως ἡ ΑΓ πρὸς ΓΗ. ὡς δὲ ἡ ΕΖ πρὸς ΖΛ οὕτως ἡ ΔΖ πρὸς ΖΘ· καὶ κατὰ τὰ αὐτὰ τῷ ἐπάνω δείξομεν ὅτι ἐστὶν ὡς ἡ ΑΓ πρὸς ΓΗ οὕτως ἡ ΔΖ πρὸς ΖΘ· καὶ ὡς ἄρα ἡ ΒΓ πρὸς ΓΚ οὕτως ἡ ΕΖ πρὸς ΖΛ. ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς ΓΑ οὕτως ἡ ΕΖ πρὸς ΖΔ, διὰ τὴν ὁμοιότητα· δι' ἴσου ἄρα ἐστὶν ὡς ΚΓ πρὸς ΓΑ, τοῦτ' ἔστιν ὡς τὸ ὑπὸ ΚΓΑ, ὅ ἐστι τὸ ὑπὸ ΒΓΗ, πρὸς τὸ ἀπὸ ΑΓ οὕτως ἡ ΔΖ πρὸς ΖΔ, τοῦτ' ἔστι τὸ ὑπὸ ΛΖΔ, ὅ ἐστι τὸ ὑπὸ ΕΖΘ, πρὸς τὸ ἀπὸ ΖΔ.

LEMMA X.

Similiter demonstrabimus, si fuerit ut rectangulum BΓH ad quadratum ex AΓ ita rectangulum EZΘ ad quadratum ex ZΔ, & triangulum ABΓ simile triangulo ΔEZ: etiam triangulum ABH triangulo ΔEΘ simile esse.

ΛΗΜΜΑ ι'.

Ὁμοίως δὴ δείξομεν, ἐὰν ᾖ ὡς τὸ ὑπὸ ΒΓΗ πρὸς τὸ ἀπὸ ΑΓ οὕτω τὸ ὑπὸ ΕΖΘ πρὸς τὸ ἀπὸ ΖΔ, καὶ ὅμοιον τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ· καὶ τὸ ΑΒΗ τρίγωνον τῷ ΔΕΘ τριγώνῳ ὅμοιον εἶναι.

LEMMA XI.

Sint duo triangula similia ABΓ, ΔEZ, & ducantur perpendiculares AH, ΔΘ: dico ut rectangulum BHΓ ad quadratum ex AH ita esse rectangulum BΘZ ad quadratum ex ΔΘ.

HOC autem ex iis, quæ supra [ad lem. 8.] dicta sunt, perspicue constat.





ΛΗΜΜΑ ια'.

Ἔστω δύο ὅμοια τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ, καὶ κάθετοι ἤχθωσαν αἱ ΑΗ, ΔΘ· ὅτι ἐστὶν ὡς τὸ ὑπὸ ΒΗΓ πρὸς τὸ ἀπὸ ΑΗ οὕτω τὸ ὑπὸ ΕΘΖ πρὸς τὸ ἀπὸ ΔΘ.

ΤΟΥΤΟ δὲ φανερὸν, ὅτι ὅμοιον γίνεται τοῖς πρὸ αὐτοῦ.

LEMMA XII.

Sit æqualis quidem angulus B angulo E, angulus vero A angulo Δ minor: dico ΓB ad BA minorem rationem habere quam ZE ad EΔ.

QUoniam enim angulus A minor est angulo Δ, constituatur ipsi A æqualis EΔH: est igitur [per 4. 6.] ut ΓB ad BA ita HE ad EΔ. sed [per 8.5.] HE ad EΔ minorem habet rationem quam ZE ad EΔ: ergo & ΓB ad BA minorem rationem habet quam ZE ad EΔ. similiter & omnia alia ejusmodi ostendemus.





ΛΗΜΜΑ ιβ'.

Ἔστω ἴση ἡ μὲν Β γωνία τῇ Ε, ἐλάσσων δὲ ἡ Α τῆς Δ· ὅτι ἡ ΓΒ πρὸς ΒΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΖΕ πρὸς ΕΔ.

ΕΠΕΙ γὰρ ἐλάσσων ἡ Α γωνία τῆς Δ, συνεστάτω αὐτῇ ἴση ἡ ὑπὸ ΕΔΗ· ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς ΒΑ οὕτως ἡ ΗΕ πρὸς ΕΔ. ἀλλὰ καὶ ἡ ΗΕ πρὸς ΕΔ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ΖΕ πρὸς ΕΔ· καὶ ἡ ΓΒ ἄρα πρὸς ΒΑ ἐλάσσονα λόγον ἔχει ἤπερ ΖΕ πρὸς τὴν ΕΔ. καὶ πάντα τὰ τοιαῦτα τῇ αὐτῇ ἀγωγῇ δείξομεν.

ΛΗΜΜΑ ιγ΄.

Ἔστω ὡς τὸ ὑπὸ ΒΗΓ πρὸς τὸ ἀπὸ ΑΗ οὕτω τὸ ὑπὸ ΕΘΖ πρὸς τὸ ἀπὸ ΔΘ· καὶ ἡ μὲν ΒΗ τῇ ΗΓ ἔστω ἴση, ἡ δὲ ΓΗ πρὸς ΗΑ ἐλάσσονα λόγον ἐχέτω ἤπερ ἡ ΖΘ πρὸς ΘΔ. ὅτι μείζων ἐστὶν ἡ ΖΘ τῆς ΘΕ.

Ἐπεὶ γὰρ τὸ ἀπὸ ΓΗ πρὸς τὸ ἀπὸ ΗΑ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ, ἀλλὰ τὸ ἀπὸ ΓΗ ἴσον ἐστὶ τῷ ὑπὸ ΒΗΓ· τὸ ἄρα ὑπὸ ΒΗΓ πρὸς τὸ ἀπὸ ΑΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ. ἀλλ᾽ ὡς τὸ ὑπὸ ΒΗΓ πρὸς τὸ ἀπὸ ΑΗ οὕτως ὑπόκειται τὸ ὑπὸ ΕΘΖ πρὸς τὸ ἀπὸ ΘΔ· καὶ τὸ ὑπὸ ΕΘΖ ἄρα πρὸς τὸ ἀπὸ ΘΔ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ· μεῖζον ἄρα ἐστὶ τὸ ἀπὸ ΖΘ τοῦ ὑπὸ ΕΘΖ. ὥστε μείζων ἐστὶν ἡ ΖΘ τῆς ΘΕ. ὅ. ἔ. δ.



LEMMA XIII.

Sit ut rectangulum ΒΗΓ ad quadratum ex ΑΗ ita rectangulum ΕΘΖ ad quadratum ex ΔΘ, & sit ΒΗ quidem æqualis ΗΓ; ΓΗ vero ad ΗΑ minorem rationem habeat quam ΖΘ ad ΘΔ: dico ΖΘ majorem esse quam ΘΕ.

Quoniam enim quadratum ex ΓΗ ad quadratum ex ΗΑ minorem rationem habet quam quadratum ex ΖΘ ad quadratum ex ΘΔ; quadratum autem ex ΓΗ æquale est rectangulo ΒΗΓ; habebit ΒΗΓ rectangulum ad quadratum ex ΑΗ minorem rationem quam quadratum ex ΖΘ ad quadratum ex ΘΔ. sed ut ΒΗΓ rectangulum ad quadratum ex ΑΗ ita positum est rectangulum ΕΘΖ ad quadratum ex ΘΔ: ergo rectangulum ΕΘΖ ad quadratum ex ΘΔ minorem rationem habet quam quadratum ex ΖΘ ad quadratum ex ΘΔ: majus igitur est [per 8. 5.] quadratum ex ΖΘ rectangulo ΕΘΖ; quare & ΖΘ major erit quam ΘΕ.



ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΓΑΙΟΥ
ΚΩΝΙΚΩΝ
ΤΟ ΔΕΥΤΕΡΟΝ,
ΜΕΤΑ ΤΩΝ ΕΥΤΟΚΙΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ.

APOLLONII PERGÆI
CONICORUM
LIBER SECUNDUS,
CUM COMMENTARIIS EUTOCII ASCALONITÆ.

Apollonius Eudemo S. P.

SI vales bene est, ego quidem satis commode habeo. *Apollonio* filio meo dedi, ut ad te perferret, secundum librum Conicorum à nobis conscriptorum: quem tu diligenter percurre, & communica cum illis, qui eo tibi digni videbuntur. *Philonidæ* etiam Geometræ, quo cum tibi *Ephesi* amicitiam conciliavi, si quando in isthæc *Pergami* loca venerit, legendum trade: tu cura ut valeas. Vale.

Ἀπολλώνιος Εὐδήμῳ χαίρειν.

ΕΙ ὑγιαίνεις ἔχοι ἂν καλῶς, καὶ αὐτὸς δὲ μετρίως ἔχω. Ἀπολλώνιον τὸν υἱόν μου πέπομφα πρός σε κομίζοντα τὸ δεύτερον βιβλίον τῶν συντεταγμένων ἡμῖν κωνικῶν. Δίελθε οὖν αὐτὸ ἐπιμελῶς, καὶ τοῖς ἀξίοις τῶν τοιούτων κοινωνεῖν μεταδίδου, καὶ Φιλωνίδης δὲ ὁ γεωμέτρης, ὃν καὶ συνέστησά σοι ἐν Ἐφέσῳ, ἐάν ποτε ἐπιβάλλῃ εἰς τοὺς κατὰ Πέργαμον τόπους, μετάδος αὐτῷ· καὶ σεαυτοῦ ἐπιμελοῦ ἵνα ὑγιαίνῃς. εὐτύχει.

PROP. I. *Theor.*

Si hyperbolam recta linea ad verticem contingat, & ab ipso, ex utraque parte diametri, ponatur recta æqualis ei quæ potest quartam figuræ partem: rectæ quæ à sectionis centro ad sumptos terminos contingentis ducuntur cum sectione non convenient.

ΠΡΟΤΑΣΙΣ α΄.

Ἐὰν ὑπερβολῆς κατὰ κορυφὴν εὐθεῖα ἐφάπτηται, καὶ ἀπ᾽ αὐτῆς ἐφ᾽ ἑκάτερα τῆς διαμέτρου ἀποληφθῇ ἴση τῇ δυναμένῃ τὸ τέταρτον τοῦ εἴδους· αἱ ἀπὸ τοῦ κέντρου τῆς τομῆς ἐπὶ τὰ ληφθέντα πέρατα τῆς ἐφαπτομένης ἀγόμεναι εὐθεῖαι οὐ συμπεσοῦνται τῇ τομῇ.

ΕΣΤΩ

Ἔστω ὑπερβολή, ἧς διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, ὀρθία δὲ ἡ ΒΖ, καὶ ἐφαπτέσθω τῆς τομῆς κατὰ τὸ Β ἡ ΔΖ, καὶ τῷ τετάρτῳ τοῦ ὑπὸ τῶν ΑΒΖ εἴδους ἴσον ἔστω τὸ ἀφ' ἑκατέρας ΒΔ, ΒΕ, καὶ ἐπιζευχθεῖσαι αἱ ΓΔ, ΓΕ ἐκβεβλήσθωσαν· λέγω ὅτι οὐ συμπεσοῦνται τῇ τομῇ.

Εἰ γὰρ δυνατόν, συμπιπτέτω ἡ ΓΔ τῇ τομῇ κατὰ τὸ Η, καὶ ἀπὸ τοῦ Η τεταγμένως κατήχθω ἡ ΗΘ· παράλληλος ἄρα ἐστὶ τῇ ΔΒ. ἐπεὶ οὖν ἐστιν ὡς ΑΒ πρὸς ΒΖ οὕτως τὸ ἀπὸ ΑΒ πρὸς τὸ ὑπὸ ΑΒΖ, ἀλλὰ τοῦ μὲν ἀπὸ ΑΒ τέταρτον μέρος ἐστὶ τὸ ἀπὸ ΓΒ, τοῦ δὲ ὑπὸ ΑΒΖ τέταρτον τὸ ἀπὸ ΒΔ· ὡς ἄρα ἡ ΑΒ πρὸς ΒΖ οὕτως τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΔΒ, τουτέστι τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΘΗ. ἔστι δὲ καὶ ὡς ἡ ΑΒ πρὸς ΒΖ οὕτως τὸ ὑπὸ ΑΘΒ πρὸς τὸ ἀπὸ ΘΗ· ὡς ἄρα τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΘΗ οὕτως τὸ ὑπὸ ΑΘΒ πρὸς τὸ ἀπὸ ΘΗ· ἴσον ἄρα τὸ ὑπὸ ΑΘΒ τῷ ἀπὸ ΓΘ, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ ΓΔ συμπεσεῖται τῇ τομῇ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἡ ΓΕ· ΑΣΥΜΠΤΩΤΟΙ ἄρα εἰσὶ τῇ τομῇ αἱ ΓΔ, ΓΕ.



Sit hyperbola, cujus diameter AB, centrum Γ, & rectum figuræ latus BZ, recta vero ΔB sectionem contingat in B; & quartæ parti figuræ, quæ continetur sub ABZ, æquale sit quadratum utriusque ipsarum ΔB, BE, & junctæ ΓΔ, ΓE producantur: dico eas cum sectione non convenire.

Si enim fieri potest, conveniat ΓΔ cum sectione in H, & ab H ordinatim applicetur ΘH: ergo [per 17. 1. huj.] HΘ parallela est ipsi ΔB. quoniam igitur ut AB ad BZ ita [per 1. 6.] est quadratum ex AB ad rectangulum ABZ; quadratum autem ΓB quarta pars est quadrati ex AB, & quadratum ex BΔ itidem quarta pars rectanguli ABZ: erit [per 15. 5.] itaque AB ad BZ ut quadratum ex ΓB ad quadratum ex BΔ, hoc est [per 4. 6.] quadratum ex ΓΘ ad quadratum ex ΘH. est vero [per 21. 1. huj.] ut AB ad BZ ita rectangulum AΘB ad quadratum ex ΘH: igitur ut quadratum ex ΓΘ ad quadratum ex ΘH ita rectangulum AΘB ad quadratum ex ΘH: rectangulum igitur AΘB [per 9. 5.] quadrato ex ΓΘ æquale est; quod [per 6. 2.] est absurdum: ergo ΓΔ cum sectione non conveniet. similiter demonstrabitur neque ipsam ΓE convenire cum sectione: sunt igitur ΓΔ, ΓE ASYMPTOTI, hoc est, *cum sectione non convenientes.*

EUTOCIUS.

Ἀρχόμενος τοῦ δευτέρου βιβλίου τῶν κωνικῶν, ὦ φίλτατέ μοι Ἀνθέμιε, τοσοῦτον οἶμαι δεῖν προειπεῖν, ὅτι τοσαῦτα μόνα εἰς αὐτὸ γράφω, ὡς ἂν ἦν δυνατὸν διὰ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ νοηθῆναι. Τὸ πρῶτον θεώρημα πτῶσιν οὐκ ἔχει, εἰ γὰρ μή, τοῦτο ἐν τῇ καταγραφῇ διαφορὰν οὐ ποιεῖ· αἱ γὰρ ΔΓ, ΓΕ ἀσύμπτωτοί εἰσιν ἐν τῇ τομῇ, καὶ αὐταὶ διαμένουσι κατὰ πᾶσαν διάμετρον καὶ ἐφαπτομένην.

Explicaturus secundum librum Conicorum, amicissime *Anthemi*, illud præmittere oportere existimo, me ea tantummodo in ipsum conscribere, quæ ex primo libro intelligi possunt. Primum theorema casum non habet; nam diversitas schematum nullam hic facit diversitatem: rectæ enim ΔΓ, ΓE sectionis asymptoti cum sint, eædem manent in omni diametro & contingente.

ΠΡΟΤΑΣΙΣ β'.

Τῶν αὐτῶν ὄντων, δεικτέον, ὅτι ἑτέρα ἀσύμπτωτος οὐκ ἔστι τέμνουσα τὴν περιεχομένην γωνίαν ὑπὸ τῶν ΔΓΕ.

Ει γὰρ δυνατόν, ἔστω ἡ ΓΘ, καὶ διὰ τοῦ Β τῇ ΓΔ παράλληλος ἤχθω ἡ ΒΘ, καὶ συμπιπτέτω τῇ ΓΘ κατὰ τὸ Θ, καὶ τῇ ΒΘ ἴση κείσθω ἡ ΔΗ, καὶ ἐπιζευχθεῖσα ἡ ΗΘ ἐκβεβλήσθω ἐπὶ τὰ Κ, Λ, Μ.

Ἐπεὶ οὖν αἱ ΒΘ, ΔΗ ἴσαι καὶ παράλληλοι, καὶ αἱ ΔΒ, ΗΘ ἴσαι καὶ παράλληλοι. καὶ ἐπεὶ ἡ ΑΒ δίχα τέμνεται κατὰ τὸ Γ, καὶ πρόσκειται αὐτῇ τις ἡ ΒΛ· τὸ ὑπὸ ΑΛΒ μετὰ τοῦ ἀπὸ ΓΒ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΛ. ὁμοίως δὴ ἐπειδὴ παράλληλός ἐστιν ἡ ΗΜ τῇ ΔΕ, καὶ ἴση ἡ ΔΒ τῇ ΒΕ· ἴση ἄρα καὶ ἡ ΗΛ τῇ ΛΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΗΘ τῇ ΔΒ, μείζων ἄρα ἡ ΗΚ τῆς ΔΒ. ἔστι δὲ καὶ ΚΜ τῆς ΒΕ μείζων, ἐπεὶ καὶ τῆς

PROP. II. *Theor.*

Iisdem manentibus, demonstrandum est non esse aliam asymptoton, quæ angulum ΔΓE dividat.

Si enim fieri potest, sit ΓΘ; & per B ipsi ΓΔ parallela ducatur BΘ, quæ cum ΓΘ in Θ puncto conveniat; ipsi vero BΘ ponatur æqualis ΔH; & juncta HΘ ad K, Λ, M producatur.

Quoniam igitur BΘ, ΔH æquales sunt & parallelæ; & ipsæ ΔB, HΘ [per 33. 1.] æquales & parallelæ erunt. & quoniam AB bifariam secatur in Γ, & ipsi adjungitur quædam BΛ: ergo [per 6. 2.] rectangulum AΛB una cum quadrato ex ΓB æquale est quadrato ex ΓΛ. similiter quoniam HM ipsi ΔE est parallela, atque est ΔB æqualis BE; & HΛ ipsi ΛM æqualis erit. & quoniam HΘ æqualis est ΔB; erit HK ipsâ ΔB major. est vero & KM major ipsâ BE, quia & ipsâ

ipsâ ΑΜ: rectangulum igitur ΜΚΗ majus est rectangulo ΔΒΕ, hoc est quadrato ex ΔΒ. quoniam igitur ut ΑΒ ad ΒΖ ita est [ex demonstr. ad præc.] quadratum ex ΓΒ ad quadratum ex ΒΔ; atque ut ΑΒ ad ΒΖ ita [per 21. 1. huj.] ΑΛΒ rectangulum ad quadratum ex ΛΚ: erit igitur ut quadratum ex ΓΒ ad quadratum ex ΒΔ ita ΑΛΒ rectangulum ad quadratum ex ΛΚ. ut vero quadratum ex ΓΒ ad quadratum ex ΒΔ ita [per 4. & 22. 6.] quadratum ex ΓΛ ad quadratum ex ΛΗ: ergo ut quadratum ex ΓΛ ad quadratum ex ΛΗ ita ΑΛΒ rectangulum ad quadratum ex ΛΚ. quoniam itaque est ut totum quadratum ex ΓΛ ad totum quadratum ex ΛΗ ita ablatum rectangulum ΑΛΒ ad ablatum quadratum ex ΛΚ; erit reliquum, nempe [per 6. 2.] quadratum ex ΓΒ, ad reliquum [per eandem] rectangulum ΜΚΗ ut quadratum ex ΓΛ ad quadratum ex ΛΗ, hoc est ut quadratum ex ΓΒ ad quadratum ex ΒΔ; ergo rectangulum ΜΚΗ æquale est quadrato ex ΒΔ. sed & ostensum est eo majus esse: quod absurdum. igitur ΓΘ non est asymptotos.



ΑΜ· τὸ ἄρα ὑπὸ ΜΚΗ μεῖζόν ἐστι τοῦ ὑπὸ ΔΒΕ, τουτέστι τοῦ ἀπὸ ΔΒ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΑΒ πρὸς ΒΖ οὕτως τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΔ, ἀλλ' ὡς μὲν ἡ ΑΒ πρὸς ΒΖ οὕτως τὸ ὑπὸ ΑΛΒ πρὸς τὸ ἀπὸ ΛΚ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΔ οὕτως τὸ ὑπὸ ΑΛΒ πρὸς τὸ ἀπὸ ΛΚ. ὡς δὲ τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΔ οὕτω τὸ ἀπὸ ΓΛ πρὸς τὸ ἀπὸ ΛΗ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΓΛ πρὸς τὸ ἀπὸ ΛΗ οὕτως τὸ ὑπὸ ΑΛΒ πρὸς τὸ ἀπὸ ΛΚ. ἐπεὶ οὖν ἐστιν ὡς ὅλον τὸ ἀπὸ ΛΓ πρὸς ὅλον τὸ ἀπὸ ΛΗ οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΑΛΒ πρὸς ἀφαιρεθὲν τὸ ἀπὸ ΛΚ· καὶ λοιπὸν ἄρα τὸ ἀπὸ ΓΒ πρὸς λοιπὸν τὸ ὑπὸ ΜΚΗ ἐστιν ὡς τὸ ἀπὸ ΓΛ πρὸς τὸ ἀπὸ ΛΗ, τουτέστι τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΔΒ· ἴσον ἄρα τῷ ἀπὸ ΔΒ τὸ ὑπὸ ΜΚΗ· ἀλλὰ καὶ μεῖζον αὐτοῦ δέδεικται, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ ΓΘ ἀσύμπτωτός ἐστι τῇ τομῇ.

EUTOCIUS.

Hoc theorema casum non habet, siquidem ΒΘ sectionem omnino in duobus punctis secat. quoniam enim parallela est ipsi ΓΔ, cum ipsa ΓΘ conveniet; ideoque prius cum sectione conveniet.

Τοῦτο τὸ θεώρημα πτῶσιν οὐκ ἔχει, ἡ μέντοι ΒΘ πάντως τεμεῖ τὴν τομὴν κατὰ δύο σημεῖα. ἐπεὶ γὰρ παράλληλός ἐστι τῇ ΓΔ, συμπεσεῖται τῇ ΘΓ· ὥστε πρότερον τῇ τομῇ συμπεσεῖται.

PROP. III. Theor.

Si hyperbolam contingat recta linea: cum utraque asymptotôn conveniet, & ad tactum bifariam secabitur; quadratum vero utriusque ejus portionis æquale erit quartæ parti figuræ ad diametrum per tactum ductam constitutæ.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν ὑπερβολῆς εὐθεῖα ἐφάπτηται, συμπεσεῖται ἑκατέρᾳ τῶν ἀσυμπτώτων καὶ δίχα τμηθήσεται κατὰ τὴν ἁφήν, καὶ τὸ ἀφ' ἑκατέρας τῶν τμημάτων αὐτῆς τετράγωνον ἴσον ἔσται τῷ τετάρτῳ τοῦ γινομένου εἴδους πρὸς τῇ διὰ τῆς ἁφῆς ἀγομένῃ διαμέτρῳ.

SIT hyperbola ΑΒΓ, cujus centrum Ε, & asymptoti sint ΖΕ, ΕΗ, quædam vero recta ΘΚ sectionem contingat in puncto Β: dico ΘΚ productam cum ΖΕ, ΕΗ convenire.

Si enim fieri potest, non conveniat, & juncta ΒΕ producatur, sitque ipsi ΒΕ æqualis ΕΔ: diameter igitur [per 47. 1. huj.] est ΒΔ. ponatur vero quartæ parti figuræ, quæ est ad ΒΔ, æquale quadratum utriusque ipsarum ΘΒ, ΒΚ, & jungantur ΘΕ, ΕΚ: ergo [per 1. 2. huj.] ΘΕ, ΕΚ asymptoti sunt, quod [per 2. 2. huj.] fieri nequit: positum est enim asymptotos esse ΖΕ, ΕΗ: igitur ΘΚ producta cum ipsis ΖΕ, ΕΗ conveniet, puta in punctis Ζ, Η.



Ἔστω ὑπερβολὴ ἡ ΑΒΓ, κέντρον δὲ αὐτῆς τὸ Ε, καὶ ἀσύμπτωτοι αἱ ΖΕ, ΕΗ, καὶ ἐφαπτέσθω τις αὐτῆς κατὰ τὸ Β ἡ ΘΚ· λέγω ὅτι ἐκβαλλομένη ἡ ΘΚ συμπεσεῖται ταῖς ΖΕ, ΕΗ.

Εἰ γὰρ δυνατόν, μὴ συμπιπτέτω, καὶ ἐπιζευχθεῖσα ἡ ΕΒ ἐκβεβλήσθω, καὶ κείσθω τῇ ΒΕ ἴση ἡ ΕΔ· διάμετρος ἄρα ἐστὶν ἡ ΒΔ. κείσθω δὴ τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΒΔ εἴδους ἴσον τὸ ἀφ' ἑκατέρας τῶν ΘΒ, ΒΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΘ, ΕΚ· ἀσύμπτωτοι ἄρα εἰσίν, ὅπερ ἄτοπον· ὑπόκεινται γὰρ ΖΕ, ΕΗ ἀσύμπτωτοι· ἡ ἄρα ΚΘ ἐκβαλλομένη συμπεσεῖται ταῖς ΕΖ, ΕΗ ἀσυμπτώτοις κατὰ τὰ Ζ, Η.

Λέγω

Λέγω δὴ ὅτι καὶ τὸ ἀφ' ἑκατέρας τῶν ΒΖ, ΒΗ ἴσον ἔσται τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΒΔ εἴδους. μὴ γάρ, ἀλλ', εἰ δυνατόν, ἔστω τῷ τετάρτῳ εἴδους ἴσον τὸ ἀφ' ἑκατέρας τῶν ΒΘ, ΒΚ· ἀσύμπτωτοι ἄρα εἰσὶν αἱ ΘΕ, ΕΚ, ὅπερ ἄτοπον· τὸ ἄρα ἀφ' ἑκατέρας τῶν ΖΒ, ΒΗ ἴσον ἔσται τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΒΔ εἴδους.

Dico quadratum utriusvis ipsarum ΒΖ, ΒΗ æquale esse quartæ parti figuræ quæ fit ad ΒΔ. non enim, sed si fieri potest, sit quartæ parti istius figuræ æquale quadratum utriusvis ipsarum ΘΒ, ΒΚ: asymptoti igitur sunt [per 1. 2. huj.] ΘΕ, ΕΚ; quod est absurdum: ergo quadratum utriusvis ΖΒ, ΒΗ æquale est quartæ parti figuræ ad ipsam ΒΔ constitutæ.

ΠΡΟΤΑΣΙΣ δ'.

Δύο δοθεισῶν εὐθειῶν γωνίαν περιεχουσῶν, καὶ σημείου ἐντὸς τῆς γωνίας· γράψαι διὰ τοῦ σημείου κώνου τομὴν τὴν καλουμένην ὑπερβολήν, ὥστε ἀσυμπτώτους εἶναι τὰς δοθείσας εὐθείας.*

Prop. IV. *Probl.*

Datis duabus rectis lineis angulum continentibus, & puncto intra angulum dato: describere per punctum coni sectionem quæ hyperbola appellatur, ita ut datæ rectæ ipsius asymptoti sint.

ΕΣΤΩΣΑΝ δύο εὐθεῖαι αἱ ΑΒ, ΑΓ τυχοῦσαν γωνίαν περιέχουσαι τὴν πρὸς τὸ Α, καὶ δεδόσθω σημεῖόν τι τὸ Δ, καὶ δέον ἔστω διὰ τοῦ Δ εἰς ἀσυμπτώτους τὰς ΑΒ, ΑΓ γράψαι ὑπερβολήν.

SINT duæ rectæ ΑΒ, ΑΓ angulum quemvis ad Α continentes, sitque datum punctum Δ, & oporteat per Δ intra asymptotos ΑΒ, ΑΓ hyperbolam describere.



Επεζεύχθω ἡ ΑΔ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ε, καὶ κείσθω τῇ ΔΑ ἴση ἡ ΑΕ, καὶ διὰ τοῦ Δ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΔΖ, καὶ κείσθω τῇ ΑΖ ἴση ἡ ΖΓ, καὶ ἐπιζευχθεῖσα ἡ ΓΔ ἐκβεβλήσθω ἐπὶ τὸ Β, καὶ τῷ ἀπὸ τῆς ΓΒ ἴσον γεγονέτω τὸ ὑπὸ ΔΕ, Η· καὶ ἐκβληθείσης τῆς ΑΔ, γεγράφθω περὶ αὐτὴν διὰ τοῦ Δ ὑπερβολή, ὥστε τὰς καταγομένας δύνασθαι τὰ παρὰ τὴν Η, ὑπερβάλλοντα εἴδει ὁμοίῳ τῷ ὑπὸ ΔΕ, Η.

Jungatur ΑΔ, & ad Ε producatur, & fiat ΔΑ æqualis ΑΕ, & per Δ ipsi ΑΒ parallela ducatur ΔΖ, ponaturque ΑΖ æqualis ΖΓ, & juncta ΓΔ producatur ad Β, & quadrato ex ΓΒ æquale fiat [ope 12. 6.] rectangulum sub ΔΕ & Η, & producta ΑΔ, circa ipsam per Δ hyperbola describatur [per 53. 1. huj.] ita ut applicatæ ad diametrum possint rectangula adjacentia rectæ Η, excedentiaque figurâ sub ipsis ΔΕ, Η contentâ simili.

Επεὶ οὖν παράλληλός ἐστιν ἡ ΔΖ τῇ ΒΑ, καὶ ἴση ἡ ΓΖ τῇ ΖΑ· ἴση ἄρα ἐστὶν ἡ ΓΔ τῇ ΔΒ· ὥστε τὸ ἀπὸ τῆς ΓΒ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΓΔ. καὶ ἔστι τὸ ἀπὸ τῆς ΓΒ ἴσον τῷ ὑπὸ ΔΕ, Η· ἑκάτερον ἄρα τῶν ἀπὸ ΓΔ, ΔΒ τέταρτον μέρος ἐστὶ τοῦ ὑπὸ ΔΕ, Η εἴδους· αἱ ἄρα ΑΒ, ΑΓ ἀσύμπτωτοί εἰσι τῆς γραφείσης ὑπερβολῆς.

Quoniam igitur parallela est ΔΖ ipsi ΒΑ, & ΓΖ æqualis ΖΑ; erit [per 2. 6.] ΓΔ ipsi ΔΒ æqualis: ergo [per 2. 2.] quadratum ex ΓΒ quadruplum est quadrati ex ΓΔ. atque est [per constr.] quadratum ex ΓΒ æquale rectangulo sub ΔΕ, Η: utrumque igitur quadratorum ex ΓΔ, ΔΒ quarta pars est figuræ quæ sub ΔΕ, Η continetur: quare [per 1. 2. huj.] ΑΒ, ΑΓ descriptæ hyperbolæ asymptoti sunt.

ΠΡΟΤΑΣΙΣ ε'.

Εὰν παραβολῆς ἢ ὑπερβολῆς ἡ διάμετρος εὐθεῖάν τινα τέμνῃ δίχα· ἡ κατὰ τὸ πέρας τῆς διαμέτρου ἐπιψαύουσα τῆς τομῆς παράλληλος ἔσται τῇ δίχα τεμνομένῃ εὐθείᾳ.

Prop. V. *Theor.*

Si parabolæ vel hyperbolæ diameter rectam quandam bifariam secet; quæ ad terminum diametri contingit sectionem parallela est rectæ bifariam sectæ.

ΕΣΤΩ παραβολὴ ἢ ὑπερβολὴ ἡ ΑΒΓ, ἧς διάμετρος ἡ ΔΒΕ, καὶ ἐφαπτέσθω τῆς τομῆς ἡ ΖΒΗ· ἤχθω δέ τις εὐθεῖα ἐν τῇ τομῇ ἡ ΑΕΓ, ἴσην ποιοῦσα τὴν ΑΕ τῇ ΕΓ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΖΗ.

SIT parabola vel hyperbola ΑΒΓ, cujus diameter ΔΒΕ, & ΖΒΗ sectionem contingat; ducatur autem quædam ΑΕΓ in sectione, faciens ΑΕ æqualem ipsi ΕΓ: dico ΑΓ parallelam esse ipsi ΖΗ.

* Vide Lemma II. *Pappi* in Librum quintum.

Nisi enim ita sit, ducatur per Γ ipsi ZH parallela ΓΘ, & jungatur ΘA. quoniam igitur ABΓ est parabola vel hyperbola, cujus diameter quidem ΔE, contingens autem ZH, atque ipsi ZH parallela est ΓΘ: erit [per 46. vel 47. 1. huj.] ΓK æqualis KΘ. sed & ΓE [ex hyp.] ipsi EA est æqualis: ergo [per 2. 6.] AΘ parallela est ipsi KE; quod fieri non potest: producta enim cum ipsâ BΔ [per 22. 1. huj.] convenit.



Εἰ γὰρ μή, ἤχθω διὰ τοῦ Γ τῇ ZH παράλληλος ἡ ΓΘ, καὶ ἐπεζεύχθω ἡ ΘA. ἐπεὶ οὖν παραβολὴ ἢ ὑπερβολή ἐστιν ἡ ABΓ, ἧς διάμετρος μὲν ἡ ΔE, ἐφαπτομένη δὲ ἡ ZH, καὶ παράλληλος αὐτῇ ἡ ΓΘ· ἴση ἄρα ἐστὶν ἡ ΓK τῇ KΘ. ἀλλὰ καὶ ἡ ΓE τῇ EA· ἡ ἄρα AΘ τῇ KE παράλληλός ἐστιν, ὅπερ ἀδύνατον· συμπίπτει γὰρ ἐκβαλλομένη τῇ BΔ.

Prop. VI. *Theor.*

Si ellipseos vel circuli circumferentiæ diameter rectam quandam non per centrum transeuntem bifariam secet: quæ ad terminum diametri sectionem contingit parallela erit rectæ bifariam sectæ.

ΠΡΟΤΑΣΙΣ ς'.

Ἐὰν ἐλλείψεως ἢ κύκλου περιφερείας ἡ διάμετρος εὐθεῖάν τινα δίχα τέμνῃ μὴ διὰ τοῦ κέντρου οὖσαν· ἡ κατὰ τὸ πέρας τῆς διαμέτρου ἐπιψαύουσα τῆς τομῆς παράλληλος ἔσται τῇ δίχα τεμνομένῃ εὐθείᾳ.

SIT ellipsis vel circuli circumferentia, cujus diameter AB, & AB ipsam ΓΔ non transeuntem per centrum bifariam secet in E: dico rectam, quæ sectionem contingit ad A, ipsi ΔΓ parallelam esse.

Nam, si fieri potest, sit recta ΔZ sectionem contingenti in puncto A parallela: æqualis igitur est [per 47. 1. huj.] ΔH ipsi ZH. est autem [ex hyp.] & ΔE æqualis EΓ: ergo [per 2. 6.] ΓZ ipsi HE est parallela, quod est absurdum. etenim sive H fuerit centrum sectionis AB; linea ΓZ [per 23. 1. huj.] cum diametro AB occurret: sive non sit, ponatur centrum K, junctaque ΔK producatur ad Θ, & jungatur ΓΘ. quoniam igitur ΔK æqualis est KΘ, & ΔE ipsi EΓ; erit [per 2. 6.] ΓΘ parallela ipsi AB. sed & ΓZ [ex hyp.] eidem est paralella, quod est absurdum: ergo quæ ad A sectionem contingit ipsi ΓΔ est parallela.



ΕΣΤΩ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ AB, καὶ ἡ AB τὴν ΓΔ μὴ διὰ τοῦ κέντρου οὖσαν δίχα τεμνέτω κατὰ τὸ E· λέγω ὅτι ἡ κατὰ τὸ A ἐφαπτομένη παράλληλός ἐστι τῇ ΔΓ.



Εἰ γὰρ μή, ἔστω τῇ κατὰ τὸ A ἐφαπτομένῃ παράλληλος ἡ ΔZ· ἴση ἄρα ἐστὶν ἡ ΔH τῇ ZH. ἔστι δὲ καὶ ἡ ΔE τῇ EΓ ἴση· παράλληλος ἄρα ἐστὶν ἡ ΓZ τῇ HE, ὅπερ ἄτοπον· εἴτε γὰρ τὸ H σημεῖον κέντρον ἐστὶ τῆς AB τομῆς, ἡ ΓZ συμπεσεῖται τῇ AB· εἴτε μή ἐστιν, ὑποκείσθω τὸ K, καὶ ἐπιζευχθεῖσα ἡ ΔK ἐκβεβλήσθω ἐπὶ τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΓΘ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔK τῇ KΘ, ἔστι δὲ καὶ ἡ ΔE τῇ EΓ· παράλληλος ἄρα ἐστὶν ἡ ΓΘ τῇ AB. ἔστι δὲ καὶ ἡ ΓZ τῇ αὐτῇ AB παράλληλος, ὅπερ ἄτοπον· ἡ ἄρα κατὰ τὸ A ἐφαπτομένη παράλληλός ἐστι τῇ ΓΔ.

Prop. VII. *Theor.*

Si coni sectionem vel circuli circumferentiam recta linea contingat, & huic parallela ducatur in sectione, & bifariam dividatur: quæ tactum & punctum bisectionis recta connectit sectionis diameter erit.

ΠΡΟΤΑΣΙΣ ζ.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας εὐθεῖα ἐφάπτηται, καὶ ταύτῃ παράλληλος ἀχθῇ ἐν τῇ τομῇ, καὶ δίχα τμηθῇ· ἡ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὴν διχοτομίαν ἐπιζευχθεῖσα εὐθεῖα διάμετρος ἔσται τῆς τομῆς.

SIT coni sectio vel circuli circumferentia ABΓ, quam contingat ZH, & ipsi ZH paral-

ΕΣΤΩ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ABΓ, ἐφαπτομένη δὲ αὐτῆς ἡ ZH, καὶ τῇ ZH παράλληλος

λληλος ἡ ΑΓ, καὶ δίχα τετμήσθω κατὰ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΒΕ· λέγω ὅτι ἡ ΒΕ διάμετρός ἐστι τῆς τομῆς.

Μὴ γὰρ, ἀλλὰ, εἰ δυνατὸν, ἔστω διάμετρος τῆς τομῆς ἡ ΒΘ· ἴση ἄρα ἐστὶν ἡ ΑΘ τῇ ΘΓ, ὅπερ ἄτοπον· ἡ γὰρ ΑΕ τῇ ΕΓ ἴση ἐστίν· οὐκ ἄρα ἡ ΒΘ διάμετρος ἔσται τῆς τομῆς. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΒΕ.



lela ducatur ΑΓ, bifariamque in Ε dividatur, & jungatur ΒΕ: dico ΒΕ esse sectionis diametrum.



Non enim, sed, si fieri potest, sit diameter ΒΘ: ergo ΑΘ ipsi ΘΓ est æqualis, quod est absurdum; est enim ΑΕ æqualis ipsi ΕΓ: non est igitur ΒΘ diameter sectionis. similiter demonstrabimus nullam aliam præter ipsam ΒΕ diametrum esse.

ΠΡΟΤΑΣΙΣ η'.

Ἐὰν ὑπερβολῇ εὐθεῖα συμπίπτῃ κατὰ δύο σημεῖα· ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται ταῖς ἀσυμπτώτοις, καὶ αἱ ἀπολαμβανόμεναι ἀπ' αὐτῆς ὑπὸ τῆς τομῆς πρὸς ταῖς ἀσυμπτώτοις ἴσαι ἔσονται.

ΕΣΤΩ ὑπερβολὴ ἡ ΑΒΓ, ἀσύμπτωτοι δὲ αἱ ΕΔ, ΔΖ, καὶ τῇ ΑΒΓ συμπιπτέτω κατὰ δύο σημεῖα τὰ Α, Γ ἡ ΑΓ· λέγω ὅτι ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται ταῖς ἀσυμπτώτοις.

Τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΔΗ· διάμετρος ἄρα ἐστὶ τῆς τομῆς· ἡ ἄρα κατὰ τὸ Β ἐφαπτομένη παράλληλός ἐστι τῇ ΑΓ. ἔστω οὖν ἐφαπτομένη ἡ ΘΒΚ· συμπεσεῖται δὴ ταῖς ΕΔ, ΔΖ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΚΘ, καὶ ἡ ΚΘ συμπίπτει ταῖς ΔΚ, ΔΘ· καὶ ἡ ΑΓ ἄρα συμπεσεῖται ταῖς ΔΕ, ΔΖ. συμπιπτέτω κατὰ τὰ Ε, Ζ. καί ἐστιν ἴση ἡ ΘΒ τῇ ΒΚ· ἴση ἄρα καὶ ἡ ΖΗ τῇ ΗΕ· ὥστε καὶ ἡ ΓΖ τῇ ΑΕ.

Prop. VIII. *Theor.*

Si hyperbolæ recta linea occurrat in duobus punctis: producta ab utraque parte asymptotis conveniet; & ex ipsâ abscissæ portiones inter sectionem & asymptotos interjectæ æquales erunt.

SIT hyperbola ΑΒΓ, cujus asymptoti ΕΔ, ΔΖ, & ipsi ΑΒΓ occurrat recta quædam ΑΓ in punctis Α,Γ: dico ΑΓ productam ex utraque parte cum asymptotis convenire.



Secetur enim ΑΓ bifariam in Η, & jungatur ΔΗ: hæc igitur [per cor. 51. 1. huj.] diameter est sectionis: quare [per 5. 2. huj.] recta ad Β contingens ipsi ΑΓ est parallela. sit autem contingens ΘΒΚ, quæ [per 3. 2. huj.] conveniet cum ipsis ΕΔ, ΔΖ. quoniam igitur ΑΓ est parallela ipsi ΚΘ, & ΚΘ convenit cum ΔΚ, ΔΘ; etiam ΑΓ cum ΔΕ, ΔΖ conveniet. conveniat autem in punctis Ε,Ζ; ac ob ΘΒ ipsi ΒΚ æqualem, erit [ex 4. 6. & 15. 5.] ΖΗ ipsi ΗΕ, & propterea ΓΖ ipsi ΑΕ æqualis.

ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν εὐθεῖα συμπίπτουσα ταῖς ἀσυμπτώτοις δίχα τέτμηται ὑπὸ τῆς ὑπερβολῆς· καθ' ἓν μόνον σημεῖον ἅπτεται τῆς τομῆς.

ΕΥΘΕΙΑ γὰρ ἡ ΓΔ συμπίπτουσα ταῖς ΓΑ, ΑΔ ἀσυμπτώτοις δίχα τεμνέσθω ὑπὸ τῆς ὑπερβολῆς κατὰ τὸ Ε σημεῖον· λέγω ὅτι κατ' ἄλλο σημεῖον οὐχ ἅπτεται τῆς τομῆς.

Εἰ γὰρ δυνατὸν, ἁπτέσθω κατὰ τὸ Β· ἴση ἄρα ἐστὶν ἡ ΓΕ τῇ ΒΔ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ ΓΕ τῇ ΕΔ ἴση· οὐκ ἄρα καθ' ἕτερον σημεῖον ἅπτεται ἡ ΓΔ τῆς τομῆς.

Prop. IX. *Theor.*

Si recta linea asymptotis occurrens ab hyperbola bifariam secetur; in uno tantum puncto cum sectione conveniet.



RECTA enim ΓΔ occurrens asymptotis ΓΑ, ΑΔ secetur ab hyperbola bifariam in puncto Ε: dico rectam ΓΔ in alio puncto sectioni non occurrere.

Si enim fieri potest, occurrat in Β: ergo [per 8. 2. huj.] ΓΒ æqualis est ipsi ΒΔ, quod est absurdum; posuimus enim ΓΒ ipsi ΕΔ æqualem esse: igitur ΓΔ in alio puncto sectioni non occurrit.

PROP.

Prop. X. Theor.

Si recta quævis linea sectionem secans cum utraque asymptotôn conveniat; rectangulum contentum sub rectis lineis, quæ inter asymptotos & sectionem interjiciuntur, æquale est quartæ parti figuræ factæ ad diametrum illam quæ rectæ ductæ parallelas bifariam dividit.

SIT hyperbola ΑΒΓ, cujus asymptoti ΔΕ, ΕΖ, & ducatur quævis recta ΔΖ sectionem & asymptotos secans, dividatur autem ΑΓ bifariam in Η, junctaque ΗΕ, ponatur ipsi ΒΕ æqualis ΕΘ, & à puncto Β ducatur ΒΜ ad angulos rectos ipsi ΘΕΒ, deinde fiat ut rectangulum ΘΗΒ ad quadratum ex ΑΗ ita ΘΒ ad ΒΜ; diameter igitur est ΒΘ, [per 7. 2. huj.] & [per 21.1.huj.] ΒΜ rectum figuræ latus: dico rectangulum ΔΑΖ æquale esse quartæ parti figuræ quæ sub ΘΒ, ΒΜ continetur, & similiter eidem esse æquale rectangulum ΔΓΖ.

Ducatur enim ΚΒΛ per Β sectionem contingens, quæ [per 5. 2.huj.] parallela erit ipsi ΔΖ. jam quoniam demonstratum est [ad 1.2.huj.] ut ΘΒ ad ΒΜ ita esse quadratum ex ΕΒ ad quadratum ex ΒΚ, hoc est [per 4. & 22. 6.] quadratum ex ΕΗ ad quadratum ex ΗΔ; atque etiam ut ΘΒ ad ΒΜ ita [ex const. & 1. 6.] rectangulum ΘΗΒ ad quadratum ex ΑΗ: erit igitur ut totum quadratum ex ΕΗ ad totum quadratum ex ΗΔ, ita ablatum rectangulum ΘΗΒ ad ablatum quadratum ex ΑΗ: adeoque [per 5. 2.] reliquum quadratum ex ΕΒ ad reliquum rectangulum ΔΑΖ est ut quadratum ex ΕΗ ad quadratum ex ΗΔ, hoc est ut quadratum ex ΕΒ ad quadratum ex ΒΚ. æquale igitur est [per 9. 5.] rectangulum ΖΑΔ quadrato ex ΒΚ. similiter demonstrabitur & rectangulum ΔΓΖ quadrato ex ΒΛ æquale. quadratum autem ex ΚΒ [per 3.2. huj.] æquale est quadrato ex ΒΛ: ergo & ΖΑΔ rectangulum rectangulo ΖΓΔ æquale erit.



ΠΡΟΤΑΣΙΣ ι'.

Ἐὰν εὐθεῖά τις τέμνουσα τὴν τομὴν συμπίπτῃ ἑκατέρᾳ τῶν ἀσυμπτώτων, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν μεταξὺ τῶν ἀσυμπτώτων καὶ τῆς τομῆς, ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ γινομένου εἴδους πρὸς τῇ διχοτομούσῃ διαμέτρῳ τὰς ἀγομένας παρὰ τὴν ἠγμένην εὐθεῖαν.

ΕΣΤΩ ὑπερβολὴ ἡ ΑΒΓ, ἀσύμπτωτοι δὲ αὐτῆς αἱ ΔΕ, ΕΖ, καὶ ἤχθω τις ἡ ΔΖ τέμνουσα τήν τε τομὴν καὶ τὰς ἀσυμπτώτους, καὶ τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΗΕ, καὶ κείσθω τῇ ΒΕ ἴση ἡ ΕΘ, καὶ ἤχθω ἀπὸ τοῦ Β τῇ ΘΕΒ πρὸς ὀρθὰς ἡ ΒΜ, καὶ πεποιήσθω ὡς τὸ ὑπὸ τῶν ΘΗΒ πρὸς τὸ ἀπὸ τῆς ΑΗ οὕτως ἡ ΘΒ πρὸς τὴν ΒΜ, διάμετρος ἄρα ἐστὶν ἡ ΒΘ, ὀρθία δὲ ἡ ΒΜ· λέγω ὅτι τὸ ὑπὸ ΔΑΖ ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ ὑπὸ τῶν ΘΒΜ, ὁμοίως δὴ καὶ τὸ ὑπὸ τῶν ΔΓΖ.

Ἤχθω γὰρ διὰ τοῦ Β ἐφαπτομένη τῆς τομῆς ἡ ΚΛ· παράλληλος ἄρα ἐστὶ τῇ ΔΖ. καὶ ἐπεὶ δέδεικται ὡς ἡ ΘΒ πρὸς ΒΜ οὕτως τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΚ, τουτέστι τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΗΔ· ὡς δὲ ἡ ΘΒ πρὸς ΒΜ οὕτως τὸ ὑπὸ ΘΗΒ πρὸς τὸ ἀπὸ ΗΑ· ἔστιν οὖν ὡς ὅλον τὸ ἀπὸ ΕΗ πρὸς ὅλον τὸ ἀπὸ ΗΔ οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΘΗΒ πρὸς ἀφαιρεθὲν τὸ ἀπὸ ΑΗ· καὶ λοιπὸν ἄρα τὸ ἀπὸ ΕΒ πρὸς λοιπὸν τὸ ὑπὸ ΔΑΖ ἐστὶν ὡς τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΗΔ, τουτέστι τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΚ· ἴσον ἄρα τὸ ὑπὸ ΖΑΔ τῷ ἀπὸ ΒΚ. ὁμοίως δειχθήσεται καὶ τὸ ὑπὸ ΔΓΖ τῷ ἀπὸ ΒΛ. ἴσον δὲ τὸ ἀπὸ ΚΒ τῷ ἀπὸ ΒΛ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΖΑΔ τῷ ὑπὸ ΖΓΔ.

Prop. XI. Theor.

Si utramque rectarum continentium angulum qui deinceps est angulo hyperbolam continenti secet recta linea: in uno tantum puncto cum sectione conveniet; & rectangulum contentum sub interjectis inter rectas angulum continentes & sectionem, æquale erit quartæ parti quadrati ex diametro quæ rectæ secanti parallela est.

SIT hyperbola cujus asymptoti ΓΑ, ΑΔ; & producta ΔΑ ad Ε, per aliquod punctum Ε

ΠΡΟΤΑΣΙΣ ια'.

Ἐὰν ἑκατέραν τῶν περιεχουσῶν τὴν ἐφεξῆς γωνίαν τῆς περιεχούσης τὴν ὑπερβολὴν τέμνῃ τις εὐθεῖα· συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον, καὶ τὸ περιεχόμενον ὑπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν μεταξὺ τῶν περιεχουσῶν καὶ τῆς τομῆς, ἴσον ἐστὶ τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἠγμένης διαμέτρου παρὰ τὴν τέμνουσαν εὐθεῖαν.

ΕΣΤΩ ὑπερβολὴ ἧς ἀσύμπτωτοι αἱ ΓΑ, ΑΔ, καὶ ἐκβεβλήσθω ἡ ΔΑ ἐπὶ τὸ Ε, καὶ διά τινος σημείου

σημείου τοῦ Ε διήχθω ἡ ΕΖ τέμνουσα τὰς ΕΑ, ΑΓ· ὅτι μὲν οὖν συμπίπτει τῇ τομῇ καθ' ἓν μόνον σημεῖον, φανερόν. ἡ γὰρ διὰ τοῦ Α τῇ ΕΖ παράλληλος ἀγομένη, ὡς ἡ ΑΒ, τεμεῖ τὴν ὑπὸ ΓΑΔ γωνίαν, καὶ συμπεσεῖται τῇ τομῇ, καὶ διάμετρος αὐτῆς ἐστιν· ἡ ΕΖ ἄρα συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον. συμπιπτέτω κατὰ τὸ Η· λέγω δὴ ὅτι καὶ τὸ ὑπὸ τῶν ΕΗΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ.

Ἤχθω γὰρ διὰ τοῦ Η τεταγμένως ἡ ΘΗΛΚ· ἡ ἄρα διὰ τοῦ Β ἐφαπτομένη παράλληλός ἐστι τῇ ΗΘ. ἔστω ἡ ΓΔ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΓΒ τῇ ΒΔ, τὸ ἄρα ἀπὸ ΓΒ, τουτέστι τὸ ὑπὸ ΓΒΔ, πρὸς τὸ ἀπὸ ΒΑ λόγον ἔχει τὸν συγκείμενον, ἐκ τοῦ τῆς ΓΒ πρὸς ΒΑ καὶ τοῦ τῆς ΔΒ πρὸς ΒΑ. ἀλλ' ὡς μὲν ἡ ΓΒ πρὸς ΒΑ οὕτως ἡ ΘΗ πρὸς ΗΖ, ὡς δὲ ἡ ΔΒ πρὸς ΒΑ οὕτως ἡ ΚΗ πρὸς ΗΕ· ὁ ἄρα τοῦ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΘΗ πρὸς ΗΖ καὶ τοῦ τῆς ΚΗ πρὸς ΗΕ. ἀλλὰ καὶ ὁ τοῦ ὑπὸ ΚΗΘ πρὸς τὸ ὑπὸ ΕΗΖ λόγος σύγκειται ἐκ τῶν αὐτῶν· ὡς ἄρα τὸ ὑπὸ ΚΗΘ πρὸς τὸ ὑπὸ ΕΗΖ οὕτως τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΑ, καὶ ἐναλλὰξ ὡς τὸ ὑπὸ ΚΗΘ πρὸς τὸ ἀπὸ ΓΒ οὕτως τὸ ὑπὸ ΕΗΖ πρὸς τὸ ἀπὸ ΑΒ. ἴσον δὲ τὸ ὑπὸ ΚΗΘ τῷ ἀπὸ ΓΒ ἐδείχθη· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΕΗΖ τῷ ἀπὸ ΑΒ.



ducatur ΕΖ, ipsas ΕΑ, ΑΓ secans: perspicuum est ΕΖ in uno tantum puncto cum sectione convenire. nam quæ per Α ipsi ΕΖ parallela ducitur, ut ΑΒ, secat angulum ΓΑΔ; propterea eaque [per 2. 2.huj.] conveniet cum sectione, & [per corol. 51. 1.huj.] ipsius diameter erit; quare ΕΖ conveniet cum sectione in uno solo puncto. conveniat autem ad Η: dico rectangulum ΕΗΖ quadrato ex ΑΒ æquale esse.

Ducatur enim per Η ordinatim ΘΗΛΚ: ergo [per 5. 2.huj.] quæ in puncto Β sectionem contingit parallela est ipsi ΗΘ. sit ea ΓΔ. itaque quoniam ΓΒ est æqualis ipsi ΒΔ; quadratum ex ΓΒ, hoc est rectangulum ΓΒΔ, ad quadratum ex ΒΑ habet [per 23. 6.] rationem compositam ex ratione ΓΒ ad ΒΑ & ex ratione ΔΒ ad ΒΑ. sed [per 4. 6.] ut ΓΒ ad ΒΑ ita ΘΗ ad ΗΖ, & ut ΔΒ ad ΒΑ ita ΚΗ ad ΗΕ: ergo ratio quadrati ex ΓΒ ad quadratum ex ΒΑ composita est ex ratione ΘΗ ad ΗΖ & ratione ΚΗ ad ΗΕ. ratio autem rectanguli ΚΗΘ ad rectangulum ΕΗΖ [per 23. 6.] ex eisdem rationibus componitur: quare ut rectangulum ΚΗΘ ad rectangulum ΕΗΖ ita quadratum ex ΓΒ ad quadratum ex ΒΑ; & permutando ut rectangulum ΚΗΘ ad quadratum ex ΓΒ ita rectangulum ΕΗΖ ad quadratum ex ΑΒ. sed [per 10.2.huj.] rectangulum ΚΗΘ æquatur quadrato ex ΓΒ: ergo & ΕΗΖ rectangulum quadrato ex ΑΒ æquale erit.

EUTOCIUS.

Ἐν τισιν ἀντιγράφοις τὸ θεώρημα τοῦτο ἄλλως δείκνυται.

* Ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ ΑΒ, ΒΓ, καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας ἡ ΓΒΔ, καὶ ἤχθω τις ἡ ΕΖ, ὡς ἔτυχεν, τέμνουσα τὰς ΒΔ, ΒΑ· λέγω ὅτι συμπεσεῖται τῇ τομῇ.

Εἰ γὰρ δυνατὸν μὴ συμπιπτέτω, καὶ διὰ τοῦ Β τῇ ΕΖ παράλληλος ἤχθω ἡ ΒΗ· διάμετρος ἄρα ἐστὶ τῆς τομῆς. καὶ παραβεβλήσθω παρὰ τὴν ΕΖ τῷ ἀπὸ ΒΗ ἴσον παραλληλόγραμμον ὑπερβάλλον εἴδει τετραγώνῳ, καὶ ποιείτω τὸ ὑπὸ ΕΘΖ, καὶ ἐπιζεύχθω ἡ ΘΒ καὶ ἐκβεβλήσθω· συμπεσεῖται ἄρα τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Κ, καὶ διὰ τοῦ Κ τῇ ΒΗ παράλληλος ἤχθω ἡ ΚΑΔ· τὸ ἄρα ὑπὸ ΔΚΑ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΗ, ὥστε καὶ τῷ ὑπὸ ΕΘΖ· ὅπερ ἄτοπον. ἡ ἄρα ΕΖ συμπεσεῖται τῇ τομῇ, ἐπείπερ συμπίπτει αὐτῇ ἡ ΑΔ. φανερὸν δὲ ὅτι καὶ καθ' ἓν μόνον σημεῖον· παράλληλος γάρ ἐστι τῇ ΒΗ διαμέτρῳ.



In aliquibus exemplaribus hoc theorema aliter demonstratur.

Sit hyperbola, cujus asymptoti ΑΒ, ΒΓ, producaturque ΓΒΔ in directum, & ducatur ΕΖ, utcunque, secans ΒΔ, ΒΑ: dico ΕΖ cum sectione convenire.

Si enim fieri potest, non conveniat, & per Β ipsi ΕΖ parallela ducatur ΒΗ: ergo ΒΗ est diameter sectionis. applicetur [per 29. 6.] ad ΕΖ parallelogrammum quadrato ex ΒΗ æquale excedens figurâ quadratâ; quod sit ΕΘΖ: & juncta ΘΒ producatur. occurret igitur [per 2. 2. huj.] cum sectione. occurrat in Κ, & per Κ ducatur ΚΑΔ parallela ipsi ΒΗ: ergo [per 11. 2. huj.] rectangulum ΔΚΑ quadrato ex ΒΗ est æquale; ideoque æquale rectangulo ΕΘΖ, quod est absurdum. quare cum ΑΔ convenit cum sectione, manifestum est & ΕΖ eidem convenire, idque in uno tantum puncto; diametro enim ΒΗ est parallela.

* Hæc demonstratio vix satis integra videtur, ac tuto omitti poterat: nam, ex 26ta libri primi, res satis manifesta est.

Prop. XII. *Theor.*

Si ab aliquo puncto eorum, quæ sunt in sectione, ad asymptotos duæ rectæ lineæ in quibuslibet angulis ducantur, & ab alio quovis puncto in sectione sumpto ducantur aliæ rectæ his ipsis parallelæ: rectangulum sub parallelis contentum æquale erit contento sub rectis ipsis quibus ductæ fuerant parallelæ.

SIT hyperbola, cujus asymptoti A B, B Γ, & sumatur in sectione aliquod punctum Δ, atque ab eo ad A B, B Γ ducantur Δ E, Δ Z; sumatur autem & alterum punctum H in sectione, per quod ducantur H Θ, H K ipsis Δ E, Δ Z parallelæ: dico rectangulum E Δ Z rectangulo Θ H K æquale esse.



Jungatur enim Δ H, & ad A, Γ producatur. itaque quoniam [per 10. 2. huj.] rectangulum A Δ Γ æquatur rectangulo A H Γ; erit [per 16. 6.] ut A H ad A Δ ita Δ Γ ad Γ H. sed [per 4. 6.] ut A H ad A Δ ita H Θ ad E Δ, & ut Δ Γ ad Γ H ita Δ Z ad H K; quare [per 11. 5.] ut Θ H ad Δ E ita Δ Z ad H K: rectangulum igitur E Δ Z [per 16. 6.] rectangulo Θ H K est æquale.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Εὰν ἐπὶ τὰς ἀσυμπτώτους ἀπό τινος σημείου τῶν ἐπὶ τῆς τομῆς δύο εὐθεῖαι ἀχθῶσιν ἐν τυχούσαις γωνίαις, καὶ ταύταις παράλληλοι ἀχθῶσιν ἀπό τινος σημείου τῶν ἐπὶ τῆς τομῆς· τὸ ὑπὸ τῶν παραλλήλων περιεχόμενον ὀρθογώνιον ἴσον ἔσται τῷ περιεχομένῳ ὑπὸ τῶν αἷς αἱ παράλληλοι ἤχθησαν.

ΕΣΤΩ ὑπερβολὴ, ἧς ἀσύμπτωτοι αἱ A B, B Γ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Δ, καὶ ἀπ' αὐτοῦ ἐπὶ τὰς A B, B Γ κατήχθωσαν αἱ Δ E, Δ Z· εἰλήφθω δέ τι σημεῖον ἕτερον ἐπὶ τῆς τομῆς τὸ H, καὶ διὰ τοῦ H ταῖς E Δ, Δ Z παράλληλοι ἤχθωσαν αἱ H Θ, H K· λέγω ὅτι ἴσον ἐστὶ τὸ ὑπὸ E Δ Z τῷ ὑπὸ Θ H K.

Ἐπεζεύχθω γὰρ ἡ Δ H, καὶ ἐκβεβλήσθω ἐπὶ τὰ A, Γ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ὑπὸ A Δ Γ τῷ ὑπὸ A H Γ· ἔστιν ἄρα ὡς ἡ A H πρὸς A Δ οὕτως ἡ Δ Γ πρὸς Γ H. ἀλλ' ὡς μὲν ἡ A H πρὸς A Δ οὕτως ἡ H Θ πρὸς E Δ, ὡς δὲ ἡ Δ Γ πρὸς Γ H οὕτως ἡ Δ Z πρὸς H K· ὡς ἄρα ἡ Θ H πρὸς Δ E οὕτως ἡ Δ Z πρὸς τὴν H K· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ E Δ Z τῷ ὑπὸ Θ H K.

EUTOCIUS.

In aliquibus codicibus invenitur hoc Theorema demonstratum, ope duarum rectarum contingenti parallelarum, quarum altera per Δ, altera vero per H ducitur, demonstratione juxta rationes Syntheticas ostensâ. elegimus autem hunc quem damus probandi modum, utpote eadem simplicius monstrantem. Casus autem habet sex, ductis enim sex rectis, vel punctum Θ erit inter E, B; vel in puncto B, vel extra B; qui tres sunt casus: pariterque tres sunt alii, juxta situm puncti Z.

Εὑρέθη ἔν τισιν ἀντιγράφοις τοῦτο τὸ θεώρημα δεικνύμενον διὰ δύο παραλλήλων ἀγομένων τῇ ἐφαπτομένῃ, μιᾶς μὲν διὰ τοῦ Δ, ἑτέρας δὲ διὰ τοῦ H· καὶ ἡ ἀπόδειξις διὰ συνθετικὸν λόγον. ἐπελεξάμεθα δὲ ταύτην τὴν κατασκευὴν ὡς τὰ αὐτὰ δεικνῦσαν ἁπλουστέρως. ἔχει δὲ καὶ πτώσεις ἕξ· τῶν γὰρ ἓξ εὐθειῶν ἀχθεισῶν, τὸ Θ σημεῖον ἢ μεταξὺ ἔσται τῶν E, B, ἢ ἐπὶ τοῦ B, ἢ ἔξω τοῦ B, ὥστε γίνονται τρεῖς· καὶ ὁμοίως ἐπὶ τοῦ Z ἄλλαι τρεῖς.

Prop. XIII. *Theor.*

Si in loco ab asymptotis & sectione terminato quævis recta linea ducatur alteri asymptotôn parallela: in uno puncto tantum cum sectione conveniet.

SIT hyperbola, cujus asymptoti Γ A, A B, sumaturque aliquod punctum E, & per E ipsi A B parallela ducatur E Z: dico E Z cum sectione convenire.

Si enim fieri potest, non conveniat, & sumatur punctum quodvis in sectione, per quod ipsis Γ A, A B parallelæ ducantur H Θ, H Γ; & rectangulo Γ H Θ æquale sit rectangulum A E Z; junctaque A Z producatur: hæc igitur cum sectione [per 2. 2. huj.] conveniet. conveniat autem in

ΠΡΟΤΑΣΙΣ ιγ'.

Εὰν ἐν τῷ ἀφοριζομένῳ τόπῳ ὑπὸ τῶν ἀσυμπτώτων καὶ τῆς τομῆς παράλληλος ἀχθῇ τις εὐθεῖα τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων· συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον.

ΕΣΤΩ ὑπερβολὴ, ἧς ἀσύμπτωτοι αἱ Γ A, A B, καὶ εἰλήφθω τι σημεῖον τὸ E, καὶ δι' αὐτοῦ τῇ A B παράλληλος ἤχθω ἡ E Z· λέγω ὅτι συμπεσεῖται τῇ τομῇ.

Εἰ γὰρ δυνατὸν, μὴ συμπιπτέτω. καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ H, καὶ διὰ τοῦ H παρὰ τὰς Γ A, A B ἤχθωσαν αἱ H Θ, H Γ· καὶ τῷ ὑπὸ Γ H Θ ἴσον ἔστω τὸ ὑπὸ A E Z, καὶ ἐπεζεύχθω ἡ A Z καὶ ἐκβεβλήσθω· συμπεσεῖται δὴ τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ

K, καὶ

Κ, καὶ διὰ τοῦ Κ παράλληλοι ταῖς ΑΒ, ΑΓ ἤχθωσαν αἱ ΚΑ, ΚΔ· τὸ ἄρα ὑπὸ ΓΗΘ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΚΔ. ὑπόκειται δὲ καὶ τῷ ὑπὸ ΑΕΖ ἴσον· τὸ ἄρα ὑπὸ ΔΚΑ, τουτέστι τὸ ὑπὸ ΑΑΚ, ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΖ, ὅπερ ἀδύνατον· μείζων γάρ ἐστι καὶ ἡ ΚΑ τῆς ΕΖ, καὶ ἡ ΛΑ τῆς ΑΕ· συμπεσεῖται ἄρα ἡ ΕΖ τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Μ· λέγω δὴ κατ' ἄλλο οὐ συμπεσεῖται. εἰ γὰρ δυνατὸν, συμπιπτέτω καὶ κατὰ τὸ Ν, καὶ διὰ τῶν Μ, Ν τῇ ΓΑ παράλληλοι ἤχθωσαν αἱ ΜΞ, ΝΒ· τὸ ἄρα ὑπὸ ΕΜΞ ἴσον ἐστὶ τῷ ὑπὸ ΕΝΒ, ὅπερ ἀδύνατον. οὐκ ἄρα καθ' ἕτερον σημεῖον συμπεσεῖται τῇ τομῇ.



puncto K, & per K ducantur KΛ, KΔ ipsis AB, AΓ parallelæ: ergo [per 12. 2. huj.] rectangulum ΓHΘ æquale est rectangulo ΛKΔ. ponitur autem & rectangulo AEZ æquale: rectangulum igitur ΔKΛ, hoc est ΛΛK, rectangulo AEZ æquale erit, quod fieri non potest; si quidem KΛ major est quam EZ; & ΛA major quam AE: quare EZ conveniet cum sectione. conveniat in M: dico eam in alio puncto non convenire. nam si fieri potest, conveniat etiam in N; & per M, N ipsi ΓA parallelæ ducantur MΞ, NB: ergo [per 12. 2. huj.] rectangulum EMΞ rectangulo ENB est æquale, quod est absurdum. Igitur in alio puncto cum sectione non conveniet.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Αἱ ἀσύμπτωτοι καὶ ἡ τομὴ εἰς ἄπειρον ἐκβαλλόμεναι ἔγγιόν τε προσάγουσιν ἑαυταῖς, καὶ παντὸς τοῦ δοθέντος διαστήματος εἰς ἔλαττον ἀφικνοῦνται διάστημα.

Ἔστω ὑπερβολὴ, ἧς ἀσύμπτωτοι αἱ ΑΒ, ΑΓ, δοθὲν δὲ διάστημα τὸ Κ· λέγω ὅτι αἱ ΑΒ, ΑΓ καὶ ἡ τομὴ ἐκβαλλόμεναι ἔγγιόν τε προσάγουσιν ἑαυταῖς καὶ εἰς ἔλασσον ἀφίξονται διάστημα τοῦ Κ.

Ἤχθωσαν γὰρ τῇ ἐφαπτομένῃ τῇ ΟΠ παράλληλοι αἱ ΕΘΖ, ΓΗΔ, καὶ ἐπεζεύχθω ἡ ΑΘ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ. ἐπεὶ οὖν τὸ ὑπὸ ΓΗΔ ἴσον ἐστὶ τῷ ὑπὸ ΖΘΕ· ἔστιν ἄρα ὡς ἡ ΔΗ πρὸς ΖΘ οὕτως ἡ ΘΕ πρὸς ΓΗ. μείζων δὲ ἡ ΔΗ τῆς ΖΘ· μείζων ἄρα καὶ ἡ ΕΘ τῆς ΓΗ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ κατὰ τὸ ἑξῆς ἐλάττονές εἰσιν. εἰλήφθω δὴ τοῦ Κ διαστήματος ἔλαττον τὸ ΕΛ, καὶ διὰ τοῦ Λ τῇ ΑΓ παράλληλος ἤχθω ἡ ΛΝ· συμπεσεῖται ἄρα τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Ν, καὶ διὰ τοῦ Ν τῇ ΕΖ παράλληλος ἤχθω ἡ ΜΝΒ· ἡ ἄρα ΜΝ ἴση ἔσται τῇ ΕΛ, καὶ διὰ τοῦτο ἐλάττων τῆς Κ.



Prop. XIV. *Theor.*

Asymptoti & sectio in infinitum productæ ad seipsas propius accedunt; & ad intervallum perveniunt minus quolibet dato intervallo.

SIT hyperbola, cujus asymptoti AB, AΓ, & datum intervallum sit K: dico asymptotos AB, AΓ & sectionem productas ad sese propius accedere, & pervenire ad intervallum minus intervallo K.

Ducatur enim tangenti OΠ parallelæ EΘZ, ΓHΔ; jungaturque AΘ, & ad Ξ producatur: quoniam ergo [per 10. 2. huj.] rectangulum ΓHΔ rectangulo ZΘE est æquale; erit [per 16. 6.] ut ΔH ad ZΘ ita ΘE ad ΓH. sed ΔH major est ipsâ ZΘ: ergo & EΘ ipsa ΓH est major. similiter demonstrabimus eas, quæ deinceps sequuntur, minores esse. itaque sumatur [per 3. 1.] intervallum EΛ minus intervallo K, & per Λ ipsi AΓ parallela ducatur ΛN. ergo [per 13. 2. huj.] ΛN cum sectione conveniet. conveniat in N, perque N ducatur MNB parallela ipsi EZ: quare [per 34. 1.] MN erit æqualis EΛ; & propterea intervallo K minor erit.

Πόρισμα.

Ἐκ δὴ τούτων φανερὸν, ὅτι πασῶν τῶν ἀσυμπτώτων τῇ τομῇ ἔγγιόν εἰσιν αἱ ΑΒ, ΑΓ· καὶ ἡ ὑπὸ τῶν ΒΑΓ περιεχομένη γωνία ἐλάσσων ἐστὶ δηλαδὴ γωνίας τῆς ὑπὸ ἑτέρων ἀσυμπτώτων τῇ τομῇ περιεχομένης.

Corollarium.

Ex hoc manifestum est rectas AB, AΓ ad sectionem accedere propius quam aliæ quævis asymptoti: & [ex 2. 2. huj.] angulum BAΓ minorem esse quolibet angulo, qui aliis rectis sectioni non occurrentibus continetur.

EUTOCIUS.

Ἐν τισιν ἀντιγράφοις εὑρέθη ἄλλως δεικνύμενον· ὅτι,

Παντὸς τοῦ δοθέντος διαστήματος εἰς ἔλαττον ἀφικνοῦνται διάστημα αἱ ἀσύμπτωτοι καὶ ἡ τομή.

In aliquibus exemplaribus illud aliter demonstratum invenitur: scilicet,

Asymptotos & sectionem pervenire ad intervallum minus quolibet intervallo dato.

Iisdem

gulus Γ est æqualis angulo Z: est igitur [per 4. 6.] ut HΓ ad ΓA ita ΘZ ad ZΔ. ut autem BΓ ad ΓA ita EZ ad ZΔ: ergo & composita ratio compositæ rationi eadem erit: ut igitur rectangulum BΓH est ad quadratum ex ΓA ita rectangulum EZΘ ad quadratum ex ZΔ.



τῇ Z· ἔστιν ἄρα ὡς ἡ HΓ πρὸς τὴν ΓA οὕτως ἡ ΘZ πρὸς τὴν ZΔ. ἀλλὰ καὶ ὡς ἡ BΓ πρὸς τὴν ΓA οὕτως ἡ EZ πρὸς ZΔ· καὶ ὁ συνημμένος ἄρα τῷ συνημμένῳ ἐστὶν ὁ αὐτός· ἔστιν ἄρα ὡς τὸ ὑπὸ BΓH πρὸς τὸ ἀπὸ ΓA οὕτω τὸ ὑπὸ EZΘ πρὸς τὸ ἀπὸ ZΔ.



Aliter absque ratione composita.

POnatur rectangulo BΓH æquale rectangulum AΓK, & rectangulo EZΘ æquale rectangulum ΔZΛ; erit rursus ut BΓ ad ΓK ita AΓ ad ΓH. ut autem EZ ad ZA ita ΔZ ad ZΘ: &, eadem ratione qua supra, demonstrabimus ut AΓ ad ΓH ita esse ΔZ ad ZΘ: ergo ut BΓ ad ΓK ita EZ ad ZΛ. sed & ut BΓ ad ΓA ita EZ ad ZΔ, ob triangulorum similitudinem: ex æquali igitur [per 22. 5.] ut KΓ ad ΓA, hoc est [per 1. 6.] ut rectangulum KΓA sive rectangulum BΓH ad quadratum ex ΓA ita ΛZ ad ZΔ, hoc est rectangulum ΛZΔ sive rectangulum EZΘ, ad quadratum ex ZΔ.



Ἄλλως μὴ διὰ τοῦ συνημμένου.

KΕίσθω τῷ μὲν ὑπὸ BΓH ἴσον τὸ ὑπὸ AΓK, τῷ δὲ ὑπὸ EZΘ ἴσον τὸ ὑπὸ ΔZΛ· ἔσται πάλιν ὡς μὲν ἡ BΓ πρὸς ΓK οὕτως ἡ AΓ πρὸς ΓH. ὡς δὲ ἡ EZ πρὸς ZΛ οὕτως ἡ ΔZ πρὸς ZΘ· καὶ κατὰ τὰ αὐτὰ τῷ ἐπάνω δείξομεν ὅτι ἐστὶν ὡς ἡ AΓ πρὸς ΓH οὕτως ἡ ΔZ πρὸς ZΘ· καὶ ὡς ἄρα ἡ BΓ πρὸς ΓK οὕτως ἡ EZ πρὸς ZΛ. ἀλλὰ καὶ ὡς ἡ BΓ πρὸς ΓA οὕτως ἡ EZ πρὸς ZΔ, διὰ τὴν ὁμοιότητα· δι' ἴσου ἄρα ἐστὶν ὡς KΓ πρὸς ΓA, τοῦτ' ἔστιν ὡς τὸ ὑπὸ KΓA, ὅ ἐστι τὸ ὑπὸ BΓH, πρὸς τὸ ἀπὸ AΓ οὕτως ἡ ΛZ πρὸς ZΔ, τοῦτ' ἔστι τὸ ὑπὸ ΛZΔ, ὅ ἐστι τὸ ὑπὸ EZΘ, πρὸς τὸ ἀπὸ ZΔ.



LEMMA X.

Similiter demonstrabimus, si fuerit ut rectangulum BΓH ad quadratum ex AΓ ita rectangulum EZΘ ad quadratum ex ZΔ, & triangulum ABΓ simile triangulo ΔEZ: etiam triangulum ABH triangulo ΔEΘ simile esse.

ΛΗΜΜΑ ι'.

Ὁμοίως δὴ δείξομεν, ἐὰν ᾖ ὡς τὸ ὑπὸ BΓH πρὸς τὸ ἀπὸ AΓ οὕτω τὸ ὑπὸ EZΘ πρὸς τὸ ἀπὸ ZΔ, καὶ ὅμοιον τὸ ABΓ τρίγωνον τῷ ΔEZ τριγώνῳ· καὶ τὸ ABH τρίγωνον τῷ ΔEΘ τριγώνῳ ὅμοιον εἶναι.

LEMMA XI.

Sint duo triangula similia ABΓ, ΔEZ, & ducantur perpendiculares AH, ΔΘ: dico ut rectangulum BHΓ ad quadratum ex AH ita esse rectangulum EΘZ ad quadratum ex ΔΘ.



HOC autem ex iis, quæ supra [ad lem. 8.] dicta sunt, perspicue constat.

ΛΗΜΜΑ ια'.

Ἔστω δύο ὅμοια τρίγωνα τὰ ABΓ, ΔEZ, καὶ κάθετοι ἤχθωσαν αἱ AH, ΔΘ· ὅτι ἐστὶν ὡς τὸ ὑπὸ BHΓ πρὸς τὸ ἀπὸ AH οὕτω τὸ ὑπὸ EΘZ πρὸς τὸ ἀπὸ ΔΘ.



ΤΟΥΤΟ δὲ φανερὸν, ὅτι ὅμοιον γίνεται τοῖς πρὸ αὐτοῦ.

LEMMA XII.

Sit æqualis quidem angulus B angulo E, angulus vero A angulo Δ minor: dico ΓB ad BA minorem rationem habere quam ZE ad EΔ.

QUoniam enim angulus A minor est angulo Δ, constituatur ipsi A æqualis EΔH: est igitur [per 4. 6.] ut ΓB ad BA ita HE ad EΔ. sed [per 8. 5.] HE ad EΔ minorem habet rationem quam ZE ad EΔ: ergo & ΓB ad BA minorem rationem habet quam ZE ad EΔ. similiter & omnia alia ejusmodi ostendemus.



ΛΗΜΜΑ ιβ'.

Ἔστω ἴση ἡ μὲν B γωνία τῇ E, ἐλάσσων δὲ ἡ A τῆς Δ· ὅτι ἡ ΓB πρὸς BA ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ZE πρὸς EΔ.

ΕΠΕΙ γὰρ ἐλάσσων ἡ A γωνία τῆς Δ, συνεστάτω αὐτῇ ἴση ἡ ὑπὸ EΔH· ἔστιν ἄρα ὡς ἡ ΓB πρὸς BA οὕτως ἡ HE πρὸς EΔ. ἀλλὰ καὶ ἡ HE πρὸς EΔ ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ZE πρὸς EΔ· καὶ ἡ ΓB ἄρα πρὸς BA ἐλάσσονα λόγον ἔχει ἤπερ ZE πρὸς τὴν EΔ. καὶ πάντα τὰ τοιαῦτα τῇ αὐτῇ ἀγωγῇ δείξομεν.



LEM-

ΛΗΜΜΑ ιγ΄.

Ἔστω ὡς τὸ ὑπὸ ΒΗΓ πρὸς τὸ ἀπὸ ΑΗ οὕτω τὸ ὑπὸ ΕΘΖ πρὸς τὸ ἀπὸ ΔΘ· καὶ ἡ μὲν ΒΗ τῇ ΗΓ ἔστω ἴση, ἡ δὲ ΓΗ πρὸς ΗΑ ἐλάσσονα λόγον ἐχέτω ἤπερ ἡ ΖΘ πρὸς ΘΔ. ὅτι μείζων ἐστὶν ἡ ΖΘ τῆς ΘΕ.

ΕΠΒΙ γὰρ τὸ ἀπὸ ΓΗ πρὸς τὸ ἀπὸ ΗΑ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ, ἀλλὰ τὸ ἀπὸ ΓΗ ἴσον ἐστὶ τῷ ὑπὸ ΒΗΓ· τὸ ἄρα ὑπὸ ΒΗΓ πρὸς τὸ ἀπὸ ΑΗ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ. ἀλλ' ὡς τὸ ὑπὸ ΒΗΓ πρὸς τὸ ἀπὸ ΑΗ οὕτως ὑπόκειται τὸ ὑπὸ ΕΘΖ πρὸς τὸ ἀπὸ ΘΔ· καὶ τὸ ὑπὸ ΕΘΖ ἄρα πρὸς τὸ ἀπὸ ΘΔ ἐλάσσονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΘ πρὸς τὸ ἀπὸ ΘΔ· μεῖζον ἄρα ἐστὶ τὸ ἀπὸ ΖΘ τοῦ ὑπὸ ΕΘΖ. ὥστε μείζων ἐστὶν ἡ ΖΘ τῆς ΘΕ. ὅ. ἔ. δ.



LEMMA XIII.

Sit ut rectangulum ΒΗΓ ad quadratum ex ΑΗ ita rectangulum ΕΘΖ ad quadratum ex ΔΘ, & sit ΒΗ quidem æqualis ΗΓ; ΓΗ vero ad ΗΑ minorem rationem habeat quam ΖΘ ad ΘΔ: dico ΖΘ majorem esse quam ΘΕ.

Quoniam enim quadratum ex ΓΗ ad quadratum ex ΗΑ minorem rationem habet quam quadratum ex ΖΘ ad quadratum ex ΘΔ; quadratum autem ex ΓΗ æquale est rectangulo ΒΗΓ; habebit ΒΗΓ rectangulum ad quadratum ex ΑΗ minorem rationem quam quadratum ex ΖΘ ad quadratum ex ΘΔ. sed ut ΒΗΓ rectangulum ad quadratum ex ΑΗ ita positum est rectangulum ΕΘΖ ad quadratum ex ΘΔ: ergo rectangulum ΕΘΖ ad quadratum ex ΘΔ minorem rationem habet quam quadratum ex ΖΘ ad quadratum ex ΘΔ: majus igitur est [per 8. 5.] quadratum ex ΖΘ rectangulo ΕΘΖ; quare & ΖΘ major erit quam ΘΕ.



ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΓΑΙΟΥ ΚΩΝΙΚΩΝ ΤΟ ΔΕΥΤΕΡΟΝ,

ΜΕΤΑ ΤΩΝ ΕΥΤΟΚΙΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ.

APOLLONII PERGÆI CONICORUM LIBER SECUNDUS,

CUM COMMENTARIIS EUTOCII ASCALONITÆ.

Apollonius Eudemo S. P.

SI vales bene eſt, ego quidem ſatis commode habeo. *Apollonio* filio meo dedi, ut ad te perferret, ſecundum librum Conicorum à nobis conſcriptorum: quem tu diligenter percurre, & communica cum illis, qui eo tibi digni videbuntur. *Philonidæ* etiam Geometræ, quo cum tibi *Epheſi* amicitiam conciliavi, ſi quando in iſthæc *Pergami* loca venerit, legendum trade: tu cura ut valeas. Vale.

Ἀπολλώνιος Εὐδήμῳ χαίρειν.

Ει ὑγιαίνεις ἔχοι ἂν καλῶς, καὶ αὐτὸς δὲ μετρίως ἔχω. Ἀπολλώνιον τὸν υἱόν μου πέπομφα πρός σε κομίζοντα τὸ δεύτερον βιβλίον τῶν συντεταγμένων ἡμῖν κωνικῶν. Δίελθε οὖν αὐτὸ ἐπιμελῶς, καὶ τοῖς ἀξίοις τῶν τοιούτων κοινωνεῖν μεταδίδου, καὶ Φιλωνίδης δὲ ὁ γεωμέτρης, ὃν καὶ συνέστησά σοι ἐν Ἐφέσῳ, ἐάν ποτε ἐπιβάλλῃ εἰς τοὺς κατὰ Πέργαμον τόπους, μετάδος αὐτῷ· καὶ σεαυτοῦ ἐπιμελοῦ ἵνα ὑγιαίνῃς. εὐτύχει.

Prop. I. *Theor.*

Si hyperbolam recta linea ad verticem contingat, & ab ipſo, ex utraque parte diametri, ponatur recta æqualis ei quæ poteſt quartam figuræ partem: rectæ quæ à ſectionis centro ad ſumptos terminos contingentis ducuntur cum ſectione non convenient.

ΠΡΟΤΑΣΙΣ α΄.

Ἐὰν ὑπερβολῆς κατὰ κορυφὴν εὐθεῖα ἐφάπτηται, καὶ ἀπ' αὐτῆς ἐφ' ἑκάτερα τῆς διαμέτρου ἀποληφθῇ ἴση τῇ δυναμένῃ τὸ τέταρτον τοῦ εἴδους· αἱ ἀπὸ τοῦ κέντρου τῆς τομῆς ἐπὶ τὰ ληφθέντα πέρατα τῆς ἐφαπτομένης ἀγόμεναι εὐθεῖαι οὐ συμπεσοῦνται τῇ τομῇ.

ΕΣΤΩ

ΕΣΤΩ ὑπερβολή, ἧς διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, ὀρθία δὲ ἡ ΒΖ, καὶ ἐφαπτέσθω τῆς τομῆς κατὰ τὸ Β ἡ ΔΖ, καὶ τῷ τετάρτῳ τοῦ ὑπὸ τῶν ΑΒΖ εἴδους ἴσον ἔστω τὸ ἀφ᾽ ἑκατέρας ΒΔ, ΒΕ, καὶ ἐπιζευχθεῖσαι αἱ ΓΔ, ΓΕ ἐκβεβλήσθωσαν· λέγω ὅτι οὐ συμπεσοῦνται τῇ τομῇ.

Εἰ γὰρ δυνατόν, συμπιπτέτω ἡ ΓΔ τῇ τομῇ κατὰ τὸ Η, καὶ ἀπὸ τοῦ Η τεταγμένως κατήχθω ἡ ΗΘ· παράλληλος ἄρα ἐστὶ τῇ ΔΒ. ἐπεὶ οὖν ἐστιν ὡς ΑΒ πρὸς ΒΖ οὕτως τὸ ἀπὸ ΑΒ πρὸς τὸ ὑπὸ ΑΒΖ, ἀλλὰ τοῦ μὲν ἀπὸ ΑΒ τέταρτον μέρος ἐστὶ τὸ ἀπὸ ΓΒ, τοῦ δὲ ὑπὸ ΑΒΖ τέταρτον τὸ ἀπὸ ΒΔ· ὡς ἄρα ἡ ΑΒ πρὸς ΒΖ οὕτως τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΔΒ, τουτέστι τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΘΗ. ἔστι δὲ καὶ ὡς ἡ ΑΒ πρὸς ΒΖ οὕτως τὸ ὑπὸ ΑΘΒ πρὸς τὸ ἀπὸ ΘΗ· ὡς ἄρα τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΘΗ οὕτως τὸ ὑπὸ ΑΘΒ πρὸς τὸ ἀπὸ ΘΗ· ἴσον ἄρα τὸ ὑπὸ ΑΘΒ τῷ ἀπὸ ΓΘ, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ ΓΔ συμπεσεῖται τῇ τομῇ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἡ ΓΕ· ΑΣΥΜΠΤΩΤΟΙ ἄρα εἰσὶ τῇ τομῇ αἱ ΓΔ, ΓΕ.



SIT hyperbola, cujus diameter AB, centrum Γ, & rectum figuræ latus BZ, recta vero ΔB sectionem contingat in B; & quartæ parti figuræ, quæ continetur sub ABZ, æquale sit quadratum utriusque ipsarum ΔB, BE, & junctæ ΓΔ, ΓE producantur: dico eas cum sectione non convenire.

Si enim fieri potest, conveniat ΓΔ cum sectione in H, & ab H ordinatim applicetur ΘH: ergo [per 17. 1. huj.] HΘ parallela est ipsi ΔB. quoniam igitur ut AB ad BZ ita [per 1.6.] est quadratum ex AB ad rectangulum ABZ; quadratum autem ΓB quarta pars est quadrati ex AB, & quadratum ex BΔ itidem quarta pars rectanguli ABZ: erit [per 15.5.] itaque AB ad BZ ut quadratum ex ΓB ad quadratum ex BΔ, hoc est [per 4. 6.] quadratum ex ΓΘ ad quadratum ex ΘH. est vero [per 21. 1. huj.] ut AB ad BZ ita rectangulum AΘB ad quadratum ex ΘH: igitur ut quadratum ex ΓΘ ad quadratum ex ΘH ita rectangulum AΘB ad quadratum ex ΘH: rectangulum igitur AΘB [per 9. 5.] quadrato ex ΓΘ æquale est; quod [per 6.2.] est absurdum: ergo ΓΔ cum sectione non conveniet. similiter demonstrabitur neque ipsam ΓE convenire cum sectione: sunt igitur ΓΔ, ΓE ASYMPTOTI, hoc est, *cum sectione non convenientes.*

EUTOCIUS.

Αρχόμενος τοῦ δευτέρου βιβλίου τῶν κωνικῶν, ὦ φίλτατέ μοι Ανθέμιε, τοσοῦτον οἶμαι δεῖν προειπεῖν, ὅτι τοσαῦτα μόνα εἰς αὐτὸ γράφω, ὅσα ἂν ᾖ δυνατὸν διὰ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ νοηθῆναι. Τὸ πρῶτον θεώρημα πτῶσιν οὐκ ἔχει, εἰ γὰρ μή, τοῦτο ἐν τῇ καταγραφῇ διαφορὰν οὐ ποιεῖ· αἱ γὰρ ΔΓ, ΓΕ ἀσύμπτωτοί εἰσιν ἐν τῇ τομῇ, καὶ αὐταὶ διαμένουσι κατὰ πᾶσαν διάμετρον καὶ ἐφαπτομένην.

Explicaturus secundum librum Conicorum, amicissime *Anthemi*, illud præmittere oportere existimo, me ea tantummodo in ipsum conscribere, quæ ex primo libro intelligi possunt. Primum theorema casum non habet; nam diversitas schematum nullam hic facit diversitatem: rectæ enim ΔΓ, ΓE sectionis asymptoti cum sint, eædem manent in omni diametro & contingente.

ΠΡΟΤΑΣΙΣ β΄.

Τῶν αὐτῶν ὄντων, δεικτέον, ὅτι ἑτέρα ἀσύμπτωτος οὐκ ἔστι τέμνουσα τὴν περιεχομένην γωνίαν ὑπὸ τῶν ΔΓΕ.

PROP. II. *Theor.*

Iisdem manentibus, demonstrandum est non esse aliam asymptoton, quæ angulum ΔΓE dividat.

ΕΙ γὰρ δυνατόν, ἔστω ἡ ΓΘ, καὶ διὰ τοῦ Β τῇ ΓΔ παράλληλος ἤχθω ἡ ΒΘ, καὶ συμπιπτέτω τῇ ΓΘ κατὰ τὸ Θ, καὶ τῇ ΒΘ ἴση κείσθω ἡ ΔΗ, καὶ ἐπιζευχθεῖσα ἡ ΗΘ ἐκβεβλήσθω ἐπὶ τὰ Κ, Λ, Μ.

Ἐπεὶ οὖν αἱ ΒΘ, ΔΗ ἴσαι καὶ παράλληλοι, καὶ αἱ ΔΒ, ΗΘ ἴσαι καὶ παράλληλοι. καὶ ἐπεὶ ἡ ΑΒ δίχα τέμνεται κατὰ τὸ Γ, καὶ πρόσκειται αὐτῇ τις ἡ ΒΛ· τὸ ὑπὸ ΑΛΒ μετὰ τοῦ ἀπὸ ΓΒ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΛ. ὁμοίως δὴ ἐπειδὴ παράλληλός ἐστιν ἡ ΗΜ τῇ ΔΕ, καὶ ἴση ἡ ΔΒ τῇ ΒΕ· ἴση ἄρα καὶ ἡ ΗΛ τῇ ΛΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΗΘ τῇ ΔΒ, μείζων ἄρα ἡ ΗΚ τῆς ΔΒ. ἔστι δὲ καὶ ΚΜ τῆς ΒΕ μείζων, ἐπεὶ καὶ τῆς

SI enim fieri potest, sit ΓΘ; & per B ipsi ΓΔ parallela ducatur BΘ, quæ cum ΓΘ in Θ puncto conveniat; ipsi vero BΘ ponatur æqualis ΔH; & juncta HΘ ad K, Λ, M producatur.

Quoniam igitur BΘ, ΔH æquales sunt & parallelæ; & ipsæ ΔB, HΘ [per 33.1.] æquales & parallelæ erunt. & quoniam AB bifariam secatur in Γ, & ipsi adjungitur quædam BΛ: ergo [per 6.2.] rectangulum AΛB una cum quadrato ex ΓB æquale est quadrato ex ΓΛ. similiter quoniam HM ipsi ΔE est parallela, atque est ΔB æqualis BE; & HΛ ipsi ΛM æqualis erit. & quoniam HΘ æqualis est ΔB; erit HK ipsâ ΔB major. est vero & KM major ipsâ BE, quia & ipsâ

ipsâ Λ M: rectangulum igitur M K H majus est rectangulo Δ B E, hoc est quadrato ex Δ B. quoniam igitur ut A B ad B Z ita est [ex demonstr. ad præc.] quadratum ex Γ B ad quadratum ex B Δ; atque ut A B ad B Z ita [per 21. 1. huj.] A Λ B rectangulum ad quadratum ex Λ K: erit igitur ut quadratum ex Γ B ad quadratum ex B Δ ita A Λ B rectangulum ad quadratum ex Λ K. ut vero quadratum ex Γ B ad quadratum ex B Δ ita [per 4. & 22. 6.] quadratum ex Γ Λ ad quadratum ex Λ H: ergo ut quadratum ex Γ Λ ad quadratum ex Λ H ita A Λ B rectangulum ad quadratum ex Λ K. quoniam itaque est ut totum quadratum ex Γ Λ ad totum quadratum ex Λ H ita ablatum rectangulum A Λ B ad ablatum quadratum ex Λ K; erit reliquum, nempe [per 6. 2.] quadratum ex Γ B, ad reliquum [per eandem] rectangulum M K H ut quadratum ex Γ Λ ad quadratum ex Λ H, hoc est ut quadratum ex Γ B ad quadratum ex B Δ; ergo rectangulum M K H æquale est quadrato ex B Δ. sed & ostensum est eo majus esse: quod absurdum. igitur Γ Θ non est asymptotos.



Λ M· τὸ ἄρα ὑπὸ M K H μεῖζόν ἐστι τοῦ ὑπὸ Δ B E, τουτέστι τοῦ ἀπὸ Δ B. ἐπεὶ οὖν ἐστιν ὡς ἡ A B πρὸς B Z οὕτως τὸ ἀπὸ Γ B πρὸς τὸ ἀπὸ B Δ, ἀλλ᾽ ὡς μὲν ἡ A B πρὸς B Z οὕτως τὸ ὑπὸ A Λ B πρὸς τὸ ἀπὸ Λ K· καὶ ὡς ἄρα τὸ ἀπὸ Γ B πρὸς τὸ ἀπὸ B Δ οὕτως τὸ ὑπὸ A Λ B πρὸς τὸ ἀπὸ Λ K. ὡς δὲ τὸ ἀπὸ Γ B πρὸς τὸ ἀπὸ B Δ οὕτω τὸ ἀπὸ Γ Λ πρὸς τὸ ἀπὸ Λ H· καὶ ὡς ἄρα τὸ ἀπὸ Γ Λ πρὸς τὸ ἀπὸ Λ H οὕτως τὸ ὑπὸ A Λ B πρὸς τὸ ἀπὸ Λ K. ἐπεὶ οὖν ἐστιν ὡς ὅλον τὸ ἀπὸ Λ Γ πρὸς ὅλον τὸ ἀπὸ Λ H οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ A Λ B πρὸς ἀφαιρεθὲν τὸ ἀπὸ Λ K· καὶ λοιπὸν ἄρα τὸ ἀπὸ Γ B πρὸς λοιπὸν τὸ ὑπὸ M K H ἐστιν ὡς τὸ ἀπὸ Γ Λ πρὸς τὸ ἀπὸ Λ H, τουτέστι τὸ ἀπὸ Γ B πρὸς τὸ ἀπὸ Δ B· ἴσον ἄρα τῷ ἀπὸ Δ B τὸ ὑπὸ M K H· ἀλλὰ καὶ μεῖζον αὐτοῦ δέδεικται, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ Γ Θ ἀσύμπτωτός ἐστι τῇ τομῇ.

EUTOCIUS.

Hoc theorema casum non habet, siquidem B Θ sectionem omnino in duobus punctis secat. quoniam enim parallela est ipsi Γ Δ, cum ipsa Γ Θ conveniet; ideoque prius cum sectione conveniet.

Τοῦτο τὸ θεώρημα πτῶσιν οὐκ ἔχει, ἡ μέντοι B Θ πάντως τεμεῖ τὴν τομὴν κατὰ δύο σημεῖα. ἐπεὶ γὰρ παράλληλός ἐστι τῇ Γ Δ, συμπεσεῖται τῇ Θ Γ· ὥστε πρότερον τῇ τομῇ συμπεσεῖται.

Prop. III. *Theor.*

Si hyperbolam contingat recta linea: cum utraque asymptotôn conveniet, & ad tactum bifariam secabitur; quadratum vero utriusque ejus portionis æquale erit quartæ parti figuræ ad diametrum per tactum ductam constitutæ.

SIT hyperbola A B Γ, cujus centrum E, & asymptoti sint Z E, E H, quædam vero recta Θ K sectionem contingat in puncto B: dico Θ K productam cum Z E, E H convenire.

Si enim fieri potest, non conveniat, & juncta B E producatur, sitque ipsi B E æqualis E Δ: diameter igitur [per 47. 1. huj.] est B Δ. ponatur vero quartæ parti figuræ, quæ est ad B Δ, æquale quadratum utriusque ipsarum Θ B, B K, & jungantur Θ E, E K: ergo [per 1. 2. huj.] Θ E, E K asymptoti sunt, quod [per 2. 2. huj.] fieri nequit: positum est enim asymptotos esse Z E, E H: igitur Θ K producta cum ipsis Z E, E H conveniet, puta in punctis Z, H.



ΠΡΟΤΑΣΙΣ γ΄.

Ἐὰν ὑπερβολῆς εὐθεῖα ἐφάπτηται· συμπεσεῖται ἑκατέρᾳ τῶν ἀσυμπτώτων καὶ δίχα τμηθήσεται κατὰ τὴν ἁφὴν, καὶ τὸ ἀφ᾽ ἑκατέρας τῶν τμημάτων αὐτῆς τετράγωνον ἴσον ἔσται τῷ τετάρτῳ τοῦ γινομένου εἴδους πρὸς τῇ διὰ τῆς ἁφῆς ἀγομένῃ διαμέτρῳ.

ΕΣΤΩ ὑπερβολὴ ἡ A B Γ, κέντρον δὲ αὐτῆς τὸ E, καὶ ἀσύμπτωτοι αἱ Z E, E H, καὶ ἐφαπτέσθω τις αὐτῆς κατὰ τὸ B ἡ Θ K· λέγω ὅτι ἐκβαλλομένη ἡ Θ K συμπεσεῖται ταῖς Z E, E H.

Εἰ γὰρ δυνατὸν, μὴ συμπιπτέτω, καὶ ἐπιζευχθεῖσα ἡ E B ἐκβεβλήσθω, καὶ κείσθω τῇ B E ἴση ἡ E Δ· διάμετρος ἄρα ἐστὶν ἡ B Δ. κείσθω δὲ τῷ τετάρτῳ τοῦ πρὸς τῇ B Δ εἴδους ἴσον τὸ ἀφ᾽ ἑκατέρας τῶν Θ B, B K, καὶ ἐπεζεύχθωσαν αἱ E Θ, E K· ἀσύμπτωτοι ἄρα εἰσὶν, ὅπερ ἄτοπον· ὑπόκεινται γὰρ Z E, E H ἀσύμπτωτοι· ἡ ἄρα K Θ ἐκβαλλομένη συμπεσεῖται ταῖς E Z, E H ἀσυμπτώτοις κατὰ τὰ Z, H.

Λέγω

Λέγω δὴ ὅτι καὶ τὸ ἀφ' ἑκατέρας τῶν ΒΖ, ΒΗ ἴσον ἔσται τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΒΔ εἴδους. μὴ γάρ, ἀλλ', εἰ δυνατόν, ἔστω τῷ τετάρτῳ εἴδους ἴσον τὸ ἀφ' ἑκατέρας τῶν ΒΘ, ΒΚ· ἀσύμπτωτοι ἄρα εἰσὶν αἱ ΘΕ, ΕΚ, ὅπερ ἄτοπον· τὸ ἄρα ἀφ' ἑκατέρας τῶν ΖΒ, ΒΗ ἴσον ἔσται τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΒΔ εἴδους.

Dico quadratum utriusvis ipsarum BZ, BH æquale esse quartæ parti figuræ quæ fit ad BΔ. non enim, sed si fieri potest, sit quartæ parti istius figuræ æquale quadratum utriusvis ipsarum ΘB, BK: asymptoti igitur sunt [per 1. 2. huj.] ΘE, EK; quod est absurdum: ergo quadratum utriusvis ZB, BH æquale est quartæ parti figuræ ad ipsam BΔ constitutæ.

ΠΡΟΤΑΣΙΣ δ'.

Δύο δοθεισῶν εὐθειῶν γωνίαν περιεχουσῶν, καὶ σημείου ἐντὸς τῆς γωνίας, γράψαι διὰ τοῦ σημείου κώνου τομὴν τὴν καλουμένην ὑπερβολήν, ὥστε ἀσυμπτώτους εἶναι τὰς δοθείσας εὐθείας.*

ΕΣΤΩΣΑΝ δύο εὐθεῖαι αἱ ΑΒ, ΑΓ τυχοῦσαν γωνίαν περιέχουσαι τὴν πρὸς τῷ Α, καὶ δεδόσθω σημεῖόν τι τὸ Δ, καὶ δέον ἔστω διὰ τοῦ Δ εἰς ἀσυμπτώτους τὰς ΑΒ, ΑΓ γράψαι ὑπερβολήν.

Ἐπεζεύχθω ἡ ΑΔ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ε, καὶ κείσθω τῇ ΔΑ ἴση ἡ ΑΕ, καὶ διὰ τοῦ Δ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΔΖ, καὶ κείσθω τῇ ΑΖ ἴση ἡ ΖΓ, καὶ ἐπιζευχθεῖσα ἡ ΓΔ ἐκβεβλήσθω ἐπὶ τὸ Β, καὶ τῷ ἀπὸ τῆς ΓΒ ἴσον γεγονέτω τὸ ὑπὸ ΔΕ, Η· καὶ ἐκβληθείσης τῆς ΑΔ, γεγράφθω περὶ αὐτὴν διὰ τοῦ Δ ὑπερβολή, ὥστε τὰς καταγομένας δύνασθαι τὰ παρὰ τὴν Η, ὑπερβάλλοντα εἴδει ὁμοίῳ τῷ ὑπὸ ΔΕ, Η.



Ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΔΖ τῇ ΒΑ, καὶ ἴση ἡ ΓΖ τῇ ΖΑ· ἴση ἄρα ἐστὶν ἡ ΓΔ τῇ ΔΒ· ὥστε τὸ ἀπὸ τῆς ΓΒ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΓΔ. καὶ ἔστι τὸ ἀπὸ τῆς ΓΒ ἴσον τῷ ὑπὸ ΔΕ, Η· ἑκάτερον ἄρα τῶν ἀπὸ ΓΔ, ΔΒ τέταρτον μέρος ἐστὶ τοῦ ὑπὸ ΔΕ, Η εἴδους· αἱ ἄρα ΑΒ, ΑΓ ἀσύμπτωτοί εἰσι τῆς γραφείσης ὑπερβολῆς.

Prop. IV. *Probl.*

Datis duabus rectis lineis angulum continentibus, & puncto intra angulum dato: describere per punctum coni sectionem quæ hyperbola appellatur, ita ut datæ rectæ ipsius asymptoti sint.

SINT duæ rectæ AB, AΓ angulum quemvis ad A continentes, sitque datum punctum Δ, & oporteat per Δ intra asymptotos AB, AΓ hyperbolam describere.

Jungatur AΔ, & ad E producatur, & fiat ΔA æqualis AE, & per Δ ipsi AB parallela ducatur ΔZ, ponaturque AZ æqualis ZΓ, & juncta ΓΔ producatur ad B, & quadrato ex ΓB æquale fiat [ope 12. 6.] rectangulum sub ΔE & H, & producta AΔ, circa ipsam per Δ hyperbola describatur [per 53. 1. huj.] ita ut applicatæ ad diametrum possint rectangula adjacentia rectæ H, excedentiaque figurâ sub ipsis ΔE, H contentâ simili.

Quoniam igitur parallela est ΔZ ipsi BA, & ΓZ æqualis ZA; erit [per 2. 6.] ΓΔ ipsi ΔB æqualis: ergo [per 2. 2.] quadratum ex ΓB quadruplum est quadrati ex ΓΔ. atque est [per constr.] quadratum ex ΓB æquale rectangulo sub ΔE,H: utrumque igitur quadratorum ex ΓΔ, ΔB quarta pars est figuræ quæ sub ΔE, H continetur: quare [per 1. 2. huj.] AB, AΓ descriptæ hyperbolæ asymptoti sunt.

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν παραβολῆς ἢ ὑπερβολῆς ἡ διάμετρος εὐθεῖάν τινα τέμνῃ δίχα, ἡ κατὰ τὸ πέρας τῆς διαμέτρου ἐπιψαύουσα τῆς τομῆς παράλληλος ἔσται τῇ δίχα τεμνομένῃ εὐθείᾳ.

ΕΣΤΩ παραβολὴ ἢ ὑπερβολὴ ἡ ΑΒΓ, ἧς διάμετρος ἡ ΔΒΕ, καὶ ἐφαπτέσθω τῆς τομῆς ἡ ΖΒΗ· ἤχθω δέ τις εὐθεῖα ἐν τῇ τομῇ ἡ ΑΕΓ, ἴσην ποιοῦσα τὴν ΑΕ τῇ ΕΓ· λέγω ὅτι παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΖΗ.

Prop. V. *Theor.*

Si parabolæ vel hyperbolæ diameter rectam quandam bifariam secet; quæ ad terminum diametri contingit sectionem parallela est rectæ bifariam sectæ.

SIT parabola vel hyperbola ABΓ, cujus diameter ΔBE, & ZBH sectionem contingat; ducatur autem quædam AEΓ in sectione, faciens AE æqualem ipsi EΓ: dico AΓ parallelam esse ipsi ZH.

* Vide Lemma II. *Pappi* in Librum quintum.

Nisi enim ita sit, ducatur per Γ ipsi ZH parallela ΓΘ, & jungatur ΘΑ. quoniam igitur ΑΒΓ est parabola vel hyperbola, cujus diameter quidem ΔΕ, contingens autem ZH, atque ipsi ZH parallela est ΓΘ: erit [per 46. vel 47. 1. huj.] ΓΚ æqualis ΚΘ. sed & ΓΕ [ex hyp.] ipsi ΕΑ est æqualis: ergo [per 2. 6.] ΑΘ parallela est ipsi ΚΕ; quod fieri non potest: producta enim cum ipsâ ΒΔ [per 22. 1. huj.] convenit.



Εἰ γὰρ μὴ, ἤχθω διὰ τοῦ Γ τῇ ZH παράλληλος ἡ ΓΘ, καὶ ἐπεζεύχθω ἡ ΘΑ. ἐπεὶ οὖν παραβολὴ ἢ ὑπερβολή ἐστιν ἡ ΑΒΓ, ἧς διάμετρος μὲν ἡ ΔΕ, ἐφαπτομένη δὲ ἡ ZH, καὶ παράλληλος αὐτῇ ἡ ΓΘ· ἴση ἄρα ἐστὶν ἡ ΓΚ τῇ ΚΘ. ἀλλὰ καὶ ἡ ΓΕ τῇ ΕΑ· ἡ ἄρα ΑΘ τῇ ΚΕ παράλληλός ἐστιν, ὅπερ ἀδύνατον· συμπίπτει γὰρ ἐκβαλλομένη τῇ ΒΔ.

Prop. VI. *Theor.*

Si ellipseos vel circuli circumferentiæ diameter rectam quandam non per centrum transeuntem bifariam secet: quæ ad terminum diametri sectionem contingit parallela erit rectæ bifariam sectæ.

SIT ellipsis vel circuli circumferentia, cujus diameter ΑΒ, & ΑΒ ipsam ΓΔ non transeuntem per centrum bifariam secet in Ε: dico rectam, quæ sectionem contingit ad Α, ipsi ΔΓ parallelam esse.

Nam, si fieri potest, sit recta ΔZ sectionem contingenti in puncto Α parallela: æqualis igitur est [per 47. 1. huj.] ΔΗ ipsi ZΗ. est autem [ex hyp.] & ΔΕ æqualis ΕΓ: ergo [per 2. 6.] ΓZ ipsi ΗΕ est parallela, quod est absurdum. etenim sive Η fuerit centrum sectionis ΑΒ; linea ΓZ [per 23. 1. huj.] cum diametro ΑΒ occurret: sive non sit, ponatur centrum Κ, junctaque ΔΚ producatur ad Θ, & jungatur ΓΘ. quoniam igitur ΔΚ æqualis est ΚΘ, & ΔΕ ipsi ΕΓ; erit [per 2. 6.] ΓΘ parallela ipsi ΑΒ. sed & ΓZ [ex hyp.] eidem est paralella, quod est absurdum: ergo quæ ad Α sectionem contingit ipsi ΓΔ est parallela.



ΠΡΟΤΑΣΙΣ ϛʹ.

Ἐὰν ἐλλείψεως ἢ κύκλου περιφερείας ἡ διάμετρος εὐθεῖάν τινα δίχα τέμνῃ μὴ διὰ τοῦ κέντρου οὖσαν· ἡ κατὰ τὸ πέρας τῆς διαμέτρου ἐπιψαύουσα τῆς τομῆς παράλληλος ἔσται τῇ δίχα τεμνομένῃ εὐθείᾳ.

ΕΣΤΩ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, καὶ ἡ ΑΒ τὴν ΓΔ μὴ διὰ τοῦ κέντρου οὖσαν δίχα τεμνέτω κατὰ τὸ Ε· λέγω ὅτι ἡ κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ ΔΓ.



Εἰ γὰρ μὴ, ἔστω τῇ κατὰ τὸ Α ἐφαπτομένῃ παράλληλος ἡ ΔZ· ἴση ἄρα ἐστὶν ἡ ΔΗ τῇ ZΗ. ἔστι δὲ καὶ ἡ ΔΕ τῇ ΕΓ ἴση· παράλληλος ἄρα ἐστὶν ἡ ΓZ τῇ ΗΕ, ὅπερ ἄτοπον· εἴ τε γὰρ τὸ Η σημεῖον κέντρον ἐστὶ τῆς ΑΒ τομῆς, ἡ ΓZ συμπεσεῖται τῇ ΑΒ· εἴ τε μή ἐστιν, ὑποκείσθω τὸ Κ, καὶ ἐπιζευχθεῖσα ἡ ΔΚ ἐκβεβλήσθω ἐπὶ τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΓΘ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΚ τῇ ΚΘ, ἔστι δὲ καὶ ἡ ΔΕ τῇ ΕΓ· παράλληλος ἄρα ἐστὶν ἡ ΓΘ τῇ ΑΒ. ἔστι δὲ καὶ ἡ ΓZ τῇ αὐτῇ ΑΒ παράλληλος, ὅπερ ἄτοπον· ἡ ἄρα κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ ΓΔ.

Prop. VII. *Theor.*

Si coni sectionem vel circuli circumferentiam recta linea contingat, & huic parallela ducatur in sectione, & bifariam dividatur: quæ tactum & punctum bisectionis recta connectit sectionis diameter erit.

SIT coni sectio vel circuli circumferentia ΑΒΓ, quam contingat ZΗ, & ipsi ZΗ paral-

ΠΡΟΤΑΣΙΣ ζʹ.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας εὐθεῖα ἐφάπτηται, καὶ ταύτῃ παράλληλος ἀχθῇ ἐν τῇ τομῇ, καὶ δίχα τμηθῇ· ἡ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὴν διχοτομίαν ἐπιζευχθεῖσα εὐθεῖα διάμετρος ἔσται τῆς τομῆς.

ΕΣΤΩ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ΑΒΓ, ἐφαπτομένη δὲ αὐτῆς ἡ ZΗ, καὶ τῇ ZΗ παράλληλος

ληλος ἡ ΑΓ, καὶ δίχα τετμήσθω κατὰ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΒΕ· λέγω ὅτι ἡ ΒΕ διάμετρός ἐστι τῆς τομῆς.

Μὴ γὰρ, ἀλλὰ, εἰ δυνατὸν, ἔστω διάμετρος τῆς τομῆς ἡ ΒΘ· ἴση ἄρα ἐστὶν ἡ ΑΘ τῇ ΘΓ, ὅπερ ἄτοπον· ἡ γὰρ ΑΕ τῇ ΕΓ ἴση ἐστίν· οὐκ ἄρα ἡ ΒΘ διάμετρος ἔσται τῆς τομῆς. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΒΕ.



lela ducatur ΑΓ, bifariamque in E dividatur, & jungatur BE: dico BE esse sectionis diametrum.



Non enim, sed, si fieri potest, sit diameter ΒΘ: ergo ΑΘ ipsi ΘΓ est æqualis, quod est absurdum; est enim AE æqualis ipsi ΕΓ: non est igitur ΒΘ diameter sectionis. similiter demonstrabimus nullam aliam præter ipsam BE diametrum esse.

ΠΡΟΤΑΣΙΣ η′.

Ἐὰν ὑπερβολῇ εὐθεῖα συμπίπτῃ κατὰ δύο σημεῖα· ἐκβαλλομένη ἐφ᾽ ἑκάτερα συμπεσεῖται ταῖς ἀσυμπτώτοις, καὶ αἱ ἀπολαμβανόμεναι ἀπ᾽ αὐτῆς ὑπὸ τῆς τομῆς πρὸς ταῖς ἀσυμπτώτοις ἴσαι ἔσονται.

Ἔστω ὑπερβολὴ ἡ ΑΒΓ, ἀσύμπτωτοι δὲ αἱ ΕΔ, ΔΖ, καὶ τῇ ΑΒΓ συμπιπτέτω κατὰ δύο σημεῖα τὰ Α, Γ ἡ ΑΓ· λέγω ὅτι ἐκβαλλομένη ἐφ᾽ ἑκάτερα συμπεσεῖται ταῖς ἀσυμπτώτοις.

Τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΔΗ· διάμετρος ἄρα ἐστὶ τῆς τομῆς· ἡ ἄρα κατὰ τὸ Β ἐφαπτομένη παράλληλός ἐστι τῇ ΑΓ. ἔστω οὖν ἐφαπτομένη ἡ ΘΒΚ· συμπεσεῖται δὴ ταῖς ΕΔ, ΔΖ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΚΘ, καὶ ἡ ΚΘ συμπίπτει ταῖς ΔΚ, ΔΘ· καὶ ἡ ΑΓ ἄρα συμπεσεῖται ταῖς ΔΕ, ΔΖ. συμπιπτέτω κατὰ τὰ Ε, Ζ. καί ἐστιν ἴση ἡ ΘΒ τῇ ΒΚ· ἴση ἄρα καὶ ἡ ΖΗ τῇ ΗΕ· ὥστε καὶ ἡ ΓΖ τῇ ΑΕ.



Prop. VIII. *Theor.*

Si hyperbolæ recta linea occurrat in duobus punctis: producta ab utraque parte asymptotis conveniet; & ex ipsâ abscissæ portiones inter sectionem & asymptotos interjectæ æquales erunt.

Sit hyperbola ΑΒΓ, cujus asymptoti ΕΔ, ΔΖ, & ipsi ΑΒΓ occurrat recta quædam ΑΓ in punctis Α,Γ: dico ΑΓ productam ex utraque parte cum asymptotis convenire.

Secetur enim ΑΓ bifariam in H, & jungatur ΔΗ: hæc igitur [per cor. 51. 1. huj.] diameter est sectionis: quare [per 5. 2. huj.] recta ad B contingens ipsi ΑΓ est parallela. sit autem contingens ΘΒΚ, quæ [per 3. 2. huj.] conveniet cum ipsis ΕΔ, ΔΖ. quoniam igitur ΑΓ est parallela ipsi ΚΘ, & ΚΘ convenit cum ΔΚ, ΔΘ; etiam ΑΓ cum ΔΕ, ΔΖ conveniet. conveniat autem in punctis Ε,Ζ; ac ob ΘΒ ipsi ΒΚ æqualem, erit [ex 4. 6. & 15. 5.] ΖΗ ipsi ΗΕ, & propterea ΓΖ ipsi ΑΕ æqualis.

ΠΡΟΤΑΣΙΣ θ′.

Ἐὰν εὐθεῖα συμπίπτουσα ταῖς ἀσυμπτώτοις δίχα τέμνηται ὑπὸ τῆς ὑπερβολῆς· καθ᾽ ἓν μόνον σημεῖον ἅπτεται τῆς τομῆς.

Εὐθεῖα γὰρ ἡ ΓΔ συμπίπτουσα ταῖς ΓΑ, ΑΔ ἀσυμπτώτοις δίχα τεμνέσθω ὑπὸ τῆς ὑπερβολῆς κατὰ τὸ Ε σημεῖον· λέγω ὅτι κατ᾽ ἄλλο σημεῖον οὐχ ἅπτεται τῆς τομῆς.

Εἰ γὰρ δυνατὸν, ἁπτέσθω κατὰ τὸ Β· ἴση ἄρα ἐστὶν ἡ ΓΕ τῇ ΒΔ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ ΓΕ τῇ ΕΔ ἴση· οὐκ ἄρα καθ᾽ ἕτερον σημεῖον ἅπτεται ἡ ΓΔ τῆς τομῆς.



Prop. IX. *Theor.*

Si recta linea asymptotis occurrens ab hyperbola bifariam secetur; in uno tantum puncto cum sectione convenit.

Recta enim ΓΔ occurrens asymptotis ΓΑ, ΑΔ secetur ab hyperbola bifariam in puncto E: dico rectam ΓΔ in alio puncto sectioni non occurrere.

Si enim fieri potest, occurrat in B: ergo [per 8. 2. huj.] ΓΒ æqualis est ipsi ΒΔ, quod est absurdum; posuimus enim ΓΒ ipsi ΒΔ æqualem esse: igitur ΓΔ in alio puncto sectioni non occurrit.

Prop.

Prop. X. *Theor.*

Si recta quævis linea sectionem secans cum utraque asymptotôn conveniat; rectangulum contentum sub rectis lineis, quæ inter asymptotos & sectionem interjiciuntur, æquale est quartæ parti figuræ factæ ad diametrum illam quæ rectæ ductæ parallelas bifariam dividit.

SIT hyperbola ΑΒΓ, cujus asymptoti ΔΕ, ΕΖ, & ducatur quævis recta ΔΖ sectionem & asymptotos secans, dividatur autem ΑΓ bifariam in Η, junctaque ΗΕ, ponatur ipsi ΒΕ æqualis ΕΘ, & à puncto Β ducatur ΒΜ ad angulos rectos ipsi ΘΕΒ, deinde fiat ut rectangulum ΘΗΒ ad quadratum ex ΑΗ ita ΘΒ ad ΒΜ; diameter igitur est ΒΘ, [per 7. 2. huj.] & [per 21.1.huj.] ΒΜ rectum figuræ, latus: dico rectangulum ΔΑΖ æquale esse quartæ parti figuræ quæ sub ΘΒ, ΒΜ continetur, & similiter eidem esse æquale rectangulum ΔΓΖ.



Ducatur enim ΚΒΛ per Β sectionem contingens, quæ [per 5. 2.huj.] parallela erit ipsi ΔΖ. jam quoniam demonstratum est [ad 1.2.huj.] ut ΘΒ ad ΒΜ ita esse quadratum ex ΕΒ ad quadratum ex ΒΚ, hoc est [per 4. & 22. 6.] quadratum ex ΕΗ ad quadratum ex ΗΔ; atque etiam ut ΘΒ ad ΒΜ ita [ex const. & 1. 6.] rectangulum ΘΗΒ ad quadratum ex ΑΗ: erit igitur ut totum quadratum ex ΕΗ ad totum quadratum ex ΗΔ, ita ablatum rectangulum ΘΗΒ ad ablatum quadratum ex ΑΗ: adeoque [per 5. 2.] reliquum quadratum ex ΕΒ ad reliquum rectangulum ΔΑΖ est ut quadratum ex ΕΗ ad quadratum ex ΗΔ, hoc est ut quadratum ex ΕΒ ad quadratum ex ΒΚ. æquale igitur est [per 9. 5.] rectangulum ΖΑΔ quadrato ex ΒΚ. similiter demonstrabitur & rectangulum ΔΓΖ quadrato ex ΒΛ æquale. quadratum autem ex ΚΒ [per 3.2. huj.] æquale est quadrato ex ΒΛ: ergo & ΖΑΔ rectangulum rectangulo ΖΓΔ æquale erit.

ΠΡΟΤΑΣΙΣ ι'.

Ἐὰν εὐθεῖά τις τέμνουσα τὴν τομὴν συμπίπτῃ ἑκατέρᾳ τῶν ἀσυμπτώτων· τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν μεταξὺ τῶν ἀσυμπτώτων καὶ τῆς τομῆς, ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ γινομένου εἴδους πρὸς τῇ διχοτομούσῃ διαμέτρῳ τὰς ἀγομένας παρὰ τὴν ἠγμένην εὐθεῖαν.

ΕΣΤΩ ὑπερβολὴ ἡ ΑΒΓ, ἀσύμπτωτοι δὲ αὐτῆς αἱ ΔΕ, ΕΖ, καὶ ἤχθω τις ἡ ΔΖ τέμνουσα τὴν τομὴν καὶ τὰς ἀσυμπτώτους, καὶ τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΗΕ, καὶ κείσθω τῇ ΒΕ ἴση ἡ ΕΘ, καὶ ἤχθω ἀπὸ τοῦ Β τῇ ΘΕΒ πρὸς ὀρθὰς ἡ ΒΜ, καὶ πεποιήσθω ὡς τὸ ὑπὸ τῶν ΘΗΒ πρὸς τὸ ἀπὸ τῆς ΑΗ οὕτως ἡ ΘΒ πρὸς τὴν ΒΜ, διάμετρος ἄρα ἐστὶν ἡ ΒΘ, ὀρθία δὲ ἡ ΒΜ· λέγω ὅτι τὸ ὑπὸ ΔΑΖ ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ ὑπὸ τῶν ΘΒΜ, ὁμοίως δὴ καὶ τὸ ὑπὸ τῶν ΔΓΖ.

Ἤχθω γὰρ διὰ τοῦ Β ἐφαπτομένη τῆς τομῆς ἡ ΚΛ· παράλληλος ἄρα ἐστὶ τῇ ΔΖ. καὶ ἐπεὶ δέδεικται ὡς ἡ ΘΒ πρὸς ΒΜ οὕτως τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΚ, τουτέστι τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΗΔ· ὡς δὲ ἡ ΘΒ πρὸς ΒΜ οὕτως τὸ ὑπὸ ΘΗΒ πρὸς τὸ ἀπὸ ΗΑ· ἔστιν οὖν ὡς ὅλον τὸ ἀπὸ ΕΗ πρὸς ὅλον τὸ ἀπὸ ΗΔ οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΘΗΒ πρὸς ἀφαιρεθὲν τὸ ἀπὸ ΑΗ· καὶ λοιπὸν ἄρα τὸ ἀπὸ ΕΒ πρὸς λοιπὸν τὸ ὑπὸ ΔΑΖ ἐστὶν ὡς τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΗΔ, τουτέστι τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΚ· ἴσον ἄρα τὸ ὑπὸ ΖΑΔ τῷ ἀπὸ ΒΚ. ὁμοίως δειχθήσεται καὶ τὸ ὑπὸ ΔΓΖ τῷ ἀπὸ ΒΛ. ἴσον δὲ τὸ ἀπὸ ΚΒ τῷ ἀπὸ ΒΛ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΖΑΔ τῷ ὑπὸ ΖΓΔ.

Prop. XI. *Theor.*

Si utramque rectarum continentium angulum qui deinceps est angulo hyperbolam continenti secet recta linea: in uno tantum puncto cum sectione conveniet; & rectangulum contentum sub interjectis inter rectas angulum continentes & sectionem, æquale erit quartæ parti quadrati ex diametro quæ rectæ secanti parallela est.

SIT hyperbola cujus asymptoti ΓΑ, ΑΔ; & producta ΔΑ ad Ε, per aliquod punctum Ε

ΠΡΟΤΑΣΙΣ ια'.

Ἐὰν ἑκατέραν τῶν περιεχουσῶν τὴν ἐφεξῆς γωνίαν τῆς περιεχούσης τὴν ὑπερβολὴν τέμνῃ τις εὐθεῖα· συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον, καὶ τὸ περιεχόμενον ὑπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν μεταξὺ τῶν περιεχουσῶν καὶ τῆς τομῆς, ἴσον ἐστὶ τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἠγμένης διαμέτρου παρὰ τὴν τέμνουσαν εὐθεῖαν.

ΕΣΤΩ ὑπερβολὴ ἧς ἀσύμπτωτοι αἱ ΓΑ, ΑΔ, καὶ ἐκβεβλήσθω ἡ ΔΑ ἐπὶ τὸ Ε, καὶ διά τινος σημείου

σημείου τοῦ Ε διήχθω ἡ ΕΖ τέμνουσα τὰς ΕΑ, ΑΓ· ὅτι μὲν οὖν συμπίπτει τῇ τομῇ καθ' ἓν μόνον σημεῖον, φανερόν. ἡ γὰρ διὰ τοῦ Α τῇ ΕΖ παράλληλος ἀγομένη, ὡς ἡ ΑΒ, τεμεῖ τὴν ὑπὸ ΓΑΔ γωνίαν, καὶ συμπεσεῖται τῇ τομῇ, καὶ διάμετρος αὐτῆς ἔσται· ἡ ΕΖ ἄρα συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον. συμπιπτέτω κατὰ τὸ Η· λέγω δὴ ὅτι καὶ τὸ ὑπὸ τῶν ΕΗΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ.

Ηχθω γὰρ διὰ τοῦ Η τεταγμένως ἡ ΘΗΛΚ· ἡ ἄρα διὰ τοῦ Β ἐφαπτομένη παράλληλός ἐστι τῇ ΗΘ. ἔστω ἡ ΓΔ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΓΒ τῇ ΒΔ, τὸ ἄρα ἀπὸ ΓΒ, τουτέστι τὸ ὑπὸ ΓΒΔ, πρὸς τὸ ἀπὸ ΒΑ λόγον ἔχει τὸν συγκείμενον, ἐκ τοῦ τῆς ΓΒ πρὸς ΒΑ καὶ τοῦ τῆς ΔΒ πρὸς ΒΑ. ἀλλ' ὡς μὲν ἡ ΓΒ πρὸς ΒΑ οὕτως ἡ ΘΗ πρὸς ΗΖ, ὡς δὲ ἡ ΔΒ πρὸς ΒΑ οὕτως ἡ ΚΗ πρὸς ΗΕ· ὁ ἄρα τοῦ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΘΗ πρὸς ΗΖ καὶ τοῦ τῆς ΚΗ πρὸς ΗΕ. ἀλλὰ καὶ ὁ τοῦ ὑπὸ ΚΗΘ πρὸς τὸ ὑπὸ ΕΗΖ λόγος σύγκειται ἐκ τῶν αὐτῶν· ὡς ἄρα τὸ ὑπὸ ΚΗΘ πρὸς τὸ ὑπὸ ΕΗΖ οὕτως τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΑ, καὶ ἐναλλὰξ ὡς τὸ ὑπὸ ΚΗΘ πρὸς τὸ ἀπὸ ΓΒ οὕτως τὸ ὑπὸ ΕΗΖ πρὸς τὸ ἀπὸ ΑΒ. ἴσον δὲ τὸ ὑπὸ ΚΗΘ τῷ ἀπὸ ΓΒ ἐδείχθη· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΕΗΖ τῷ ἀπὸ ΑΒ.



ducatur EZ, ipsas EA, AΓ secans: perspicuum est EZ in uno tantum puncto cum sectione convenire. nam quæ per A ipsi EZ parallela ducitur, ut AB, secat angulum ΓAΔ; propterea eaque [per 2. 2.huj.] conveniet cum sectione, & [per corol. 51. 1.huj.] ipsius diameter erit; quare EZ conveniet cum sectione in uno solo puncto. conveniat autem ad H: dico rectangulum EHZ quadrato ex AB æquale esse.

Ducatur enim per H ordinatim ΘHΛK: ergo [per 5. 2.huj.] quæ in puncto B sectionem contingit parallela est ipsi HΘ. sit ea ΓΔ. itaque quoniam ΓB est æqualis ipsi BΔ; quadratum ex ΓB, hoc est rectangulum ΓBΔ, ad quadratum ex BA habet [per 23. 6.] rationem compositam ex ratione ΓB ad BA & ex ratione ΔB ad BA. sed [per 4. 6.] ut ΓB ad BA ita ΘH ad HZ, & ut ΔB ad BA ita KH ad HE: ergo ratio quadrati ex ΓB ad quadratum ex BA composita est ex ratione ΘH ad HZ & ratione KH ad HE. ratio autem rectanguli KHΘ ad rectangulum EHZ [per 23. 6.] ex eisdem rationibus componitur: quare ut rectangulum KHΘ ad rectangulum EHZ ita quadratum ex ΓB ad quadratum ex BA; & permutando ut rectangulum KHΘ ad quadratum ex ΓB ita rectangulum EHZ ad quadratum ex AB. sed [per 10.2.huj.] rectangulum KHΘ æquatur quadrato ex ΓB: ergo & EHZ rectangulum quadrato ex AB æquale erit.

EUTOCIUS.

Εν τισιν ἀντιγράφοις τὸ θεώρημα τοῦτο ἄλλως δείκνυται.

* Εστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ ΑΒ, ΒΓ, καὶ ἐκβεβλήσθω ἐπ' εὐθείαν ἡ ΓΒΔ, καὶ ἤχθω τις ἡ ΕΖ, ὡς ἔτυχεν, τέμνουσα τὰς ΒΔ, ΒΑ· λέγω ὅτι συμπεσεῖται τῇ τομῇ.

Εἰ γὰρ δυνατὸν μὴ συμπιπτέτω, καὶ διὰ τοῦ Β τῇ ΕΖ παράλληλος ἤχθω ἡ ΒΗ· διάμετρος ἄρα ἐστὶ τῆς τομῆς. καὶ παραβεβλήσθω παρὰ τὴν ΕΖ τῷ ἀπὸ ΒΗ ἴσον παραλληλόγραμμον ὑπερβάλλον εἴδει τετραγώνῳ, καὶ ποιείτω τὸ ὑπὸ ΕΘΖ, καὶ ἐπεζεύχθω ἡ ΘΒ καὶ ἐκβεβλήσθω· συμπεσεῖται ἄρα τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Κ, καὶ διὰ τοῦ Κ τῇ ΒΗ παράλληλος ἤχθω ἡ ΚΑΔ· τὸ ἄρα ὑπὸ ΔΚΑ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΗ, ὥστε καὶ τῷ ὑπὸ ΕΘΖ· ὅπερ ἄτοπον. ἡ ἄρα ΕΖ συμπεσεῖται τῇ τομῇ, ἐπείπερ συμπίπτει αὐτῇ ἡ ΑΔ. φανερὸν δὲ ὅτι καὶ καθ' ἓν μόνον σημεῖον· παράλληλος γάρ ἐστι τῇ ΒΗ διαμέτρῳ.



In aliquibus exemplaribus hoc theorema aliter demonstratur.

Sit hyperbola, cujus asymptoti AB, BΓ, producaturque ΓBΔ in directum, & ducatur EZ, utcunque, secans BΔ, BA: dico EZ cum sectione convenire.

Si enim fieri potest, non conveniat, & per B ipsi EZ parallela ducatur BH: ergo BH est diameter sectionis. applicetur [per 29. 6.] ad EZ parallelogrammum quadrato ex BH æquale excedens figurâ quadratâ; quod sit EΘZ: & juncta ΘB producatur. occurret igitur [per 2. 2. huj.] cum sectione. occurrat in K, & per K ducatur KAΔ parallela ipsi BH: ergo [per 11. 2. huj.] rectangulum ΔKA quadrato ex BH est æquale; ideoque æquale rectangulo EΘZ, quod est absurdum. quare cum AΔ convenit cum sectione, manifestum est & EZ eidem convenire, idque in uno tantum puncto; diametro enim BH est parallela.

* Hæc demonstratio vix satis integra videtur, ac tuto omitti poterat: nam, ex 26ta libri primi, res satis manifesta est.

Prop. XII. *Theor.*

Si ab aliquo puncto eorum, quæ sunt in sectione, ad asymptotos duæ rectæ lineæ in quibuslibet angulis ducantur, & ab alio quovis puncto in sectione sumpto ducantur aliæ rectæ his ipsis parallelæ: rectangulum sub parallelis contentum æquale erit contento sub rectis ipsis quibus ductæ fuerant parallelæ.

SIT hyperbola, cujus asymptoti A B, B Γ, & sumatur in sectione aliquod punctum Δ, atque ab eo ad A B, B Γ ducantur Δ E, Δ Z; sumatur autem & alterum punctum H in sectione, per quod ducantur H Θ, H K ipsis Δ E, Δ Z parallelæ: dico rectangulum E Δ Z rectangulo Θ H K æquale esse.



Jungatur enim Δ H, & ad A, Γ producatur. itaque quoniam [per 10. 2. huj.] rectangulum A Δ Γ æquatur rectangulo A H Γ; erit [per 16. 6.] ut A H ad A Δ ita Δ Γ ad Γ H. sed [per 4. 6.] ut A H ad A Δ ita H Θ ad E Δ, & ut Δ Γ ad Γ H ita Δ Z ad H K; quare [per 11. 5.] ut Θ H ad Δ E ita Δ Z ad H K: rectangulum igitur E Δ Z [per 16. 6.] rectangulo Θ H K est æquale.

ΠΡΟΤΑΣΙΣ ιβʹ.

Εὰν ἐπὶ τὰς ἀσυμπτώτους ἀπό τινος σημείου τῶν ἐπὶ τῆς τομῆς δύο εὐθεῖαι ἀχθῶσιν ἐν τυχούσαις γωνίαις, καὶ ταύταις παράλληλοι ἀχθῶσιν ἀπό τινος σημείου τῶν ἐπὶ τῆς τομῆς· τὸ ὑπὸ τῶν παραλλήλων περιεχόμενον ὀρθογώνιον ἴσον ἔσται τῷ περιεχομένῳ ὑπὸ τῶν αἷς αἱ παράλληλοι ἤχθησαν.

ΕΣΤΩ ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ A B, B Γ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Δ, καὶ ἀπ᾽ αὐτοῦ ἐπὶ τὰς A B, B Γ κατήχθωσαν αἱ Δ E, Δ Z· εἰλήφθω δέ τι σημεῖον ἕτερον ἐπὶ τῆς τομῆς τὸ H, καὶ διὰ τοῦ H ταῖς E Δ, Δ Z παράλληλοι ἤχθωσαν αἱ H Θ, H K· λέγω ὅτι ἴσον ἐστὶ τὸ ὑπὸ E Δ Z τῷ ὑπὸ Θ H K.

Ἐπεζεύχθω γὰρ ἡ Δ H, καὶ ἐκβεβλήσθω ἐπὶ τὰ A, Γ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ὑπὸ A Δ Γ τῷ ὑπὸ A H Γ· ἔστιν ἄρα ὡς ἡ A H πρὸς A Δ οὕτως ἡ Δ Γ πρὸς Γ H. ἀλλ᾽ ὡς μὲν ἡ A H πρὸς A Δ οὕτως ἡ H Θ πρὸς E Δ, ὡς δὲ ἡ Δ Γ πρὸς Γ H οὕτως ἡ Δ Z πρὸς H K· ὡς ἄρα ἡ Θ H πρὸς Δ E οὕτως ἡ Δ Z πρὸς τὴν H K· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ E Δ Z τῷ ὑπὸ Θ H K.

EUTOCIUS.

In aliquibus codicibus invenitur hoc Theorema demonstratum, ope duarum rectarum contingenti parallelarum, quarum altera per Δ, altera vero per H ducitur, demonstratione juxta rationes Syntheticas ostensâ. elegimus autem hunc quem damus probandi modum, utpote eadem simplicius monstrantem. Casus autem habet sex, ductis enim sex rectis, vel punctum Θ erit inter E, B; vel in puncto B, vel extra B; qui tres sunt casus: pariterque tres sunt alii, juxta situm puncti Z.

Εὑρέθη ἔν τισιν ἀντιγράφοις τοῦτο τὸ θεώρημα δεικνύμενον διὰ δύο παραλλήλων ἀγομένων τῇ ἐφαπτομένῃ, μιᾶς μὲν διὰ τοῦ Δ, ἑτέρας δὲ διὰ τοῦ H· καὶ ἡ ἀπόδειξις διὰ συνθετικὸν λόγον. ἐπελεξάμεθα δὲ ταύτην τὴν κατασκευὴν ὡς τὰ αὐτὰ δεικνῦσαν ἁπλουστέρως. ἔχει δὲ καὶ πτώσεις ἕξ· τῶν γὰρ ἓξ εὐθειῶν ἀχθεισῶν, τὸ Θ σημεῖον ἢ μεταξὺ ἔσται τῶν E, B, ἢ ἐπὶ τοῦ B, ἢ ἔξω τοῦ B, ὥστε γίνονται τρεῖς· καὶ ὁμοίως ἐπὶ τοῦ Z ἄλλαι τρεῖς.

Prop. XIII. *Theor.*

Si in loco ab asymptotis & sectione terminato quævis recta linea ducatur alteri asymptotôn parallela: in uno puncto tantum cum sectione conveniet.

SIT hyperbola, cujus asymptoti Γ A, A B, sumaturque aliquod punctum E, & per E ipsi A B parallela ducatur E Z: dico E Z cum sectione convenire.

Si enim fieri potest, non conveniat, & sumatur punctum quodvis in sectione, per quod ipsis Γ A, A B parallelæ ducantur H Θ, H Γ; & rectangulo Γ H Θ æquale sit rectangulum A E Z; junctaque A Z producatur: hæc igitur cum sectione [per 2. 2. huj.] conveniet. conveniat autem in

ΠΡΟΤΑΣΙΣ ιγʹ.

Εὰν ἐν τῷ ἀφοριζομένῳ τόπῳ ὑπὸ τῶν ἀσυμπτώτων καὶ τῆς τομῆς παράλληλος ἀχθῇ τις εὐθεῖα τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων· συμπεσεῖται τῇ τομῇ καθ᾽ ἓν μόνον σημεῖον.

ΕΣΤΩ ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ Γ A, A B, καὶ εἰλήφθω τι σημεῖον τὸ E, καὶ δι᾽ αὐτοῦ τῇ A B παράλληλος ἤχθω ἡ E Z· λέγω ὅτι συμπεσεῖται τῇ τομῇ.

Εἰ γὰρ δυνατόν, μὴ συμπιπτέτω. καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ H, καὶ διὰ τοῦ H παρὰ τὰς Γ A, A B ἤχθωσαν αἱ H Θ, H Γ· καὶ τῷ ὑπὸ Γ H Θ ἴσον ἔστω τὸ ὑπὸ A E Z, καὶ ἐπεζεύχθω ἡ A Z καὶ ἐκβεβλήσθω· συμπεσεῖται δὴ τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ K, καὶ

Κ, καὶ διὰ τοῦ Κ παρὰ τὰς ΑΒ, ΑΓ ἤχθωσαν αἱ ΚΛ, ΚΔ· τὸ ἄρα ὑπὸ ΓΗΘ ἴσον ἐστὶ τῷ ὑπὸ ΛΚΔ. ὑπόκειται δὲ καὶ τῷ ὑπὸ ΑΕΖ ἴσον· τὸ ἄρα ὑπὸ ΔΚΛ, τουτέστι τὸ ὑπὸ ΑΛΚ, ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΖ, ὅπερ ἀδύνατον· μείζων γάρ ἐστι καὶ ἡ ΚΛ τῆς ΕΖ, καὶ ἡ ΛΑ τῆς ΑΕ· συμπεσεῖται ἄρα ἡ ΕΖ τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Μ· λέγω δὴ κατ' ἄλλο οὐ συμπεσεῖται. εἰ γὰρ δυνατὸν, συμπιπτέτω καὶ κατὰ τὸ Ν, καὶ διὰ τῶν Μ, Ν τῇ ΓΑ παράλληλοι ἤχθωσαν αἱ ΜΞ, ΝΒ· τὸ ἄρα ὑπὸ ΕΜΞ ἴσον ἐστὶ τῷ ὑπὸ ΕΝΒ, ὅπερ ἀδύνατον. οὐκ ἄρα καθ' ἕτερον σημεῖον συμπεσεῖται τῇ τομῇ.



puncto K, & per K ducantur KΛ, KΔ ipsis AB, AΓ parallelæ: ergo [per 12. 2. huj.] rectangulum ΓHΘ æquale est rectangulo ΛKΔ. ponitur autem & rectangulo AEZ æquale: rectangulum igitur ΔKΛ, hoc est AΛK, rectangulo AEZ æquale erit, quod fieri non potest; si quidem KΛ major est quam EZ; & ΛA major quam AE: quare EZ conveniet cum sectione. conveniat in M: dico eam in alio puncto non convenire. nam si fieri potest, conveniat etiam in N; & per M, N ipsi ΓA parallelæ ducantur MΞ, NB: ergo [per 12. 2. huj.] rectangulum EMΞ rectangulo ENB est æquale, quod est absurdum. Igitur in alio puncto cum sectione non conveniet.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Αἱ ἀσύμπτωτοι καὶ ἡ τομὴ εἰς ἄπειρον ἐκβαλλόμεναι ἔγγιόν τε προσάγουσιν ἑαυταῖς, καὶ παντὸς τοῦ δοθέντος διαστήματος εἰς ἔλαττον ἀφικνοῦνται διάστημα.

Ε ΣΤΩ ὑπερβολὴ, ἧς ἀσύμπτωτοι αἱ ΑΒ, ΑΓ, δοθὲν δὲ διάστημα τὸ Κ· λέγω ὅτι αἱ ΑΒ, ΑΓ καὶ ἡ τομὴ ἐκβαλλόμεναι ἔγγιόν τε προσάγουσιν ἑαυταῖς καὶ εἰς ἔλασσον ἀφίξονται διάστημα τοῦ Κ.

Ηχθωσαν γὰρ τῇ ἐφαπτομένῃ τῇ ΟΠ παράλληλοι αἱ ΕΘΖ, ΓΗΔ, καὶ ἐπεζεύχθω ἡ ΑΘ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ. ἐπεὶ οὖν τὸ ὑπὸ ΓΗΔ ἴσον ἐστὶ τῷ ὑπὸ ΖΘΕ· ἔστιν ἄρα ὡς ἡ ΔΗ πρὸς ΖΘ οὕτως ἡ ΘΕ πρὸς ΓΗ. μείζων δὲ ἡ ΔΗ τῆς ΖΘ· μείζων ἄρα καὶ ἡ ΕΘ τῆς ΓΗ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ κατὰ τὸ ἑξῆς ἐλάττονές εἰσιν. εἰλήφθω δὴ τοῦ Κ διαστήματος ἔλαττον τὸ ΕΛ, καὶ διὰ τοῦ Λ τῇ ΑΓ παράλληλος ἤχθω ἡ ΛΝ· συμπεσεῖται ἄρα τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Ν, καὶ διὰ τοῦ Ν τῇ ΕΖ παράλληλος ἤχθω ἡ ΜΝΒ· ἡ ἄρα ΜΝ ἴση ἔσται τῇ ΕΛ, καὶ διὰ τοῦτο ἐλάττων τῆς Κ.

Prop. XIV. *Theor.*

Asymptoti & sectio in infinitum productæ ad seipsas propius accedunt; & ad intervallum perveniunt minus quolibet dato intervallo.

SIT hyperbola, cujus asymptoti AB, AΓ, & datum intervallum sit K: dico asymptotos AB, AΓ & sectionem productas ad sese propius accedere, & pervenire ad intervallum minus intervallo K.



Ducatur enim tangenti OΠ parallelæ EΘZ, ΓHΔ; jungaturque AΘ, & ad Ξ producatur: quoniam ergo [per 10. 2. huj.] rectangulum ΓHΔ rectangulo ZΘE est æquale; erit [per 16. 6.] ut ΔH ad ZΘ ita ΘE ad ΓH. sed ΔH major est ipsa ZΘ: ergo & EΘ ipsa ΓH est major. similiter demonstrabimus eas, quæ deinceps sequuntur, minores esse. itaque sumatur [per 3. 1.] intervallum EΛ minus intervallo K, & per Λ ipsi AΓ parallela ducatur ΛN. ergo [per 13. 2. huj.] ΛN cum sectione conveniet. conveniat in N, perque N ducatur MNB parallela ipsi EZ: quare [per 34. 1.] MN erit æqualis EΛ; & propterea intervallo K minor erit.

Πόρισμα.

Εκ δὴ τούτων φανερὸν, ὅτι πασῶν τῶν ἀσυμπτώτων τῇ τομῇ ἔγγιόν εἰσιν αἱ ΑΒ, ΑΓ· καὶ ἡ ὑπὸ τῶν ΒΑΓ περιεχομένη γωνία ἐλάσσων ἐστὶ δηλαδὴ γωνίας τῆς ὑπὸ ἑτέρων ἀσυμπτώτων τῇ τομῇ περιεχομένης.

Corollarium.

Ex hoc manifestum est rectas AB, AΓ ad sectionem accedere propius quam aliæ quævis asymptoti: & [ex 2. 2. huj.] angulum BAΓ minorem esse quolibet angulo, qui aliis rectis sectioni non occurrentibus continetur.

EUTOCIUS.

Ἐν τισιν ἀντιγράφοις εὑρέθη ἄλλως δεικνύμενον· ὅτι,

In aliquibus exemplaribus illud aliter demonstratum invenitur: scilicet,

Παντὸς τοῦ δοθέντος διαστήματος εἰς ἔλαττον ἀφικνοῦνται διάστημα αἱ ἀσύμπτωτοι καὶ ἡ τομή.

Asymptotos & sectionem pervenire ad intervallum minus quolibet intervallo dato.

Iisdem

Iisdem enim manentibus, sumatur intervallum EK dato intervallo minus, fiatque ut KE ad EΘ ita ΘA ad AΛ, & per Λ ipsi EZ parallela ducatur MΞΛB. quoniam igitur [per 8.5.] ΞB ad ΘZ majorem rationem habet quam ΛB ad ΘZ; ut autem ΞB ad ΘZ ita [per 16.6.] ΘE ad MΞ, propterea quod rectangulum ZΘE rectangulo BΞM [per 10.2.huj.] est æquale: habebit ΘE ad MΞ majorem rationem quam ΛB ad ΘZ. sed ut ΛB quidem ad ΘZ ita [per 4.6.] ΛA ad AΘ; ut autem ΛA ad AΘ ita ΘE ad EK: quare ΘE ad MΞ majorem rationem habet quam ΘE ad EK: minor igitur [per 8.5.] est MΞ quam KE.



Τῶν γὰρ αὐτῶν ὑποκειμένων εἰλήφθω τοῦ δοθέντος διαστήματος ἔλαττον τὸ EK, καὶ πεποιήσθω ὡς ἡ KE πρὸς EΘ οὕτως ἡ ΘA πρὸς AΛ, καὶ διὰ τοῦ Λ τῇ EZ παράλληλος ἔστω ἡ MΞΛB. ἐπεὶ οὖν ἡ ΞB πρὸς ΘZ μείζονα λόγον ἔχει ἤπερ ἡ ΛB πρὸς ΘZ, ὡς δὲ ἡ ΞB πρὸς ΘZ οὕτως ἡ ΘE πρὸς MΞ, διὰ τὸ ἴσον εἶναι τὸ ὑπὸ ZΘE τῷ ὑπὸ BΞM· καὶ ἡ ΘE ἄρα πρὸς MΞ μείζονα λόγον ἔχει ἤπερ ἡ ΛB πρὸς τὴν ΘZ. ἀλλ᾽ ὡς μὲν ἡ ΛB πρὸς ΘZ οὕτως ἡ ΛA πρὸς AΘ, ὡς δὲ ἡ ΛA πρὸς AΘ οὕτως ἡ ΘE πρὸς EK· καὶ ἡ ΘE ἄρα πρὸς MΞ μείζονα λόγον ἔχει ἤπερ ἡ ΘE πρὸς EK· ἐλάσσων ἄρα ἡ MΞ τῆς KE.

Inveniuntur in aliquibus codicibus etiam hæc theoremata, quæ à nobis tanquam supervacanea sublata sunt. quoniam enim demonstratum est asymptotos propius accedere ad sectionem, & ad intervallum pervenire quolibet dato intervallo minus; supervacuum fuit hæc inquirere: neque demonstrationes aliquas habent, sed tantum figurarum differentias. verum ut iis qui in hæc inciderint sententiam nostram approbemus, exponantur hoc loco ea quæ nos ut supervacanea sustulimus

Εὑρέθησαν δὲ ἔν τισι καὶ ταῦτα τὰ θεωρήματα ἐγγεγραμμένα, ἅπερ ὡς περιττὰ ἀφῃρέθη ὑφ᾽ ἡμῶν. δεδειγμένου γὰρ τούτου, ὅτι αἱ ἀσύμπτωτοι ἔγγιον προσάγουσι τῇ τομῇ, καὶ παντὸς τοῦ δοθέντος εἰς ἔλαττον ἀφικνοῦνται, περιττὸν ἦν ταῦτα ζητεῖν ἀμέλει· οὐδὲ ἀποδείξεις ἔχουσί τινας ἀλλὰ διαφορὰς καταγραφῶν. ἵνα δὲ τοῖς ἐντυγχάνουσι τὴν ἡμετέραν γνώμην δήλην ποιήσωμεν, ἐκκείσθω ἐνταῦθα τὰ ὡς περιττὰ ἀφῃρημένα.

Asymptoti, de quibus dictum est, propius accedunt ad sectionem quam aliæ, si quæ sint, asymptoti.

Sit hyperbola, cujus asymptoti ΓA, AΔ: dico ΓA, AΔ ad sectionem propius accedere quam aliæ asymptoti, si quæ sint. namque, ut in prima figura, ipsas EZ, ZH asymptotos esse non posse manifeste constat, ob EZ parallelam ipsi ΓA, & ZH ipsi AΔ; demonstratum siquidem est [per 13.2.huj.] rectas, quæ in loco ab asymptotis & sectione terminato ducuntur alteri asymptoto parallelæ, cum sectione convenire. si vero, ut in secunda figura apparet, EZ, ZH sint asymptoti,

Εἴ τινές εἰσιν ἀσύμπτωτοι τῇ τομῇ ἕτεραι τῶν προειρημένων, ἔγγιόν εἰσιν αἱ προειρημέναι τῇ τομῇ.

Ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ ΓA, AΔ· λέγω ὅτι εἴ τινές εἰσιν ἄλλαι ἀσύμπτωτοι τῇ τομῇ, ἐκείνων ἔγγιόν εἰσιν αἱ ΓA, AΔ. ὅτι μὲν οὖν, ὡς ἐπὶ τῆς πρώτης καταγραφῆς, οὐ δύνανται αἱ EZ, ZH ἀσύμπτωτοι εἶναι, φανερόν· ὥστε εἶναι παράλληλον τὴν μὲν EZ τῇ ΓA, τὴν δὲ ZH τῇ AΔ· δέδεικται γὰρ ὅτι συμπεσοῦνται τῇ τομῇ· ἐν γὰρ τῷ ἀφοριζομένῳ τόπῳ ὑπὸ τῶν ἀσυμπτώτων καὶ τῆς τομῆς εἰσιν. εἰ δὲ, ὡς ἐπὶ τῆς δευτέρας πτώσεως, εἰσὶν ἀσύμπτωτοι αἱ EZ, ZH παράλληλοι



παράλληλοι οὖσαι τῶν ΓΑ, ΑΔ, ἔγγιον μᾶλλόν εἰσιν αἱ ΓΑ, ΑΔ τῇ τομῇ ἤπερ αἱ ΕΖ, ΖΗ. εἰ δὲ ὡς ἐπὶ τῆς τρίτης πτώσεως, καὶ οὕτως αἱ μὲν ΓΑ, ΑΔ, ἐὰν ἐκβληθῶσιν εἰς ἄπειρον, ἔγγιόν εἰσι τῇ τομῇ, καὶ εἰς ἔλαττον διάστημα παντὸς τοῦ δοθέντος ἀφικνοῦνται· αἱ δὲ ΕΖ, ΖΗ, κατὰ μὲν τὸ Ζ καὶ τὰ ἐγγὺς αὐτῶν, ἐντὸς οὖσαι τῆς γωνίας σύνεγγύς εἰσι τῇ τομῇ, ἐκβληθεῖσαι δὲ ἀφίστανται τῆς τομῆς μᾶλλον· παντὸς ἄρα τοῦ δοθέντος ὃ νυνὶ ἀφεστήκασιν οὐκ ἔστιν ἔλασσον. Ἔστωσαν δὴ πάλιν, ὡς ἐπὶ τῆς τετάρτης καταγραφῆς, ἀσύμπτωτοι αἱ ΕΖ, ΖΗ· φανερὸν δὴ καὶ οὕτως ὅτι ἡ μὲν ΓΑ ἔγγιόν ἐστι τῇ τομῇ ἤπερ ἡ ΕΖ, ἐάν τε ἡ ΕΖ τῇ ΓΑ παράλληλος ᾖ, ἐάν τε συμπίπτῃ τῇ ΓΑ. καὶ ἐὰν μὲν ἡ σύμπτωσις κατώτερον ᾖ τῆς διὰ τοῦ Ζ ἐφαπτομένης τῆς τομῆς, τέμνει τὴν τομήν· ἐὰν δὲ ἡ σύμπτωσις ἐν τῷ μεταξὺ τόπῳ ᾖ τῆς τε ἐφαπτομένης καὶ τῆς γωνίας, κατὰ τὰ αὐτὰ τοῖς ἐπάνω, ἡ ΖΕ τῆς τομῆς οὐκ ἀφέξει ἔλασσον διάστημα παντὸς τοῦ δοθέντος· ὥστε ἡ ΓΑ ἔγγιόν ἐστι τῇ τομῇ ἤπερ ἡ ΕΖ· ἡ δὲ ΔΑ ἔγγιον τῇ τομῇ ἤπερ ἡ ΖΗ, διὰ τὰ αὐτὰ τῇ ἐπὶ τῆς β'. καταγραφῆς.

ipsis ΓΑ, ΑΔ parallelæ; tamen ΓΑ, ΑΔ ad sectionem propius accedunt quam ΕΖ, ΖΗ. quod si, ut in tertia figura, ΓΑ, ΑΔ in infinitum productæ ad sectionem propius accedunt & ad intervallum perveniunt minus quolibet dato intervallo; rectæ ΕΖ, ΖΗ, quanquam in puncto Ζ & intra angulum propinquiores sint sectioni, tamen productæ ab ipsa magis recedunt; intervallum itaque quo nunc distant non est quolibet dato intervallo minus. Rursus sint asymptoti ΕΖ, ΖΗ, ut in quarta figura: constat etiam hoc modo ΓΑ propinquiorem esse sectioni quam ΕΖ, sive ΕΖ parallela sit ΓΑ, sive cum ipsa conveniat. & si quidem concursus sit infra eam quæ per Ζ sectionem contingit, secabit ΕΖ sectionem ipsam: si vero concursus sit in loco intermedio inter contingentem & angulum, ut supra demonstratum est, non perveniet ad intervallum minus intervallo dato: quare ΓΑ propinquior est sectioni quam ΕΖ, & ΔΑ propinquior quam ΖΗ, per ea quæ diximus in secunda figura.

Ὅτι δὲ ἡ κατωτέρω τῆς διὰ τοῦ Ζ ἐφαπτομένης συμπίπτουσα τῇ ΓΑ συμπίπτει καὶ τῇ τομῇ, οὕτως δείκνυται.

At vero rectam, quæ convenit cum ΑΓ infra eam quæ per Ζ ducta sectionem contingit, cum sectione ipsa convenire sic demonstrabitur.

Ἐφαπτέσθω ἡ ΕΖ τῆς τομῆς κατὰ τὸ Ε, ἡ δὲ σύμπτωσις αὐτῆς τῇ ΓΑ ἔστω ἀνώτερον τῆς ΖΗ· λέγω ὅτι ἐκβληθεῖσα συμπεσεῖται τῇ τομῇ. ἤχθω γὰρ διὰ τῆς Ε ἁφῆς παράλληλος τῇ ΓΑ ἀσυμπτώτῳ ἡ ΕΘ· ἡ ΕΘ ἄρα κατὰ μόνον τὸ Ε συμπίπτει τῇ τομῇ. ἐπεὶ οὖν ἡ ΓΑ τῇ ΕΘ παράλληλός ἐστι, καὶ τῇ ΑΓ συμπίπτει ἡ ΖΗ· καὶ τῇ ΕΘ ἄρα συμπεσεῖται, ὥστε καὶ τῇ τομῇ.



Contingat ΕΖ sectionem in Ε, concurrat vero cum ΓΑ supra ipsam ΖΗ: dico ΖΗ productam convenire cum sectione. ducatur enim per tactum Ε ipsi ΓΑ asymptoto parallela ΕΘ: ergo [per 13. 2. huj.] ΕΘ sectioni in unico puncto Ε occurrit. itaque quoniam ΓΑ ipsi ΕΘ est parallela, & ΖΗ convenit cum ΑΓ; etiam cum ΕΘ conveniat necesse est; quare & cum ipsa sectione.

Εἴ τις ἐστὶν εὐθύγραμμος γωνία περιέχουσα τὴν ὑπερβολὴν ἑτέρα [τῆς ὑπὸ τῶν ἀσυμπτώτων, ὅτι οὐκ ἔστιν ἐλάσσων αὐτῆς.]

Si sit alius angulus rectilineus qui hyperbolam contineat, diversus ab angulo sub asymptotis contento, non minor erit eo.

Ἔστω ὑπερβολῆς ἀσύμπτωτοι αἱ ΓΑ, ΑΔ, ἕτεραι δέ τινες μὴ συμπίπτουσαι τῇ τομῇ ἔστωσαν αἱ ΕΖ, ΖΗ· λέγω ὅτι οὐκ ἐλάσσων ἐστὶν ἡ πρὸς τῷ Ζ γωνία τῆς πρὸς τῷ Α. ἔστωσαν γὰρ πρότερον αἱ ΕΖ, ΖΗ τῶν ΓΑ, ΑΔ παράλληλοι· οὐκ ἐλάσσων ἄρα ἐστὶν ἡ πρὸς

Sit hyperbola, cujus asymptoti ΓΑ, ΑΔ; aliæ vero non occurrentes ei sint ΕΖ, ΖΗ: dico angulum ad Ζ non minorem esse angulo ad Α. sint enim primum ΕΖ, ΖΗ ipsis ΓΑ, ΑΔ parallelæ: ergo angulus ad Ζ non est minor eo qui



qui ad A. si vero non sint parallelæ, ut in secunda figura, majorem esse angulum ad Z angulo ΓΑΔ manifestum. In tertia figura, angulus ΖΘΑ [per 16. 1.] eo qui ad A major est; & qui ad Z æqualis est angulo ΖΘΑ. denique in quarta figura, angulus qui ad verticem, major est angulo qui itidem ad verticem constituitur: quapropter angulus ad Z angulo ad A non minor erit.

τῷ Ζ τῆς πρὸς τῷ Α. μὴ ἔστωσαν δὴ παράλληλοι, καθὼς ἐπὶ τῆς δευτέρας καταγραφῆς· φανερὸν οὖν ὅτι μείζων ἐστὶν ἡ πρὸς τῷ Ζ γωνία τῆς ὑπὸ ΓΑΔ. ἐπὶ δὲ τῆς τρίτης, μείζων ἐστὶν ἡ ὑπὸ ΖΘΑ τῆς πρὸς τῷ Α, καὶ ἔστιν ἴση ἡ πρὸς τῷ Ζ τῇ πρὸς τῷ Θ. ἐπὶ δὲ τῆς τετάρτης ἡ κατὰ κορυφὴν τῆς κατὰ κορυφὴν ἐστι μείζων· οὐκ ἐλάσσων ἄρα ἐστὶν ἡ πρὸς τῷ Ζ τῆς πρὸς τῷ Α γωνίας.

Prop. XV. *Theor.*

Oppositarum sectionum asymptoti communes sunt.

Sint oppositæ sectiones, quarum diameter ΑΒ & centrum Γ: dico sectionum Α, Β asymptotos communes esse.

Ducantur per puncta Α, Β rectæ ΔΑΕ, ΖΒΗ, quæ sectiones contingant: parallelæ igitur sunt ΔΑΕ, ΖΒΗ. abscindantur ΔΑ, ΑΕ; ΖΒ, ΒΗ, ita ut cujusque earum quadratum æquale sit quartæ parti figuræ quæ ad diametrum ΑΒ constituitur: ergo [per 14. 1. huj.] ΔΑ, ΑΕ; ΖΒ, ΒΗ inter se sunt æquales. jungantur ΓΔ, ΓΕ, ΓΖ, ΓΗ. perspicuum igitur est [per 14. 1.] ΔΓ, ΓΗ in eadem esse recta; itemque ΕΓ, ΓΖ; propterea quod parallelæ sunt ΔΑΕ, ΖΒΗ. quoniam igitur [ex hyp.] hyperbola est cujus diameter ΑΒ, contingens autem ΔΕ; & utraque ipsarum ΔΑ, ΑΕ potest quartam partem figuræ quæ ad ΑΒ constituitur; erunt [per 1. 2. huj.] ΔΓ, ΓΕ asymptoti: & eadem ratione ipsius Β sectionis asymptoti erunt ΖΓ, ΓΗ. oppositarum igitur sectionum asymptoti communes sunt.



ΠΡΟΤΑΣΙΣ ιε΄.

Τῶν ἀντικειμένων τομῶν κοιναί εἰσιν αἱ ἀσύμπτωτοι.

Ἐστωσαν ἀντικείμεναι τομαὶ, ὧν διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Γ· λέγω ὅτι τῶν Α, Β τομῶν κοιναί εἰσιν αἱ ἀσύμπτωτοι.

Ηχθωσαν διὰ τῶν Α, Β σημείων ἐφαπτόμεναι τῶν τομῶν αἱ ΔΑΕ, ΖΒΗ· παράλληλοι ἄρα εἰσίν. ἀπειλήφθω δὴ ἑκάστη τῶν ΔΑ, ΑΕ· ΖΒ, ΒΗ ἴσον δυναμένη τῷ τετάρτῳ τοῦ παρὰ τὴν ΑΒ εἴδους· ἴσαι ἄρα αἱ ΔΑ, ΑΕ, ΖΒ, ΒΗ. ἐπεζεύχθωσαν δὲ αἱ ΓΔ, ΓΕ, ΓΖ, ΓΗ· φανερὸν δὴ ὅτι ἐπ' εὐθείας ἐστὶν ἡ ΔΓ τῇ ΓΗ, καὶ ἡ ΓΕ τῇ ΕΖ, διὰ τὰς παραλλήλους. ἐπεὶ οὖν ὑπερβολή ἐστιν, ἧς διάμετρος ἡ ΑΒ, ἐφαπτομένη δὲ ἡ ΔΕ, καὶ ἑκατέρα τῶν ΔΑ, ΑΕ δύναται τὸ τέταρτον τοῦ παρὰ τὴν ΑΒ εἴδους· ἀσύμπτωτοι ἄρα εἰσὶν αἱ ΔΓ, ΓΕ· διὰ τὰ αὐτὰ δὴ καὶ τῇ Β ἀσύμπτωτοί εἰσιν αἱ ΖΓ, ΓΗ. τῶν ἀντικειμένων ἄρα κοιναί εἰσιν ἀσύμπτωτοι.

Prop. XVI. *Theor.*

Si in oppositis sectionibus quævis recta linea ducatur secans utramque rectarum continentium angulum qui deinceps est angulo sectiones continenti: cum utraque oppositarum in uno tantum puncto conveniet; & rectæ, quæ ex ipsa abscissæ inter asymptotos & sectiones interjiciuntur, æquales erunt.

Sint oppositæ sectiones Α, Β, quarum quidem centrum Γ, asymptoti vero ΔΓΗ, ΕΓΖ; & ducatur quævis recta ΘΚ, quæ utramque ΔΓ, ΓΖ secet: dico ΘΚ productam cum utraque sectione in uno tantum puncto convenire.

Quoniam enim sectionis Α asymptoti sunt ΔΓ, ΓΕ; & ducta est quædam ΘΚ secans utramque continentium angulum ΔΓΖ, qui deinceps est angulo sectionem continenti: producta

ΠΡΟΤΑΣΙΣ ιϛ΄.

Ἐὰν ἐν ἀντικειμέναις ἀχθῇ τις εὐθεῖα τέμνουσα ἑκατέραν τῶν περιεχουσῶν τὴν ἐφεξῆς γωνίαν τῶν περιεχουσῶν τὰς τομάς· συμπεσεῖται ἑκατέρᾳ τῶν ἀντικειμένων καθ' ἓν μόνον σημεῖον, καὶ αἱ ἀπολαμβανόμεναι ἀπ' αὐτῆς ὑπὸ τῶν τομῶν πρὸς ταῖς ἀσυμπτώτοις ἴσαι ἔσονται.

Ἐστωσαν γὰρ ἀντικείμεναι αἱ Α, Β, ὧν κέντρον μὲν τὸ Γ, ἀσύμπτωτοι αἱ ΔΓΗ, ΕΓΖ, καὶ ἤχθω τις εὐθεῖα τέμνουσα ἑκατέραν τῶν ΔΓ, ΓΖ ἡ ΘΚ· λέγω ὅτι ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν τομῶν καθ' ἓν σημεῖον μόνον.

Ἐπεὶ γὰρ τῆς Α τομῆς ἀσύμπτωτοί εἰσιν αἱ ΔΓ, ΓΕ, καὶ διῆκταί τις εὐθεῖα ἡ ΘΚ τέμνουσα ἑκατέραν τῶν περιεχουσῶν τὴν ἐφεξῆς γωνίαν τῆς ὑπὸ ΔΓΖ· ἡ

ΚΘ

ΚΘ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ τῇ Α, ὁμοίως δὴ καὶ τῇ Β. συμπιπτέτω κατὰ τὰ Λ, Μ, καὶ ἤχθω διὰ τοῦ Γ τῇ ΛΜ παράλληλος ἡ ΔΓΒ· ἴσον ἄρα ἐστὶ τὸ μὲν ὑπὸ ΚΛΘ τῷ ἀπὸ ΑΓ, τὸ δὲ ὑπὸ ΘΜΚ τῷ ἀπὸ ΓΒ· ὥστε τὸ ὑπὸ τῶν ΚΛΘ περιεχόμενον ὀρθογώνιον ἴσον ἔσται τῷ ὑπὸ τῶν ΘΜΚ, καὶ ἡ ΛΘ ἄρα τῇ ΚΜ ἴση.



ΚΘ [per 11. 2. huj.] cum ſectione Α conveniet, & ſimiliter cum ſectione Β. conveniat in punctis Λ, Μ, & per Γ ipſi ΛΜ parallela ducatur ΔΓΒ: æquale igitur eſt [per 11. 2. hujus] rectangulum ΚΛΘ quadrato ex ΑΓ; & rectangulum ΘΜΚ quadrato ex ΓΒ: quare & ΚΛΘ rectangulum æquale eſt rectangulo ΘΜΚ; & idcirco ΛΘ ipſi ΚΜ eſt æqualis.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Τῶν κατὰ συζυγίαν ἀντικειμένων κοιναί εἰσιν αἱ ἀσύμπτωτοι.

ΕΣΤΩΣΑΝ συζυγεῖς ἀντικείμεναι, ὧν αἱ διάμετροι συζυγεῖς αἱ ΑΒ, ΓΔ, κέντρον δὲ τὸ Ε· λέγω ὅτι κοιναὶ αὐτῶν εἰσιν αἱ ἀσύμπτωτοι.

Ἤχθωσαν γὰρ ἐφαπτόμεναι τῶν τομῶν διὰ τῶν Α, Β, Γ, Δ σημείων αἱ ΖΑΗ, ΗΔΘ, ΘΒΚ, ΚΓΖ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΗΘΚ. ἐπεζεύχθωσαν οὖν αἱ ΖΕΘ, ΚΕΗ· εὐθεῖαι ἄρα εἰσὶ καὶ διάμετροι τοῦ παραλληλογράμμου, καὶ δίχα τέμνονται πᾶσαι κατὰ τὸ Ε σημεῖον. καὶ ἐπεὶ * τὸ πρὸς τῇ ΑΒ εἶδος ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ, ἴση δὲ ἡ ΓΕ τῇ ΕΔ· ἕκαστον ἄρα τῶν ἀπὸ ΖΑ, ΑΗ, ΚΒ, ΒΘ τέταρτόν ἐστι τοῦ πρὸς τῇ ΑΒ εἴδους· ἀσύμπτωτοι ἄρα εἰσὶ τῶν Α, Β τομῶν αἱ ΖΕΘ, ΚΕΗ. ὁμοίως δὴ δείξομεν ὅτι καὶ τῶν Γ, Δ τομῶν αἱ αὐταί εἰσιν ἀσύμπτωτοι. τῶν ἄρα κατὰ συζυγίαν ἀντικειμένων κοιναί εἰσιν ἀσύμπτωτοι.



Prop. XVII. *Theor.*

Oppoſitarum ſectionum, quæ conjugatæ appellantur, aſymptoti communes ſunt.

SINT oppoſitæ ſectiones quæ conjugatæ appellantur, quarum diametri conjugatæ ΑΒ, ΓΔ, & centrum Ε: dico earum aſymptotos communes eſſe.

Ducantur enim rectæ ſectiones in punctis Α, Β, Γ, Δ contingentes, quæ ſint ΖΑΗ, ΗΔΘ, ΘΒΚ, ΚΓΖ: ergo [ex def. prop. 56. 1. huj.] parallelogrammum eſt ΖΗΘΚ. jungantur itaque ΖΕΘ, ΚΕΗ, & [per 33. 1.] erunt ΖΕΘ, ΚΕΗ lineæ rectæ & diametri ipſius parallelogrammi, quæ ad punctum Ε bifariam ſecabuntur. & quoniam * figura, quæ ad diametrum ΑΒ conſtituitur, æqualis eſt quadrato ex ΓΔ, & eſt ΓΕ æqualis ΕΔ: unumquodque quadratorum ex ΖΑ, ΑΗ; ΚΒ, ΒΘ erit [per 4. 2.] quarta pars figuræ quæ conſtituitur ad ΑΒ: ergo [per 1. 2. huj.] ΖΕΘ, ΚΕΗ ſectionum Α, Β aſymptoti ſunt. ſimiliter demonſtrabimus ſectionum Γ, Δ eaſdem eſſe aſymptotos. oppoſitarum igitur ſectionum, quas conjugatas dicimus, aſymptoti communes ſunt.

ΠΡΟΤΑΣΙΣ ιη'.

Ἐὰν μιᾷ τῶν κατὰ συζυγίαν ἀντικειμένων συμπίπτουσα εὐθεῖα ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πίπτῃ τῆς τομῆς, συμπεσεῖται ἑκατέρᾳ τῶν ἐφεξῆς τομῶν καθ' ἓν μόνον σημεῖον.



ΕΣΤΩΣΑΝ κατὰ συζυγίαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, Γ, Δ, καὶ τῇ Γ τις εὐθεῖα συμπιπτέτω ἡ ΕΖ, καὶ ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς· λέγω

Prop. XVIII. *Theor.*

Si uni oppoſitarum ſectionum conjugatarum conveniat recta linea, quæ producta ad utraſque partes extra ſectionem cadat: cum utraque ſectionum, quæ deinceps ſunt, in uno tantum puncto conveniet.

SINT oppoſitæ ſectiones, quæ conjugatæ dicuntur Α, Β, Γ, Δ; & ipſi Γ occurrat recta quævis ΕΖ, quæ producta ad utraſque partes extra ſectionem cadat: dico

* Ex def. ſect. conjugat. ad prop. ult. lib. I.

E Z cum utraque sectione A, B convenire in uno tantum puncto.

Sint enim H Θ, K Λ sectionum asymptoti: ergo E Z [per 3. 2. huj.] secabit utramque H Θ, K Λ. patet igitur [per 16. 2. huj.] quod cum sectionibus A, B in uno tantum puncto conveniet.

ὅτι συμπεσεῖται ἑκατέρᾳ τῶν A, B τομῶν καθ' ἓν μόνον σημεῖον.

Ἔστωσαν γὰρ ἀσύμπτωτοι τῶν τομῶν αἱ H Θ, K Λ· ὥστε ἡ E Z συμπίπτει ἑκατέρᾳ τῶν H Θ, K Λ. φανερὸν οὖν ὅτι καὶ ταῖς A, B τομαῖς συμπεσεῖται καθ' ἓν μόνον σημεῖον.

Prop. XIX. *Theor.*

Si in oppositis sectionibus, quæ conjugatæ appellantur, ducatur recta linea, quamvis ipsarum contingens: cum sectionibus, quæ deinceps sunt, conveniet; & ad tactum bifariam secabitur.

SInt oppositæ sectiones, quæ conjugatæ dicuntur, A, B, Γ, Δ; & sectionem Γ contingat recta quævis Γ E Z: dico E Z productam convenire cum sectionibus A, B; & ad punctum Γ bifariam secari.



Nam quod ipsa quidem conveniet cum sectionibus A, B [ex præc.] patet. conveniat in punctis H, Θ: dico Γ H ipsi Γ Θ esse æqualem. ducantur enim sectionum asymptoti K Λ, M N: æquales igitur sunt [per 17. 2. huj.] E H, Z Θ, itemque [per 3. 2. huj.] Γ E, Γ Z: ergo tota Γ H toti Γ Θ æqualis erit.

ΠΡΟΤΑΣΙΣ ιθ'.

Ἐὰν τῶν κατὰ συζυγίαν ἀντικειμένων ἀχθῇ τις εὐθεῖα ἐπιψαύουσα ἧς ἔτυχε τῶν τομῶν· συμπεσεῖται ταῖς ἐφεξῆς τομαῖς, καὶ δίχα τμηθήσεται κατὰ τὴν ἁφήν.

ΕΣΤΩΣΑΝ κατὰ συζυγίαν ἀντικείμεναι αἱ A, B, Γ, Δ, καὶ τῆς Γ ἐφαπτέσθω τις εὐθεῖα ἡ Γ E Z· λέγω ὅτι ἐκβαλλομένη συμπεσεῖται ταῖς A, B τομαῖς, καὶ δίχα τμηθήσεται κατὰ τὸ Γ.

Ὅτι μὲν οὖν συμπεσεῖται ταῖς A, B τομαῖς, φανερόν. συμπιπτέτω κατὰ τὰ H, Θ· λέγω ὅτι ἴση ἐστὶν ἡ Γ H τῇ Γ Θ. ἤχθωσαν γὰρ αἱ ἀσύμπτωτοι τῶν τομῶν αἱ K Λ, M N· ἴση ἄρα ἡ E H τῇ Z Θ, καὶ ἡ Γ E τῇ Γ Z ἴση· καὶ ὅλη ἄρα ἡ Γ H ὅλῃ τῇ Γ Θ ἐστὶν ἴση.

Prop. XX. *Theor.*

Si unam oppositarum sectionum, quæ conjugatæ appellantur, recta linea contingat, & per ipsarum centrum ducantur duæ rectæ, una quidem per tactum, altera vero contingenti parallela, quousque occurrat uni earum sectionum quæ deinceps sunt: quæ in occursu earum sectionem contingit, parallela erit rectæ per priorem tactum & centrum ductæ; quæ vero per tactus & centrum ducuntur oppositarum sectionum conjugatæ diametri erunt.

SInt oppositæ sectiones, quæ conjugatæ appellantur, quarum diametri conjugatæ sint A B, Γ Δ, ac centrum X; & sectionem A contingat recta E Z, quæ producta conveniat cum Γ Δ in T, & juncta recta E X ad Ξ producatur; & per X ducatur ipsi E Z parallela recta X H quæ producatur ad O, & in H contingat sectionem recta Θ H: dico quod contingens Θ H diametro X E parallela est, quodque rectæ H O, E Ξ conjugatæ diametri sunt.

Applicentur enim ordinatim E K, H Λ, Γ P Π; illæ vero juxta quas possunt applicatæ, sint A M, Γ N. quoniam igitur ut B A ad A M ita est

ΠΡΟΤΑΣΙΣ κ'.

Ἐὰν μιᾶς τῶν κατὰ συζυγίαν ἀντικειμένων εὐθεῖα ἐφάπτηται, καὶ διὰ τοῦ κέντρου αὐτῶν ἀχθῶσι δύο εὐθεῖαι, ὧν ἡ μὲν διὰ τῆς ἁφῆς, ἡ δὲ παρὰ τὴν ἐφαπτομένην, ἕως οὗ συμπέσῃ μιᾷ τῶν ἐφεξῆς τομῶν· ἡ κατὰ τὴν σύμπτωσιν ἐφαπτομένη τῆς τομῆς εὐθεῖα παράλληλος ἔσται τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένῃ· αἱ δὲ διὰ τῶν ἁφῶν καὶ τοῦ κέντρου συζυγεῖς ἔσονται διάμετροι τῶν ἀντικειμένων.

ΕΣΤΩΣΑΝ κατὰ συζυγίαν ἀντικείμεναι, ὧν διάμετροι συζυγεῖς αἱ A B, Γ Δ, κέντρον δὲ τὸ X, καὶ τῆς A τομῆς ἤχθω ἐφαπτομένη ἡ E Z, καὶ ἐκβληθεῖσα συμπιπτέτω τῇ Γ Δ κατὰ T, καὶ ἐπεζεύχθω ἡ E X καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ, καὶ διὰ τοῦ X τῇ E Z παράλληλος ἤχθω ἡ X H καὶ ἐκβεβλήσθω ἐπὶ τὸ O, καὶ διὰ τοῦ H ἐφαπτομένη τῆς τομῆς ἤχθω ἡ Θ H· λέγω ὅτι παράλληλός ἐστιν ἡ Θ H τῇ E X, αἱ δὲ H O, E Ξ συζυγεῖς εἰσι διάμετροι.

Ἤχθωσαν γὰρ τεταγμένως αἱ E K, H Λ, Γ P Π· παρ' ἃς δὲ δύνανται αἱ καταγόμεναι ἔστωσαν αἱ A M, Γ N. ἐπεὶ οὖν ἐστιν ὡς ἡ B A πρὸς A M οὕτως ἡ

N Γ

*ΝΓ πρὸς ΓΔ, ἀλλ' ὡς μὲν ἡ ΒΑ πρὸς ΑΜ οὕτως τὸ ὑπὸ ΧΚΖ πρὸς τὸ ἀπὸ ΚΕ, ὡς δὲ ἡ ΝΓ πρὸς ΓΔ οὕτως τὸ ἀπὸ ΗΛ πρὸς τὸ ὑπὸ ΧΛΘ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΧΚΖ πρὸς τὸ ἀπὸ ΕΚ οὕτως τὸ ἀπὸ ΗΛ πρὸς τὸ ὑπὸ ΧΛΘ. ἀλλὰ τὸ μὲν ὑπὸ ΧΚΖ πρὸς τὸ ἀπὸ ΚΕ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς ΧΚ πρὸς ΚΕ καὶ τοῦ τῆς ΖΚ πρὸς ΚΕ, τὸ δὲ ἀπὸ ΗΛ πρὸς τὸ ὑπὸ ΧΛΘ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ ὃν ἔχει ἡ ΗΛ πρὸς ΛΧ καὶ ἡ ΗΛ πρὸς ΛΘ· ὁ ἄρα συγκείμενος λόγος, ἐκ τοῦ τῆς ΧΚ πρὸς ΚΕ καὶ τοῦ τῆς ΖΚ πρὸς ΚΕ, ὁ αὐτός ἐστι τῷ συγκειμένῳ λόγῳ ἐκ τοῦ τῆς ΗΛ πρὸς ΛΧ καὶ τοῦ τῆς ΗΛ πρὸς ΛΘ, ὧν ὁ τῆς ΖΚ πρὸς ΚΕ λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΗΛ πρὸς ΛΧ λόγῳ, ἑκάστη γὰρ τῶν ΕΚ, ΚΖ, ΖΕ ἑκάστῃ τῶν ΧΛ, ΛΗ, ΗΧ παράλληλός ἐστι· λοιπὸς ἄρα ὁ τῆς ΧΚ πρὸς ΚΕ λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΗΛ πρὸς ΛΘ, καὶ περὶ ἴσας γωνίας τὰς πρὸς τοῖς Κ, Λ ἀνάλογόν εἰσιν αἱ πλευραί· ὅμοιον ἄρα ἐστὶ τὸ ΕΚΧ τρίγωνον τῷ ΗΘΛ, καὶ ἴσας ἕξει τὰς γωνίας ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσι· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΕΧΚ τῇ ὑπὸ ΛΗΘ. ἔστι δὲ καὶ ὅλη ἡ ὑπὸ ΚΧΗ τῇ ὑπὸ ΛΗΧ ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΕΧΗ τῇ ὑπὸ ΘΗΧ ἐστὶν ἴση· παράλληλος ἄρα ἐστὶν ἡ ΕΧ τῇ ΗΘ.



Πεποιήσθω δὴ ὡς ἡ ΠΗ πρὸς τὴν ΗΡ οὕτως ἡ ΘΗ πρὸς Σ· ἡ Σ ἄρα ἡμίσειά ἐστι τῆς παρ' ἣν δύνανται ἐπὶ τὴν ΗΟ διάμετρον καταγόμεναι ἐν ταῖς Γ, Δ τομαῖς. καὶ ἐπεὶ τῶν Α, Β τομῶν δευτέρα διάμετρός ἐστιν ἡ ΓΔ, καὶ συμπίπτει αὐτῇ ἡ ΕΤ· τὸ ἄρα ὑπὸ τῆς ΤΧ καὶ τῆς ΕΚ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΧ· (ἐὰν γὰρ ἀπὸ τοῦ Ε τῇ ΚΧ παράλληλον ἀγάγωμέν τινα, τὸ ὑπὸ τῆς ΤΧ καὶ τῆς ἀπολαμβανομένης ὑπὸ τῆς παραλλήλου πρὸς τῷ Χ, ἴσον ἔσται τῷ ἀπὸ ΓΧ) διὰ δὴ τοῦτό ἐστιν ὡς ἡ ΤΧ πρὸς ΕΚ οὕτως τὸ ἀπὸ ΤΧ πρὸς τὸ ἀπὸ ΧΓ. ἀλλ' ὡς μὲν ἡ ΤΧ πρὸς ΕΚ οὕτως ἡ ΤΖ πρὸς ΖΕ, τουτέστι τὸ ΤΧΖ τρίγωνον πρὸς τὸ ΕΖΧ τρίγωνον, ὡς δὲ τὸ ἀπὸ ΤΧ πρὸς τὸ ἀπὸ ΧΓ οὕτω τὸ ΤΧΖ τρίγωγωνον πρὸς τὸ ΧΓΠ, τουτέστι πρὸς τὸ ΗΘΧ· ὡς ἄρα τὸ ΤΧΖ πρὸς τὸ ΕΖΧ οὕτως τὸ ΤΧΖ πρὸς τὸ ΗΘΧ· ἴσον ἄρα τὸ ΗΘΧ τρίγωνον τῷ ΕΧΖ. ἔχει δὲ καὶ τὴν ὑπὸ ΘΗΧ γωνίαν τῇ ΧΕΖ γωνίᾳ ἴσην, παράλληλος γάρ ἐστιν ἡ μὲν ΕΧ τῇ ΗΘ, ἡ δὲ ΕΖ τῇ ΗΧ· ἀντιπεπόνθασιν ἄρα αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ἔστιν ἄρα ὡς ἡ ΗΘ πρὸς τὴν ΕΧ οὕτως ἡ ΕΖ πρὸς τὴν ΗΧ· ἴσον ἄρα τὸ ὑπὸ ΘΗΧ τῷ ὑπὸ ΧΕΖ. καὶ ἐπεί ἐστιν ὡς ἡ Σ πρὸς τὴν ΘΗ οὕτως ἡ

*ΝΓ ad ΓΔ; & [per 37. 1. huj.] ut ΒΑ ad ΑΜ ita rectangulum ΧΚΖ ad quadratum ex ΚΕ, ut vero ΝΓ ad ΓΔ ita quadratum ex ΗΛ ad rectangulum ΧΛΘ: erit [per 11.5.] ut rectangulum ΧΚΖ ad quadratum ex ΕΚ ita quadratum ex ΗΛ ad rectangulum ΧΛΘ. sed [per 23.6.] rectangulum ΧΚΖ ad quadratum ex ΚΕ rationem compositam habet ex ratione ΧΚ ad ΚΕ & ex ratione ΖΚ ad ΚΕ, quadratum vero ex ΗΛ ad rectangulum ΧΛΘ rationem habet compositam ex ratione ΗΛ ad ΛΧ & ratione ΗΛ ad ΛΘ: ratio igitur composita ex ratione ΧΚ ad ΚΕ & ratione ΖΚ ad ΚΕ eadem est cum illa quæ componitur ex ratione ΗΛ ad ΛΧ & ratione ΗΛ ad ΛΘ; quarum quidem ratio ΖΚ ad ΚΕ eadem est [per 4.6.] quæ ΗΛ ad ΛΧ: ipsæ enim ΕΚ, ΚΖ, ΖΕ parallelæ sunt ipsis ΧΛ, ΛΗ, ΗΧ respective: reliqua igitur ratio ΧΚ ad ΚΕ eadem erit cum reliqua ΗΛ ad ΛΘ; & latera sunt proportionalia circa æquales angulos qui ad Κ, Λ; triangulum igitur ΕΚΧ [per 6.6.] simile erit triangulo ΗΘΛ, & æquales habebit angulos sub quibus homologa latera subtenduntur: ergo æqualis est angulus ΕΧΚ angulo ΛΗΘ. est autem [per 29.1.] & totus ΚΧΗ æqualis toti ΛΗΧ: quare reliquus ΕΧΗ reliquo ΘΗΧ est æqualis; ac propterea [per 28. 1.] ΕΧ ipsi ΗΘ parallela est.

Fiat ut ΠΗ ad ΗΡ ita ΘΗ ad lineam Σ: erit igitur [per 51.1. huj.] Σ dimidia ejus juxta quam possunt quæ ad diametrum ΗΟ applicantur in sectionibus Γ, Δ. & quoniam sectionum Α, Β secunda diameter est ΓΔ, & cum ea convenit ipsa ΕΤ: rectangulum igitur sub ΤΧ & ΚΕ æquale erit [per 38.1. huj.] quadrato ex ΓΧ: (si enim à puncto Ε ipsi ΚΧ parallelam duxerimus: rectangulum, quod fit sub ΤΧ & recta quæ inter Χ & parallelam interjicitur, quadrato ex ΓΧ æquale erit) quare [per 17. & 20. 6.] ut ΤΧ ad ΕΚ ita quadratum ex ΤΧ ad quadratum ex ΧΓ. ut autem ΤΧ ad ΕΚ ita [per 4. 6.] ΤΖ ad ΖΕ, hoc est [per 1. 6.] triangulum ΤΧΖ ad triangulum ΕΖΧ; & ut quadratum ΤΧ ad quadratum ΧΓ ita [per 19. & 20. 6.] triangulum ΤΧΖ ad triangulum ΧΓΠ, hoc est [per 43. 1. huj.] ad triangulum ΗΘΧ: ut igitur triangulum ΤΧΖ ad triangulum ΕΖΧ ita ΤΧΖ triangulum ad triangulum ΗΘΧ; & ideo [per 9. 5.] triangulum ΗΘΧ æquale est triangulo ΕΧΖ. habet autem & angulum ΘΗΧ angulo ΧΕΖ [per 29. 1.] æqualem, quia ΕΧ parallela est ipsi ΗΘ, & ΕΖ ipsi ΗΧ; ergo [per 15. 6.] latera circa æquales angulos sunt reciproce proportionalia; est igitur ut ΗΘ ad ΕΧ ita ΕΖ ad ΗΧ: rectangulum igitur ΘΗΧ [per 16. 6.] æquale est rectangulo ΧΕΖ. & quoniam est ut Σ ad ΘΗ ita

* Nam ΝΓ : ΒΑ :: ΒΑ : ΓΔ. & ΒΑ : ΓΔ :: ΓΔ : ΑΜ.

PH ad HΠ, & ut PH ad HΠ ita [per 4.6.] XE ad EZ; parallelæ enim sunt: quare ut Σ ad ΘH ita XE ad EZ. ut autem Σ ad ΘH, sumptâ XH communi altitudine, ita est [per 1.6.] rectangulum sub Σ & XH ad rectangulum ΘHX: & ut XE ad EZ ita quadratum ex XE ad rectangulum XEZ: est igitur ut rectangulum sub Σ & XH ad rectangulum ΘHX ita XE quadratum ad rectangulum XEZ: & permutando ut rectangulum sub Σ & HX ad quadratum ex EX ita rectangulum ΘHX ad rectangulum XEZ. sed [ut modo ostensum] æquale est rectangulum ΘHX rectangulo XEZ: ergo rectangulum ex Σ & HX æquale est quadrato ex EX. & rectangulum ex Σ ad HX quarta pars est figuræ quæ ad HO constituitur; nam & HX [per 30. 1. huj.] est dimidia ipsius HO, & [ex modo ostensis] Σ dimidia ejus juxta quam possunt; quadratum vero ex EX quarta pars est quadrati ex EΞ, nam [per 30. 1. huj.] EX æqualis est XΞ: ergo quadratum ex EΞ æquale est figuræ ad HO constitutæ. similiter demonstrabimus & quadratum ex HO figuræ factæ ad EΞ esse æquale: EΞ, HO igitur sectionum oppositarum A, B, Γ, Δ diametri conjugatæ sunt.



ΡΗ πρὸς ΗΠ καὶ ἡ ΧΕ πρὸς ΕΖ, παράλληλοι γάρ· καὶ ὡς ἄρα ἡ Σ πρὸς τὴν ΘΗ οὕτως ἡ ΧΕ πρὸς ΕΖ. ἀλλ' ὡς μὲν ἡ Σ πρὸς ΘΗ, τῆς ΧΗ κοινοῦ ὕψους λαμβανομένης, οὕτως τὸ ὑπὸ Σ, ΧΗ πρὸς τὸ ὑπὸ ΘΗΧ· ὡς δὲ ἡ ΧΕ πρὸς ΕΖ οὕτως τὸ ἀπὸ ΧΕ πρὸς τὸ ὑπὸ ΧΕΖ· καὶ ὡς ἄρα τὸ ὑπὸ Σ, ΧΗ πρὸς τὸ ὑπὸ ΘΗΧ οὕτως τὸ ἀπὸ ΧΕ πρὸς τὸ ὑπὸ ΧΕΖ, καὶ ἐναλλὰξ ὡς τὸ ὑπὸ Σ, ΗΧ πρὸς τὸ ἀπὸ ΕΧ οὕτως τὸ ὑπὸ ΘΗΧ πρὸς τὸ ὑπὸ ΧΕΖ. ἴσον δὲ τὸ ὑπὸ ΘΗΧ τῷ ὑπὸ ΧΕΖ· ἴσον ἄρα καὶ τὸ ὑπὸ Σ, ΗΧ τῷ ἀπὸ ΕΧ. καί ἐστι τὸ μὲν ὑπὸ Σ, ΗΧ τέταρτον τοῦ παρὰ τὴν ΗΟ εἴδους, ἥτε γὰρ ΗΧ τῆς ΗΟ ἐστὶν ἡμίσεια, καὶ ἡ Σ τῆς παρ' ἣν δύναται ἡμίσεια· τὸ δὲ ἀπὸ ΕΧ τέταρτον τοῦ ἀπὸ τῆς ΕΞ, ἴση γὰρ ἡ ΕΧ τῇ ΧΞ· τὸ ἄρα ἀπὸ τῆς ΕΞ ἴσον ἐστὶ τῷ πρὸς τῇ ΗΟ εἴδει. ὁμοίως δὴ δείξομεν ὅτι καὶ ΗΟ δύναται τὸ παρὰ τὴν ΕΞ εἶδος· αἱ ἄρα ΕΞ, ΗΟ συζυγεῖς εἰσι διάμετροι τῶν Α, Β, Γ, Δ ἀντικειμένων.

PROP. XXI. *Theor.*

Iisdem positis, ostendendum est punctum in quo contingentes rectæ conveniunt, ad unam asymptotôn esse.

SINT oppositæ sectiones conjugatæ A, B, Γ, Δ, & earum diametri AB, ΓΔ: ducanturque contingentes AE, EΓ: dico punctum E ad asymptoton esse.

Est enim [ex def. sect. conjug.] quadratum ex ΓX æquale quartæ parti figuræ quæ ad AB constituitur; quadrato autem ex ΓX æquale est [per 33. 1.] quadratum ex AE: ergo quadratum ex AE quartæ parti dictæ figuræ erit æquale. jungatur EX: asymptotos igitur [per 1.2.huj.] est EX: punctum igitur E ad ipsam asymptoton est.



ΠΡΟΤΑΣΙΣ κα'.

Τῶν αὐτῶν ὑποκειμένων, δεικτέον ὅτι ἡ σύμπτωσις τῶν ἐφαπτομένων πρὸς μίαι τῶν ἀσυμπτώτων ἐστίν.

ΕΣΤΩΣΑΝ κατὰ συζυγίαν ἀντικείμεναι αἱ τομαί, ὧν αἱ διάμετροι αἱ ΑΒ, ΓΔ, καὶ ἐφαπτόμεναι ἤχθωσαν αἱ ΑΕ, ΕΓ· λέγω ὅτι τὸ Ε σημεῖον πρὸς τῇ ἀσυμπτώτῳ ἐστίν.

Ἐπεὶ γὰρ τὸ ἀπὸ ΓΧ ἴσον ἐστὶ τετάρτῳ τοῦ πρὸς τῇ ΑΒ εἴδους, τῷ δὲ ἀπὸ ΓΧ ἴσον ἐστὶ τὸ ἀπὸ ΑΕ· καὶ τὸ ἀπὸ ΑΕ ἄρα ἴσον ἐστὶ τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ ΑΒ εἴδους. ἐπεζεύχθω ἡ ΕΧ· ἀσύμπτωτος ἄρα ἐστὶν ἡ ΕΧ· τὸ ἄρα Ε σημεῖον πρὸς τῇ ἀσυμπτώτῳ ἐστίν.

PROP. XXII. *Theor.*

Si in oppositis sectionibus, quæ conjugatæ appellantur, ex centro ad quamvis sectionum ducatur recta linea;

ΠΡΟΤΑΣΙΣ κβ'.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις ἐκ τοῦ κέντρου εὐθεῖα ἀχθῇ πρὸς ὁποιανοῦν τῶν τομῶν,

ἡ

καὶ ταύτῃ παράλληλος ἀχθῇ συμπίπτουσα μιᾷ τῶν ἐφεξῆς τομῶν καὶ ταῖς ἀσυμπτώτοις· τὸ περιεχόμενον ὑπὸ τῶν τῆς ἀχθείσης τμημάτων, γινομένων μεταξὺ τῆς τομῆς καὶ τῶν ἀσυμπτώτων, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τετραγώνῳ.

& huic parallela altera ducatur, quæ cum una ex ſectionibus quæ deinceps ſunt & cum aſymptotis conveniat : rectangulum contentum ſub ductæ ſegmentis, inter ſectionem & aſymptotos interjectis, quadrato rectæ ex centro ductæ æquale erit.

Ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι τομαὶ αἱ Α,Β,Γ,Δ, ἀσύμπτωτοι δὲ τῶν τομῶν ἔστωσαν αἱ ΕΧΖ, ΗΧΘ, καὶ ἀπὸ τοῦ κέντρου Χ διήχθω τις εὐθεῖα ἡ ΧΓΔ, καὶ παράλληλος αὐτῇ ἤχθω τέμνουσα τήν τε ἐφεξῆς τομὴν καὶ τὰς ἀσυμπτώτους ἡ ΘΕ· λέγω ὅτι τὸ ὑπὸ ΕΚΘ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΧ.

Τετμήσθω δίχα ἡ ΚΛ κατὰ τὸ Μ, καὶ ἐπιζευχθεῖσα ἡ ΜΧ ἐκβεβλήσθω· διάμετρος ἄρα ἐστὶν ἡ ΑΒ τῶν Α, Β τομῶν. καὶ ἐπεὶ ἡ κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ ΕΘ· ἡ ἄρα ΕΘ ἐπὶ τὴν ΑΒ τεταγμένως ἐστὶ κατηγμένη, καὶ κέντρον τὸ Χ· αἱ ΑΒ, ΓΔ ἄρα συζυγεῖς εἰσι διάμετροι· τὸ ἄρα ἀπὸ ΓΧ ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ παρὰ τὴν ΑΒ εἴδους. τῷ δὲ τετάρτῳ μέρει τοῦ παρὰ τὴν ΑΒ εἴδους ἴσον ἐστὶ τὸ ὑπὸ ΘΚΕ· καὶ τὸ ὑπὸ ΘΚΕ ἄρα ἴσον ἐστὶ τῷ ἀπὸ ΓΧ.



Sint oppoſitæ ſectiones, quæ conjugatæ appellantur, Α, Β, Γ, Δ, quarum aſymptoti ΕΧΖ, ΗΧΘ, & ex centro Χ ducatur quævis recta ΧΓΔ, eique parallela ΕΚΛΘ, quæ & ſectionem quæ deinceps eſt & aſymptotos ſecet : dico rectangulum ΕΚΘ quadrato ex ΓΧ æquale eſſe.

Secetur ΚΛ bifariam in Μ & juncta ΜΧ producatur : diameter itaq; eſt [per cor. 51.1. huj.] ΑΒ ipſarum Α, Β ſectionum. & quoniam [per 5. 2.huj.] recta, quæ in puncto Α ſectionem contingit, parallela eſt ipſi ΕΘ: erit ΕΘ ad diametrum ΑΒ ordinatim applicata. centrum autem eſt Χ: ergo [per 20. 2. huj.] ΑΒ, ΓΔ conjugatæ ſunt diametri: eſt igitur quadratum ex ΓΧ æquale quartæ parti figuræ quæ ad ΑΒ conſtituitur. ſed [per 10. 2. huj.] quartæ parti figuræ ad ΑΒ æquale eſt rectangulum ΘΚΕ: rectangulum igitur ΘΚΕ quadrato ex ΓΧ æquale erit.

ΠΡΟΤΑΣΙΣ κγ΄.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις ἀπὸ τοῦ κέντρου εὐθεῖά τις ἀχθῇ πρὸς ὁποιανοῦν τῶν τομῶν, καὶ ταύτῃ παράλληλος ἀχθῇ συμπίπτουσα ταῖς ἐφεξῆς τρισὶ τομαῖς· τὸ περιεχόμενον ὑπὸ τῶν τῆς ἀχθείσης τμημάτων, τῶν γινομένων μεταξὺ τῶν τριῶν τομῶν, διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τετραγώνου.

Prop. XXIII. *Theor.*

Si in oppoſitis ſectionibus, quæ conjugatæ appellantur, ex centro ducatur quævis recta linea ad quamvis ſectionum; & huic parallela ducatur, quæ cum tribus, quæ deinceps ſunt, ſectionibus conveniat: rectangulum contentum ſub ſegmentis ductæ inter tres ſectiones interjectis, duplum erit quadrati ejus quæ ex centro.

Ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, Γ, Δ, κέντρον δὲ τῶν τομῶν ἔστω τὸ Χ, καὶ ἀπὸ Χ πρὸς ὁποιανοῦν τῶν τομῶν προσπιπτέτω εὐθεῖα ἡ ΓΧ, καὶ τῇ ΓΧ παράλληλος ἤχθω τέμνουσα τὰς ἐφεξῆς τρεῖς τομὰς ἡ ΚΛ· λέγω ὅτι τὸ ὑπὸ ΚΜΛ διπλάσιόν ἐστι τοῦ ἀπὸ ΓΧ.

Ἤχθωσαν ἀσύμπτωτοι τῶν τομῶν αἱ ΕΖ, ΗΘ· τὸ ἄρα ἀπὸ ΓΧ ἴσον ἐστὶ ἑκατέρῳ τῶν ὑπὸ ΘΜΕ, ΘΚΕ. * τὸ δὲ ὑπὸ ΘΜΕ, μετὰ τοῦ ὑπὸ ΘΚΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΛΜΚ, διὰ τὸ



Sint oppoſitæ ſectiones, quæ conjugatæ appellantur, Α, Β, Γ, Δ, quarum centrum ſit Χ, & à puncto Χ ad quamvis ſectionem ducatur recta quævis ΓΧ, atque huic parallela ſit ΚΛ, quæ cum tribus deinceps ſectionibus conveniat: dico rectangulum ΚΜΛ quadrati ex ΓΧ duplum eſſe.

Ducantur aſymptoti ſectionum ΕΖ, ΗΘ: ergo [per 11.& 22.2.huj.] quadratum ex ΓΧ æquale eſt utrilibet rectangulorum ΘΜΕ, ΘΚΕ. * rectangulum autem ΘΜΕ una cum rectangulo ΘΚΕ æquale eſt rectangulo ΛΜΚ; propter

pter extremas [per 8. & 16.2.] æquales: rectangulum igitur ΛMK quadrati ex ΓX duplum erit.

τὰς ἄκρας ἴσας εἶναι· καὶ τὸ ὑπὸ ΛMK ἄρα διπλάσιόν ἐστι τοῦ ἀπὸ ΓX.

EUTOCIUS.

* Rectangulum autem ΘME una cum rectangulo ΘKE æquale est rectangulo ΛMK, propter extremas æquales.] Sit recta ΛK, & sit ΛΘ æqualis EK, & ΘN ipsi EM; & ducantur à punctis M, K perpendiculares MΞ, KO, ita ut MΞ sit æqualis MK, & KO æqualis KE, & compleantur parallelogramma ΞΘ, ΘΛ. quoniam igitur MΞ æqualis est MK, hoc est ΠO; estque ΛΘ æqualis EK, hoc est KO: erit ΘΛ parallelogrammum ipsi MO æquale. commune apponatur ΞΘ: totum igitur ΛΞ æquale est ipsis ΞΘ & MO; hoc est ΘO & ΠP. & quidem ΛΞ est rectangulum ΛMK, & ΘO est rectangulum ΘKE, & ΠP rectangulum ΘME.



Sed licet & aliter idem demonstrare. *



Secetur MN bifariam in Σ: constat igitur & ΛK in Σ bifariam secari, & rectangulum ΘKE æquale esse rectangulo ΛEK, quia ΘK est æqualis ΛE. & quoniam ΛK secatur in partes quidem æquales in Σ, & in partes inæquales in E; erit quidem [per 5.2.] rectangulum ΛEK una cum quadrato ex ΣE æquale quadrato ex KΣ. quadratum autem ex ΣE rectangulo ΘME una cum quadrato ex ΣM est æquale: ergo quadratum ex ΣK æquale est rectangulo ΛEK, hoc est ΘKE, & rectangulo ΘME una cum quadrato ex ΣM. eadem ratione erit quadratum ex ΣK æquale rectangulo ΛMK & quadrato ex ΣM: adeoque rectangulum ΘKE una cum rectangulo ΘME & quadrato ex ΣM æquale est rectangulo ΛMK & quadrato ex ΣM. commune auferatur quadratum ex ΣM: reliquum igitur rectangulum ΘKE una cum rectangulo ΘME est æquale rectangulo ΛMK.

* Τὸ δὲ ὑπὸ ΘME μετὰ τοῦ ὑπὸ ΘKE ἴσον ἐστὶ τῷ ὑπὸ ΛMK, διὰ τὸ τὰς ἄκρας ἴσας εἶναι.] Ἔστω εὐθεῖα ἡ ΛK, καὶ ἔστω ἡ ΛΘ ἴση τῇ EK, ἡ δὲ ΘN ἴση τῇ EM, καὶ ἤχθωσαν ἀπὸ τῶν M, K πρὸς ὀρθὰς αἱ MΞ, KO, καὶ κείσθω τῇ MK ἴση ἡ MΞ, τῇ δὲ KE ἡ KO, καὶ συμπεπληρώσθω τὰ ΞΘ, ΘΛ παραλληλόγραμμα. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ MK τῇ MΞ, τουτέστι τῇ ΠO· ἔστι δὲ καὶ ἡ ΛΘ τῇ EK, τουτέστι τῇ KO· ἴσον ἄρα τὸ ΘΛ τῷ MO. κοινὸν ἐκκείσθω τὸ ΞΘ· ὅλον ἄρα τὸ ΛΞ ἴσον ἐστὶ τοῖς ΞΘ, MO, τουτέστι τοῖς ΘO, ΠP. καὶ ἔστι τὸ μὲν ΛΞ τὸ ὑπὸ τῶν ΛMK, τὸ δὲ ΘO τὸ ὑπὸ ΘKE, καὶ τὸ ΠP τὸ ὑπὸ ΘME ἐστί.

Ἔστι δὲ καὶ ἄλλως δεῖξαι τὸ αὐτό. *

Τετμήσθω ἡ MN δίχα κατὰ τὸ Σ· φανερὸν δὲ ὅτι ἡ ΛK δίχα τέτμηται κατὰ τὸ Σ, καὶ ὅτι τὸ ὑπὸ ΘKE ἴσον ἐστὶ τῷ ὑπὸ ΛEK, ἴση γάρ ἡ ΘK τῇ ΛE. καὶ ἐπεὶ ἡ ΛK τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Σ, εἰς δὲ ἄνισα κατὰ τὸ E, τὸ ὑπὸ ΛEK μετὰ τοῦ ἀπὸ ΣE ἴσον ἐστὶ τῷ ἀπὸ KΣ. τὸ δὲ ἀπὸ ΣE ἴσον ἐστὶ τῷ ὑπὸ ΘME καὶ τῷ ἀπὸ ΣM· ὥστε τὸ ἀπὸ ΣK ἴσον ἐστὶ τῷ τε ὑπὸ ΛEK, τουτέστι τῷ ὑπὸ ΘKE, καὶ τῷ ὑπὸ ΘME καὶ τῷ ἀπὸ ΣM. διὰ ταῦτα δὲ τὸ ἀπὸ ΣK ἴσον ἐστὶν τῷ ὑπὸ ΛMK καὶ τῷ ἀπὸ ΣM· ὥστε τὸ ὑπὸ ΘKE μετὰ τοῦ ὑπὸ ΘME καὶ τοῦ ἀπὸ ΣM ἴσον ἐστὶ τῷ ὑπὸ ΛMK καὶ τῷ ἀπὸ ΣM. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΣM· λοιπὸν ἄρα τὸ ὑπὸ ΘKE μετὰ τοῦ ὑπὸ ΘME ἴσον ἐστὶ τῷ ὑπὸ ΛMK.

Prop. XXIV. *Theor.*

Si parabolæ duæ rectæ lineæ occurrant, utraque in duobus punctis, & nullius ipsarum occursus occursibus alterius contineatur: convenient inter sese extra sectionem.

SIT parabola ABΓΔ, cui duæ rectæ AB, ΓΔ occurrant, ita ut nullius ipsarum occursus alterius occursibus contineatur: dico eas productas inter se convenire.



Ducantur per B, Γ diametri sectionis EBZ, HΓΘ: parallelæ igitur sunt [per cor. 46. 1. huj.] & [per 26. 1. huj.] utraque sectionem in uno tantum puncto secat. jungatur BΓ: anguli igitur EBΓ, HΓB [per 29.1.] duobus rectis sunt æquales. verum BA, ΔΓ productæ angulos duobus rectis minores efficiunt: ergo inter sese extra sectionem convenient.

ΠΡΟΤΑΣΙΣ κδʹ.

Ἐὰν παραβολῇ δύο εὐθεῖαι συμπίπτωσι, ἑκατέρα κατὰ δύο σημεῖα, μηδετέρας δὲ αὐτῶν ἡ σύμπτωσις ὑπὸ τῶν τῆς ἑτέρας συμπτώσεων περιέχηται· συμπεσοῦνται ἀλλήλαις αἱ εὐθεῖαι ἐκτὸς τῆς τομῆς.

ΕΣΤΩ παραβολὴ ἡ ABΓΔ, καὶ τῇ τομῇ δύο εὐθεῖαι συμπιπτέτωσαν αἱ AB, ΓΔ, μηδετέρας δὲ αὐτῶν ἡ σύμπτωσις ὑπὸ τῶν τῆς ἑτέρας συμπτώσεων περιεχέσθω· λέγω ὅτι ἐκβαλλόμεναι συμπεσοῦνται ἀλλήλαις.

Ἤχθωσαν διὰ τῶν B, Γ διάμετροι τῆς τομῆς αἱ EBZ, HΓΘ· παράλληλοι ἄρα εἰσὶ, καὶ καθ' ἓν μόνον σημεῖον ἑκατέρα τῆς τομῆς τέμνει. ἐπεζεύχθω δὴ ἡ BΓ· αἱ ἄρα ὑπὸ EBΓ, HΓB γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσίν. αἱ δὲ BA, ΔΓ ἐκβαλλόμεναι ἐλάττονας ποιοῦσι δύο ὀρθῶν· συμπεσοῦνται ἄρα ἀλλήλαις ἐκτὸς τῆς τομῆς.

* Est Lemma *Pappi* quartum.

EUTOCIUS.

Δεῖ σημειώσασθαι ὅτι συμπτώσεις καλεῖ τὰ σημεῖα καθ᾽ ἃ συμβάλλουσι τῇ τομῇ αἱ Α Β, Γ Δ εὐθεῖαι. καὶ δεῖ, φησί, παρατηρεῖν ὅτι ἐκτὸς εἴη ἀλλήλων τὰ σημεῖα, ἀλλὰ μὴ ὡς τὰ Α Γ, Β Δ. δεῖ δὲ εἰδέναι ὅτι καὶ ἐπ᾽ ἐφαπτομένων τὰ αὐτὰ συμβαίνει.

Animadvertendum est illum *occursus* appellare puncta in quibus Α Β, Γ Δ sectioni occurrunt. &, *inquit*, observari oportere ut puncta extra sese ponantur, non ad modum ipsarum Α Γ, Β Δ. & sciendum est eadem etiam evenire in contingentibus.

ΠΡΟΤΑΣΙΣ κε΄.

Ἐὰν ὑπερβολῇ δύο εὐθεῖαι συμπίπτωσιν, ἑκατέρα κατὰ δύο σημεῖα, μηδετέρας δὲ αὐτῶν ἡ σύμπτωσις ὑπὸ τῆς ἑτέρας συμπτώσεως περιέχηται· συμπεσοῦνται ἀλλήλαις αἱ εὐθεῖαι, ἐκτὸς μὲν τῆς τομῆς, ἐντὸς δὲ τῆς περιεχούσης τὴν τομὴν γωνίας.

Ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ Α Β, Α Γ, καὶ τεμνέτωσαν δύο εὐθεῖαι τὴν τομὴν αἱ Ε Ζ, Η Θ, καὶ μηδετέρας αὐτῶν ἡ σύμπτωσις ὑπὸ τῶν τῆς ἑτέρας περιεχέσθω· λέγω ὅτι αἱ Ε Ζ, Η Θ ἐκβαλλόμεναι συμπεσοῦνται ἐκτὸς μὲν τῆς τομῆς, ἐντὸς δὲ τῆς ὑπὸ Γ Α Β γωνίας.

Ἐπιζευχθεῖσαι γὰρ Α Ζ, Α Θ ἐκβεβλήσθωσαν, καὶ ἐπεζεύχθω ἡ Ζ Θ. καὶ ἐπεὶ αἱ Ε Ζ, Η Θ ἐκβαλλόμεναι τέμνουσι τὰς Α Ζ Θ, Α Θ Ζ γωνίας, εἰσὶ δὲ αἱ εἰρημέναι γωνίαι δύο ὀρθῶν ἐλάσσονες· αἱ Ε Ζ, Η Θ ἐκβαλλόμεναι συμπεσοῦνται ἀλλήλαις, ἐκτὸς μὲν τῆς τομῆς, ἐντὸς δὲ τῆς ὑπὸ Β Α Γ γωνίας. ὁμοίως δὴ δείξομεν κἂν ἐφαπτόμεναι ὦσι τῆς τομῆς αἱ Ε Ζ, Η Θ.



Prop. XXV. *Theor.*

Si hyperbolæ occurrant duæ rectæ lineæ, utraque in duobus punctis; nullius autem ipsarum occursus alterius occursibus contineatur: convenient inter sese, extra sectionem quidem, sed tamen intra angulum qui hyperbolam continet.

Sit hyperbola, cujus asymptoti Α Β, Α Γ, & duæ rectæ ut Ε Ζ, Η Θ sectioni occurrant, ita ut nullius ipsarum occursus occursibus alterius contineatur: dico Ε Ζ, Η Θ productas extra sectionem quidem, sed tamen intra angulum Γ Α Β inter se convenire.

Junctæ enim Α Ζ, Α Θ producantur, & jungatur Ζ Θ. Et quoniam Ε Ζ, Η Θ productæ secant angulos Α Ζ Θ, Α Θ Ζ, & [per 17. 1.] sunt dicti anguli duobus rectis minores; rectæ Ε Ζ, Η Θ convenient inter se extra sectionem quidem, sed tamen intra angulum Β Α Γ. similiter demonstrabimus, si Ε Ζ, Η Θ fuerint contingentes.

ΠΡΟΤΑΣΙΣ κϛ΄.

Ἐὰν ἐν ἐλλείψει ἢ κύκλου περιφερείᾳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας μὴ διὰ τοῦ κέντρου οὖσαι· οὐ τέμνουσιν ἀλλήλας δίχα.

Εἰ γὰρ δυνατόν, ἐν ἐλλείψει ἢ κύκλου περιφερείᾳ, δύο εὐθεῖαι, αἱ Γ Δ, Ε Ζ, μὴ διὰ τοῦ κέντρου οὖσαι, τεμνέτωσαν ἀλλήλας δίχα κατὰ τὸ Η, καὶ ἔστω κέντρον τῆς τομῆς τὸ Θ, καὶ ἐπιζευχθεῖσα ἡ Η Θ ἐκβεβλήσθω ἐπὶ τὰ Α, Β.



Ἐπεὶ οὖν διάμετρός ἐστιν ἡ Α Β, τὴν Ε Ζ δίχα τέμνουσα· ἡ ἄρα κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ Ε Ζ. ὁμοίως δὲ δείξομεν ὅτι καὶ τῇ Γ Δ. ὥστε καὶ ἡ Ε Ζ παράλληλός ἐστι τῇ Γ Δ, ὅπερ ἀδύνατον. οὐκ ἄρα αἱ Γ Δ, Ε Ζ δίχα τέμνουσιν ἀλλήλας.

Prop. XXVI. *Theor.*

Si in ellipsi vel circuli circumferentia duæ rectæ lineæ non transeuntes per centrum se invicem secent; bifariam sese non secabunt.

Si enim fieri potest, in ellipsi vel circuli circumferentia, duæ rectæ Γ Δ, Ε Ζ non transeuntes per centrum sese bifariam secent in Η; sitque Θ centrum sectionis, & juncta Η Θ ad Α, Β puncta producatur.



Quoniam igitur Α Β diameter est, ipsam Ε Ζ bifariam secans; quæ ad Α sectionem contingit [per 6. 2.huj.] parallela erit ipsi Ε Ζ. similiter demonstrabimus eandem etiam ipsi Γ Δ esse parallelam: ergo [per 30. 1.] Ε Ζ est parallela ipsi Γ Δ, quod est absurdum. non igitur Ε Ζ, Γ Δ sese bifariam secant.

Prop. XXVII. *Theor.*

Si ellipsim vel circuli circumferentiam duæ rectæ lineæ contingant: si quidem ea quæ tactus conjungit per centrum sectionis transeat, contingentes rectæ sibi ipsis erunt parallelæ; sin minus, convenient inter sese ad easdem centri partes.

SIT ellipsis, vel circuli circumferentia A B, quam contingant duæ rectæ Γ A Δ, E B Z, jungaturque A B, & primo transeat per centrum: dico Γ Δ ipsi E Z parallelam esse.

Quoniam enim A B est diameter sectionis, & Γ Δ ipsam in A contingit; erit [per 17. 1. huj.] Γ Δ parallela rectis quæ ad diametrum A B ordinatim applicantur. simili ratione E Z erit eisdem parallela: ergo [per 30. 1.] Γ Δ parallela est ipsi E Z.



Sed A B per centrum non transeat, ut fit in secunda figura, & ducatur A Θ diameter, & per Θ contingens K Θ Λ: parallela est igitur [per cas. 1.] K Λ ipsi Γ Δ: ergo E Z producta ad easdem partes centri, in quibus est A B, cum Γ Δ conveniet.

ΠΡΟΤΑΣΙΣ κζ'.

Ἐὰν ἐλλείψεως ἢ κύκλου περιφερείας δύο εὐθεῖαι ἐπιψαύωσιν· ἐὰν μὲν ἡ τὰς ἁφὰς ἐπιζευγνύουσα διὰ τοῦ κέντρου τῆς τομῆς ᾖ, παράλληλοι ἔσονται αἱ ἐφαπτόμεναι· ἐὰν δὲ μή, συμπεσοῦνται ἐπὶ τὰ αὐτὰ μέρη τοῦ κέντρου.

ΕΣΤΩ ἔλλειψις, ἢ κύκλου περιφέρεια ἡ Α Β, καὶ ἐφαπτέσθωσαν αὐτῆς αἱ Γ Α Δ, Ε Β Ζ, καὶ ἐπιζεύχθω ἡ Α Β, καὶ ἔστω πρότερον διὰ τοῦ κέντρου· λέγω ὅτι παράλληλός ἐστιν ἡ Γ Δ τῇ Ε Ζ.



Ἐπεὶ γὰρ διάμετρός ἐστιν ἡ Α Β τῆς τομῆς, καὶ ἐφάπτεται αὐτῆς κατὰ τὸ Α ἡ Γ Δ· ἡ Γ Δ ἄρα παράλληλός ἐστι ταῖς ἐπὶ τὴν Α Β τεταγμένως κατηγμέναις. διὰ τὰ αὐτὰ δὴ καὶ Ε Ζ παράλληλός ἐστι ταῖς αὐταῖς· καὶ ἡ Γ Δ ἄρα τῇ Ε Ζ παράλληλός ἐστι.

Μὴ ἐρχέσθω δὲ ἡ Α Β διὰ τοῦ κέντρου, ὡς ἔχει ἐπὶ τῆς δευτέρας καταγραφῆς, καὶ ἤχθω διάμετρος ἡ Α Θ, καὶ διὰ τοῦ Θ ἐφαπτομένη ἡ Κ Θ Λ· παράλληλος ἄρα ἐστὶν ἡ Κ Λ τῇ Γ Δ· ἡ ἄρα Ε Ζ ἐκβαλλομένη συμπεσεῖται τῇ Γ Δ ἐπὶ τὰ αὐτὰ μέρη τοῦ κέντρου, ἐν οἷς ἐστιν ἡ Α Β.

Prop. XXVIII. *Theor.*

Si in coni sectione vel circuli circumferentia, duas rectas parallelas recta linea bifariam secet: erit illa diameter sectionis.

IN sectione enim coni duæ rectæ parallelæ A B, Γ Δ in punctis E, Z bifariam secentur, & juncta E Z producatur: dico illam esse sectionis diametrum.

Si enim non est, sit H Θ Z diameter, si fieri possit: ergo [per 5. vel 6. 2. huj.] quæ in H contingit sectionem parallela est ipsi A B: quare [per 30. 1.] & ipsi Γ Δ. est autem H Θ diameter: ergo [per defin. 10.] Γ Θ, Θ Δ æquales sunt, quod est absurdum; posuimus enim Γ E æqualem E Δ. non igitur H Θ diameter est sectionis. similiter demonstrabimus neque aliam quampiam esse diametrum præter ipsam E Z: ergo E Z sectionis diameter erit.



ΠΡΟΤΑΣΙΣ κη'.

Ἐὰν ἐν κώνου τομῇ ἢ κύκλου περιφερείᾳ δύο παραλλήλους εὐθείας εὐθεῖά τις δίχα τέμνῃ, διάμετρος ἔσται τῆς τομῆς.

ΕΝ γὰρ κώνου τομῇ δύο εὐθεῖαι παράλληλοι αἱ Α Β, Γ Δ δίχα τεμνέσθωσαν κατὰ τὰ Ε, Ζ, καὶ ἐπιζευχθεῖσα ἡ Ε Ζ ἐκβεβλήσθω· λέγω ὅτι διάμετρός ἐστι τῆς τομῆς.

Εἰ γὰρ μή, ἔστω, εἰ δυνατόν, ἡ Η Θ Ζ· ἡ ἄρα κατὰ τὸ Η ἐφαπτομένη παράλληλός ἐστι τῇ Α Β· ὥστε ἡ αὐτὴ παράλληλός ἐστι τῇ Γ Δ. καὶ ἐστι διάμετρος ἡ Η Θ· ἴση ἄρα ἡ Γ Θ τῇ Θ Δ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ Γ Ε τῇ Ε Δ ἴση. οὐκ ἄρα διάμετρός ἐστιν ἡ Η Θ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς Ε Ζ· ἡ Ε Ζ ἄρα διάμετρος ἔσται τῆς τομῆς.

EUTOCIUS.

Ἄξιον ἐπισκέψασθαι τὴν δοθεῖσαν ἐν ἐπιπέδῳ καμπύλην γραμμήν, πότερον κύκλου ἐστὶ περιφέρεια, ἢ τις ἑτέρα τῶν τριῶν τῶν κώνου τομῶν, ἢ παρὰ ταύτας. ἔστω δὴ ἡ ΑΒΓ, καὶ προκείσθω τὸ εἶδος αὐτῆς ἐπισκέψασθαι τὸν εἰρημένον τρόπον. Εἰλήφθω τινὰ σημεῖα ἐπὶ τῆς γραμμῆς τὰ Γ, Δ, καὶ ἤχθωσαν διὰ τῶν Γ, Δ σημείων παράλληλοι ἀλλήλαις εὐθεῖαί τινες αἱ ΓΒ, ΔΕ, ἐντὸς ἀπολαμβανόμεναι τῆς γραμμῆς· καὶ πάλιν ἀπὸ τῶν Γ, Δ ἕτεραι παράλληλοι αἱ ΓΗ, ΔΖ, καὶ τετμήσθωσαν δίχα αἱ μὲν ΓΒ, ΔΕ κατὰ τὰ Θ, Κ, αἱ δὲ ΓΗ, ΔΖ κατὰ τὰ Λ, Μ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΚ, ΛΜ. εἰ μὲν οὖν πᾶσαι αἱ τῇ ΒΓ παράλληλοι ὑπὸ τῆς ΘΚ διχοτομοῦνται, πᾶσαι δὲ αἱ τῇ ΓΗ ὑπὸ τῆς



ΜΛ, μία ἐστὶ τῶν τῶν κώνου τομῶν ἡ ΑΒΓ, διαμέτρους ἔχουσα τὰς ΘΚ, ΜΛ· εἰ γὰρ μή, οὔ. Πάλιν ἥτις τῶν τεσσάρων ἐστὶν εὑρίσκομεν ἐκβάλλοντες εἰς ἄπειρον ἐφ' ἑκάτερα τὰ μέρη τὰς ΘΚ, ΛΜ. ἤτοι γὰρ παράλληλοί εἰσιν, καὶ ἔστι παραβολή· ἢ ἐπὶ τὰ Θ, Λ μέρη συμπίπτουσι, καὶ ἔστιν ἔλλειψις ἢ κύκλος· ἢ ἐπὶ τὰ ἕτερα, καὶ ἔστιν ὑπερβολή. τὴν δὲ ἔλλειψιν τοῦ κύκλου διακρινοῦμεν ἀπὸ τοῦ Ξ σημείου τῆς συμπτώσεως τῶν ΚΘ, ΜΛ, ὅπερ κέντρον γίνεται. εἰ γὰρ ἴσαι εἰσὶν αἱ ἀπ' αὐτοῦ πρὸς τὴν γραμμὴν προσπίπτουσαι, δηλονότι κύκλου ἐστὶ περιφέρεια ἡ ΑΒΓ· εἰ δὲ μή, ἔλλειψις.

Ἔστι δὲ αὐτὰς διακρῖναι καὶ ἄλλως, ἀπὸ τῶν τεταγμένως ἐπὶ τὴν διάμετρον καταγομένων, οἷον τῶν ΓΘ, ΔΚ. εἰ μὲν γὰρ εἴη ὡς τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΔΚ οὕτως ἡ ΘΑ πρὸς ΑΚ, παραβολή ἐστιν· εἰ δὲ τὸ ἀπὸ ΘΓ πρὸς τὸ ἀπὸ ΔΚ μείζονα λόγον ἔχῃ ἤπερ ἡ ΘΑ πρὸς ΑΚ, ὑπερβολή· εἰ δὲ ἐλάσσονα, ἔλλειψις.

Καὶ ἀπὸ τῶν ἐφαπτομένων δυνατόν ἐστιν αὐτὰς διακρῖναι ἀναμνησθέντας τῶν ἀνωτέρω εἰρημένων αὐταῖς ὑπάρχειν.

Non inutile erit, datâ in plano curvâ lineâ, investigare utrum circuli circumferentia sit, vel una è coni sectionibus, necne. sit ea ΑΒΓ, & oporteat speciem ejus investigare. Sumantur in proposita linea puncta quævis Γ, Δ, per quæ ducantur intra lineam rectæ parallelæ ΓΒ, ΔΕ: & rursus ab iisdem punctis aliæ parallelæ ducantur ΓΗ, ΔΖ, bifariamque secentur ΓΒ, ΔΕ quidem in Θ, Κ punctis, ΓΗ, ΔΖ vero in Λ, Μ; & jungantur ΘΚ, ΛΜ. si igitur omnes rectæ quæ ipsi ΓΒ parallelæ sunt, à ΘΚ bifariam dividantur; & quæ parallelæ sunt ipsi ΓΗ à recta ΜΛ; erit ΑΒΓ una è coni sectionibus, cujus diametri ΘΚ, ΜΛ; sin minus, non erit. Rursus quænam sit ex quatuor sectionibus comperiemus, rectas ΘΚ, ΛΜ in infinitum producentes ex utraque parte. vel enim parallelæ sunt, & est [per 46. 1. huj.] parabola; vel ad partes quidem Θ, Λ inter se conveniunt, & [per 47. 1. huj.] est ellipsis, aut circulus; vel ad alteras partes, & est hyperbola. ellipsim vero à circulo distinguemus ex puncto Ξ, quo concurrunt rectæ ΚΘ, ΜΛ, quod est centrum. si enim rectæ ab eo ad curvam ductæ sint æquales, constat ΑΒΓ circuli circumferentiam esse; sin minus, ellipsim.

Possumus & aliter ipsas cognoscere ex iis quæ ad diametrum ordinatim applicantur, videlicet ΓΘ, ΔΚ. nam si fuerit ut quadratum ex ΓΘ ad quadratum ex ΔΚ ita ΘΑ ad ΑΚ, parabola erit; at si quadratum ex ΓΘ ad quadratum ex ΔΚ majorem quidem habuerit rationem quam ΘΑ ad ΑΚ, hyperbola; si vero minorem, ellipsis.

Et etiam ex rectis contingentibus easdem discernere licebit, si ea, quæ superius dicta sunt, ipsis competere meminerimus.

ΠΡΟΤΑΣΙΣ κθʹ.

Ἐὰν ἐν κώνου τομῇ ἢ κύκλου περιφερείᾳ δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσιν· ἡ ἀπὸ τῆς συμπτώσεως αὐτῶν ἐπὶ τὴν διχοτομίαν τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης ἀγομένη εὐθεῖα διάμετρός ἐστι τῆς τομῆς.

Ἔστω κώνου τομή, ἢ κύκλου περιφέρεια, ἧς ἐφαπτόμεναι εὐθεῖαι ἤχθωσαν αἱ ΑΒ, ΑΓ, συμπίπτουσαι κατὰ τὸ Α, καὶ ἐπιζευχθεῖσα ἡ ΒΓ δίχα τετμήσθω κατὰ τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΑΔ· λέγω ὅτι διάμετρός ἐστι τῆς τομῆς.

Εἰ γὰρ δυνατόν, ἔστω διάμετρος ἡ ΔΕ, καὶ ἐπεζεύχθω ἡ ΕΓ· τεμεῖ δὴ τὴν τομήν. τεμνέτω κατὰ τὸ Ζ, καὶ διὰ τοῦ Ζ τῇ ΓΔΒ παράλληλος ἤχθω ἡ ΖΚΗ, καὶ ἐπεζεύχθω ἡ ΕΛΘΔ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΒ· ἴση ἄρα καὶ ἡ

Prop. XXIX. *Theor.*

Si duæ rectæ coni sectionem vel circuli circumferentiam contingentes occurrant inter se; recta connectens punctum concursûs earundem & illud in quo ea quæ conjungit tactus bifariam dividitur sectionis diameter erit.



SIT coni sectio, vel circuli circumferentia, quam contingant ΑΒ, ΑΓ, in puncto Α convenientes, & ducta ΒΓ secetur bifariam in Δ, & jungatur ΑΔ: dico ΑΔ esse diametrum sectionis.

Si enim fieri potest, sit ΔΕ diameter, & jungatur ΓΕ, quæ [per 35. & 36. 1. huj.] sectionem ipsam secabit. secet autem in Ζ, & per Ζ ipsi ΓΔΒ ducatur parallela ΖΚΗ, & jungatur ΕΛΘΔ: itaque quoniam ΓΔ æqualis est ipsi ΔΒ, erit

erit [per 4. 6.] ΖΘ quoque ipsi ΘΗ æqualis. & quoniam recta, quæ in Λ contingit sectionem, parallela est ipsi ΒΓ, & est ΖΗ eidem parallela: ergo ΖΗ parallela est rectæ sectionem in Λ tangenti: & idcirco [per 46 & 47. 1] ΖΘ est æqualis ipsi ΘΚ, quod fieri minime potest: non igitur diameter est ΔΕ. similiter demonstrabimus nullam aliam esse diametrum præter ΑΔ.

ΖΘ τῇ ΘΗ. καὶ ἐπεὶ ἡ κατὰ τὸ Λ ἐφαπτομένη παράλληλός ἐστι τῇ ΒΓ, καὶ ἔστι δὲ καὶ ἡ ΖΗ τῇ ΒΓ παράλληλος· καὶ ἡ ΖΗ ἄρα παράλληλός ἐστι τῇ κατὰ τὸ Λ ἐφαπτομένῃ· ἴση ἄρα ἡ ΖΘ τῇ ΘΚ, ὅπερ ἀδύνατον· οὐκ ἄρα διάμετρός ἐστιν ἡ ΔΕ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἄλλη τις, πλὴν τῆς ΑΔ.

Prop. XXX. *Theor.*

Si duæ rectæ lineæ coni sectionem vel circuli circumferentiam contingentes concurrant: diameter, quæ à puncto concursus ducitur, rectam tactus conjungentem bifariam secabit.

Sit coni sectio, vel circuli circumferentia ΒΓ, & ducantur duæ rectæ ΒΑ, ΑΓ ipsam contingentes, quæ conveniant in Α, & jungatur ΒΓ, & per Α ducatur sectionis diameter ΑΔ: dico ΒΔ ipsi ΔΓ æqualem esse.

Non enim, sed, si fieri potest, sit ΒΕ æqualis ΕΓ, & jungatur ΑΕ: ergo [per præc.] ΑΕ diameter est sectionis. est autem & ΑΔ, quod est absurdum. sive enim sectio sit ellipsis, punctum Α, in quo conveniunt diametri, centrum erit sectionis extra ipsam, quod fieri non potest: sive sit parabola, diametri ipsius [contra corol. 51. 1. huj.] inter se convenient: si vero hyperbola sit, lineæ ΒΑ, ΑΓ sectioni occurrunt, & unius occursus alterius occursu non continetur, quare convenient inter sese [per 25. 2. huj.] intra angulum hyperbolam continentem. sed & in ipso angulo, (punctum enim Α supponitur centrum, cum ΔΑ, ΑΒ diametri sint) quod est absurdum: non igitur ΒΕ ipsi ΕΓ æqualis erit.



ΠΡΟΤΑΣΙΣ λ'.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσιν· ἡ ἀπὸ τῆς συμπτώσεως ἀγομένη διάμετρος δίχα τεμεῖ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν εὐθεῖαν.

Ἔστω κώνου τομή, ἢ κύκλου περιφέρεια ἡ ΒΓ, καὶ ἤχθωσαν αὐτῆς δύο ἐφαπτόμεναι αἱ ΒΑ, ΑΓ συμπίπτουσαι κατὰ τὸ Α, καὶ ἐπεζεύχθω ἡ ΒΓ, καὶ ἤχθω διὰ τοῦ Α διάμετρος τῆς τομῆς ἡ ΑΔ· λέγω ὅτι ἐστὶν ἴση ἡ ΒΔ τῇ ΔΓ.

Μὴ γάρ, ἀλλ', εἰ δυνατόν, ἔστω ἴση ἡ ΒΕ τῇ ΕΓ, καὶ ἐπεζεύχθω ἡ ΑΕ· ἡ ΑΕ ἄρα διάμετρός ἐστι τῆς τομῆς. ἔστι δὲ καὶ ἡ ΑΔ, ὅπερ ἄτοπον. εἴτε γὰρ ἔλλειψίς ἐστιν ἡ τομή, τὸ Α, καθ' ὃ συμβάλλουσιν ἀλλήλαις αἱ διάμετροι, κέντρον ἔσται τῆς τομῆς ἐκτός, ὅπερ ἀδύνατον· εἴτε παραβολή ἐστιν ἡ τομή, συμπίπτουσιν ἀλλήλαις αἱ διάμετροι· εἴτε ὑπερβολή ἐστι, καὶ συμπίπτουσι τῇ τομῇ αἱ ΒΑ, ΑΓ, μὴ περιέχουσαι τὰς ἑαυτῶν συμπτώσεις· ἐντὸς ἄρα ἔσται τῆς περιεχούσης τὴν ὑπερβολὴν γωνίας. ἀλλὰ καὶ ἐπ' αὐτῆς, (κέντρον γὰρ ὑπόκειται τὸ Α, διαμέτρων οὐσῶν τῶν ΔΑ, ΑΕ) ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ ΒΕ τῇ ΕΓ ἐστὶν ἴση.

Prop. XXXI. *Theor.*

Si utramque oppositarum sectionum duæ rectæ lineæ contingant: si quidem recta tactus conjungens per centrum transeat, contingentes rectæ parallelæ erunt; sin minus, convenient inter se ad partes centri.

Sint oppositæ sectiones Α, Β, & ipsas contingant ΓΑΔ, ΕΒΖ in Α, Β; recta vero, quæ ex Α ad Β ducitur, primum transeat per centrum sectionum: dico ΓΔ ipsi ΕΖ parallelam esse.

Quoniam enim oppositæ sectiones sunt, quarum diameter ΑΒ, & unam earum contingit ΓΔ in puncto Α: igitur quæ per Β ipsi ΓΔ parallela ducitur, [per 48. & 50. 1. huj.] sectionem continget. contingit autem ΕΖ: ergo ΓΔ ipsi ΕΖ est parallela.

ΠΡΟΤΑΣΙΣ λα'.

Ἐὰν ἑκατέρας τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφάπτωνται· ἐὰν μὲν ἡ τὰς ἁφὰς ἐπιζευγνύουσα διὰ τοῦ κέντρου πίπτῃ, παράλληλοι ἔσονται αἱ ἐφαπτόμεναι· ἐὰν δὲ μή, συμπεσοῦνται ἐπὶ ταὐτὰ τῷ κέντρῳ.

Ἔστωσαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, καὶ ἐφαπτόμεναι αὐτῶν ἔστωσαν αἱ ΓΑΔ, ΕΒΖ κατὰ τὰ Α, Β, ἡ δὲ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ἐπιζευγνυμένη πιπτέτω πρότερον διὰ τοῦ κέντρου τῶν τομῶν· λέγω ὅτι παράλληλος ἔσται ἡ ΓΔ τῇ ΕΖ.

Ἐπεὶ γὰρ ἀντικείμεναί εἰσι τομαί, ὧν διάμετρός ἐστιν ἡ ΑΒ, καὶ μίαν αὐτῶν ἐφάπτεται ἡ ΓΔ κατὰ τὸ Α· ἡ ἄρα διὰ τοῦ Β τῇ ΓΔ παράλληλος ἀγομένη ἐφάπτεται τῆς τομῆς. ἐφάπτεται δὲ καὶ ἡ ΕΖ· παράλληλός ἐστιν ἄρα ἡ ΓΔ τῇ ΕΖ.

Μὴ

Μὴ ἐρχέσθω δὲ ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β διὰ τοῦ κέντρου τῶν τομῶν, καὶ ἤχθω διάμετρος τῶν τομῶν ἡ ΑΗ, καὶ ἐφαπτομένη τῆς τομῆς ἤχθω ἡ ΘΚ· ἡ ΘΚ ἄρα παράλληλός ἐστι τῇ ΓΔ. καὶ ἐπεὶ ὑπερβολῆς εὐθεῖαι ἐφάπτονται αἱ ΕΖ, ΘΚ· συμπεσοῦνται ἄρα. καὶ ἔστι παράλληλος ἡ ΘΚ τῇ ΓΔ· καὶ αἱ ΓΔ, ΕΖ ἄρα ἐκβαλλόμεναι συμπεσοῦνται. καὶ φανερὸν, ὅτι ἐπὶ ταυτὰ τῷ κέντρῳ.

Sed non tranſeat per centrum ſectionum quæ ex A ad B ducitur, ducaturque ſectionum diameter AH, & ΘK ſectionem in H contingens: ergo ΘK parallela eſt ipſi ΓΔ. & quoniam hyperbolam duæ rectæ contingunt EZ, ΘK; [per 25. 2.huj.] convenient inter ſeſe. eſt autem ΘK ipſi ΓΔ parallela: quare & ΓΔ, EZ productæ inter ſe convenient. & patet concurſum fieri ad eaſdem partes rectæ EZ ad quas eſt centrum.





ΠΡΟΤΑΣΙΣ λβʹ.

Ἐὰν ἑκατέρᾳ τῶν ἀντικειμένων εὐθεῖαι συμπίπτωσι καθ' ἓν ἐφαπτόμεναι, ἢ κατὰ δύο τέμνουσαι, ἐκβληθεῖσαι δὲ αἱ εὐθεῖαι συμπίπτωσιν· ἡ σύμπτωσις αὐτῶν ἔσται ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς περιεχούσης τὴν τομὴν γωνίας.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι τομαὶ, καὶ τῶν ἀντικειμένων ἤτοι καθ' ἓν ἐφαπτόμεναι, ἤτοι κατὰ δύο τέμνουσαι εὐθεῖαι αἱ ΑΒ, ΓΔ. καὶ ἐκβαλλόμεναι συμπιπτέτωσαν· λέγω ὅτι ἡ σύμπτωσις αὐτῶν ἔσται ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς περιεχούσης τὴν τομὴν γωνίας.

Ἔστωσαν ἀσύμπτωτοι τῶν τομῶν αἱ ΖΗ, ΘΚ· ἡ ΑΒ ἄρα ἐκβαλλομένη συμπεσεῖται ταῖς ἀσυμπτώτοις. συμπιπτέτω κατὰ τὰ Θ, Η· ὁμοίως καὶ ἡ ΓΔ συμπεσεῖται κατὰ τὰ Ζ, Κ. καὶ ἐπεὶ ὑπόκεινται συμπίπτουσαι αἱ ΖΚ, ΘΗ, φανερὸν ὅτι ἤτοι ἐν τῷ ὑπὸ τῶν ΘΛΖ γωνίας τόπῳ, ἢ ἐν τῷ ὑπὸ τῶν ΚΛΗ συμπεσοῦνται. ὁμοίως δὲ καὶ ἐὰν ἐφάπτωνται.

Prop. XXXII. *Theor.*

Si utrique oppoſitarum ſectionum rectæ lineæ occurrant, ipſas vel in uno puncto contingentes, vel in duobus ſecantes, quæ productæ inter ſe conveniant: punctum, in quo conveniunt, erit in angulo qui deinceps eſt angulo ſectionem continenti.

SINT oppoſitæ ſectiones, quas vel in uno puncto contingant, vel in duobus ſecent rectæ AB, ΓΔ; & productæ inter ſe conveniant: dico punctum, in quo conveniunt, eſſe in angulo qui deinceps eſt angulo ſectionem continenti.



Sint ſectionum aſymptoti ZH, ΘK: ergo [per 3. vel 8. 2. huj.] AB producta aſymptotis occurret. occurrat in Θ, H punctis. ſimiliter ΓΔ occurret aſymptotis in Z, K. & quoniam ſupponimus ZK, ΘH inter ſe convenire, patet eas occurſuras vel in angulo ΘΛZ, vel in KΛH. ſimiliter idem demonſtrari poteſt, ſi AB, ΓΔ ſectiones contingant.

ΠΡΟΤΑΣΙΣ λγʹ.

Ἐὰν μιᾷ τῶν ἀντικειμένων εὐθεῖα συμπίπτουσα, ἐκβληθεῖσα δὲ ἐφ' ἑκάτερα ἐκτὸς πίπτῃ τῆς το-

Prop. XXXIII. *Theor.*

Si uni oppoſitarum ſectionum recta linea occurrens ex utraque parte producta extra sectionem cadat: cum altera sectione non conveniet, sed transibit per tres locos; quorum unus quidem est sub angulo sectionem continente, duo vero reliqui sub iis angulis qui eidem sunt deinceps.

μῆς· οὐ συμπεσεῖται τῇ ἑτέρᾳ τομῇ, ἀλλὰ πεσεῖται διὰ τῶν τριῶν τόπων, ὧν ἐστιν εἷς μὲν ὁ ὑπὸ τῆς περιεχούσης γωνίας τὴν τομὴν, δύο δὲ οἱ ὑπὸ τὰς γωνίας τὰς ἐφεξῆς τῆς περιεχούσης τὴν τομὴν γωνίας.

SINT oppositæ sectiones A, B: & sectionem A secet quævis recta ΓΔ, quæ producta ex utraque parte extra sectionem cadat: dico ΓΔ cum B sectione non convenire.



Ducantur enim asymptoti sectionum EZ, HΘ: ergo [per 8. 2. huj.] ΓΔ producta asymptotis occurret. non occurret autem in aliis punctis quam in E, Θ: ergo non conveniet cum sectione B. & patet eam per tres locos dictos transire. si enim cum utraque oppositarum sectionum conveniret, nulli ipsarum in duobus punctis occurreret: quod si in duobus punctis occurreret; oppositæ sectioni prorsus non occurreret, uti modo est ostensum.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι τομαὶ αἱ A, B, καὶ τὴν A τεμνέτω τις εὐθεῖα ἡ ΓΔ, καὶ ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς· λέγω ὅτι ἡ ΓΔ οὐ συμπίπτει τῇ B τομῇ.

Ἤχθωσαν γὰρ ἀσύμπτωτοι τῶν τομῶν αἱ EZ, HΘ· ἡ ΓΔ ἄρα ἐκβαλλομένη συμπεσεῖται ταῖς ἀσυμπτώτοις. οὐ συμπίπτει δὲ κατ' ἄλλα ἢ τὰ E, Θ· ὥστε οὐ συμπεσεῖται οὐδὲ τῇ B τομῇ. καὶ φανερὸν ὅτι διὰ τῶν τριῶν τόπων πεσεῖται. ἐὰν γὰρ ἑκατέρᾳ τῶν ἀντικειμένων συμπίπτῃ τις εὐθεῖα, οὐδεμιᾷ τῶν ἀντικειμένων συμπεσεῖται κατὰ δύο σημεῖα. εἰ γὰρ συμπεσεῖται κατὰ δύο σημεῖα, διὰ τὸ προδεδειγμένον, τῇ ἑτέρᾳ τομῇ οὐ συμπεσεῖται.

PROP. XXXIV. *Theor.*

Si unam oppositarum sectionum recta quævis contingat, & huic parallela ducatur in altera sectione: quæ à tactu ad medium rectæ parallelæ ducitur, oppositarum sectionum diameter erit.

ΠΡΟΤΑΣΙΣ λδ'.

Ἐὰν μιᾶς τῶν ἀντικειμένων εὐθεῖά τις ἐπιψαύῃ, καὶ ταύτῃ παράλληλος ἀχθῇ ἐν τῇ ἑτέρᾳ τομῇ· ἡ ἀπὸ τῆς ἁφῆς ἐπὶ μέσην τὴν παράλληλον ἀγομένη εὐθεῖα διάμετρος ἔσται τῶν ἀντικειμένων.

SINT oppositæ sectiones A, B, & earum unam A contingat in A puncto recta ΓΔ, ipsique ΓΔ parallela ducatur EZ in altera sectione, & secetur EZ in H bifariam, & jungatur AH: dico AH oppositarum sectionum diametrum esse.



Si enim fieri potest, sit AΘK diameter: ergo [per 31. 2. huj.] quæ in Θ sectionem contingit, parallela est ipsi ΓΔ. sed [ex hyp.] ΓΔ ipsi EZ est parallela: EK igitur ipsi KZ [per 47. 1. huj.] est æqualis, quod fieri non potest; est enim EH æqualis HZ. igitur AΘ non est diameter oppositarum sectionum: ergo ipsa AB ea est.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι τομαὶ αἱ A, B, καὶ μιᾶς αὐτῶν τῆς A ἐφαπτέσθω τις εὐθεῖα ἡ ΓΔ κατὰ τὸ A, καὶ τῇ ΓΔ παράλληλος ἤχθω ἐν τῇ ἑτέρᾳ τομῇ ἡ EZ, καὶ τετμήσθω δίχα κατὰ τὸ H, καὶ ἐπεζεύχθω ἡ AH· λέγω ὅτι ἡ AH διάμετρός ἐστι τῶν ἀντικειμένων.

Εἰ γὰρ δυνατὸν, ἔστω ἡ AΘK· ἡ ἄρα κατὰ τὸ Θ ἐφαπτομένη παράλληλός ἐστι τῇ ΓΔ. ἀλλὰ ἡ ΓΔ παράλληλός ἐστι τῇ EZ· ἴση ἄρα ἐστὶν ἡ EK τῇ KZ, ὅπερ ἀδύνατον· ἡ γὰρ EH τῇ HZ ἐστὶν ἴση. οὐκ ἄρα διάμετρός ἐστιν ἡ AΘ τῶν ἀντικειμένων· ἡ AB ἄρα.

PROP. XXXV. *Theor.*

Si diameter in una oppositarum sectionum rectam lineam bifariam secet: quæ in termino diametri contingit alteram sectionem, rectæ bifariam sectæ erit parallela.

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν ἡ διάμετρος ἐν μιᾷ τῶν ἀντικειμένων εὐθεῖάν τινα δίχα τέμνῃ· ἡ ἐπιψαύουσα τῆς ἑτέρας τομῆς κατὰ τὸ πέρας τῆς διαμέτρου παράλληλος ἔσται τῇ δίχα τεμνομένῃ εὐθείᾳ.

ΕΣΤΩ

Ἔστωσαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, ἡ δὲ διάμετρος αὐτῶν ἡ ΑΒ τεμνέτω ἐν τῇ Β τομῇ δίχα τὴν ΓΔ εὐθεῖαν κατὰ τὸ Ε· λέγω ὅτι ἡ κατὰ τὸ Α ἐφαπτομένη τῆς τομῆς παράλληλός ἐστι τῇ ΓΔ.

Εἰ γὰρ δυνατόν, ἔστω τῇ κατὰ τὸ Α ἐφαπτομένῃ τῆς τομῆς παράλληλος ἡ ΔΖ· ἴση ἄρα ἡ ΔΗ τῇ ΗΖ. ἔστι δὲ καὶ ἡ ΔΕ τῇ ΕΓ ἴση· παράλληλος ἄρα ἐστὶν ἡ ΓΖ τῇ ΕΗ, ὅπερ ἀδύνατον· ἐκβαλλομένη γὰρ αὐτῇ συμπίπτει. οὐκ ἄρα παράλληλός ἐστιν ἡ ΔΖ τῇ κατὰ τὸ Α ἐφαπτομένῃ τῆς τομῆς, οὐδὲ ἄλλη τις διὰ τοῦ Δ πλὴν τῆς ΓΔ.



Sint oppositæ sectiones A, B, quarum diameter A B, in B sectione, rectam Γ Δ bifariam secet in E: dico rectam, quæ in puncto A sectionem contingit, ipsi Γ Δ parallelam esse.

Si enim fieri potest; sit recta sectionem in A contingenti parallela Δ Z: ergo [per 48. 1. huj.] Δ H ipsi H Z est æqualis. sed Δ E æqualis est ipsi E Γ: parallela igitur [per 2. 6.] est Γ Z ipsi E H, quod absurdum: producta enim Γ Z [per 22. 1. huj.] cum ipsa E H conveniet. quare neque Δ Z rectæ ad A contingenti est parallela, neque alia quæpiam per Δ ducta præter ipsam Γ Δ.

ΠΡΟΤΑΣΙΣ λϛʹ.

Prop. XXXVI. *Theor.*

Ἐὰν ἐν ἑκατέρᾳ τῶν ἀντικειμένων εὐθεῖαι ἀχθῶσι παράλληλοι οὖσαι· ἡ τὰς διχοτομίας αὐτῶν ἐπιζευγνύουσα εὐθεῖα διάμετρος ἔσται τῶν ἀντικειμένων.

Si in utraque oppositarum sectionum rectæ lineæ inter se parallelæ ducantur: ipsarum medium conjungens recta oppositarum sectionum diameter erit.

Ἔστωσαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, καὶ ἐν ἑκατέρᾳ αὐτῶν ἤχθωσαν εὐθεῖαι αἱ ΓΔ, ΕΖ, καὶ ἔστωσαν παράλληλοι, καὶ τετμήσθω ἑκατέρα αὐτῶν δίχα κατὰ τὰ Η, Θ σημεῖα, καὶ ἐπεζεύχθω ἡ ΗΘ· λέγω ὅτι ἡ ΗΘ διάμετρός ἐστι τῶν ἀντικειμένων.

Εἰ γὰρ μή, ἔστω ἡ ΗΚ· ἡ ἄρα κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ ΓΔ, ὥστε καὶ τῇ ΕΖ· ἴση ἄρα ἐστὶν ἡ ΕΚ τῇ ΚΖ, ὅπερ ἀδύνατον, ἐπεὶ ἡ ΕΘ τῇ ΘΖ ἐστὶν ἴση. οὐκ ἄρα ἡ ΗΚ διάμετρός ἐστι τῶν ἀντικειμένων· ἡ ΗΘ ἄρα.



Sint oppositæ sectiones A, B, & in earum utraque ducantur rectæ Γ Δ, E Z inter se parallelæ, & in punctis H, Θ bifariam secentur, & jungatur H Θ: dico H Θ diametrum esse oppositarum sectionum.

Si enim non est, sit H K: ergo [per 5. 2. huj.] quæ in A sectionem contingit ipsi Γ Δ est parallela; & idcirco ipsi E Z: æquales igitur [per 48. 1. huj.] sunt E K, K Z, quod fieri non potest, quoniam & E Θ, Θ Z sunt æquales. ergo H K non est diameter oppositarum sectionum: quare H Θ ea est.

ΠΡΟΤΑΣΙΣ λζʹ.

Prop. XXXVII. *Theor.*

Ἐὰν ἀντικειμένας εὐθεῖα τέμνῃ μὴ διὰ τοῦ κέντρου· ἡ ἀπὸ τῆς διχοτομίας αὐτῆς ἐπὶ τὸ κέντρον ἐπιζευγνυμένη διάμετρός ἐστι τῶν ἀντικειμένων ἡ λεγομένη ὀρθία· πλαγία δὲ συζυγὴς αὐτῇ ἡ ἀπὸ τοῦ κέντρου ἀγομένη παράλληλος τῇ δίχα τεμνομένῃ.

Si oppositas sectiones recta linea secet, non transiens per centrum: quæ à medio ipsius ad centrum ducitur oppositarum sectionum diameter erit ea quæ recta appellatur; transversa vero diameter ipsi conjugata est ea quæ à centro ducitur parallela rectæ bifariam sectæ.

Ἔστωσαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, καὶ τὰς Α, Β τεμνέτω τις εὐθεῖα ἡ ΓΔ μὴ διὰ τοῦ κέντρου οὖσα, καὶ τετμήσθω δίχα κατὰ τὸ Ε, καὶ τὸ κέντρον τῶν τομῶν ἔστω τὸ Χ, καὶ ἐπεζεύχθω ἡ ΧΕ, καὶ διὰ τοῦ

Sint oppositæ sectiones A, B, & ipsas secet recta Γ Δ non transiens per centrum, quæ bifariam in E dividatur, sitque sectionum centrum X, & jungatur X E, & per X ipsi Γ Δ parallela ducatur A B: dico A B, E X diametros esse conjugatas oppositarum sectionum.

Jungatur enim Δ X, & ad Z producatur, & jungatur Γ Z: æqualis igitur est [per 30. 1. huj.] Δ X ipsi X Z. est autem [ex constr.] & Δ E æqualis E Γ: ergo [per 2. 6.] E X est parallela Γ Z. producatur B A ad H. & quoniam Δ X, X Z sunt [per 30. 1. huj.] æquales; & E X, Z H [per 4. 6.] æquales erunt; & propterea ipsæ Γ H, Z H: ergo [per 5. 2. huj.] quæ ad A sectionem contingit parallela est ipsi Γ Z, quare [per 30.1.] & ipsi E X. rectæ igitur A B, E X [per 16. 1. huj.] oppositarum sectionum conjugatæ sunt diametri.



X τῇ Γ Δ παράλληλος ἤχθω ἡ A B· λέγω ὅτι αἱ A B, E X συζυγεῖς εἰσι διάμετροι τῶν τομῶν.

Ἐπεζεύχθω γὰρ ἡ Δ X, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Z, καὶ ἐπεζεύχθω ἡ Γ Z· ἴση ἄρα ἐστὶν ἡ Δ X τῇ X Z. ἔστι δὲ καὶ ἡ Δ E τῇ E Γ ἴση· παράλληλος ἄρα ἐστὶν ἡ E X τῇ Z Γ. ἐκβεβλήσθω ἡ B A ἐπὶ τὸ H. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ Δ X τῇ X Z· ἴση ἄρα καὶ ἡ E X τῇ Z H, ὥστε καὶ ἡ Γ H ἴση τῇ Z H· ἡ ἄρα κατὰ τὸ A ἐφαπτομένη παράλληλός ἐστι τῇ Γ Z, ὥστε καὶ τῇ E X. αἱ A B, E X ἄρα συζυγεῖς εἰσι διάμετροι.

Prop. XXXVIII. *Theor.*

Si duæ rectæ oppositas sectiones contingentes concurrant: quæ à puncto concursus ad medium rectæ tactus conjungentis ducitur, oppositarum sectionum diameter erit quæ recta vocatur; transversa vero ipsi conjugata, quæ per centrum ducitur rectæ tactus conjungenti parallela.

Sint oppositæ sectiones A, B; rectæ sectiones contingentes Γ X, X Δ; & ducatur Γ Δ quæ bifariam dividatur in E, & jungatur E X: dico E X diametrum rectam esse; transversam vero ipsique conjugatam, quæ per centrum ducitur ipsi Γ Δ parallela.

Sit enim, si fieri potest, diameter E Z, & sumatur quodvis punctum Z: ergo Δ X ipsi E Z occurret. occurrat in Z puncto, & jungatur Γ Z: conveniet igitur Γ Z cum sectione. conveniat autem in A, & per A ducatur A B, rectæ Γ Δ parallela. itaque quoniam E Z diameter est & secat Γ Δ bifariam; etiam [per def. 15.] ipsi parallelas rectas bifariam secabit: quare A H ipsi H B est æqualis. & quoniam Γ E est æqualis E Δ; & est in triangulo Γ Z Δ: ergo A H [per 4. 6. & 9. 5.] æqualis est H K, unde & H K ipsi H B æqualis est, quod fieri non potest. igitur E Z non est diameter.



ΠΡΟΤΑΣΙΣ λη'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσι· ἡ ἀπὸ τῆς συμπτώσεως ἐπιζευγνυμένη ἐπὶ μέσην τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν διάμετρος ἔσται τῶν ἀντικειμένων ἡ λεγομένη ὀρθία· πλαγία δὲ συζυγὴς αὐτῇ ἡ διὰ τοῦ κέντρου ἀγομένη παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν.

Ἔστωσαν ἀντικείμεναι τομαὶ αἱ A, B, ἐφαπτόμεναι δὲ τῶν τομῶν αἱ Γ X, X Δ, καὶ ἐπεζεύχθω ἡ Γ Δ, καὶ τετμήσθω δίχα κατὰ τὸ E, καὶ ἐπεζεύχθω ἡ E X· λέγω ὅτι ἡ E X διάμετρός ἐστιν ἡ λεγομένη ὀρθία· πλαγία δὲ συζυγὴς αὐτῇ ἡ διὰ τοῦ κέντρου τῇ Γ Δ παράλληλος ἀγομένη.

Ἔστω γὰρ, εἰ δυνατὸν, διάμετρος ἡ E Z, καὶ εἰλήφθω τυχὸν σημεῖον τὸ Z· συμπεσεῖται ἄρα ἡ Δ X τῇ E Z. συμπιπτέτω κατὰ τὸ Z, καὶ ἐπεζεύχθω ἡ Γ Z· συμβαλεῖ ἄρα ἡ Γ Z τῇ τομῇ. συμβαλλέτω κατὰ τὸ A, καὶ διὰ τοῦ A τῇ Γ Δ παράλληλος ἤχθω ἡ A B. ἐπεὶ οὖν διάμετρός ἐστιν ἡ E Z καὶ τὴν Γ Δ δίχα τέμνει, καὶ τὰς παραλλήλους αὐτῇ δίχα τεμεῖ· ἴση ἄρα ἐστὶν ἡ A H τῇ H B. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ Γ E τῇ E Δ, καί ἐστιν ἐν τριγώνῳ τῷ Γ Z Δ· ἴση ἄρα καὶ ἡ A H τῇ H K, ὥστε καὶ ἡ H K τῇ H B ἐστὶν ἴση· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ E Z διάμετρος ἔσται.

Prop. XXXIX. *Theor.*

Si duæ rectæ oppositas sectiones contingentes concurrant: quæ per punctum concursus & centrum ducitur, rectam tactus conjungentem bifariam secabit.

ΠΡΟΤΑΣΙΣ λθ'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφάπτωνται συμπίπτουσαι· ἡ διὰ τοῦ κέντρου καὶ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἀγομένη δίχα τέμνει τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν εὐθεῖαν.

ΕΣΤΩ-

ΕΣΤΩΣΑΝ ἀντικείμεναι τομαὶ αἱ Α, Β, καὶ τῶν Α, Β δύο εὐθεῖαι ἤχθωσαν ἐφαπτόμεναι αἱ ΓΕ, ΕΔ, καὶ ἐπεζεύχθω ἡ ΓΔ, καὶ διάμετρος ἤχθω ἡ ΕΖ· λέγω ὅτι ἴση ἐστὶν ἡ ΓΖ τῇ ΖΔ.

Εἰ γὰρ μή, τετμήσθω ἡ ΓΔ δίχα κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΗΕ· ἡ ΗΕ ἄρα διάμετρός ἐστιν. ἔστι δὲ καὶ ἡ ΕΖ· κέντρον ἄρα ἐστὶ τὸ Ε· ἡ ἄρα σύμπτωσις τῶν ἐφαπτομένων ἐπὶ τοῦ κέντρου ἐστὶ τῶν τομῶν, ὅπερ ἄτοπόν ἐστιν. ἡ ΓΖ ἄρα τῇ ΖΔ ἐστὶν ἴση.



SINT oppositæ sectiones A, B, & ipsas A, B duæ rectæ ΓΕ, ΕΔ contingant, & jungatur ΓΔ, & ducatur diameter EZ: dico ΓΖ ipsi ΖΔ esse æqualem.

Si enim non ita sit, secetur ΓΔ bifariam in H, & jungatur HE: ergo [per præc.] HE diameter est. sed & EZ est diameter; punctum igitur E centrum erit: idcircoque rectæ, quæ contingunt sectiones, in centro ipsarum convenient, quod [per 31. 1. huj.] est absurdum. ergo ΓΖ ipsi ΖΔ æqualis est.

ΠΡΟΤΑΣΙΣ μ'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ τῆς συμπτώσεως εὐθεῖα ἀχθῇ παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν συμπίπτουσα ταῖς τομαῖς· αἱ ἀπὸ τῶν συμπτώσεων ἀγόμεναι ἐπὶ μέσον τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν ἐφάψονται τῶν τομῶν.

PROP. XL. *Theor.*

Si duæ rectæ lineæ oppositas sectiones contingentes concurrant, & per punctum concursus recta ducatur, tactus conjungenti parallela sectionibusque occurrens: quæ ab occursibus ejus ad medium tactus conjungentis ducuntur, sectiones ipsas contingent.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι τομαὶ αἱ Α, Β, καὶ τῶν Α, Β δύο εὐθεῖαι ἤχθωσαν ἐφαπτόμεναι αἱ ΓΕ, ΕΔ, καὶ ἐπεζεύχθω ἡ ΓΔ, καὶ διὰ τοῦ Ε τῇ ΓΔ παράλληλος ἤχθω ἡ ΖΕΗ, καὶ τετμήσθω ἡ ΓΔ δίχα κατὰ τὸ Θ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΘ, ΘΗ· λέγω ὅτι αἱ ΖΘ, ΘΗ ἐφάπτονται τῶν τομῶν.

SINT oppositæ sectiones A, B, & ducantur duæ rectæ ΓΕ, ΕΔ contingentes A & B, junganturque ΓΔ, & per E ducatur ZEH ipsi ΓΔ parallela, & secetur ΓΔ bifariam in Θ, & jungantur ZΘ, ΘΗ: dico ZΘ, ΘΗ sectiones contingere.

Ἐπεζεύχθω ἡ ΕΘ· διάμετρος ἄρα ἐστὶν ἡ ΕΘ ὀρθία, πλαγία δὲ συζυγὴς αὐτῇ ἡ διὰ τοῦ κέντρου τῇ ΓΔ παράλληλος ἀγομένη. εἰλήφθω τὸ κέντρον τὸ Χ, καὶ τῇ ΓΔ παράλληλος ἤχθω ἡ ΑΧΒ· αἱ ΘΕ, ΑΒ ἄρα συζυγεῖς εἰσι διάμετροι, καὶ τεταγμένως ἦκται ἡ ΓΘ ἐπὶ τὴν δευτέραν διάμετρον, ἐφάπτεται δὲ τῆς τομῆς ἡ ΓΕ συμπίπτουσα τῇ δευτέρᾳ διαμέτρῳ· τὸ ἄρα ὑπὸ ΕΧΘ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἡμισείας τῆς δευτέρας διαμέτρου. καὶ ἐπεὶ τεταγμένως μὲν ἦκται ἡ ΖΕ, ἐπέζευκται δὲ ἡ ΖΘ· διὰ τοῦτο ἐφάπτεται ἡ ΖΘ τῆς Α τομῆς. ὁμοίως δὴ καὶ ἡ ΗΘ ἐφάπτεται τῆς Β τομῆς· αἱ ΖΘ, ΘΗ ἄρα ἐφάπτονται τῶν Α, Β τομῶν.



Ducatur enim EΘ; ergo [per 38. 2. huj.] EΘ recta diameter est, transversa vero ipsi conjugata ea est quæ per centrum ducitur parallela ipsi ΓΔ. sumatur centrum X, & ducatur AXB ipsi ΓΔ parallela: ergo ΘΕ, AB conjugatæ diametri sunt, atque ordinatim applicata est ΓΘ ad secundam diametrum; & ΓΕ sectionem contingit secundæ diametro occurrens: rectangulum igitur EXΘ [per 38. 1. huj.] æquale est quadrato dimidiæ secundæ diametri. & quoniam ZE ordinatim applicatur & jungitur ZΘ; propterea [per 38. 1. huj.] ZΘ contingit sectionem A. similiter & HΘ contingit sectionem B: igitur ZΘ, ΘΗ sectiones A, B contingunt.

ΠΡΟΤΑΣΙΣ μα'.

Ἐὰν ἐν ταῖς ἀντικειμέναις δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, μὴ διὰ τοῦ κέντρου οὖσαι, οὐ τέμνουσιν ἀλλήλας δίχα.

PROP. XLI. *Theor.*

Si in oppositis sectionibus duæ rectæ lineæ se invicem secent, non transeuntes per centrum: sese bifariam non secabunt.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι τομαὶ αἱ Α, Β, καὶ ἐν ταῖς Α, Β δύο εὐθεῖαι τεμνέτωσαν ἀλλήλας αἱ

SINT oppositæ sectiones A, B, in quibus duæ rectæ ΓΒ, ΑΔ, per centrum non transeuntes, se invicem secent in E: dico eas bifariam sese non secare.

Si enim fieri potest, secent sese bifariam, sitque X sectionum centrum, & jungatur EX: ergo [per 37. 2. huj.] EX diameter est. ducatur per X ipsi BΓ parallela XZ: erit [per 37.2.huj.] XZ diameter ipsi EX conjugata. quæ igitur in Z sectionem contingit [ex def.] est parallela ipsi EX. eadem ratione, si ducatur XΘ parallela AΔ, quæ in Θ contingit sectionem ipsi EX est parallela: ergo quæ contingit sectionem in Z parallela est rectæ in Θ contingenti, quod fieri non potest: conveniunt enim inter sese, ut modo demonstratum est [per 31.2. huj.] igitur ΓB, AΔ, per centrum non transeuntes, sese bifariam non secant.



ΓΒ, ΑΔ κατὰ τὸ Ε, μὴ διὰ τοῦ κέντρου οὖσαι· λέγω ὅτι οὐ τέμνουσιν ἀλλήλας δίχα.

Εἰ γὰρ δυνατὸν, τεμνέτωσαν, καὶ τὸ κέντρον τῶν τομῶν ἔστω τὸ Χ, καὶ ἐπεζεύχθω ἡ ΕΧ. διάμετρος ἄρα ἐστὶν ἡ ΕΧ. ἤχθω διὰ τοῦ Χ τῇ ΒΓ παράλληλος ἡ ΧΖ· ἡ ΧΖ ἄρα διάμετρος ἐστι καὶ συζυγὴς τῇ ΕΧ· ἡ ἄρα κατὰ τὸ Ζ ἐφαπτομένη παράλληλός ἐστι τῇ ΕΧ. κατὰ τὰ αὐτὰ δὴ, παραλλήλου ἀχθείσης τῆς ΧΘ τῇ ΑΔ, ἡ κατὰ τὸ Θ ἐφαπτομένη παράλληλός ἐστι τῇ ΕΧ· ὥστε ἡ κατὰ τὸ Ζ ἐφαπτομένη παράλληλός ἐστι τῇ κατὰ τὸ Θ ἐφαπτομένῃ, ὅπερ ἄτοπον· ἐδείχθη γὰρ καὶ συμπίπτουσαι. οὐκ ἄρα αἱ ΓΒ, ΑΔ, μὴ διὰ τοῦ κέντρου οὖσαι, τέμνουσιν ἀλλήλας δίχα.

Prop. XLII. *Theor.*

Si in oppositis sectionibus conjugatis, duæ rectæ lineæ se invicem secent, non transeuntes per centrum: bifariam sese non secabunt.

SINT oppositæ sectiones conjugatæ A, B, Γ, Δ, & in sectionibus A, B, Γ, Δ duæ rectæ EZ, HΘ, non transeuntes per centrum, se invicem secent in K: dico EZ, HΘ sese bifariam non secare.

Si enim fieri potest, secent se bifariam, & sit X sectionum centrum, & ducatur quidem AB parallela ipsi EZ, & ΓΔ ipsi HΘ parallela; & jungatur KX: ergo [per 37. 2. huj.] KX, AB conjugatæ diametri sunt. & similiter XK, ΓΔ sunt conjugatæ diametri; quare [per 30. 1.] recta contingens sectionem in A est parallela rectæ in Γ contingenti *, quod fieri non potest: conveniunt enim, quoniam [per 19. 2. huj.] contingens in Γ sectiones A, B secat, & contingens in A secat ipsas Γ,Δ. ac patet [per 21.2.huj.] earum concursum esse in loco qui est sub angulo AXΓ: igitur EZ, HΘ, per centrum non transeuntes, sese bifariam non secant.

ΠΡΟΤΑΣΙΣ μβʹ.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, μὴ διὰ τοῦ κέντρου οὖσαι· οὐ τέμνουσιν ἀλλήλας δίχα.

ΕΣΤΩΣΑΝ κατὰ συζυγίαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, Γ, Δ, καὶ ἐν ταῖς Α, Β, Γ, Δ τομαῖς δύο εὐθεῖαι τεμνέτωσαν ἀλλήλας αἱ ΕΖ, ΗΘ κατὰ τὸ Κ, μὴ διὰ τοῦ κέντρου οὖσαι· λέγω ὅτι οὐ τέμνουσιν ἀλλήλας δίχα.



Εἰ γὰρ δυνατὸν, τεμνέτωσαν, καὶ τὸ κέντρον τῶν τομῶν ἔστω τὸ Χ, καὶ τῇ μὲν ΕΖ ἤχθω παράλληλος ἡ ΑΒ, τῇ δὲ ΘΗ ἡ ΓΔ, καὶ ἐπεζεύχθω ἡ ΚΧ· αἱ ΚΧ, ΑΒ ἄρα συζυγεῖς εἰσι διάμετροι. ὁμοίως καὶ αἱ ΧΚ, ΓΔ συζυγεῖς εἰσι διάμετροι· ὥστε ἡ κατὰ τὸ Α ἐφαπτομένη τῇ κατὰ τὸ Γ ἐφαπτομένῃ παράλληλός ἐστιν, ὅπερ ἀδύνατον· συμπίπτει γὰρ, ἐπειδὴ ἡ μὲν κατὰ τὸ Γ ἐφαπτομένη τέμνει τὰς Α, Β τομὰς, ἡ δὲ κατὰ τὸ Α τὰς Δ, Γ. καὶ φανερὸν ὅτι ἡ σύμπτωσις αὐτῶν ἐν τῷ ὑπὸ τῆς ΑΧΓ γωνίας τόπῳ ἐστίν· οὐκ ἄρα αἱ ΕΖ, ΗΘ, μὴ διὰ τοῦ κέντρου οὖσαι, τέμνουσιν ἀλλήλας δίχα.

Prop. XLIII. *Theor.*

Si unam oppositarum sectionum conjugatarum recta in duobus punctis secet; & à centro duæ rectæ ducantur, una quidem ad medium rectæ secantis, altera vero ipsi parallela: erunt oppositarum sectionum conjugatæ diametri.

ΠΡΟΤΑΣΙΣ μγʹ.

Ἐὰν μίαν τῶν κατὰ συζυγίαν ἀντικειμένων εὐθεῖα τέμνῃ κατὰ δύο σημεῖα, διὰ δὲ τοῦ κέντρου ἡ μὲν ἐπὶ μέσην τὴν τέμνουσαν ἀχθῇ, ἡ δὲ παρὰ τὴν τεμνομένην· συζυγεῖς ἔσονται διάμετροι τῶν ἀντικειμένων.

* Cum ex definitione diametri conjugatæ [def. prim. 17.] utraque sit parallela ipsi XK.

ΕΣΤΩ-

ΕΣΤΩΣΑΝ κατὰ συζυγίαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, Γ, Δ, καὶ τεμνέτω τὴν Α εὐθεῖά τις κατὰ δύο σημεῖα τὰ Ε, Ζ, καὶ τετμήσθω δίχα ἡ ΖΕ τῷ Η, καὶ τὸ κέντρον ἔστω τὸ Χ, καὶ ἐπεζεύχθω ἡ ΧΗ, παράλληλος δὲ ἤχθω τῇ ΕΖ ἡ ΓΧ· λέγω ὅτι αἱ ΑΧ, ΧΓ συζυγεῖς εἰσι διάμετροι.



Ἐπεὶ γὰρ διάμετρός ἐστιν ἡ ΑΧ, καὶ τὴν ΕΖ δίχα τέμνει· ἡ κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ ΕΖ, ὥστε καὶ τῇ ΓΧ. ἐπεὶ οὖν ἀντικείμεναί εἰσι τομαί, καὶ μιᾶς αὐτῶν τῆς Α ἦκται ἐφαπτομένη κατὰ τὸ Α, ἀπὸ δὲ τοῦ κέντρου τοῦ Χ ἡ μὲν ἐπὶ τὴν ἁφὴν ἐπιζεύγνυται ἡ ΧΑ, ἡ δὲ παρὰ τὴν ἐφαπτομένην ἦκται ἡ ΓΧ· αἱ ΧΑ, ΓΧ ἄρα συζυγεῖς εἰσι διάμετροι· τοῦτο γὰρ προδέδεικται.

SINT oppositæ sectiones conjugatæ A, B, Γ, Δ; & sectionem A quædam recta secet in duobus punctis E, Z, & Z E bifariam dividatur in H; sit autem X centrum; jungaturque X H, & Γ X ipsi E Z parallela ducatur: dico A X, X Γ conjugatas diametros esse.

Quoniam enim A X diameter est & E Z bifariam secat: quæ in A contingit sectionem parallela est [per 5. 2.huj.] ipsi E Z; quare & ipsi Γ X. quoniam igitur oppositæ sectiones sunt, & unam ipsarum A quædam recta in A contingit; à centro vero X ducuntur duæ rectæ, una quidem X A ad tactum, altera vero Γ X contingenti parallela: erunt X A, Γ X conjugatæ diametri: hoc enim superius [per 20. 2. huj.] demonstratum est.

ΠΡΟΤΑΣΙΣ μδʹ.

Τῆς δοθείσης κώνου τομῆς τὴν διάμετρον εὑρεῖν.

ΕΣΤΩ ἡ δοθεῖσα κώνου τομή, ἐφ' ἧς τὰ Α, Β, Γ, Δ, Ε· δεῖ δὴ αὐτῆς τὴν διάμετρον εὑρεῖν.

Γεγονέτω, καὶ ἔστω ἡ ΓΘΖ· ἀχθεισῶν δὴ τεταγμένως τῶν ΔΖ, ΕΘ καὶ ἐκβληθεισῶν, ἔσται ἴση ἡ μὲν ΔΖ τῇ ΖΒ, ἡ δὲ ΕΘ τῇ ΘΑ. ἐὰν οὖν τάξωμεν τὰς ΒΔ, ΕΑ θέσει οὔσας παραλλήλους, ἔσται δοθέντα τὰ Θ, Ζ σημεῖα, ὥστε θέσει ἔσται ἡ ΖΘΓ.



Συντεθήσεται δὴ οὕτως. Ἔστω ἡ δοθεῖσα κώνου τομή, ἐφ' ἧς τὰ Α, Β, Γ, Δ, Ε σημεῖα, καὶ ἤχθωσαν παράλληλοι αἱ ΒΔ, ΑΕ, καὶ τετμήσθωσαν δίχα κατὰ τὰ Ζ, Θ, καὶ ἐπιζευχθεῖσα ἡ ΖΘ διάμετρος ἔσται τῆς τομῆς. τῷ δὲ αὐτῷ τρόπῳ καὶ ἀπείρους εὑρήσομεν διαμέτρους.

Prop. XLIV. *Probl.*

Datæ coni sectionis diametrum invenire.

SIT data coni sectio in qua puncta A, B, Γ, Δ, E; oportet ipsius diametrum invenire.

Factum sit, & diameter sit Γ Θ Z: ductis ideo ordinatim applicatis Δ Z, E Θ & productis; erit Δ Z æqualis Z B, & E Θ ipsi Θ A. si igitur ordinemus B Δ, E A, ut sint positione parallelæ: data erunt puncta Θ, Z; quare & Z Θ Γ positione data erit.

Componetur itaque in hunc modum. Sit data coni sectio in qua A, B, Γ, Δ, E puncta, ducanturque B Δ, A E inter se parallelæ, & in punctis Z, Θ bifariam dividantur: juncta igitur Z Θ diameter erit sectionis. eâdem ratione & infinitas diametros inveniemus.

ΠΡΟΤΑΣΙΣ μεʹ.

Τῆς δοθείσης ἐλλείψεως ἢ ὑπερβολῆς τὸ κέντρον εὑρεῖν.

ΤΟΥΤΟ δὴ φανερόν. Ἐὰν γὰρ διαχθῶσι δύο διάμετροι τῆς τομῆς αἱ ΑΒ, ΓΔ, τὸ σημεῖον, καθ' ὃ τέμνουσιν ἀλλήλας, ἔσται τῆς τομῆς τὸ κέντρον, ὡς ὑπόκειται.



Prop. XLV. *Probl.*

Datæ ellipseos vel hyperbolæ centrum invenire.

HOC itaque manifeste constat. Si enim duæ sectionis diametri A B, Γ Δ ducantur; punctum in quo conveniunt [ex 25.dat.] erit datum, centrumque sectionis, ut jam [in def.centri] positum est.



Prop. XLVI. *Probl.*

Datæ coni sectionis axem invenire.

SIT coni sectio data primum PARABOLA, in qua puncta Z, Γ, E: itaque oportet ipsius axem invenire.

Ducatur enim diameter A B. & si quidem A B sit axis, factum erit quod proponebatur. sin minus, ponatur factum, & sit axis Γ Δ: ergo [per cor. 51. 1.huj.] axis Γ Δ ipsi A B est parallelus, & quæ ad ipsam ducuntur perpendiculares bifariam dividit. si igitur ordinemus E Z perpendicularem ad A B, erit ea [per 26. dat.] positione data, & idcirco E Δ æqualis Δ Z: quare [per 2.dat.] punctum Δ datum erit: dato igitur Δ puncto, & ductâ Δ Γ ipsi A B positione datæ parallelâ, erit [per 29.dat.] & ipsa Δ Γ positione data.

Componetur autem in hunc modum. Sit data sectio Parabola, in qua puncta Z, A, E, ducaturque [per 44.2.huj.] diameter A B, & [per 11. 1.] B E ad ipsam perpendicularis, quæ ad Z producatur. si ergo E B sit æqualis B Z, constat A B axem esse. sin minus, [per 10. 1.] dividatur E Z in Δ bifariam, & [per 31. 1.] ipsi A B parallela ducatur Γ Δ. patet Γ Δ esse sectionis axem; est enim diametro parallela, adeoque [per cor. 51. 1. huj.] diameter est, & rectam E Z bifariam & ad rectos angulos secat: datæ igitur parabolæ axis inventus est Γ Δ.



Et patet unicum esse parabolæ axem. nam si alius axis sit, ut A B, erit hic ipsi Γ Δ parallelus; & secabit E Z, idque bifariam: ergo B E est æqualis B Z, quod fieri non potest.

ΠΡΟΤΑΣΙΣ μς'.

Τῆς δοθείσης κώνου τομῆς τὸν ἄξονα εὑρεῖν.

ΕΣΤΩ ἡ δοθεῖσα κώνου τομὴ πρότερον παραβολὴ, ἐφ' ἧς τὰ Z, Γ, E· δεῖ δὴ αὐτῆς τὸν ἄξονα εὑρεῖν.

Ηχθω γὰρ αὐτῆς διάμετρος ἡ A B. εἰ μὲν οὖν ἡ A B ἄξων ἐστὶ, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν· εἰ δὲ οὔ, γεγονέτω, καὶ ἔστω ἄξων ὁ Γ Δ· ὁ Γ Δ ἄρα ἄξων παράλληλός ἐστι τῇ A B, καὶ τὰς ἀγομένας ἐπ' αὐτὴν καθέτους δίχα τέμνει. ἐὰν οὖν τάξω τὴν E Z κάθετον ἐπὶ τὴν A B, ἔσται θέσει καὶ διὰ τοῦτο ἴση ἐστὶν ἡ E Δ τῇ Δ Z· δοθὲν ἄρα ἐστὶ τὸ Δ. δεδομένου ἄρα τοῦ Δ, παρὰ θέσει τὴν A B ἦκται ἡ Γ Δ, θέσει ἄρα ἐστὶν ἡ Γ Δ.

Συντεθήσεται δὲ οὕτως. Εστω ἡ δοθεῖσα παραβολὴ, ἐφ' ἧς τὰ Z, A, E, καὶ ἤχθω αὐτῆς διάμετρος ἡ A B, καὶ ἐπ' αὐτὴν κάθετος ἤχθω ἡ B E, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Z. εἰ μὲν οὖν ἴση ἐστὶν ἡ E B τῇ B Z, φανερὸν ὅτι ἡ A B ἄξων ἐστίν. εἰ δὲ οὔ, τετμήσθω ἡ E Z δίχα τῷ Δ, καὶ τῇ A B παράλληλος ἤχθω ἡ Γ Δ· φανερὸν δὴ ὅτι ἡ Γ Δ ἄξων ἐστὶ τῆς τομῆς, παράλληλος γὰρ οὖσα τῇ διαμέτρῳ, τουτέστι διάμετρος οὖσα, τὴν E Z δίχα τε καὶ πρὸς ὀρθὰς τέμνει· τῆς ἄρα δοθείσης παραβολῆς ὁ ἄξων εὕρηται ὁ Γ Δ.

Καὶ φανερὸν, ὅτι εἷς ἄξων ἐστὶ τῆς παραβολῆς. εἰ γὰρ ἄλλος ἔσται, ὡς ὁ A B, ἔσται τῇ Γ Δ παράλληλος, καὶ τὴν E Z τέμνει, ὥστε καὶ δίχα· ἴση ἄρα ἐστὶν ἡ B E τῇ B Z, ὅπερ ἄτοπον.

Prop. XLVII. *Probl.*

Datæ hyperbolæ vel ellipseos axem invenire.

SIT HYPERBOLA, vel ELLIPSIS A B Γ: oportet igitur ipsius axem invenire.

Pone jam inventum, & sit K Δ, centrum vero sectionis sit K: ergo K Δ rectas ad ipsam ordinatim applicatas bifariam & ad rectos angulos secat. ducatur perpendicularis Γ Δ A, & jungantur K A, K Γ. quoniam igitur Γ Δ æqualis est Δ A; ergo & [per 4.1.] Γ K ipsi K A est æqualis. ergo, si punctum Γ datum sit, erit Γ K data: adeoque circulus centro K & intervallo Γ K descriptus etiam per ipsum A transibit, & [per 6. def. dat.] erit positione datus.



ΠΡΟΤΑΣΙΣ μζ'.

Τῆς δοθείσης ὑπερβολῆς ἢ ἐλλείψεως τὸν ἄξονα εὑρεῖν.



ΕΣΤΩ ΥΠΕΡΒΟΛΗ ἢ ΕΛΛΕΙΨΙΣ ἡ A B Γ· δεῖ δὴ αὐτῆς τὸν ἄξονα εὑρεῖν.

Εὑρήσθω, καὶ ἔστω ὁ K Δ, κέντρον δὲ τῆς τομῆς τὸ K· ἡ ἄρα K Δ τὰς ἐπ' αὐτὴν τεταγμένως καταγομένας δίχα καὶ πρὸς ὀρθὰς τέμνει. ἤχθω κάθετος ἡ Γ Δ A, καὶ ἐπεζεύχθωσαν αἱ K A, K Γ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ Γ Δ τῇ Δ A· ἴση ἄρα ἡ Γ K τῇ K A. ἐὰν οὖν τάξωμεν δοθὲν τὸ Γ, ἔσται δοθεῖσα ἡ Γ K· ὥστε ὁ κέντρῳ τῷ K, διαστήματι δὲ τῷ K Γ, κύκλος γραφόμενος, ἥξει καὶ διὰ τοῦ A, καὶ ἔσται θέσει δεδομένος.

δεδομένος. ἔστι δὲ καὶ ἡ ΑΒΓ τομὴ δεδομένη θέσει· δοθὲν ἄρα τὸ Α. ἔστι δὲ καὶ τὸ Γ δοθέν· θέσει ἄρα ἡ ΓΑ. καί ἐστιν ἴση ἡ ΓΔ τῇ ΔΑ· δοθὲν ἄρα ἐστὶ τὸ Δ. ἀλλὰ καὶ τὸ Κ δοθέν· δεδομένη ἄρα τῇ θέσει ἡ ΔΚ.

Συντεθήσεται δὲ οὕτως. Ἔστω ἡ δοθεῖσα ὑπερβολὴ ἢ ἔλλειψις ἡ ΑΒΓ, καὶ εἰλήφθω αὐτῆς κέντρον τὸ Κ, εἰλήφθω δὲ ἐπὶ τῆς τομῆς τυχὸν σημεῖον τὸ Γ, καὶ κέντρῳ τῷ Κ, διαστήματι δὲ τῷ ΚΓ, κύκλος γεγράφθω ὁ ΓΕΑ, καὶ ἐπεζεύχθω ἡ ΓΑ, καὶ δίχα τεμνέσθω κατὰ τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΓ, ΚΑ, καὶ διήχθω ἡ ΚΔ ἐπὶ τὸ Β. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΔ



τῇ ΔΓ, κοινὴ δὲ ἡ ΔΚ· δύο ἄρα αἱ ΓΔ, ΔΚ δυσὶ ταῖς ΑΔ, ΔΚ ἴσαι εἰσί· καὶ βάσις ἄρα ἡ ΚΑ τῇ ΚΓ ἴση· ἡ ἄρα ΚΒΔ τὴν ΑΔΓ δίχα τε καὶ πρὸς ὀρθὰς τέμνει· ἄξων ἄρα ἐστὶν ἡ ΚΔ. ἤχθω διὰ τοῦ Κ τῇ ΓΑ παράλληλος ἡ ΜΚΝ· ἡ ἄρα ΜΝ ἄξων ἐστὶ τῆς τομῆς συζυγὴς τῷ ΒΚ.

est autem [ex hyp.] & sectio ΑΒΓ positione data: ergo [per 25. dat.] & punctum Α. sed & Γ est datum: [assumptum sc.] data igitur [per 26. dat.] positione est ΓΑ. & est ΓΔ ipsi ΔΑ æqualis: ergo [per 7. dat.] punctum Δ datur. sed & ipsum Κ: igitur ΔΚ [per 26. dat.] positione data erit.

Componetur autem hoc modo. Sit data Hyperbola vel Ellipsis, ΑΒΓ, & sumpto [per 45. 2. huj.] Κ ipsius centro, in sectione capiatur quodlibet punctum Γ, & ex centro Κ, intervalloque ΚΓ circulus describatur ΓΕΑ, & jungatur ΓΑ & [per 10. 1.] bifariam secetur in Δ, & jungantur ΚΓ, ΚΑ & ΚΔ quæ ad Β producatur. itaque quoniam ΑΔ est æqualis ΔΓ, & ΔΚ com-



munis: erunt duæ lineæ ΓΔ, ΔΚ duabus ΑΔ, ΔΚ æquales: est igitur [per 4. 1.] basis ΚΑ æqualis basi ΚΓ: quare recta ΚΒΔ ipsam ΑΔΓ bifariam & ad rectos angulos secat: & idcirco [per def 18.] ΚΔ est axis. ducatur per Κ ipsi ΓΑ parallela ΜΚΝ: ergo ΜΝ est axis sectionis ipsi ΒΚ conjugatus.

ΠΡΟΤΑΣΙΣ μη'.

Δεδειγμένων δὲ τούτων, ἑξῆς ἔστω δεῖξαι ὅτι ἄλλοι ἄξονες τῶν αὐτῶν τομῶν οὐκ εἰσίν.

Εἰ γὰρ δυνατὸν, ἔστω καὶ ἕτερος ἄξων ὁ ΚΗ· κατὰ τὰ αὐτὰ δὴ τοῖς ἔμπροσθεν, ἀχθείσης καθέ-



του τῆς ΑΘ, ἴση ἔσται ἡ ΑΘ τῇ ΘΛ· ὥστε καὶ ἡ ΑΚ τῇ ΚΛ ἴση. ἀλλὰ καὶ τῇ ΚΓ· ἴση ἄρα ἡ ΚΛ τῇ ΚΓ, ὅπερ ἄτοπον. ὅτι μὲν οὖν καὶ ὁ ΑΕΓ κύκλος κατ' ἄλλο σημεῖον μεταξὺ τῶν Α, Γ οὐ συμβάλλει τῇ τομῇ, ἐπὶ μὲν τῆς ὑπερβολῆς φανερόν. ἐπὶ δὲ τῆς ἐλλείψεως κάθετοι ἤχθωσαν αἱ ΓΡ, ΛΣ·

Prop. XLVIII. *Theor.*

His autem demonstratis, reliquum est ut ostendamus non esse alios axes ipsarum sectionum.

Si enim fieri potest, sit axis alius ΚΗ: ergo ducta perpendiculari ΑΘ, ex iis quæ su-



pra diximus, erit ΑΘ æqualis ΘΛ: quare [per 4. 1.] & ΑΚ ipsi ΚΛ, ut & ipsi ΚΓ æquatur: sunt igitur ΚΛ, ΚΓ inter se æquales, quod est absurdum. circulum autem ΑΕΓ non occurrere sectioni in alio puncto inter Α, Γ, in hyperbola quidem perspicuum est. in ellipsi vero ducantur perpendiculares ΓΡ, ΛΣ: & quoniam

ΚΓ est æqualis ΚΛ, ex centro enim sunt: erit & quadratum ex ΚΓ quadrato ex ΚΛ æquale. quadrato autem ex ΚΓ æqualia sunt [per 47. 1.] quadrata ex ΓΡ, ΡΚ; & quadrato ex ΚΛ æqualia quadrata ex ΛΣ, ΣΚ: ergo quadrata ex ΓΡ, ΡΚ quadratis ex ΛΣ, ΣΚ æqualia erunt: quo igitur differt quadratum ex ΓΡ à quadrato ex ΛΣ, eo quadratum ex ΣΚ differt à quadrato ex ΚΡ. Rursus quoniam [per 5. 2.] rectangulum ΜΡΝ una cum quadrato ex ΡΚ æquale est quadrato ex ΚΜ; rectangulum autem ΜΣΝ una cum quadrato ex ΣΚ eidem quadrato ex ΚΜ est æquale: erit rectangulum ΜΡΝ una cum quadrato ex ΡΚ æquale rectangulo ΜΣΝ una cum quadrato ex ΣΚ: ergo quo differt quadratum ex ΣΚ à quadrato ex ΚΡ, eo rectangulum ΜΡΝ differt à

ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΚΓ τῇ ΚΛ, (ἐκ κέντρου γάρ·) ἴσον ἐστὶ τὸ ἀπὸ ΚΓ τῷ ἀπὸ ΚΛ. ἀλλὰ τῷ μὲν ἀπὸ ΚΓ ἴσα ἐστὶ τὰ ἀπὸ ΓΡ, ΡΚ, τῷ δὲ ἀπὸ ΚΛ ἴσα τὰ ἀπὸ ΛΣ, ΣΚ· τὰ ἄρα ἀπὸ ΓΡ, ΡΚ τοῖς ἀπὸ ΛΣ, ΣΚ ἐστὶν ἴσα· ᾧ ἄρα διαφέρει τὸ ἀπὸ ΓΡ τοῦ ἀπὸ ΛΣ, τούτῳ διαφέρει τὸ ἀπὸ ΣΚ τοῦ ἀπὸ ΚΡ. Πάλιν ἐπειδὴ τὸ ὑπὸ ΜΡΝ μετὰ τοῦ ἀπὸ ΡΚ ἴσον ἐστὶ τῷ ἀπὸ ΚΜ, καὶ τὸ ὑπὸ ΜΣΝ μετὰ τοῦ ἀπὸ ΣΚ ἴσον τῷ ἀπὸ ΚΜ· τὸ ἄρα ὑπὸ ΜΡΝ μετὰ τοῦ ἀπὸ ΡΚ ἴσον ἐστὶ τῷ ὑπὸ ΜΣΝ μετὰ τοῦ ἀπὸ ΣΚ· ᾧ ἄρα διαφέρει τὸ ἀπὸ ΣΚ τοῦ ἀπὸ ΚΡ, τούτῳ διαφέρει τὸ ὑπὸ ΜΡΝ τοῦ ὑπὸ ΜΣΝ. ἐδείχθη δὲ ὅτι ᾧ διαφέρει τὸ ἀπὸ ΣΚ τοῦ ἀπὸ ΚΡ, τούτῳ διαφέρει τὸ ἀπὸ ΓΡ τοῦ ἀπὸ ΛΣ·





rectangulo ΜΣΝ. sed demonstratum est, quo quadratum ex ΣΚ differt à quadrato ex ΚΡ, eo differre quadratum ex ΓΡ à quadrato ex ΛΣ: [a] quo igitur differt quadratum ex ΓΡ à quadrato ex ΣΛ, eo rectangulum ΜΡΝ à rectangulo ΜΣΝ differt. itaque cum ordinatim applicatæ sint ΓΡ, ΛΣ; erit [per 21. 1. huj.] ut quadratum ex ΓΡ ad rectangulum ΜΡΝ ita quadratum ex ΛΣ ad rectangulum ΜΣΝ. demonstratum autem est in utrisque eundem esse excessum: ergo quadratum ex ΓΡ rectangulo ΜΡΝ est æquale, & quadratum ex ΛΣ æquale rectangulo ΜΣΝ. igitur linea ΛΓΜ est circulus *, quod est absurdum; posuimus enim ellipsim esse.

[a] ᾧ ἄρα διαφέρει τὸ ἀπὸ ΓΡ τοῦ ἀπὸ ΣΛ, τούτῳ διαφέρει τὸ ὑπὸ ΜΡΝ τοῦ ὑπὸ ΜΣΝ. καὶ ἐπεὶ κατηγμέναι εἰσὶν αἱ ΓΡ, ΛΣ, ἐστὶν ὡς τὸ ἀπὸ ΓΡ πρὸς τὸ ὑπὸ ΜΡΝ οὕτως τὸ ἀπὸ ΛΣ πρὸς τὸ ὑπὸ ΜΣΝ. ἐδείχθη δὲ καὶ ἐν ἀμφοτέροις ἡ αὐτὴ ὑπεροχή· ἴσον ἄρα τὸ μὲν ἀπὸ ΓΡ τῷ ὑπὸ ΜΡΝ, τὸ δὲ ἀπὸ ΛΣ τῷ ὑπὸ ΜΣΝ· * κύκλος ἄρα ἐστὶν ἡ ΛΓΜ γραμμή, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἔλλειψις.

EUTOCIUS.

[a] Quo igitur differt quadratum ex ΓΡ à quadrato ex ΣΛ, eo rectangulum ΜΡΝ differt à rectangulo ΜΣΝ.] Sint duæ magnitudines æquales ΑΒ, ΓΔ, & dividantur in partes inæquales in punctis Ε, Ζ. dico quo differt ΑΕ à ΖΓ, eo ΕΒ differre à ΖΔ.

Ponatur ipsi ΓΖ æqualis ΑΗ; ergo ΕΗ est differentia magnitudinum ΑΗ, ΑΕ; hoc est ΖΓ, ΑΕ. est enim ΑΗ æqualis ΓΖ. sed & ΑΒ ipsi ΓΔ: reliqua igitur ΗΒ reliquæ ΖΔ est æqualis. quare ΕΗ est differentia ipsarum ΕΒ, ΒΗ, hoc est ipsarum ΕΒ, ΖΔ.

Sed sint quatuor magnitudines ΑΕ, ΕΒ, ΓΖ, ΖΔ, & differat ΑΕ à ΓΖ eo quo ΕΒ differt à ΖΔ. dico utraque simul ΑΕ, ΕΒ utrisque simul ΓΖ, ΖΔ æqualia esse.



Ponatur rursus ΑΗ æqualis ΓΖ: ergo ΕΗ est differentia magnitudinum ΑΕ, ΓΖ. eodem autem differre

[a] Ω ἄρα διαφέρει τὸ ἀπὸ ΓΡ τοῦ ἀπὸ ΣΛ, τούτῳ διαφέρει τὸ ὑπὸ ΜΡΝ τοῦ ὑπὸ ΜΣΝ.] Ἔστωσαν δύο μεγέθη ἴσα τὰ ΑΒ, ΓΔ, καὶ διῃρήσθω εἰς ἄνισα κατὰ τὰ Ε, Ζ. λέγω ὅτι ᾧ διαφέρει τὸ ΑΕ τοῦ ΖΓ, τούτῳ διαφέρει τὸ ΕΒ τοῦ ΖΔ.

Κείσθω τῷ ΓΖ ἴσον τὸ ΑΗ· τὸ ΕΗ ἄρα ὑπεροχή ἐστι τῶν ΑΗ, ΑΕ, τουτέστι τῶν ΖΓ, ΑΕ, τὸ γὰρ ΑΗ ἴσον ἐστὶ τῷ ΓΖ· ἀλλὰ καὶ τὸ ΑΒ τῷ ΓΔ· καὶ λοιπὸν ἄρα τὸ ΗΒ τῷ ΖΔ ἐστὶν ἴσον· ὥστε τὸ ΕΗ ὑπεροχή ἐστι τῶν ΕΒ, ΒΗ, ἤτοι τῶν ΕΒ, ΖΔ.

Ἀλλὰ δὴ ἔστωσαν τέσσαρα μεγέθη τὰ ΑΕ, ΕΒ, ΓΖ, ΖΔ, καὶ τὸ ΑΕ τοῦ ΓΖ διαφερέτω ᾧ διαφέρει τὸ ΕΒ τοῦ ΖΔ. λέγω ὅτι συναμφότερα τὰ ΑΕ, ΕΒ συναμφοτέροις τοῖς ΓΖ, ΖΔ ἐστὶν ἴσα.

Κείσθω πάλιν τῷ ΓΖ ἴσον τὸ ΑΗ· τὸ ΕΗ ἄρα ὑπεροχή ἐστι τῶν ΑΕ, ΓΖ. τῷ δὲ αὐτῷ διαφέρειν ὑπόκειται ἀλλή-

* Per Lemma II. Pappi ad librum primum.

λοις

λοις τὰ Α Ε, Γ Ζ καὶ τὰ Ε Β, Ζ Δ· ἴσον ἄρα τὸ Η Β τῷ Ζ Δ. ἀλλὰ καὶ τὸ Α Η τῷ Γ Ζ· τὸ Α Β ἄρα τῷ Γ Δ ἐστὶν ἴσον. Φανερὸν δὲ ὅτι, ἐὰν τὸ πρῶτον δευτέρου ὑπερέχῃ τινὶ καὶ τὸ τρίτον τετάρτου ὑπερέχῃ τῷ αὐτῷ, τὸ πρῶτον καὶ τὸ τέταρτον ἴσα ἐστὶ τῷ δευτέρῳ καὶ τῷ τρίτῳ, κατὰ τὴν καλουμένην ἀριθμητικὴν μεσότητα. ἐὰν γὰρ, τούτων ὑποκειμένων, ὑπάρχῃ ὡς τὸ πρῶτον πρὸς τὸ τρίτον οὕτως τὸ δεύτερον πρὸς τὸ τέταρτον, ἴσον ἔσται τὸ μὲν πρῶτον τῷ τρίτῳ, τὸ δὲ δεύτερον τῷ τετάρτῳ. δυνατὸν δὲ ἐστὶ ἄλλως τοῦτο δειχθῆναι, διὰ τὸ δεδεῖχθαι ἐν τῷ εἰκοστῷ πέμπτῳ θεωρήματι τοῦ πέμπτου βιβλίου τῆς Εὐκλείδου στοιχειώσεως, ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ πρῶτον καὶ τὸ τέταρτον δύο τῶν λοιπῶν μείζονα ἔσται.

ΠΡΟΤΑΣΙΣ μθ'.

Κώνου τομῆς δοθείσης, καὶ σημείου μὴ ἐντὸς τῆς τομῆς· ἀγαγεῖν ἀπὸ τοῦ σημείου εὐθεῖαν καθ' ἓν ἐπιψαύουσαν τῆς τομῆς.

ΕΣΤΩ ἡ δοθεῖσα κώνου τομὴ πρότερον Παραβολὴ, ἧς ἄξων ἡ Β Δ· δεῖ δὲ ἀπὸ τοῦ δοθέντος σημείου, ὃ μή ἐστιν ἐντὸς τῆς τομῆς, ἀγαγεῖν εὐθεῖαν ὡς πρόκειται.

Τὸ δὴ δοθὲν σημεῖον, ἤτοι ἐπὶ τῆς γραμμῆς ἐστιν, ἢ ἐπὶ τοῦ ἄξονος, ἢ ἐν τῷ λοιπῷ ἐκτὸς τόπῳ.

Ἔστω οὖν ἐπὶ τῆς γραμμῆς, καὶ ἔστω τὸ Α· καὶ γεγονέτω, καὶ ἔστω ἡ Α Ε, καὶ κάθετος ἤχθω ἡ Α Δ· ἔσται δὴ θέσει, καὶ ἴση ἐστὶν ἡ Β Ε τῇ Β Δ. καί ἐστι δοθεῖσα ἡ Β Δ· δοθεῖσα ἄρα ἐστὶ καὶ ἡ Β Ε. καί ἐστι τὸ Β δοθέν· δοθὲν ἄρα καὶ τὸ Ε. ἀλλὰ καὶ τὸ Α· θέσει ἄρα ἡ Α Ε.



Συντεθήσεται δὴ οὕτως. ἤχθω ἀπὸ τοῦ Α κάθετος ἡ Α Δ, καὶ κείσθω τῇ Β Δ ἴση ἡ Β Ε, καὶ ἐπεζεύχθω ἡ Α Ε· φανερὸν δὴ ὅτι ἐφάπτεται τῆς τομῆς ἡ Α Ε.

ΕΣΤΩ πάλιν τὸ δοθὲν σημεῖον ἐπὶ τοῦ ἄξονος τὸ Ε· καὶ γεγονέτω, καὶ ἤχθω ἐφαπτομένη ἡ Α Ε, καὶ κάθετος ἤχθω ἡ Α Δ· ἴση ἄρα ἐστὶν ἡ Β Ε τῇ Β Δ. καὶ δοθεῖσα ἡ Β Ε· δοθεῖσα ἄρα καὶ ἡ Β Δ. καί ἐστι δοθὲν τὸ Β· δοθὲν ἄρα καὶ τὸ Δ. καί ἐστιν ὀρθὴ ἡ Δ Α· θέσει ἄρα ἡ Δ Α· δοθὲν ἄρα τὸ Α. ἀλλὰ καὶ τὸ Ε· θέσει ἄρα ἡ Α Ε.

Συντεθήσεται δὴ οὕτως. κείσθω τῇ Β Ε ἴση ἡ Β Δ, καὶ ἀπὸ τοῦ Δ τῇ Ε Δ ὀρθὴ ἡ Δ Α, καὶ ἐπεζεύχθω ἡ Α Ε· φανερὸν δὴ ὅτι ἐφάπτεται ἡ Α Ε. φανερὸν δὲ καὶ, ἐὰν δοθὲν σημεῖον τὸ αὐτὸ ᾖ τῷ Β, ὅτι ἡ ἀπὸ τοῦ Β ὀρθὴ ἀγομένη ἐφάπτεται τῆς τομῆς.

ΕΣΤΩ δὴ τὸ δοθὲν σημεῖον τὸ Γ· καὶ γεγονέτω, καὶ ἔστω ἡ Γ Α, καὶ διὰ τοῦ Γ τῷ ἄξονι, τουτέστι τῇ Β Δ, παράλληλος ἤχθω ἡ Γ Ζ· θέσει ἄρα ἐστὶν ἡ Γ Ζ. καὶ ἀπὸ τοῦ Α ἐπὶ τὴν Γ Ζ τεταγμένως ἤχθω ἡ Α Ζ· ἔσται δὴ ἴση ἡ Γ Η τῇ Ζ Η· καί ἐστι δοθὲν τὸ Η· δοθὲν ἄρα καὶ τὸ Ζ. καὶ ἀνῆκται

ſupponuntur A E, Γ Z, & E B, Z Δ: æquales igitur ſunt H B, Z Δ. ſed eſt A H ipſi Γ Z æqualis: ergo A B ipſi Γ Δ æqualis erit. Perſpicuum autem eſt, ſi prima excedat ſecundam magnitudine aliqua, & eadem magnitudine tertia quartam excedat: primam & quartam ſecundæ & tertiæ æquales eſſe, juxta arithmeticam proportionem. Etenim ſi, his poſitis, ſit ut prima ad tertiam ita ſecunda ad quartam: prima quidem tertiæ æqualis erit: ſecunda vero quartæ. poteſt etiam hoc aliter demonſtrari, ex eo quod in vigeſimo quinto theoremate quinti libri elementorum *Euclidis* demonſtratum eſt, nempe, ſi quatuor magnitudines proportionales fuerint, primam & quartam reliquis duabus majores eſſe.

Prop. XLIX. *Probl.*

Data coni ſectione, & puncto non intra ſectionem dato; ab eo rectam ducere quæ ſectionem contingat.

SIT data coni ſectio primum Parabola, cujus axis B Δ: oportet vero à puncto non intra ſectionem dato rectam ducere, ut ante propoſitum eſt.

Itaque datum punctum vel eſt in linea parabolica, vel in axe, vel in loco quod extra relinquitur.

Sit primum in ipſa linea curva, ſitque A. puta factum, & ſit A E, ducaturque perpendicularis A Δ, quæ [per 30.dat.] poſitione data erit, & erit [per 35.1.huj.] B E æqualis B Δ. at B Δ eſt data: data igitur eſt B E. eſtque punctum B datum: ergo & punctum E. ſed datum quoque eſt A punctum: recta igitur A E [per 26. dat.] poſitione data erit.

Componetur autem in hunc modum. Ducatur ex puncto A perpendicularis A Δ, ponaturque B E ipſi B Δ æqualis, & jungatur A E: patet itaque [per 35. 1. huj.] A E ſectionem contingere.

SIT rurſus punctum E in axe datum. factum ſit, & ducatur recta A E ſectionem contingens, & perpendicularis ducatur A Δ: ergo [per 35. 1. huj.] B E eſt æqualis B Δ. & data eſt B E: igitur & B Δ. at datum eſt B punctum; ergo Δ datum erit. ſed Δ A eſt normalis, adeoque [per 30.dat.] poſitione datur; igitur & punctum A datum eſt. ſed & E datum: igitur A E [per 26.dat.] datur poſitione.

Componetur itaque in hunc modum. Ponatur ipſi B E æqualis B Δ, & à puncto Δ ducatur Δ A ipſi E Δ normalis, jungaturque A E: manifeſtum igitur eſt [per 35. 1. huj.] rectam A E contingere ſectionem. conſtat etiam, ſi datum punctum ſit idem quod B, normalem ab eo ductam ſectionem ipſam contingere.

SIT datum punctum Γ: & factum jam ſit, ſitque Γ A contingens, & per Γ ducatur Γ Z parallela axi, hoc eſt ipſi B Δ: ergo [per 28.dat.] Γ Z poſitione data eſt. à puncto A ad Γ Z ordinatim applicetur A Z: eritque [per 35. 1.huj.] Γ H æqualis Z H. & H [per 25.dat.] eſt datum: datum igitur erit & Z. ordinatim autem applicatur

Z A,

ZA, sive parallela est rectæ in H sectionem contingenti: data igitur est [per 28.dat.] ZA positione, & idcirco [per 25.dat.] punctum A datum. sed & [ex hyp.] punctum Γ: ergo [per 26.dat.] ΓA positione data erit.

Componetur autem hoc modo. Ducatur [per 31. 1.] per Γ ipsi BΔ parallela ΓZ: ponaturque ZH æqualis ΓH, & rectæ in H contingenti sectionem [per modo dicta ductæ] parallela ducatur ZA, & jungatur AΓ: perspicuum igitur est illam problema conficere.



ἡ ZA τεταγμένως, τουτέστι παράλληλος τῇ κατὰ τὸ H ἐφαπτομένῃ· θέσει ἄρα ἐστὶν ἡ ZA· δοθὲν ἄρα καὶ τὸ A. ἀλλὰ καὶ τὸ Γ· θέσει ἄρα ἐστὶν ἡ ΓA.

Συντεθήσεται δὲ οὕτως. ἤχθω διὰ τοῦ Γ παράλληλος τῇ BΔ ἡ ΓZ, καὶ κείσθω τῇ ΓH ἡ ZH ἴση, καὶ τῇ κατὰ τὸ H ἐφαπτομένῃ παράλληλος ἤχθω ἡ ZA, καὶ ἐπεζεύχθω ἡ AΓ· φανερὸν δὴ ὅτι ποιήσει τὸ πρόβλημα.

SIT rursus Hyperbola, cujus axis ΓBΔ, centrum Θ, & asymptoti ΘE, ΘZ: punctum autem datum, vel in sectione erit, vel in axe, vel intra angulum EΘZ, vel in loco qui deinceps est, vel in una asymptotôn continentium sectionem, vel in loco intermedio inter rectas continentes angulum ad verticem anguli ZΘE.

ΕΣΤΩ πάλιν Ὑπερβολή, ἧς ἄξων ἡ ΓBΔ, κέντρον δὲ τὸ Θ, ἀσύμπτωτοι δὲ αἱ ΘE, ΘZ· τὸ δὲ διδόμενον σημεῖον ἤτοι ἐπὶ τῆς τομῆς δοθήσεται, ἢ ἐπὶ τοῦ ἄξονος, ἢ ἐντὸς τῆς ὑπὸ τῶν EΘZ γωνίας, ἢ ἐν τῷ ἐφεξῆς τόπῳ, ἢ ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων τῶν περιεχουσῶν τὴν τομήν, ἢ ἐν τῷ μεταξὺ τῶν περιεχουσῶν τὴν κατὰ κορυφὴν τῆς ὑπὸ ZΘE γωνίας.

Sit primum in sectione, ut A: & factum sit, & AH sectionem contingat, ducaturque perpendicularis AΔ, & BΓ sit transversum figuræ latus: erit itaque [per 36. 1.huj.] ut ΓΔ ad ΔB ita ΓH ad HB. sed [per 1. dat.] ratio ΓΔ ad ΔB est data, quia utraque data est: ratio igitur ΓH ad HB erit data. & est data BΓ: quare punctum H datum est. sed & ipsum A: ergo [per 26. dat.] AH data erit positione.

Componetur autem sic. Ducatur à puncto A perpendicularis AΔ, & fiat ΓH ad HB sicut ΓΔ ad ΔB, & jungatur AH: patet igitur rectam AH contingere sectionem.



Ἔστω πρότερον ἐπὶ τῆς τομῆς, ὡς τὸ A· καὶ γεγονέτω, καὶ ἔστω ἐφαπτομένη ἡ AH, καὶ ἤχθω κάθετος ἡ AΔ, πλαγία δὲ τοῦ εἴδους πλευρὰ ἔστω ἡ BΓ· ἔσται δὴ ὡς ἡ ΓΔ πρὸς ΔB οὕτως ἡ ΓH πρὸς HB. λόγος δὲ τῆς ΓΔ πρὸς ΔB δοθείς, δοθεῖσα γὰρ ἑκατέρα· λόγος ἄρα καὶ τῆς ΓH πρὸς HB δοθείς. καί ἐστι δοθεῖσα ἡ BΓ· δοθὲν ἄρα τὸ H. ἀλλὰ καὶ τὸ A· θέσει ἄρα ἡ AH.

Συντεθήσεται δὲ οὕτως. ἤχθω ἀπὸ τοῦ A κάθετος ἡ AΔ, καὶ τῷ τῆς ΓΔ πρὸς ΔB λόγῳ ὁ αὐτὸς ἔστω ὁ τῆς ΓH πρὸς HB, καὶ ἐπεζεύχθω ἡ AH· φανερὸν δὴ ὅτι ἡ AH ἐφάπτεται τῆς τομῆς.

RURSUS sit datum punctum H in axe: & factum jam sit, ducaturque contingens AH, & AΔ perpendicularis. pari ratione erit [per 36.1. huj.] ut ΓH ad HB ita ΓΔ ad ΔB. & data est ΓB: ergo [per 7. dat.] punctum Δ datum. & est ΔA perpendicularis: quare positione data erit. & est sectio data positione: datum igitur [per 25. dat.] est A punctum. sed & ipsum H: ergo AH positione datur.



ΠΑΛΙΝ δὴ ἔστω τὸ δοθὲν σημεῖον ἐπὶ τοῦ ἄξονος τὸ H· καὶ γεγονέτω, καὶ ἤχθω ἡ AH ἐφαπτομένη, καὶ κάθετος ἤχθω ἡ AΔ· κατὰ τὰ αὐτὰ δὴ ἔσται ὡς ἡ ΓH πρὸς HB οὕτως ἡ ΓΔ πρὸς ΔB. καί ἐστι δοθεῖσα ἡ ΓB· δοθὲν ἄρα τὸ Δ. καί ἐστιν ὀρθὴ ἡ ΔA· θέσει ἄρα ἐστὶν ἡ ΔA. θέσει δὲ καὶ ἡ τομή· δοθὲν ἄρα τὸ A. ἀλλὰ καὶ τὸ H· θέσει ἄρα ἐστὶν ἡ AH.

Componetur autem hoc modo. Ponantur alia eadem, & fiat ratio ΓΔ ad ΔB eadem quæ est ΓH ad HB; & ducta ΔA perpendiculari, jungatur AH: constat igitur [per 34. 1. huj.] ipsam AH problema conficere; & à puncto H rectam aliam duci posse, quæ sectionem ad alteras partes contingat.

Συντεθήσεται δὲ οὕτως. Ὑποκείσθω τὰ μὲν ἄλλα τὰ αὐτά, καὶ τῷ τῆς ΓH πρὸς HB λόγῳ ὁ αὐτὸς πεποιήσθω ὁ τῆς ΓΔ πρὸς ΔB, καὶ ὀρθὴ ἤχθω ἡ ΔA, καὶ ἐπεζεύχθω ἡ AH· φανερὸν δὴ ὅτι ἡ AH ποιεῖ τὸ πρόβλημα, καὶ ὅτι ἀπὸ τοῦ H ἀχθήσεται ἑτέρα ἐφαπτομένη τῆς τομῆς ἐπὶ τὰ ἕτερα μέρη.

IISDEM positis, sit datum punctum K in loco, qui intra angulum sub rectis EΘZ conti-

ΤΩΝ αὐτῶν ὑποκειμένων, ἔστω τὸ δοθὲν σημεῖον, ἐν τῷ ἐντὸς τῆς ὑπὸ τῶν EΘZ γωνίας τόπῳ, τὸ K, καὶ

Κ, καὶ δέον ἔστω ἀπὸ τοῦ Κ ἀγαγεῖν ἐφαπτομένην τῆς τομῆς. γεγονέτω, καὶ ἔστω ἡ Κ Λ, καὶ ἐπιζευχθεῖσα ἡ Κ Θ ἐκβεβλήσθω, καὶ κείσθω τῇ Λ Θ ἴση ἡ Θ Ν· πάντα ἄρα δοθέντα· ἔσται δὴ καὶ ἡ Λ Ν δοθεῖσα. ἤχθω δὲ τεταγμένως ἡ Α Μ ἐπὶ τὴν Μ Ν· ἔσται δὴ καὶ ὡς ἡ Ν Κ πρὸς Κ Λ οὕτως ἡ Μ Ν πρὸς Μ Λ. λόγος δὲ τῆς Ν Κ πρὸς Κ Λ δοθείς· λόγος ἄρα καὶ τῆς Ν Μ πρὸς Μ Λ δοθείς. καὶ ἔστι δοθὲν τὸ Λ· δοθὲν ἄρα ἐστὶ καὶ τὸ Μ. καὶ παρὰ τεταγμένως ἀνῆκται ἡ Μ Α τῇ κατὰ τὸ Λ ἐφαπτομένῃ παράλληλος· θέσει ἄρα ἐστὶν ἡ Μ Α. θέσει δὲ καὶ ἡ Α Λ Β τομή· δοθὲν ἄρα τὸ Α. ἀλλὰ καὶ τὸ Κ δοθέν· δοθεῖσα ἄρα ἡ Α Κ.

Συντεθήσεται δὲ οὕτως. Ὑποκείσθω τὰ μὲν ἄλλα τὰ αὐτά, καὶ τὸ δοθὲν σημεῖον τὸ Κ· καὶ ἐπιζευχθεῖσα ἡ Κ Θ ἐκβεβλήσθω, καὶ κείσθω ἴση τῇ Θ Λ ἡ Θ Ν, καὶ πεποιήσθω ὡς ἡ Ν Κ πρὸς Κ Λ οὕτως ἡ Ν Μ πρὸς Μ Λ, καὶ τῇ κατὰ τὸ Λ ἐφαπτομένῃ παράλληλος ἤχθω ἡ Μ Α, καὶ ἐπεζεύχθω ἡ Κ Α· ἡ Κ Α ἄρα ἐφάπτεται τῆς τομῆς. καὶ φανερὸν ὅτι καὶ ἑτέρα ἀχθήσεται ἀπὸ τοῦ Κ ἐφαπτομένη τῆς τομῆς ἐπὶ τὰ ἕτερα μέρη.

ΤΩΝ αὐτῶν ὑποκειμένων, ἔστω τὸ δοθὲν σημεῖον, ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων τῶν περιεχουσῶν τὴν τομήν, τὸ Ζ· καὶ δέον ἔστω ἀγαγεῖν ἀπὸ τοῦ Ζ ἐφαπτομένην τῆς τομῆς. γεγονέτω, καὶ ἔστω ἡ Ζ Α Ε, καὶ διὰ τοῦ Α τῇ Ε Θ παράλληλος ἤχθω ἡ Α Δ· ἔσται δὴ ἴση ἡ Δ Θ τῇ Δ Ζ, ἐπεὶ καὶ ἡ Ζ Α τῇ Α Ε ἐστὶν ἴση. καὶ δοθεῖσα ἡ Ζ Θ· δοθὲν ἄρα τὸ Δ. καὶ διὰ δεδομένου τοῦ Δ παρὰ θέσει τὴν Ε Θ παράλληλος ἦκται ἡ Δ Α· θέσει ἄρα ἐστὶν ἡ Δ Α. θέσει δὲ καὶ ἡ τομή· δοθὲν ἄρα τὸ Α. ἀλλὰ καὶ τὸ Ζ· θέσει ἄρα ἡ Ζ Α Ε.

Συντεθήσεται δὴ οὕτως. ἔστω ἡ τομὴ ἡ Α Β, καὶ αἱ Ε Θ, Θ Ζ ἀσύμπτωτοι, καὶ τὸ δοθὲν σημεῖον, ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων τῶν περιεχουσῶν τὴν τομήν, τὸ Ζ· καὶ τετμήσθω ἡ Ζ Θ δίχα κατὰ τὸ Δ, καὶ διὰ τοῦ Δ τῇ Θ Ε παράλληλος ἤχθω ἡ Δ Α, καὶ ἐπεζεύχθω ἡ Ζ Α. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ Ζ Δ τῇ Δ Θ, ἴση ἄρα καὶ ἡ Ζ Α τῇ Α Ε. ὥστε διὰ τὰ προδεδειγμένα ἡ Ζ Α ἐφάπτεται τῆς τομῆς.

ΤΩΝ αὐτῶν ὑποκειμένων, ἔστω τὸ δοθὲν σημεῖον ἐν τῷ ὑπὸ τὴν γωνίαν τὴν ἐξῆς τόπῳ τῶν περιεχουσῶν τὴν τομήν, καὶ ἔστω τὸ Κ· δεῖ δὲ ἀπὸ τοῦ Κ ἀγαγεῖν ἐφαπτομένην τῆς τομῆς. γεγονέτω, καὶ ἔστω ἡ Κ Α, καὶ ἐπιζευχθεῖσα ἡ Κ Θ ἐκβεβλήσθω· ἔσται δὴ θέσει. ἐὰν δὴ ἐπὶ τῆς τομῆς ληφθῇ δοθὲν σημεῖον τὸ Γ, καὶ διὰ τοῦ Γ τῇ Κ Θ παράλληλος ἀχθῇ ἡ Γ Δ, ἔσται θέσει. καὶ ἐὰν τμηθῇ ἡ

netur, & oporteat ab eo puncto rectam ducere, quæ sectionem contingat. Ponatur factum, & sit K Λ contingens, jungatur autem K Θ, & producatur ita ut ipsi Λ Θ sit æqualis Θ N: omnia igitur data erunt: quare & ipsa Λ N. ordinatim autem applicetur A M ad M N: & erit [per 36.1. huj.] ut N K ad K Λ ita N M ad M Λ. ratio autem N K ad K Λ est data: data igitur erit & ratio N M ad M Λ. estque punctum Λ datum: ergo [per 27. dat.] & punctum M datur. & ordinatim applicatur M A parallela ei quæ in Λ sectionem contingit: quare [per 28.dat.] & M A datur positione. at positione datur sectio A Λ B: ergo [per 25. dat.] & punctum A. sed & K datur; data igitur [per 26.dat.] erit A K.



Componetur autem hoc modo. Ponantur alia eadem, & sit datum punctum K, junctaque K Θ producatur, & sit Θ N æqualis Θ Λ, & fiat ut N K ad K Λ ita N M ad M Λ, & rectæ in Λ sectionem contingenti, [per cas. 1. in hyperb. inventæ] parallela ducatur M A; & jungatur K A: ergo [per 34.1.huj.] K A contingit sectionem. & manifestum est ab eodem puncto K ad partes oppositas alteram duci posse quæ sectionem contingat.

IISDEM positis, sit punctum datum Z in una asymptoton continentium sectionem, oporteatque à puncto Z ducere rectam quæ sectionem contingat. Ponatur factum esse; & sit contingens Z A E, & per A ducatur A Δ ipsi E Θ parallela: erit igitur [per 2.6.] Δ Θ æqualis Δ Z, quoniam [per 3. 2. huj.] & Z A ipsi A E est æqualis. & [per 26.dat.] data est Z Θ: ergo [per 7. dat.] & punctum Δ datum. data quoque est [per 28.dat.] positione Δ A, quæ nempe per Δ ducta ipsi Θ E positione datæ parallela est; & sectio data est positione: ergo & punctum A datur. sed & Z [ex hyp.] datum: recta igitur Z A E positione data erit.



Componetur autem hoc pacto. Sit sectio A B, cujus asymptoti E Θ, Θ Z, & datum punctum Z sit in una asymptoton sectionem continentium. & secetur [per 10.1.] Z Θ bifariam in Δ, ducaturque [per 30. 1.] per Δ recta Δ A ipsi Θ E parallela, & jungatur Z A. & quoniam Z Δ est æqualis Δ Θ, & Z A [per 2.6. & 9.5.] ipsi A E æqualis erit. quare ex iis, quæ [ad 9.2. huj.] demonstrata sunt, Z A sectionem contingit.

IISDEM positis, sit datum punctum K in loco qui deinceps est angulo sectionem continenti, & oporteat ab ipso K rectam ducere, quæ contingat sectionem. factum sit, & sit K A, junctaque K Θ producatur. erit igitur [per 26. dat.] positione data. si ideo in sectione sumatur punctum Γ, & per Γ ducatur Γ Δ ipsi K Θ parallela; erit [per 28. dat.] Γ Δ positione data. ac si Γ Δ bi-

 fariam

fariam secetur in E, junctaque ΘE producatur; & positione data erit, diameter scilicet ipsi KΘ conjugata. ponatur ΘH æqualis BΘ, & per A ducatur AΛ parallela BH. quoniam igitur KΛ, BH conjugatæ diametri sunt, & AK sectionem contingit, ipsique BH parallela ducta est AΛ: erit [per 38. 1. huj.] KΘΛ æquale quartæ parti figuræ quæ ad BH constituitur; quare & ipsum datum erit. est autem [per 26.dat.] KΘ data: ergo [per 57.dat] & ΘΛ. sed & positione, & est datum punctum Θ: ergo & Λ. & per Λ ducta est ΛA parallela ipsi BH positione datæ: igitur [per 28. dat.] ipsa positione dabitur. sed & sectio etiam datur positione: quare [per 25. dat.] & A punctum. sed & punctum K datur: ergo [per 26.dat.] AK positione data erit.



Componetur autem sic. Ponantur alia eadem, sitque datum punctum K in loco supra descripto: & juncta KΘ producatur, & sumpto in sectione puncto Γ ducatur ΓΔ ipsi KΘ parallela, & ΓΔ bifariam in E secetur, junctaque EΘ producatur, & ipsi BΘ ponatur æqualis ΘH: ergo HB transversa diameter est ipsi KΘΛ conjugata. ponatur vero quartæ parti figuræ quæ est ad BH æquale rectangulum KΘΛ, perque Λ ipsi BH parallela ducatur ΛA, & jungatur KA. patet igitur KA sectionem contingere, per conversam trigesimi octavi theorematis primi libri.

At si datum punctum sit in loco inter ZΘΠ interjecto, problema erit impossibile. recta enim contingens secabit HΘ, & utrique ipsarum ZΘ, ΘΠ occurret; quod est absurdum, ex iis quæ in trigesimo primo theoremate primi libri, & in tertio hujus demonstrata sunt.

Iisdem positis, sit sectio data Ellipsis, datum vero punctum in sectione A; & oporteat ab ipso A ducere rectam quæ sectionem contingat. Ponatur factum; sitque ea recta AH, & ab A ad BΓ axem ordinatim applicetur AΔ: erit igitur [per 47.2.huj.] punctum Δ datum, & [per 36.1.huj.] ut ΓΔ ad ΔB ita erit ΓH ad HB. sed [per 1. dat.] ratio ΓΔ ad ΔB data est: ergo & ratio ΓH ad HB data erit; & idcirco [per 2.dat.] punctum H. sed & A datur: quare & AH erit positione data.



Componetur autem hoc pacto. ducatur perpendicularis AΔ, & ipsius ΓH ad HB ratio eadem fit [per 10.6.] quæ ratio ΓΔ ad ΔB, jungaturque AH: constat igitur [per 34. 1. huj.] AH sectionem contingere, sicut in hyperbola.

Sit rursus datum punctum K, à quo oporteat rectam contingentem ducere. factum sit, & sit ea recta KA, ductaque KAΘ per Θ centrum

ΓΔ δίχα κατὰ τὸ Ε, καὶ ἐπιζευχθεῖσα ἡ ΘΕ ἐκβληθῇ· καὶ ἔσται θέσει, διάμετρος οὖσα συζυγὴς τῇ ΚΘ. κείσθω δὴ τῇ ΒΘ ἴση ἡ ΘΗ, καὶ διὰ τοῦ Α τῇ ΒΗ παράλληλος ἤχθω ἡ ΑΛ· ἔσται δὴ, διὰ τὸ εἶναι τὰς ΚΛ, ΒΗ συζυγεῖς διαμέτρους, καὶ ἐφαπτομένην τὴν ΑΚ, καὶ τὴν ΑΛ ἀχθεῖσαν παρὰ τὴν ΒΗ, τὸ ὑπὸ τῶν ΚΘΛ ἴσον τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ ΒΗ εἴδους· δοθὲν ἄρα τὸ ὑπὸ ΚΘΛ. καί ἐστι δοθεῖσα ἡ ΚΘ, δοθεῖσα ἄρα καὶ ἡ ΘΛ. ἀλλὰ καὶ τῇ θέσει, καί ἐστι δοθὲν τὸ Θ· δοθὲν ἄρα καὶ τὸ Λ. καὶ διὰ τοῦ Λ παρὰ θέσει τὴν ΒΗ ἦκται ἡ ΛΑ, θέσει ἄρα ἡ ΛΑ. θέσει δὲ καὶ ἡ τομή· δοθὲν ἄρα τὸ Α. ἀλλὰ καὶ τὸ Κ· θέσει ἄρα ἡ ΑΚ·

Συντεθήσεται δὲ οὕτως. ὑποκείσθω τὰ μὲν ἄλλα τὰ αὐτὰ, τὸ δὲ δοθὲν σημεῖον τὸ Κ ἐν τῷ προειρημένῳ τόπῳ· καὶ ἐπιζευχθεῖσα ἡ ΚΘ ἐκβεβλήσθω, καὶ εἰλήφθω τι σημεῖον τὸ Γ, καὶ παρὰ τὴν ΚΘ παράλληλος ἤχθω ἡ ΓΔ, καὶ τετμήσθω ἡ ΓΔ δίχα τῷ Ε, καὶ ἐπιζευχθεῖσα ἡ ΕΘ ἐκβεβλήσθω, καὶ τῇ ΒΘ ἴση κείσθω ἡ ΘΗ· ἡ ἄρα ΗΒ πλαγία διάμετρός ἐστι συζυγὴς τῇ ΚΘΛ. κείσθω δὲ τῷ τετάρτῳ τοῦ παρὰ τὴν ΒΗ εἴδους ἴσον τὸ ὑπὸ ΚΘΛ, καὶ διὰ τοῦ Λ τῇ ΒΗ παράλληλος ἤχθω ἡ ΛΑ, καὶ ἐπεζεύχθω ἡ ΚΑ· φανερὸν δὴ ὅτι ἡ ΚΑ ἐφάπτεται τῆς τομῆς, διὰ τὸ ἀντιστροφον τοῦ λή. τοῦ πρώτου βιβλίου.

ΕΑΝ δὲ ἐν τῷ μεταξὺ τόπῳ τῶν ΖΘΠ δοθῇ, ἀδύνατον ἔσται τὸ πρόβλημα. ἡ γὰρ ἐφαπτομένη τεμεῖ τὴν ΗΘ· ὥστε συμπεσεῖται ἑκατέρᾳ τῶν ΖΘ, ΘΠ, ὅπερ ἀδύνατον, διὰ τὰ δεδειγμένα ἐν τῷ λά. τοῦ πρώτου, καὶ ἐν τῷ τρίτῳ τούτου βιβλίου.

ΤΩΝ αὐτῶν ὑποκειμένων, ἔστω ἡ τομὴ ἔλλειψις, τὸ δὲ δοθὲν σημεῖον ἐπὶ τῆς τομῆς τὸ Α· καὶ δέον ἔστω ἀπὸ τοῦ Α ἀγαγεῖν ἐφαπτομένην τῆς τομῆς. γεγονέτω, καὶ ἔστω ἡ ΑΗ, καὶ τεταγμένως ἀπὸ τοῦ Α ἐπὶ τὸν ΒΓ ἄξονα ἤχθω ἡ ΑΔ· ἔσται δὴ δοθὲν τὸ Δ, καὶ ἔσται ὡς ἡ ΓΔ πρὸς ΔΒ οὕτως ἡ ΓΗ πρὸς ΗΒ. καί ἐστι λόγος τῆς ΓΔ πρὸς ΔΒ δοθείς· λόγος ἄρα καὶ τῆς ΓΗ πρὸς ΗΒ δοθείς· δοθὲν ἄρα τὸ Η. ἀλλὰ καὶ τὸ Α· θέσει ἄρα ἐστὶν ἡ ΑΗ.

Συντεθήσεται δὲ οὕτως. κάθετος ἤχθω ἡ ΑΔ, καὶ τῷ τῆς ΓΔ πρὸς ΔΒ λόγῳ ὁ αὐτὸς ἔστω ὁ τῆς ΓΗ πρὸς ΗΒ, καὶ ἐπεζεύχθω ἡ ΑΗ. φανερὸν δὴ ὅτι ἡ ΑΗ ἐφάπτεται, ὥσπερ καὶ ἐπὶ τῆς ὑπερβολῆς.

ΕΣΤΩ δὲ πάλιν τὸ δοθὲν σημεῖον τὸ Κ, καὶ δέον ἔστω ἀγαγεῖν ἐφαπτομένην. γεγονέτω, καὶ ἔστω ἡ ΚΑ, καὶ ἐπιζευχθεῖσα ἡ ΚΑΘ ἐπὶ τὸ Θ κέντρον ἐκβεβλήσθω

ἐκβεβλήσθω ἐπὶ τὸ Ν· ἔσται δὴ θέσει. καὶ ἐὰν ἀχθῇ ἡ ΑΜ τεταγμένως, ἔσται ὡς ἡ ΝΚ πρὸς ΚΛ οὕτως ἡ ΝΜ πρὸς ΜΛ. λόγος δὲ τῆς ΚΝ πρὸς ΚΛ δοθείς· λόγος ἄρα καὶ τῆς ΜΝ πρὸς ΛΜ δοθείς· δοθὲν ἄρα τὸ Μ. καὶ ἀνῆκται ἡ ΜΑ, παράλληλος γάρ ἐστι τῇ κατὰ τὸ Λ ἐφαπτομένῃ· θέσει ἄρα ἡ ΜΑ, δοθὲν ἄρα τὸ Α. ἀλλὰ καὶ τὸ Κ· θέσει ἄρα ἡ ΚΑ. ἡ δὲ σύνθεσις ἡ αὐτὴ τῇ πρὸ αὐτοῦ.



producatur in N: erit igitur ea positione data. & si AM ordinatim applicetur, erit [per 36. 1. huj.] ut NK ad KΛ ita NM ad MΛ. ratio autem KN ad KΛ [per 1. dat.] est data: ergo & data est ratio MN ad ΛM; quare [per 7. dat.] & punctum M datur. & ordinatim applicatur MA, parallela nempe rectæ in Λ contingenti: ergo MA positione datur, & idcirco punctum A. sed & ipsum K est datum: igitur KA positione datur. Compositio autem eadem est quæ supra.

ΠΡΟΤΑΣΙΣ ν'.

Τῆς δοθείσης κώνου τομῆς ἐφαπτομένην ἀγαγεῖν, ἥτις πρὸς τῷ ἄξονι γωνίαν ποιήσει, ἐπὶ ταὐτὰ τῇ τομῇ, ἴσην τῇ δοθείσῃ ὀξείᾳ γωνίᾳ.

ΕΣΤΩ κώνου τομὴ πρότερον Παραβολή, ἧς ἄξων ὁ ΑΒ· δεῖ δὴ ἀγαγεῖν ἐφαπτομένην τῆς τομῆς, ἥτις πρὸς τῷ ΑΒ ἄξονι γωνίαν ποιήσει, ἐπὶ τὰ αὐτὰ τῇ τομῇ, ἴσην τῇ δοθείσῃ ὀξείᾳ. γεγονέτω, καὶ ἔστω ἡ ΓΔ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ ΒΔΓ γωνία. ἤχθω κάθετος ἡ ΒΓ· ἔστι δὴ καὶ ἡ πρὸς τῷ Β δοθεῖσα· λόγος ἄρα τῆς ΔΒ πρὸς ΒΓ δοθείς. τῆς δὲ ΒΔ πρὸς ΒΑ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΑΒ ἄρα πρὸς ΒΓ λόγος ἐστὶ δοθείς. καὶ ἔστι δοθεῖσα ἡ πρὸς τὸ Β γωνία· δοθεῖσα ἄρα καὶ ἡ ὑπὸ ΒΑΓ. καὶ ἔστι πρὸς θέσει τῇ ΒΑ καὶ δοθέντι τῷ Α· θέσει ἄρα ἡ ΓΑ. θέσει δὲ καὶ ἡ τομή· δοθὲν ἄρα τὸ Γ. καὶ ἐφάπτεται ἡ ΓΔ· θέσει ἄρα ἐστὶν ἡ ΓΔ.

Συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως. Ἔστω ἡ δοθεῖσα κώνου τομὴ πρότερον Παραβολή, ἧς ἄξων ἡ ΑΒ, ἡ δὲ δοθεῖσα γωνία ὀξεῖα ἡ ὑπὸ ΕΖΗ· καὶ εἰλήφθω σημεῖον ἐπὶ τῆς ΕΖ τὸ Ε, καὶ κάθετος ἤχθω ἡ ΕΗ, καὶ τετμήσθω δίχα ἡ ΖΗ τῷ Θ, καὶ ἐπεζεύχθω ἡ ΘΕ, καὶ τῇ ὑπὸ τῶν ΗΘΕ γωνίᾳ ἴση συνεστάτω ἡ ὑπὸ τῶν ΒΑΓ, καὶ ἤχθω κάθετος ἡ ΒΓ, καὶ τῇ ΒΑ ἴση κείσθω ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΓΔ· ἐφαπτομένη ἄρα ἐστὶν ἡ ΓΔ τῆς τομῆς. λέγω δὴ ὅτι ἡ ὑπὸ τῶν ΓΔΒ τῇ ὑπὸ τῶν ΕΖΗ ἐστὶν ἴση. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΖΗ πρὸς ΗΘ οὕτως ἡ ΔΒ πρὸς ΒΑ, ἔστι δὲ καὶ ὡς ΘΗ πρὸς ΗΕ οὕτως ἡ ΑΒ πρὸς ΒΓ· δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ ΖΗ πρὸς ΗΕ οὕτως ἡ ΔΒ πρὸς τὴν ΒΓ. καί εἰσιν ὀρθαὶ αἱ πρὸς τοῖς Η, Β γωνίαι· ἴση ἄρα ἐστὶν ἡ Ζ γωνία τῇ Δ γωνίᾳ.

Prop. L. *Probl.*

Datâ coni sectione, contingentem ducere, quæ cum axe, versus partes sectionis, angulum faciat dato angulo acuto æqualem.

SIT coni sectio primum Parabola, cujus axis AB: oporteat itaque rectam ducere quæ sectionem contingat, quæque cum AB faciat angulum ad partes sectionis dato angulo acuto æqualem. Ponatur factum esse, & sit ΓΔ: datus igitur est BΔΓ angulus. ducatur perpendicularis BΓ: est igitur angulus ad B datus; quare [per 40. dat.] data est ratio ΔB ad BΓ. sed [per 35. 1. huj.] ratio ΔB ad BA est data: ratio igitur AB ad BΓ [per 8. dat.] data erit. & datus est angulus qui ad B: ergo & BAΓ angulus est datus. & est ad rectam BA positione datam & ad datum punctum A: igitur ΓA positione dabitur. at sectio data est positione: ergo punctum Γ datum. & ΓΔ sectionem contingit: quare & positione data erit.



Componetur autem problema hoc modo. Sit data coni sectio primum Parabola, cujus axis AB, datus autem angulus acutus EZH, sumptoque in EZ puncto E, ducatur perpendicularis EH, & ZH in Θ bifariam secetur, & jungatur ΘE, & angulo HΘE æqualis constituatur angulus BAΓ; & ducta perpendiculari BΓ ipsi BA ponatur æqualis AΔ, jungaturque ΓΔ: ergo [per 35. 1. huj.] ΓΔ sectionem contingit. dico itaque angulum ΓΔB angulo EZH æqualem esse. quoniam enim [per constr.] est ut ZH ad HΘ ita ΔB ad BA, & est ut ΘH ad HE ita AB ad BΓ: erit ex æquali [per 22. 5.] ut ZH ad HE ita ΔB ad BΓ. sed [per constr.] anguli qui ad H, B recti sunt: angulus igitur Z [per 6. 6.] angulo Δ est æqualis.



SIT sectio Hyperbola, ponaturque factum, & recta ΓΔ sectionem contingat: sumptoque X sectionis centro jungatur ΓX, & ΓE perpendicularis ducatur: ergo data est ratio rectanguli XEΔ ad quadratum ex EΓ; eadem enim est [per 37.1.huj.] quæ transversi lateris ad rectum. ratio autem quadrati ex ΓE ad quadratum ex EΔ est data, quia datus est uterque angulorum ΓΔE, ΔEΓ: quare & rectanguli XEΔ ad quadratum ex EΔ ratio data est, ideoque ratio XE ad EΔ data. sed [per 40.dat.] datur ratio ΓE ad EΔ; quare [per 8. dat.] & ratio XE ad EΓ data est. & angulus qui ad E est datus: ergo [per 2. dat.] & qui ad X. & ad rectam XE positione datam, & ad datum in ea punctum X, ducta est XΓ in dato angulo: ergo & ΓX positione dabitur. data est autem & ipsa sectio positione: quare & Γ punctum. & [per 49. 2.huj.] ducta est ΓΔ contingens: igitur ΓΔ est positione data. ducatur ZX sectionis asymptotos: ergo [per 3. 2. huj.] ΓΔ producta asymptoto occurret. occurrat in Z: erit igitur ZΔE angulus angulo ZXΔ major. & propterea, in compositione problematis, oportebit datum angulum acutum majorem esse quam est dimidius ejus qui ab asymptotis continetur.



Componetur itaque problema hoc modo. Sit data hyperbola, cujus axis quidem AB, asymptotos autem XZ, & datus angulus acutus sit KΘH, qui sit major angulo AXZ: fiatque [per 23.1.] angulo AXZ æqualis angulus KΘΛ, & à puncto A ad rectos angulos ipsi AB ducatur AZ, in HΘ vero sumatur aliquod punctum H, à quo ad ΘK perpendicularis ducatur HK. quoniam igitur angulus ZXA angulo ΛΘK est æqualis, & anguli ad A, K recti sunt; erit [per 4, 6.] ut XA ad AZ ita ΘK ad KΛ. sed [per 8.5.] ΘK ad KΛ majorem rationem habet quam ΘK ad KH: ergo quadratum ex XA ad quadratum ex AZ majorem habet rationem quam quadratum ex ΘK ad quadratum ex KH. ut autem quadratum ex XA ad quadratum ex AZ ita [per 1. 2.huj.] transversum figuræ latus ad rectum: quare transversum figuræ latus ad rectum majorem rationem habet quam quadratum ex ΘK ad quadratum ex KH. itaque si fiat ut quadratum ex XA ad quadratum ex AZ ita aliud quoddam ad quadratum ex KH: erit illud quadrato ex ΘK majus. sit rectangulum MKΘ, & jungatur HM. igitur quoniam quadratum ex MK majus est rectangulo MKΘ; habebit quadratum ex MK ad quadratum ex KH majorem rationem quam rectangulum



ΕΣΤΩ ἡ τομὴ ὑπερβολή, καὶ γεγονέτω, καὶ ἔστω ἐφαπτομένη ἡ ΓΔ, καὶ εἰλήφθω τὸ κέντρον τῆς τομῆς τὸ Χ, καὶ ἐπεζεύχθω ἡ ΓΧ, καὶ κάθετος ἤχθω ἡ ΓΕ· λόγος ἄρα τοῦ ὑπὸ τῶν ΧΕΔ πρὸς τὸ ἀπὸ τῆς ΕΓ δοθείς, ὁ αὐτὸς γάρ ἐστι τῷ τῆς πλαγίας πρὸς τὴν ὀρθίαν. τοῦ δὲ ἀπὸ τῆς ΓΕ πρὸς τὸ ἀπὸ τῆς ΕΔ λόγος ἐστὶ δοθείς, δοθεῖσα γὰρ ἑκατέρα τῶν ὑπὸ ΓΔΕ, ΔΕΓ γωνιῶν· λόγος ἄρα καὶ τοῦ ὑπὸ ΧΕΔ πρὸς τὸ ἀπὸ τῆς ΕΔ δοθείς· ὥστε καὶ τῆς ΧΕ πρὸς ΕΔ λόγος ἐστὶ δοθείς. τῆς δὲ ΓΕ πρὸς τὴν ΕΔ λόγος ἐστὶ δοθείς· ὥστε καὶ τῆς ΧΕ πρὸς ΓΕ λόγος ἐστὶ δοθείς. καὶ δοθεῖσα ἡ πρὸς τὸ Ε· δοθεῖσα ἄρα καὶ ἡ πρὸς τῷ Χ. πρὸς δὲ θέσει εὐθείᾳ τῇ ΧΕ καὶ δοθέντι τῷ Χ διῆκταί τις ἡ ΓΧ ἐν δεδομένῃ γωνίᾳ· θέσει ἄρα ἡ ΓΧ. θέσει δὲ καὶ ἡ τομή· δοθὲν ἄρα τὸ Γ. καὶ διῆκται ἐφαπτομένη ἡ ΓΔ· θέσει ἄρα ἡ ΓΔ. ἤχθω ἀσύμπτωτος τῆς τομῆς ἡ ΖΧ· ἡ ΓΔ ἄρα ἐκβληθεῖσα συμπεσεῖται τῇ ἀσυμπτώτῳ. συμπιπτέτω κατὰ τὸ Ζ· μείζων ἄρα ἐστὶν ἡ ὑπὸ ΖΔΕ γωνία τῆς ὑπὸ ΖΧΔ. δεήσει ἄρα, εἰς τὴν σύνθεσιν, τὴν δεδομένην ὀξεῖαν γωνίαν μείζονα εἶναι τῆς ἡμισείας τῆς περιεχομένης ὑπὸ τῶν ἀσυμπτώτων.

Συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως. Ἔστω ἡ μὲν δοθεῖσα ὑπερβολὴ ἧς ἄξων ΑΒ, ἀσύμπτωτος δὲ ἡ ΧΖ, ἡ δὲ δοθεῖσα γωνία ὀξεῖα, μείζων οὖσα τῆς ὑπὸ τῶν ΑΧΖ, ἡ ὑπὸ ΚΘΗ· καὶ ἔστω τῇ ὑπὸ τῶν ΑΧΖ ἴση ἡ ὑπὸ ΚΘΛ, καὶ ἤχθω ἀπὸ τοῦ Α τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΑΖ, εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς ΗΘ τὸ Η, καὶ ἤχθω ἀπ' αὐτοῦ ἐπὶ τὴν ΘΚ κάθετος ἡ ΗΚ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΖΧΑ τῇ ὑπὸ ΛΘΚ, εἰσὶ δὲ καὶ αἱ πρὸς τοῖς Α, Κ γωνίαι ὀρθαί· ἔστιν ἄρα ὡς ἡ ΧΑ πρὸς ΑΖ οὕτως ἡ ΘΚ πρὸς ΚΛ. ἡ δὲ ΘΚ πρὸς ΚΛ μείζονα λόγον ἔχει ἤπερ ἡ ΘΚ πρὸ ΚΗ· ὥστε καὶ τὸ ἀπὸ ΧΑ πρὸς τὸ ἀπὸ ΑΖ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΘΚ πρὸς τὸ ἀπὸ ΚΗ. ὡς δὲ τὸ ἀπὸ ΧΑ πρὸς τὸ ἀπὸ ΑΖ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν· ἡ πλαγία ἄρα πρὸς τὴν ὀρθίαν μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΘΚ πρὸς τὸ ἀπὸ ΚΗ. ἐὰν δὴ ποιήσωμεν ὡς τὸ ἀπὸ ΧΑ πρὸς τὸ ἀπὸ ΑΖ οὕτως ἄλλο τι πρὸς τὸ ἀπὸ ΚΗ, μεῖζον ἔσται τοῦ ἀπὸ ΘΚ. ἔστω τὸ ὑπὸ ΜΚΘ, καὶ ἐπεζεύχθω ἡ ΗΜ. ἐπεὶ οὖν μεῖζόν ἐστι τὸ ἀπὸ ΜΚ τοῦ ὑπὸ ΜΚΘ· τὸ ἄρα ἀπὸ ΜΚ πρὸς τὸ ἀπὸ ΚΗ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΜΚΘ πρὸς τὸ ἀπὸ ΚΗ.

ΚΗ, τουτέστι τὸ ἀπὸ ΧΑ πρὸς τὸ ἀπὸ ΑΖ. καὶ ἐὰν ποιήσωμεν ὡς τὸ ἀπὸ ΜΚ πρὸς τὸ ἀπὸ ΚΗ οὕτως τὸ ἀπὸ ΧΑ πρὸς ἄλλό τι· ἔσται πρὸς ἔλαττον τοῦ ἀπὸ ΑΖ, καὶ ἡ ἀπὸ τοῦ Χ ἐπὶ τὸ ληφθὲν σημεῖον ἐπιζευγνυμένη εὐθεῖα ὅμοια ποιήσει τρίγωνα· καὶ διὰ τοῦτο μείζων ἐστὶν ἡ ὑπὸ ΖΧΑ τῆς ὑπὸ ΗΜΚ. κείσθω δὴ τῇ ὑπὸ ΗΜΚ ἴση ἡ ὑπὸ ΑΧΓ· ἡ ἄρα ΧΓ τεμεῖ τὴν τομήν. τεμνέτω κατὰ τὸ Γ, καὶ ἀπὸ τοῦ Γ ἐφαπτομένη τῆς τομῆς ἤχθω ἡ ΓΔ, καὶ κάθετος ἡ ΓΕ· ὅμοιον ἄρα ἐστὶ τὸ ΓΧΕ τρίγωνον τῷ ΗΜΚ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ ΧΕ πρὸς τὸ ἀπὸ ΕΓ οὕτω τὸ ἀπὸ ΜΚ πρὸς τὸ ἀπὸ ΚΗ. ἔστι δὲ καὶ ὡς ἡ πλαγία πρὸς τὴν ὀρθίαν οὕτως τό τε ὑπὸ ΧΕΔ πρὸς τὸ ἀπὸ ΕΓ, καὶ τὸ ὑπὸ ΜΚΘ πρὸς τὸ ἀπὸ ΚΗ, καὶ ἀνάπαλιν ὡς τὸ ἀπὸ ΓΕ πρὸς τὸ ὑπὸ ΧΕΔ οὕτως τὸ ἀπὸ ΗΚ πρὸς τὸ ὑπὸ ΜΚΘ· δι' ἴσου ἄρα ὡς τὸ ἀπὸ ΧΕ πρὸς τὸ ὑπὸ ΧΕΔ οὕτως τὸ ἀπὸ ΜΚ πρὸς τὸ ὑπὸ ΜΚΘ· καὶ ὡς ἄρα ἡ ΧΕ πρὸς ΕΔ οὕτως ἡ ΜΚ πρὸς ΚΘ. ἦν δὲ καὶ ὡς ἡ ΓΕ πρὸς ΕΧ οὕτως ἡ ΗΚ πρὸς ΚΜ· δι' ἴσου ἄρα ὡς ἡ ΓΕ πρὸς ΕΔ οὕτως ἡ ΗΚ πρὸς ΚΘ. καί εἰσιν ὀρθαὶ αἱ πρὸς τοῖς Ε, Κ γωνίαι· ἴση ἄρα ἡ πρὸς τῷ Δ γωνία τῇ ὑπὸ ΗΘΚ.

ΕΣΤΩ ἡ τομὴ Ἔλλειψις, ἧς ἄξων ὁ ΑΒ· δεῖ δὲ ἐφαπτομένην ἀγαγεῖν τῆς τομῆς, ἥτις πρὸς τῷ ἄξονι, ἐπὶ ταὐτὰ τῇ τομῇ, ἴσην γωνίαν περιέξει τῇ δοθείσῃ ὀξείᾳ γωνίᾳ. Γεγονέτω, καὶ ἔστω ἡ ΓΔ· δοθεῖσα ἄρα ἐστὶν ἡ ὑπὸ τῶν ΓΔΑ γωνία. ἤχθω κάθετος ἡ ΓΕ· λόγος ἄρα τοῦ ἀπὸ τῆς ΔΕ πρὸς τὸ ἀπὸ ΕΓ δοθείς. ἔστω κέντρον τῆς τομῆς τὸ Χ, καὶ ἐπεζεύχθω ἡ ΓΧ· τοῦ δὴ ἀπὸ τῆς ΓΕ πρὸς τὸ ὑπὸ τῶν ΔΕΧ λόγος ἐστὶ δοθείς, ὁ γὰρ αὐτός ἐστι τῷ τῆς ὀρθίας πρὸς τὴν πλαγίαν· καὶ τοῦ ἀπὸ τῆς ΔΕ ἄρα πρὸς τὸ ὑπὸ τῶν ΔΕΧ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΔΕ ἄρα πρὸς ΕΧ λόγος ἐστὶ δοθείς. τῆς δὲ ΔΕ πρὸς ΕΓ λόγος ἐστὶ δοθείς· καὶ τῆς ΓΕ ἄρα πρὸς ΕΧ λόγος ἐστὶ δοθείς. καὶ ἔστιν ὀρθὴ πρὸς τῷ Ε· δοθεῖσα ἄρα ἡ πρὸς τῷ Χ γωνία. καὶ ἔστι πρὸς θέσει δοθείσῃ καὶ δοθέντι σημείῳ· δοθὲν ἄρα ἐστὶ τὸ Γ σημεῖον. καὶ ἀπὸ δεδομένου τοῦ Γ ἐφαπτομένη ἡ ΓΔ· θέσει ἄρα ἡ ΓΔ.

Συντεθήσεται δὴ πρόβλημα οὕτως. Ἔστω ἡ μὲν δοθεῖσα γωνία ὀξεῖα ἡ ὑπὸ τῶν ΖΗΘ, καὶ εἰλήφθω ἐπὶ τῆς ΖΗ τὸ Ζ, καὶ κάθετος ἤχθω ἡ ΖΘ, καὶ πεποιήσθω ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν οὕτω τὸ ἀπὸ τῆς ΖΘ πρὸς τὸ ὑπὸ τῶν ΗΘΚ, καὶ ἐπεζεύχθω ἡ ΚΖ. ἔστω κέντρον τῆς τομῆς τὸ Χ, καὶ τῇ ὑπὸ τῶν ΗΚΖ γωνίᾳ ἴση συνεστάτω ἡ ὑπὸ τῶν ΑΧΓ, καὶ κάθετος ἤχθω ἡ ΓΕ, καὶ ἤχθω ἐφαπτομένη τῆς τομῆς ἡ ΓΔ· λέγω ὅτι ἡ ΓΔ ποιεῖ τὸ πρόβλημα,

ΜΚΘ ad quadratum ex ΚΗ, hoc est majorem quam quadratum ex ΧΑ ad quadratum ex ΑΖ. ac si fiat ut quadratum ex ΜΚ ad quadratum ex ΚΗ, ita quadratum ex ΧΑ ad aliud quoddam: erit id minus quadrato ex ΑΖ; & recta quæ à Χ ad sumptum punctum ducitur, triangula similia efficiet: ac propterea angulus ΖΧΑ angulo ΗΜΚ erit major. ponatur itaque angulo ΗΜΚ æqualis angulus ΑΧΓ: ergo [per 2.2.huj.] ΧΓ sectionem secabit. secet in Γ, & [per 49.2.huj.] à Γ ducatur ΓΔ sectionem contingens, & ΓΕ ad axem ΑΒ perpendicularis: triangulum igitur ΓΧΕ [per 4. 6.] simile est triangulo ΗΜΚ: quare [per 22. 6.] ut quadratum ex ΧΕ ad quadratum ex ΕΓ ita quadratum ex ΜΚ ad quadratum ex ΚΗ. est autem ut transversum figuræ latus ad rectum ita [per 37. 1.huj.] rectangulum ΧΕΔ ad quadratum ex ΕΓ, & ita [per constr.] rectangulum ΜΚΘ ad quadratum ex ΚΗ, & invertendo ut quadratum ex ΓΕ ad rectangulum ΧΕΔ ita quadratum ex ΗΚ ad rectangulum ΜΚΘ: ex æquali igitur [per 22.5.] ut quadratum ex ΧΕ ad rectangulum ΧΕΔ ita quadratum ex ΜΚ ad rectangulum ΜΚΘ: est igitur [per 1.6.] ut ΧΕ ad ΕΔ ita ΜΚ ad ΚΘ. sed ut ΓΕ ad ΕΧ ita erat [per constr.] ΗΚ ad ΚΜ: quare ex æquali ut ΓΕ ad ΕΔ ita ΗΚ ad ΚΘ. & sunt anguli ad Ε, Κ recti: angulus igitur ad Δ [per 6.6.] angulo ΗΘΚ est æqualis.

Sit sectio Ellipsis cujus axis ΑΒ: & oporteat rectam ducere, quæ sectionem contingat, & cum axe ad partes sectionis faciat angulum dato angulo acuto æqualem. Factum sit, & sit ΓΔ: ergo angulus ΓΔΑ est datus. ducatur perpendicularis ΓΕ: ratio igitur quadrati ex ΔΕ ad quadratum ex ΕΓ [per 4. & 22. 6.] data est. sit sectionis centrum Χ, & jungatur ΓΧ: erit igitur [per 37. 1.huj.] ratio quadrati ex ΓΕ ad rectangulum ΔΕΧ data; eadem enim est quæ ratio recti lateris ad transversum: ergo dabitur [per 8. dat.] ratio quadrati ex ΔΕ ad rectangulum ΔΕΧ, & idcirco [per 1. 6.] ratio ΔΕ ad ΕΧ. ratio autem ΔΕ ad ΕΓ est data: data igitur est & ratio ΓΕ ad ΕΧ. & angulus qui est ad Ε rectus est: ergo [per 41.dat.] datur angulus ad Χ. & est ad rectam positione datam, & ad datum punctum: quare [per 29. & 25. dat.] datum erit punctum Γ; & à dato puncto Γ ducitur ΓΔ sectionem contingens: ergo est positione data recta ΓΔ.



Componetur autem problema hoc modo. Sit datus angulus acutus ΖΗΘ, sumaturque in ΖΗ punctum Ζ, & [per 12. 1.] ΖΘ perpendicularis ducatur, & fiat ut rectum latus ad transversum ita quadratum ex ΖΘ ad rectangulum ΗΘΚ, & jungatur ΚΖ. sit sectionis centrum Χ, & [per 23.1.] angulo ΗΚΖ æqualis constituatur angulus ΑΧΓ, & demittatur perpendicularis ΓΕ, & [per 49.2.huj.] ducatur ΓΔ sectionem contingens: dico rectam ΓΔ conficere problema, hoc est angulum ΓΔΕ angulo ΖΗΘ æqualem esse. quoniam enim [per 4. 6.] ut ΧΕ ad ΕΓ ita ΚΘ ad ΖΘ: erit [per 22. 6.] ut quadratum ex ΧΕ ad quadratum ex ΕΓ ita quadratum ex ΚΘ ad ipsum quadratum ex ΖΘ. est autem ut quadratum ex ΓΕ ad rectangulum ΔΕΧ ita quadratum ex ΖΘ ad rectangulum ΚΘΗ; utraque enim ratio eadem est [per 37. 1. huj. & constr.] quæ recti lateris ad transversum: igitur ex æquali ut quadratum ex ΧΕ ad rectangulum ΧΕΔ ita quadratum ex ΚΘ ad rectangulum ΗΘΚ: ergo [per 1. 6.] ut ΧΕ ad ΕΔ ita est ΚΘ ad ΘΗ. estque [per 4. 6.] ut ΧΕ ad ΕΓ ita ΚΘ ad ΖΘ: ex æquali igitur ut ΔΕ ad ΕΓ ita ΗΘ ad ΖΘ. & circa rectos angulos latera sunt proportionalia: ergo [per 6. 6.] angulus ΓΔΕ angulo ΖΗΘ est æqualis: recta igitur ΓΔ problema conficit.



τουτέστιν ὅτι ἴση ἐστὶν ἡ ὑπὸ τῆς ΓΔΕ γωνία τῇ ὑπὸ τῆς ΖΗΘ. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΧΕ πρὸς ΕΓ οὕτως ἡ ΚΘ πρὸς ΖΘ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΧΕ πρὸς τὸ ἀπὸ τῆς ΕΓ οὕτως τὸ ἀπὸ τῆς ΚΘ πρὸς τὸ ἀπὸ τῆς ΖΘ. ἔστι δὲ καὶ ὡς τὸ ἀπὸ τῆς ΓΕ πρὸς τὸ ὑπὸ τῆς ΔΕΧ οὕτω τὸ ἀπὸ τῆς ΖΘ πρὸς τὸ ὑπὸ τῆς ΚΘΗ, ἑκάτερος λόγος γὰρ ὁ αὐτός ἐστι τῷ τῆς ὀρθίας πρὸς τὴν πλαγίαν· καὶ δι' ἴσου ἄρα ὡς τὸ ἀπὸ ΧΕ πρὸς τὸ ὑπὸ ΧΕΔ οὕτως τὸ ἀπὸ ΚΘ πρὸς τὸ ὑπὸ ΗΘΚ· καὶ ὡς ἄρα ἡ ΧΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΚΘ πρὸς τὴν ΘΗ. ἔστι δὲ καὶ ὡς ἡ ΧΕ πρὸς ΕΓ οὕτως ἡ ΚΘ πρὸς ΖΘ· δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ ΔΕ πρὸς ΕΓ οὕτως ἡ ΗΘ πρὸς τὴν ΖΘ. καὶ περὶ ὀρθὰς γωνίας αἱ πλευραὶ ἀνάλογον· ἡ ἄρα ὑπὸ ΓΔΕ γωνία τῇ ὑπὸ ΖΗΘ γωνίᾳ ἐστὶν ἴση· ἡ ΓΔ ἄρα ποιεῖ τὸ πρόβλημα.

PROP. LI. *Probl.*

Rectam datam coni sectionem contingentem ducere, quæ cum diametro per tactum ducta faciat angulum dato angulo acuto æqualem.

SIT data coni sectio primum Parabola, cujus axis ΑΒ, & datus angulus sit Θ: oportet vero ducere rectam, quæ parabolam contingat, & cum diametro per tactum ductâ contineat angulum æqualem dato angulo Θ. factum sit, & contingens sit ΓΔ, faciens cum diametro ΕΓ per tactum ducta angulum ΕΓΔ angulo Θ æqualem, & ΓΔ axi in puncto Δ occurrat. quoniam igitur [per 46. 1. huj.] ΑΔ est parallela ΕΓ, angulus ΑΔΓ angulo ΕΓΔ est æqualis. & datus est angulus ΕΓΔ; est enim [ex hyp.] æqualis angulo Θ: ergo & ΑΔΓ angulus datus erit.



Componetur itaque hoc modo. Sit parabola cujus axis ΑΒ, & datus angulus Θ. ducatur [per præced.] ΓΔ sectionem contingens, quæ cum axe faciat angulum ΑΔΓ æqualem angulo Θ; & per Γ ducatur ΕΓ ipsi ΑΒ parallela. quoniam igitur angulus Θ angulo ΑΔΓ est æqualis; angulus autem ΑΔΓ est æqualis ipsi ΕΓΔ: ideo angulus Θ angulo ΕΓΔ æqualis erit.

SIT sectio Hyperbola, cujus axis ΑΒ, centrum Ε, & asymptotos ΕΤ; datus autem angulus sit Ω, & ΓΔ sectionem contingat, jungaturque ΓΕ conficiens problema, & ΓΗ perpendicularis ducatur: itaque [datâ sectione] ratio transversi lateris ad rectum data est; igitur & [per 37. 1. huj.] data ratio rectanguli ΕΗΔ ad qua-

ΠΡΟΤΑΣΙΣ να'.

Τῆς δοθείσης κώνου τομῆς ἀγαγεῖν ἐφαπτομένην, ἥτις πρὸς τῇ διὰ τῆς ἀφῆς ἠγμένῃ διαμέτρῳ ἴσην περιέξει γωνίαν τῇ δοθείσῃ ὀξείᾳ.

ΕΣΤΩ ἡ δοθεῖσα κώνου τομὴ πρότερον Παραβολὴ, ἧς ἄξων ὁ ΑΒ, ἡ δὲ δοθεῖσα γωνία ἡ Θ· δεῖ δὴ ἀγαγεῖν τῆς παραβολῆς ἐφαπτομένην, ἥτις μετὰ τῆς ἀπὸ τῆς ἀφῆς διαμέτρου ἴσην περιέξει γωνίαν τῇ πρὸς τῷ Θ. γεγονέτω, καὶ ἔστω ἐφαπτομένη ἡ ΓΔ, ποιοῦσα πρὸς τῇ διὰ τῆς ἀφῆς ἠγμένῃ διαμέτρῳ τῇ ΕΓ τὴν ὑπὸ ΕΓΔ γωνίαν ἴσην τῇ Θ· καὶ συμπιπτέτω ἡ ΓΔ τῷ ἄξονι κατὰ τὸ Δ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΑΔ τῇ ΕΓ· ἡ ὑπὸ ΑΔΓ γωνία τῇ ὑπὸ ΕΓΔ ἴση ἐστί. δοθεῖσα δὲ ἡ ὑπὸ ΕΓΔ, ἴση γάρ ἐστι τῇ Θ· δοθεῖσα ἄρα καὶ ἡ ὑπὸ ΑΔΓ.

Συντεθήσεται δὴ οὕτως. Ἔστω παραβολὴ, ἧς ἄξων ὁ ΑΒ, ἡ δὲ δοθεῖσα γωνία ἡ Θ. ἤχθω ἐφαπτομένη τῆς τομῆς ἡ ΓΔ, ποιοῦσα πρὸς τῷ ἄξονι τὴν ὑπὸ τῆς ΑΔΓ γωνίαν ἴσην τῇ Θ, καὶ διὰ τοῦ Γ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΕΓ. ἐπεὶ οὖν ἡ Θ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΑΔΓ, ἡ δὲ ὑπὸ ΑΔΓ ἴση τῇ ὑπὸ ΕΓΔ· καὶ ἡ Θ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ ΕΓΔ.

ΕΣΤΩ ἡ τομὴ Ὑπερβολὴ, ἧς ἄξων ἡ ΑΒ, κέντρον δὲ τὸ Ε, ἀσύμπτωτος δὲ ἡ ΕΤ, ἡ δὲ δοθεῖσα γωνία ὀξεῖα ἡ Ω, καὶ ἐφαπτομένη ἡ ΓΔ, καὶ ἐπεζεύχθω ἡ ΓΕ ποιοῦσα τὸ πρόβλημα, καὶ ἤχθω κάθετος ἡ ΓΗ· δοθεὶς ἄρα λόγος ἐστὶ τῆς πλαγίας πρὸς τὴν ὀρθίαν· ὥστε καὶ τοῦ ὑπὸ ΕΗΔ πρὸς τὸ ἀπὸ

ἀπὸ ΓΗ. ἐκκείσθω δέ τις εὐθεῖα δεδομένη ἡ ΖΘ, καὶ ἐπ᾽ αὐτῆς γεγράφθω κύκλου τμῆμα δεχόμενον γωνίαν ἴσην τῇ Ω· ἔστιν ἄρα μεῖζον ἡμικυκλίου. καὶ ἀπό τινος σημείου τῶν ἐπὶ τῆς περιφερείας τοῦ Κ ἤχθω κάθετος ἡ ΚΛ, ποιοῦσα τὸν τοῦ ὑπὸ ΖΛΘ πρὸς τὸ ἀπὸ ΛΚ λόγον τὸν αὐτὸν τῷ τῆς πλαγίας πρὸς τὴν ὀρθίαν, καὶ ἐπεζεύχθωσαν αἱ ΖΚ, ΚΘ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ

dratum ex ΓΗ. exponatur recta quævis data ΖΘ, & [per 33.3.] ſuper ipſam circuli portio deſcribatur capiens angulum æqualem angulo Ω; erit igitur ſemicirculo major. & ab aliquo puncto eorum quæ ſunt in circumferentia, nempe Κ, ducatur perpendicularis ΚΛ, faciens rationem rectanguli ΖΛΘ ad quadratum ex ΛΚ, eandem quæ eſt tranſverſi lateris ad rectum, & jungan-





ὑπὸ ΖΚΘ γωνία τῇ ὑπὸ ΕΓΔ· ἀλλὰ καὶ ἔστιν ὡς ἡ πλαγία πρὸς τὴν ὀρθίαν οὕτως τό τε ὑπὸ ΕΗΔ πρὸς τὸ ἀπὸ ΓΗ, καὶ τὸ ὑπὸ ΖΛΘ πρὸς τὸ ἀπὸ ΛΚ· * ὅμοιον ἄρα τὸ ΚΖΛ τρίγωνον τῷ ΓΕΗ τριγώνῳ, καὶ τὸ ΖΘΚ τῷ ΕΔΓ· ὥστε ἴση ἐστὶν ἡ ὑπὸ ΚΖΘ γωνία τῇ ὑπὸ ΓΕΔ.

tur ΖΚ, ΚΘ. quoniam igitur angulus ΖΚΘ eſt æqualis angulo ΕΓΔ; eſt etiam ut tranſverſum latus ad rectum ita [per 37.1. huj.] & rectangulum ΕΗΔ ad quadratum ex ΓΗ, & [ex hyp.] ita rectangulum ΖΛΘ ad quadratum ex ΛΚ: * erit triangulum ΚΖΛ triangulo ΓΕΗ ſimile; & triangulum ΖΘΚ ſimile triangulo ΕΔΓ: quare angulus ΚΖΘ angulo ΓΕΔ eſt æqualis.

Συντεθήσεται δὴ οὕτως. Ἔστω ἡ μὲν δοθεῖσα ὑπερβολὴ ἡ ΑΓ, ἄξων δὲ ὁ ΑΒ, κέντρον δὲ τὸ Ε, ἀσύμπτωτος δὲ ἡ ΕΤ· ἡ δὲ δοθεῖσα ὀξεῖα γωνία ἡ Ω, ὁ δὲ δοθεὶς λόγος τῆς πλαγίας πρὸς τὴν ὀρθίαν ὁ αὐτὸς τῷ τῆς ΨΧ πρὸς ΧΦ, καὶ δίχα τετμήσθω ἡ ΨΦ κατὰ τὸ Υ. ἐκκείσθω δεδομένη εὐθεῖα ἡ ΖΘ, καὶ ἐπ᾽ αὐτῆς γεγράφθω τμῆμα κύκλου μεῖ-

Componetur autem hoc modo. Sit data hyperbola ΑΓ, cujus axis ΑΒ, centrum vero Ε, & aſymptotos ΕΤ: datus autem angulus acutus ſit Ω, & data ratio tranſverſi lateris ad rectum ſit eadem quæ ΨΧ ad ΧΦ, & [per 10. 1.] ΨΦ in Υ bifariam ſecetur. exponatur data recta ΖΘ, & ſuper ipſam circuli portio major ſemicirculo [per 33.3.] deſcribatur, capiens angu-





ζον ἡμικυκλίου δεχόμενον γωνίαν τῇ Ω ἴσην, καὶ ἔστω τὸ ΖΚΘ, καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Ν, καὶ ἀπὸ τοῦ Ν ἐπὶ τὴν ΖΘ κάθετος ἤχθω ἡ ΝΟ, καὶ τετμήσθω ἡ ΝΟ εἰς τὴν τῆς ΥΦ πρὸς ΦΧ λόγον κατὰ τὸ Π, καὶ διὰ τοῦ Π τῇ ΖΘ παράλληλος ἤχθω ἡ ΠΚ, καὶ ἀπὸ τοῦ Κ κάθετος ἤχθω ἡ ΚΛ ἐπὶ τὴν ΖΘ ἐκβληθεῖσαν, καὶ ἐπεζεύχθω-

lum æqualem angulo Ω, ſitque ΖΚΘ; ſumatur autem [per 1. 3.] circuli centrum Ν, à quo ad rectam ΖΘ perpendicularis demittatur ΝΟ, & [per 10. 6.] ΝΟ ſecetur in Π, ita ut ΝΠ ad ΠΟ eandem habeat rationem quam ΥΦ ad ΦΧ, & [per 30. 1.] per Π ipſi ΖΘ parallela ducatur ΠΚ, & à puncto Κ ad ΖΘ productam perpendicularis ΚΛ demittatur, & jungantur ΖΚ, ΚΘ,

* Per converſam Lemmatis 9. *Pappi*: & adhuc plenius per Lem. 3. in librum VI. quod ſane huc pertinere videtur.

producaturque

producaturque ΛΚ ad Μ, & à Ν ad ipsam ducatur ΝΞ perpendicularis: parallela est igitur [per 28. 1.] ΝΞ ipsi ΖΘ, proptereaque ut ΝΠ ad ΠΟ, hoc est ΥΦ ad ΦΧ, ita ΞΚ ad ΚΛ, & antecedentium dupla, ut ΨΦ ad ΦΧ ita [per 3. 3.] ΜΚ ad ΚΛ; componendoque [per 18.5.] ut ΨΧ ad ΧΦ ita ΜΛ ad ΛΚ. sed ut ΜΛ ad ΛΚ ita [per 1.6.] rectangulum ΜΛΚ ad quadratum ex ΛΚ: ut igitur ΨΧ ad ΧΦ ita rectangulum ΜΛΚ ad quadratum ex ΛΚ; hoc est [per 36.3.] rectangulum ΖΛΘ ad quadratum ex ΛΚ. ut autem ΨΧ ad ΧΦ ita [per constr.] transversum latus ad rectum: ergo ut rectangulum ΖΛΘ ad quadratum ex ΛΚ ita transversum latus ad rectum. ducatur à puncto Α recta ΑΤ normalis ipsi ΑΒ. & quoniam [per 1. 2. huj.] ut quadratum ex ΕΑ ad quadratum ex ΑΤ ita est transversum latus ad rectum; & ut transversum latus ad rectum ita rectangulum ΖΛΘ ad quadratum ex ΛΚ; quadratum autem ex ΖΛ ad quadratum ex ΛΚ majorem rationem habet quam rectangulum ΖΛΘ ad quadratum ex ΛΚ: habebit igitur quadratum ex ΖΛ ad quadratum ex ΛΚ majorem rationem quam quadratum ex ΕΑ ad quadratum ex ΑΤ. & sunt anguli ad Α, Λ recti: angulus igitur Ζ [per 6.lem.2.] angulo ΑΕΤ minor erit. itaque [per 23.1.] constituatur angulus ΑΕΓ æqualis angulo ΛΖΚ: ergo [per 2. 2.huj.] ΕΓ sectioni occurret. occurrat in puncto Γ, & à Γ ducatur [per 49.2.huj.] ΓΔ contingens sectionem, & ΓΗ perpendicularis: erit itaq; [per 37.1.huj.] ut transversum latus ad rectum ita rectangulum ΕΗΔ ad quadratum ex ΗΓ: ut igitur rectangulum ΖΛΘ ad quadratum ex ΛΚ ita rectangulum ΕΗΔ ad quadratum ex ΗΓ: ideoq; [per 7.lem.2. & 3.lem. 6.] triangulum ΚΖΛ triangulo ΓΕΗ est simile, & triangulum ΚΘΛ simile triangulo ΓΔΗ, & ΚΖΘ ipsi ΓΕΔ: quare angulus ΕΓΔ angulo ΖΚΘ, hoc est [per constr.] ipsi Ω, est æqualis. si vero transversi lateris ad rectum ratio sit æqualis ad æquale; recta ΚΛ circulum ΖΚΘ continget, & recta conjungens centrum & punctum Κ parallela erit ipsi ΖΘ, & hæc ipsa problema conficiet.

σιν αἱ ΖΚ, ΚΘ, καὶ ἐκβεβλήσθω ἡ ΛΚ ἐπὶ τὸ Μ, καὶ ἀπὸ τοῦ Ν ἐπ' αὐτὴν κάθετος ἤχθω ἡ ΝΞ· παράλληλος ἄρα ἐστὶ τῇ ΖΘ· καὶ διὰ τοῦτό ἐστιν ὡς ἡ ΝΠ πρὸς ΠΟ, τουτέστιν ἡ ΥΦ πρὸς ΦΧ, οὕτως ἡ ΞΚ πρὸς ΚΛ· καὶ τῶν ἡγουμένων τὰ διπλάσια, ὡς ἡ ΨΦ πρὸς ΦΧ οὕτως ἡ ΜΚ πρὸς ΚΛ· καὶ συνθέντι ὡς ἡ ΨΧ πρὸς ΧΦ οὕτως ἡ ΜΛ πρὸς ΛΚ. ἀλλ' ὡς ἡ ΜΛ πρὸς ΛΚ οὕτως τὸ ὑπὸ ΜΛΚ πρὸς τὸ ἀπὸ ΛΚ· ὡς ἄρα ἡ ΧΨ πρὸς ΧΦ οὕτως τὸ ὑπὸ ΜΛΚ πρὸς τὸ ἀπὸ ΛΚ, τουτέστι τὸ ὑπὸ ΖΛΘ πρὸς τὸ ἀπὸ ΛΚ. ἀλλ' ὡς ἡ ΨΧ πρὸς ΧΦ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα τὸ ὑπὸ ΖΛΘ πρὸς τὸ ἀπὸ ΛΚ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν. ἤχθω



δὴ ἀπὸ τοῦ Α τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΑΤ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ ΕΑ πρὸς τὸ ἀπὸ ΑΤ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ἔστι δὲ καὶ ὡς ἡ πλαγία πρὸς τὴν ὀρθίαν οὕτως τὸ ὑπὸ ΖΛΘ πρὸς τὸ ἀπὸ ΛΚ· τὸ δὲ ἀπὸ ΖΛ πρὸς τὸ ἀπὸ ΛΚ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΖΛΘ πρὸς τὸ ἀπὸ ΛΚ· καὶ τὸ ἀπὸ ΖΛ ἄρα πρὸς τὸ ἀπὸ ΛΚ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΕΑ πρὸς τὸ ἀπὸ ΑΤ. καί εἰσιν αἱ πρὸς Α, Λ γωνίαι ὀρθαί· ἐλάσσων ἄρα ἐστὶν ἡ Ζ γωνία τῆς ΑΕΤ. συνεστάτω οὖν τῇ ὑπὸ ΛΖΚ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΕΓ· συμπεσεῖται ἄρα ἡ ΕΓ τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Γ, ἤχθω δὲ ἀπὸ τοῦ Γ ἐφαπτομένη ἡ ΓΔ, καὶ κάθετος ἡ ΓΗ· ἔσται δὴ ὡς ἡ πλαγία πρὸς τὴν ὀρθίαν οὕτως τὸ ὑπὸ ΕΗΔ πρὸς τὸ ἀπὸ ΗΓ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΖΛΘ πρὸς τὸ ἀπὸ ΛΚ οὕτως τὸ ὑπὸ ΕΗΔ πρὸς τὸ ἀπὸ ΗΓ· ὅμοιον ἄρα ἐστὶ τὸ ΚΖΛ τρίγωνον τῷ ΓΕΗ τριγώνῳ, καὶ τὸ ΚΘΛ τῷ ΓΔΗ, καὶ τὸ ΚΖΘ τῷ ΓΕΔ· ὥστε ἡ ὑπὸ ΕΓΔ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΖΚΘ, τουτέστι τῇ Ω. ἐὰν δὲ ὁ τῆς πλαγίας πρὸς τὴν ὀρθίαν λόγος ἴσου ᾖ πρὸς ἴσον, ἡ ΚΛ ἐφάψεται τοῦ ΖΚΘ κύκλου, καὶ ἡ ἀπὸ τοῦ κέντρου ἐπὶ τὸ Κ ἐπιζευγνυμένη παράλληλος ἔσται τῇ ΖΘ, καὶ αὐτὴ ποιήσει τὸ πρόβλημα.

PROP. LII. *Theor.*

Si ellipsim recta linea contingat: angulus, quem facit cum diametro per

ΠΡΟΤΑΣΙΣ νβ'.

Ἐὰν ἐλλείψεως εὐθεῖα ἐπιψαύῃ ἣν ποιεῖ γωνίαν πρὸς τῇ διὰ τῆς ἁφῆς ἀγομένῃ διαμέτρῳ,

οὐκ

οὐκ ἐλάσσων ἐστὶ τῆς ἐφεξῆς τῇ περιεχομένῃ ὑπὸ τῶν πρὸς μέσην τῆς τομῆς κλωμένων εὐθειῶν.

ΕΣΤΩ ἔλλειψις, ἧς ἄξονες μὲν οἱ ΑΒ, ΓΔ, κέντρον δὲ τὸ Ε, μείζων δὲ ἔστω τῶν ἀξόνων ἡ ΑΒ, καὶ ἐφαπτέσθω τῆς τομῆς ἡ ΗΖΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΓΒ, ΖΕ, καὶ ἐκβεβλήσθω ἡ ΒΓ ἐπὶ τὸ Λ· λέγω ὅτι οὐκ ἐλάσσων ἐστὶν ἡ ὑπὸ ΛΖΕ γωνία τῆς ὑπὸ ΛΓΑ.



Ἡ γὰρ ΖΕ τῇ ΑΒ ἤτοι παράλληλός ἐστιν, ἢ οὔ. ἔστω πρότερον παράλληλος, καὶ ἔστιν ἴση ἡ ΑΕ τῇ ΕΒ· ἴση ἄρα καὶ ἡ ΑΘ τῇ ΘΓ. καὶ ἔστι διάμετρος ἡ ΖΕ· ἡ ἄρα κατὰ τὸ Ζ ἐφαπτομένη παράλληλός ἐστι τῇ ΑΓ. ἔστι δὲ καὶ ἡ ΖΕ τῇ ΑΒ παράλληλος· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΘΓΛ, καὶ διὰ τοῦτο ἴση ἐστὶν ἡ ὑπὸ ΛΖΘ τῇ ὑπὸ ΛΓΘ. καὶ ἐπεὶ μείζων ἐστὶν ἑκατέρα τῶν ΑΕ, ΕΒ τῆς ΕΓ, ἀμβλεῖά ἐστιν ἡ ὑπὸ ΑΓΒ· ὀξεῖα ἄρα ἡ ὑπὸ ΛΓΘ, ὥστε καὶ ἡ ὑπὸ ΛΖΕ· καὶ διὰ τοῦτο ἀμβλεῖά ἐστιν ἡ ὑπὸ ΗΖΕ.

Μὴ ἔστω δὲ ἡ ΕΖ τῇ ΑΒ παράλληλος, καὶ ἤχθω κάθετος ἡ ΖΚ· οὐκ ἄρα ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΕ τῇ ὑπὸ ΖΕΑ. ὀρθὴ δὲ ἡ πρὸς τὸ Ε ὀρθῇ τῇ πρὸς τῷ Κ ἐστὶν ἴση· οὐκ ἄρα ὅμοιόν ἐστι τὸ ΓΒΕ τρίγωνον τῷ ΖΕΚ· οὐκ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ ΒΕ πρὸς τὸ ἀπὸ ΕΓ οὕτω τὸ ἀπὸ ΕΚ πρὸς τὸ ἀπὸ ΚΖ. ἀλλ' ὡς τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΕΓ, τουτέστι τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΕΓ, τουτέστιν ἡ πλαγία πρὸς τὴν ὀρθίαν, οὕτω τὸ ὑπὸ ΗΚΕ πρὸς τὸ ἀπὸ ΚΖ· οὐκ ἄρα ἐστὶν ὡς τὸ ἀπὸ ΗΚΕ πρὸς τὸ ἀπὸ ΚΖ οὕτω τὸ ἀπὸ ΚΕ πρὸς τὸ ἀπὸ ΚΖ· οὐκ ἄρα ἴση ἐστὶν ἡ ΗΚ τῇ ΚΕ. ἐκκείσθω κύκλου τμῆμα τὸ ΜΥΝ, δεχόμενον γωνίαν ἴσην τῇ ὑπὸ ΑΓΒ. ἀμβλεῖα δὲ ἡ ὑπὸ ΑΓΒ· ἔλασσον ἄρα ἡμικυκλίου τμῆμά ἐστι ΜΥΝ. πεποιήσθω δὴ ὡς ἡ ΗΚ πρὸς ΚΕ οὕτως ἡ ΝΞ πρὸς ΞΜ, καὶ ἀπὸ τοῦ Ξ πρὸς ὀρθὰς ἤχθω ἡ ΥΞΧ, καὶ ἐπεζεύχθωσαν αἱ ΜΥ, ΥΝ, καὶ τετμήσθω δίχα ἡ ΜΝ κατὰ τὸ Τ, καὶ πρὸς ὀρθὰς ἤχθω ἡ ΟΤΠ· διάμετρος ἄρα ἐστίν. ἔστω κέντρον τὸ Ρ, καὶ ἀπ' αὐτοῦ κάθετος ἤχθω ἡ ΡΣ, καὶ ἐπεζεύχθωσαν αἱ ΜΟ, ΟΝ. ἐπεὶ οὖν ἡ ὑπὸ ΜΟΝ ἴση ἐστὶ τῇ ὑπὸ ΑΓΒ, καὶ δίχα τέτμηται ἑκατέρα τῶν ΑΒ, ΜΝ κατὰ





tactum ducta, non est minor angulo deinceps ei qui sub rectis ad mediam sectionem inclinatis continetur.

SIT ellipsis, cujus axes AB, ΓΔ, centrum vero E, & sit axium major AB, recta vero HZΛ sectionem contingat, & junctis AΓ, ΓB, ZE producatur BΓ ad Λ: dico angulum ΛZE non esse minorem angulo ΛΓA.

Nam recta ZE, vel est parallela, vel non est parallela ipsi AB. sit primum parallela, & est AE æqualis EB: ergo [per 2.6.] & AΘ ipsi ΘΓ est æqualis. sed ZE diameter est: recta igitur, quæ in Z sectionem contingit, ipsi AΓ [per 6. 2. huj.] est parallela. est autem & ZE parallela ipsi AB: parallelogrammum igitur est ZΘΓΛ; & idcirco [per 34. 1.] angulus ΛZΘ æqualis est angulo ΛΓΘ. & quoniam utraque ipsarum AE, EB est major ipsâ EΓ, angulus AΓB est obtusus: ideoque anguli ΛΓΘ, ΛZE sunt acuti; & propterea angulus HZE obtusus erit.

Sed non sit EZ parallela ipsi AB, & ducatur ZK perpendicularis: igitur angulus ABE non est æqualis ipsi ZEA. rectus autem angulus ad E recto ad K est æqualis: ergo triangulum ΓBE non est simile triangulo ZEK; adeoque quadratum ex BE ad quadratum ex EΓ non est sicut quadratum ex EK ad quadratum ex KZ. sed ut quadratum ex EB ad quadratum ex EΓ, hoc est ut rectangulum AEB ad quadratum ex EΓ, sive latus transversum ad rectum, ita [per 37. 1. huj.] rectangulum HKE ad quadratum ex KZ: non est igitur rectangulum HKE ad quadratum ex KZ sicut quadratum ex EK ad quadratum ex KZ; ac proinde HK non est ipsi KE æqualis. exponatur circuli portio MYN, capiens angulum æqualem angulo AΓB. angulus autem AΓB est obtusus: ergo [per 31.3.] circuli portio MYN est semicirculo minor. fiat vero ut HK ad KE ita NΞ ad ΞM, & per Ξ ad rectos angulos ipsi MN ducatur YΞX, & jungantur MY, YN; secetur autem MN bifariam in T, & ad rectos angulos ducatur OTΠ: erit igitur [per 3. 3.] hæc diameter. sit P circuli centrum, à quo perpendicularis ducatur PΣ & jungantur MO, ON. itaque quoniam angulus MON est æqualis angulo AΓB, & utraque ipsarum AB, MN in punctis E, T bifariam tiam ſecatur, ſuntque anguli ad E, T recti: triangula igitur O T N, Γ E B [per 4.6.] inter ſe ſimilia erunt: ergo [per 22. 6.] ut quadratum ex N T ad quadratum ex T O ita quadratum ex B E ad quadratum ex E Γ. & quoniam T P eſt æqualis ipſi Σ Ξ, & P O major quam Σ Υ: habebit O P ad P T majorem rationem quam Υ Σ ad Σ Ξ; & per converſionem rationis P O ad O T minorem rationem. habebit quam Σ Υ ad Υ Ξ; & antecedentium dupla, itaque Π O ad O T minorem rationem habebit quam X Υ ad Υ Ξ; dividendoque Π T ad T O minorem rationem habebit quam X Ξ ad Ξ Υ. ſed [per 8. & corol. 20. 6.] ut Π T ad T O ita quadratum ex T N ad quadratum ex T O, & quadratum ex B E ad quadratum ex E Γ, & tranſverſum latus ad rectum, & rectangulum H K E ad quadratum ex K Z: ergo rectangulum H K E ad quadratum ex K Z minorem habet rationem quam X Ξ ad Ξ Υ, hoc eſt [per 1.6.] quam rectangulum X Ξ Υ ad quadratum ex Ξ Υ, hoc eſt [per 35. 3.] rectangulum N Ξ M ad quadratum ex Ξ Υ. ſi igitur fiat ut rectangulum H K E ad quadratum ex K Z ita rectangulum N Ξ M ad aliud quoddam; erit quidem ad majus quadrato ex Ξ Υ. ſit ad quadratum ex Ξ Φ: itaque quoniam eſt ut H K ad K E ita [per conſtr.] N Ξ ad Ξ M, & ſunt K Z, Ξ Φ ad rectos angulos, & rectangulum H K E ad quadratum ex K Z eſt ut rectangulum N Ξ M ad quadratum ex Ξ Φ: erit propterea angulus H Z E æqualis angulo N Φ M: ergo major eſt angulus N Υ M, hoc eſt A Γ B, angulo H Z E. qui vero deinceps eſt, videlicet Λ Z Θ, major eſt angulo Λ Γ Θ: igitur angulus Λ Z Θ non eſt angulo Λ Γ Θ minor.

τὰ E, T, καὶ ὀρθαί εἰσιν αἱ πρὸς τοῖς E, T γωνίαι· ὅμοια ἄρα τὰ O T N, Γ E B τρίγωνα· ἔστιν ἄρα ὡς τὸ ἀπὸ N T πρὸς τὸ ἀπὸ T O οὕτω τὸ ἀπὸ B E πρὸς τὸ ἀπὸ E Γ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ T P τῇ Σ Ξ, μείζων δὲ ἡ P O τῆς Σ Υ· ἡ O P ἄρα πρὸς P T μείζονα λόγον ἔχει ἤπερ ἡ Υ Σ πρὸς Σ Ξ, καὶ ἀναστρέψαντι ἡ P O πρὸς O T ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ Σ Υ πρὸς Υ Ξ· καὶ τῶν ἡγουμένων τὰ διπλάσια, ἡ ἄρα Π O πρὸς O T ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ X Υ πρὸς Υ Ξ· καὶ διελόντι ἡ Π T πρὸς T O ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ X Ξ πρὸς Ξ Υ. ἀλλὰ ὡς μὲν ἡ Π T πρὸς T O οὕτω τὸ ἀπὸ T N πρὸς τὸ ἀπὸ T O, καὶ τὸ ἀπὸ B E πρὸς τὸ ἀπὸ E Γ, καὶ ἡ πλαγία πρὸς τὴν ὀρθίαν, καὶ τὸ ὑπὸ H K E πρὸς τὸ ἀπὸ K Z· τὸ ἄρα ὑπὸ H K E πρὸς τὸ ἀπὸ K Z ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ X Ξ πρὸς Ξ Υ, τουτέστι τὸ ὑπὸ X Ξ Υ πρὸς τὸ ἀπὸ Ξ Υ, τουτέστι τὸ ὑπὸ N Ξ M πρὸς τὸ ἀπὸ Ξ Υ. ἐὰν ἄρα ποιήσωμεν ὡς τὸ ὑπὸ H K E πρὸς τὸ ἀπὸ K Z οὕτως τὸ ὑπὸ N Ξ M πρὸς ἄλλό τι· ἔσται πρὸς μεῖζον τοῦ ἀπὸ Ξ Υ. ἔστω πρὸς τὸ ἀπὸ Ξ Φ. ἐπεὶ οὖν ἐστιν ὡς ἡ H K πρὸς K E οὕτως ἡ N Ξ πρὸς Ξ M, καὶ πρὸς ὀρθάς εἰσιν αἱ K Z, Ξ Φ, καὶ ἔστιν ὡς τὸ ὑπὸ H K E πρὸς τὸ ἀπὸ K Z οὕτως τὸ ὑπὸ N Ξ M πρὸς τὸ ἀπὸ Ξ Φ· διὰ ταῦτά ἐστιν ἡ ὑπὸ H Z E γωνία τῇ ὑπὸ N Φ M ἴση· μείζων ἄρα ἡ ὑπὸ N Υ M, τουτέστιν ἡ ὑπὸ A Γ B, τῆς ὑπὸ H Z E γωνίας. ἡ δὲ ἐφεξῆς ἡ ὑπὸ Λ Z Θ μείζων ἐστὶ τῆς ὑπὸ Λ Γ Θ· οὐκ ἐλάσσων ἄρα ἡ ὑπὸ Λ Z Θ τῆς ὑπὸ Λ Γ Θ γωνίας.





Prop. LIII. *Probl.*

Rectam ellipſim datam contingentem ducere, quæ cum diametro per tactum ducta faciat angulum dato angulo acuto æqualem: oportet autem acutum angulum datum non eſſe minorem angulo deinceps ei qui rectis ad mediam ſectionem inclinatis continetur.

ΠΡΟΤΑΣΙΣ νγ'.

Τῆς δοθείσης ἐλλείψεως ἐφαπτομένην ἀγαγεῖν, ἥτις πρὸς τῇ διὰ τῆς ἁφῆς ἀγομένῃ διαμέτρῳ γωνίαν ποιήσει ἴσην τῇ δοθείσῃ ὀξείᾳ. δεῖ δὲ τὴν διδομένην ὀξεῖαν γωνίαν μὴ ἐλάσσονα εἶναι τῆς ἐφεξῆς τῇ περιεχομένῃ ὑπὸ τῶν πρὸς μέσην τὴν τομὴν κλωμένων εὐθειῶν.

ΕΣΤΩ

Ἔστω ἡ δοθεῖσα ἔλλειψις, ἧς μείζων μὲν ἄξων ὁ ΑΒ, ἐλάσσων δὲ ὁ ΓΔ, κέντρον δὲ τὸ Ε, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΓΒ, ἡ δὲ δοθεῖσα γωνία ἔστω ἡ Υ οὐκ ἐλάσσων τῆς ὑπὸ ΑΓΗ· ὥστε καὶ ἡ ὑπὸ ΑΓΒ οὐκ ἐλάσσων ἐστὶ τῆς Χ. ἡ Υ ἄρα τῆς ὑπὸ ΑΓΗ ἢ μείζων ἐστὶν, ἢ ἴση.

SIT data ellipsis, cujus major axis ΑΒ, minor ΓΔ, & centrum Ε, & jungantur ΑΓ, ΓΒ; datus autem angulus sit Υ, non minor angulo ΑΓΗ; ita ut angulus ΑΓΒ non sit minor angulo Χ. angulus igitur Υ vel major est angulo ΑΓΗ, vel ipsi æqualis.



Ἔστω πρότερον ἴση, καὶ διὰ τοῦ Ε τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΕΚ, καὶ διὰ τοῦ Κ ἐφαπτομένη τῆς τομῆς ἤχθω ἡ ΚΘ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΒ, καί ἐστιν ὡς ἡ ΑΕ πρὸς ΕΒ οὕτως ἡ ΑΖ πρὸς ΖΓ· ἴση ἄρα ἡ ΑΖ τῇ ΖΓ. καί ἐστι διάμετρος ἡ ΚΕ· ἡ ἄρα κατὰ τὸ Κ ἐφαπτομένη τῆς τομῆς, τουτέστιν ἡ ΘΚΗ, παράλληλός ἐστι τῇ ΓΑ. ἔστι δὲ καὶ ἡ ΕΚ τῇ ΗΒ παράλληλος· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΚΖΓΗ, καὶ διὰ τοῦτο ἴση ἐστὶν ἡ ὑπὸ ΗΚΕ γωνία τῇ ὑπὸ ΗΓΖ γωνίᾳ. ἡ δὲ ὑπὸ ΗΓΖ τῇ δοθείσῃ, τουτέστι τῇ Υ, ἴση ἐστίν· καὶ ἡ ὑπὸ ΗΚΕ ἄρα ἐστὶν ἴση τῇ Υ γωνίᾳ.

Sit primum æqualis, & [per 30. 1.] per Ε ducatur ΕΚ ipsi ΒΓ parallela, & [per 49. 2.huj.] per Κ contingens sectionem ΚΘ. quoniam igitur ΑΕ est æqualis ΕΒ; & ut ΑΕ ad ΕΒ ita [per 2. 6.] ΑΖ ad ΖΓ: erit ΑΖ ipsi ΖΓ æqualis. & est ΚΕ diameter: ergo [per 5.2.huj.] quæ in Κ sectionem contingit, hoc est ΘΚΗ, parallela erit ipsi ΓΑ. sed & ΕΚ parallela est ΗΒ: parallelogrammum igitur est ΚΖΓΗ; & ob id [per 34. 1.] angulus ΗΚΕ angulo ΗΓΖ æqualis. angulus autem ΗΓΖ est æqualis angulo dato Υ: ergo & ΗΚΕ angulo Υ æqualis erit.

Ἔστω δὲ μείζων ἡ Υ γωνία τῆς ὑπὸ ΑΓΗ· ἀντίπαλιν δὴ ἡ Χ τῆς ὑπὸ ΑΓΒ ἐλάσσων ἐστίν. ἐκκείσθω κύκλος, καὶ ἀφῃρήσθω ἀπ' αὐτοῦ τμῆμα, καὶ ἔστω τὸ ΜΝΠ δεχόμενον γωνίαν ἴσην τῇ Χ, καὶ τετμήσθω ἡ ΜΠ δίχα κατὰ τὸ Ο, καὶ ἀπὸ τοῦ Ο τῇ ΜΠ πρὸς ὀρθὰς ἤχθω ἡ ΝΟΡ, καὶ ἐπεζεύχθωσαν αἱ ΜΝ, ΝΠ· ἡ ἄρα ὑπὸ ΜΝΠ γωνία τῆς ὑπὸ ΑΓΒ ἐλάσσων ἐστίν.

Sit vero angulus Υ major angulo ΑΓΗ: erit & contra angulus Χ minor angulo ΑΓΒ. exponatur circulus, & [per 34.3.] ab eo auferatur portio ΜΝΠ, capiens angulum æqualem angulo Χ, & [per 10.1.] bifariam secetur ΜΠ in Ο, & per Ο [per 11. 1.] ducatur ΝΟΡ ad rectos angulos ipsi ΜΠ, & jungantur ΜΝ, ΝΠ: angulus igitur ΜΝΠ minor est angulo ΑΓΒ. anguli autem



ἀλλὰ τῆς μὲν ὑπὸ ΜΝΠ ἡμίσειά ἐστιν ἡ ὑπὸ ΜΝΟ, τῆς δὲ ὑπὸ ΑΓΒ ἡ ὑπὸ ΑΓΕ· ἐλάσσων ἄρα ἡ ὑπὸ ΜΝΟ τῆς ὑπὸ ΑΓΕ. καὶ ὀρθαὶ αἱ πρὸς τοῖς Ε, Ο· ἡ ἄρα ΑΕ πρὸς ΕΓ μείζονα λόγον ἔχει ἤπερ ἡ ΜΟ πρὸς ΟΝ, ὥστε καὶ τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ἀπὸ τῆς ΕΓ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΜΟ πρὸς τὸ ἀπὸ ΟΝ. ἀλλὰ τὸ μὲν ἀπὸ ΑΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΒ, τὸ δὲ ἀπὸ ΜΟ ἴσον τῷ ὑπὸ ΜΟΠ, τουτέστι τῷ ὑπὸ ΝΟΡ· τὸ ἄρα ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΕΓ, τουτέστιν ἡ πλαγία πρὸς τὴν ὀρθίαν,

ΜΝΠ [per 4.1.] dimidius est angulus ΜΝΟ, & anguli ΑΓΒ dimidius est ΑΓΕ: ergo ΜΝΟ angulus angulo ΑΓΒ est minor. & anguli ad Ε & Ο recti sunt: quare ΑΕ ad ΕΓ majorem rationem habet quam ΜΟ ad ΟΝ; & ideo quadratum ex ΑΕ ad quadratum ex ΕΓ majorem habet rationem quam quadratum ex ΜΟ ad quadratum ex ΟΝ. sed quadratum ex ΑΕ æquale est rectangulo ΑΕΒ; & quadratum ex ΜΟ æquale rectangulo ΜΟΠ, hoc est [per 35.3.] ipsi ΝΟΡ: ergo rectangulum ΑΕΒ ad quadratum ex ΕΓ, hoc est [per 21. 1.huj.] transversum latus ad rectum,

rectum, majorem rationem habet quam rectangulum ΡΟΝ ad quadratum ex ΟΝ; hoc est [per 1. 6.] quam ΡΟ ad ΟΝ. fiat autem [per 12. 6.] ut transversum latus ad rectum ita Ωα ad ας, & Ως bifariam secetur in Ζ. quoniam igitur transversum latus ad rectum majorem rationem habet quam ΡΟ ad ΟΝ: habebit & Ωα ad ας majorem rationem quam ΡΟ ad ΟΝ; & componendo Ως ad ςα majorem habebit rationem quam ΡΝ ad ΝΟ. sit Φ circuli centrum: ergo Ζς ad ςα majorem habet rationem quam ΦΝ ad ΝΟ; dividendoque αΖ ad ας majorem rationem habet quam ΦΟ ad ΟΝ. fiat ut Ζα ad ας ita ΦΟ ad minorem ipsa ΟΝ, puta ad ΟΙ; & ducantur [per 30. 1.] ΙΞ, ΦΨ ipsi ΜΠ parallelæ, sicut & ΞΨΤ ipsi ΝΡ: erit igitur ut Ζα

μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΡΟΝ πρὸς τὸ ἀπὸ ΟΝ, τουτέστιν ἡ ΡΟ πρὸς ΟΝ. γενέσθω δὲ ὡς ἡ πλαγία πρὸς τὴν ὀρθίαν οὕτως ἡ Ωα πρὸς ας, καὶ δίχα τετμήσθω ἡ Ως κατὰ τὸ Ζ. ἐπεὶ οὖν ἡ πλαγία πρὸς τὴν ὀρθίαν μείζονα λόγον ἔχει ἤπερ ἡ ΡΟ πρὸς ΟΝ· καὶ ἡ Ωα πρὸς ας μείζονα λόγον ἔχει ἤπερ ἡ ΡΟ πρὸς ΟΝ, καὶ συνθέντι ἡ Ως πρὸς τὴν ςα μείζονα λόγον ἔχει ἡ ΡΝ πρὸς ΝΟ. ἔστω τὸ κέντρον τοῦ κύκλου τὸ Φ· ὥστε καὶ ἡ Ζς πρὸς ςα μείζονα λόγον ἔχει ἤπερ ΦΝ πρὸς ΝΟ, καὶ διελόντι ἡ αΖ πρὸς ας μείζονα λόγον ἔχει ἤπερ ἡ ΦΟ πρὸς ΟΝ. γενέσθω δὲ ὡς ἡ Ζα πρὸς ας οὕτως ἡ ΦΟ πρὸς ἐλάττονα τῆς ΟΝ, οἷον τὴν ΙΟ, καὶ ἤχθωσαν αἱ ΙΞ, ΦΨ τῇ ΜΠ, καὶ ἡ ΞΨΤ





ad ας ita ΦΟ ad ΟΙ, & ΨΣ ad ΣΞ; componendoque ut Ζς ad ςα ita ΨΞ ad ΞΣ; & antecedentium dupla, ut Ως ad ςα ita ΤΞ ad ΞΣ; & dividendo, ut Ωα ad ας, hoc est [per constr.] ut transversum latus ad rectum, ita ΤΣ ad ΣΞ. jungantur itaque ΜΞ, ΞΠ, & ad rectam ΑΕ, & ad punctum in ea Ε constituatur [per 23. 1.] angulus ΑΕΚ æqualis angulo ΜΠΞ, & per Κ ducatur [per 49. 2. huj.] ΚΘ sectionem contingens, & ΚΛ ordinatim applicetur. quoniam igitur angulus ΜΠΞ æqualis est angulo ΑΕΚ, & rectus angulus ad Σ est æqualis recto ad Λ; erit [per 32. 1.] triangulum ΞΣΠ æquiangulum triangulo ΚΛΕ; & ut transversum latus ad rectum ita est ΤΣ ad ΣΞ, hoc est [per 1. 6.] rectangulum ΤΣΞ ad quadratum ex ΞΣ, hoc est [per 35. 3.] rectangulum ΜΣΠ ad quadratum ex ΞΣ: simile igitur est [per lem. 7. 2. huj.] triangulum ΘΛΚ triangulo ΜΣΞ, & triangulum ΘΚΕ simile ipsi ΜΞΠ: & propterea angulus ΜΞΠ est æqualis angulo ΘΚΕ. est autem [per 21. 3.] angulus ΜΞΠ æqualis angulo ΜΝΠ, hoc est [per constr.] angulo Χ: quare & ΘΚΕ angulus angulo Χ est æqualis: angulus igitur deinceps ΗΚΕ [per 13. 1.] ei qui deinceps est angulo Υ æqualis erit; ergo ducta est ΗΘ sectionem contingens, quæ cum diametro ΚΕ per tactum ductâ facit ΗΚΕ angulum dato angulo Υ æqualem: quod erat faciendum.

τῇ ΝΡ παράλληλοι· ἔστιν ἄρα ὡς ἡ Ζα πρὸς τὴν ας οὕτως ἡ ΦΟ πρὸς ΟΙ, καὶ ἡ ΨΣ πρὸς ΣΞ· καὶ συνθέντι ὡς Ζς πρὸς ςα οὕτως ἡ ΨΞ πρὸς ΞΣ· καὶ τῶν ἡγουμένων τὰ διπλάσια, ὡς ἡ Ως πρὸς ςα οὕτως ἡ ΤΞ πρὸς ΞΣ· καὶ διελόντι ὡς ἡ Ωα πρὸς ας, τουτέστιν ἡ πλαγία πρὸς τὴν ὀρθίαν, οὕτως ἡ ΤΣ πρὸς ΣΞ. ἐπεζεύχθωσαν δὴ αἱ ΜΞ, ΞΠ, καὶ συνεστάτω, πρὸς τῇ ΑΕ εὐθείᾳ καὶ τῷ Ε σημείῳ, τῇ ὑπὸ ΜΠΞ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΕΚ, καὶ διὰ τοῦ Κ ἐφαπτομένη τῆς τομῆς ἤχθω ἡ ΚΘ, καὶ τεταγμένως κατήχθω ἡ ΚΛ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΜΠΞ γωνία τῇ ὑπὸ ΑΕΚ, ὀρθὴ δὲ ἡ πρὸς τὸ Σ ὀρθῇ τῇ πρὸς τὸ Λ ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΞΣΠ τῷ ΚΛΕ τριγώνῳ. καὶ ἔστιν ὡς ἡ πλαγία πρὸς τὴν ὀρθίαν οὕτως ἡ ΤΣ πρὸς ΣΞ, τουτέστι τὸ ὑπὸ ΤΣΞ πρὸς τὸ ἀπὸ ΞΣ, τουτέστι τὸ ὑπὸ ΜΣΠ πρὸς τὸ ἀπὸ ΞΣ· ὅμοιον ἄρα ἐστὶ τὸ ΘΛΚ τρίγωνον τῷ ΜΣΞ τριγώνῳ, καὶ τὸ ΘΚΕ τῷ ΜΞΠ· καὶ διὰ τοῦτο ἴση ἐστὶν ἡ ὑπὸ ΜΞΠ γωνία τῇ ὑπὸ ΘΚΕ. ἡ δὲ ὑπὸ ΜΞΠ τῇ ὑπὸ ΜΝΠ ἐστὶν ἴση, τουτέστι τῇ Χ· καὶ ἡ ὑπὸ ΘΚΕ ἄρα τῇ Χ ἐστὶν ἴση· καὶ ἡ ἐφεξῆς ἄρα ἡ ὑπὸ ΗΚΕ τῇ ἐφεξῆς τῇ Υ ἐστὶν ἴση· δῆκται ἄρα τῆς τομῆς ἐφαπτομένη ἡ ΗΘ πρὸς τῇ διὰ τῆς ἁφῆς ἠγμένῃ διαμέτρῳ τῇ ΚΕ, γωνίαν ποιοῦσα τὴν ὑπὸ ΗΚΕ ἴσην τῇ δοθείσῃ τῇ Υ. ὅπερ ἔδει ποιῆσαι.

ΠΑΠ-

ΠΑΠΠΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΛΗΜΜΑΤΑ
ΕΙΣ ΚΩΝΙΚΩΝ ΤΟ ΤΡΙΤΟΝ
ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΓΑΙΟΥ.

PAPPI ALEXANDRINI
LEMMATA
IN TERTIUM LIBRUM CONICORUM
APOLLONII PERGÆI.

ΛΗΜΜΑ α'.

Καταγραφὴ ἡ ΑΒΓΔΕΖΗ, ἔστω δὲ ἴση ἡ ΒΗ τῇ ΗΓ. ὅτι παράλληλός ἐστιν ἡ ΕΖ τῇ ΒΓ.



Ἤχθω διὰ τοῦ Α τῇ ΒΓ παράλληλος ἡ ΘΚ, καὶ ἐκβεβλήσθωσαν αἱ ΒΖ, ΓΕ ἐπὶ τὰ Κ, Θ σημεῖα. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΒΗ τῇ ΗΓ· ἴση ἄρα ἐστὶ καὶ ἡ ΘΑ τῇ ΑΚ· ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΘΑ, τουτέστιν ὡς ἡ ΒΕ πρὸς τὴν ΕΑ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΚΑ, τουτέστιν ἡ ΓΖ πρὸς ΖΑ· παράλληλος ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΒΓ.

LEMMA I.

Sit descripta figura ΑΒΓΔΕΖΗ; & sit ΒΗ æqualis ipsi ΗΓ. dico ΕΖ ipsi ΒΓ parallelam esse.

Ducatur enim per Α recta ΘΚ parallela ipsi ΒΓ, & ΒΖ, ΓΕ ad puncta Κ, Θ producantur. itaque quoniam ΒΗ est æqualis ipsi ΗΓ; erit [propter æquiangula triangula ΒΔΗ, ΚΔΑ, item ΗΔΓ, ΑΔΘ] & ΘΑ ipsi ΑΚ æqualis: ergo [propter æquiangula triangula ΒΕΓ, ΑΕΘ, item ΒΖΓ, ΚΖΑ] ut ΒΓ ad ΘΑ, hoc est ut ΒΕ ad ΕΑ, ita ΒΓ ad ΚΑ, hoc est ΓΖ ad ΖΑ: quare ΕΖ ipsi ΒΓ est parallela.

ΛΗΜΜΑ β'.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἴσας ἔχοντα τὰς Α, Δ γωνίας, ἴσον δὲ ἔστω τὸ ὑπὸ ΒΑΓ τῷ ὑπὸ ΕΔΖ. ὅτι καὶ τὸ τρίγωνον τῷ τριγώνῳ ἐστὶν ἴσον.

Ἤχθωσαν κάθετοι αἱ ΒΗ, ΕΘ· ἔστιν ἄρα ὡς ἡ ΗΒ πρὸς τὴν ΒΑ οὕτως ἡ ΕΘ πρὸς τὴν ΕΔ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΒΗ, ΑΓ πρὸς τὸ ὑπὸ ΒΑΓ οὕτως τὸ ὑπὸ ΕΘ, ΔΖ πρὸς τὸ ὑπὸ ΕΔΖ. ἴσον δέ ἐστι τὸ ὑπὸ ΒΑΓ τῷ ὑπὸ ΕΔΖ· ἴσον ἄρα ἐστὶ καὶ τὸ ὑπὸ ΒΗ, ΑΓ τῷ ὑπὸ ΕΘ, ΔΖ. ἀλλὰ τοῦ μὲν ὑπὸ ΒΗ, ΑΓ ἥμισύ ἐστι τὸ ΑΒΓ τρίγωνον, τοῦ δὲ ὑπὸ ΕΘ, ΔΖ ἥμισύ ἐστι τὸ ΔΕΖ τρίγωνον· καὶ τὸ ΑΒΓ ἄρα τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον ἐστί. φανερὸν δὲ ὅτι καὶ τὰ διπλᾶ αὐτῶν παραλληλόγραμμα ἴσα ἐστίν.



LEMMA II.

Sint duo triangula ΑΒΓ, ΔΕΖ angulos Α, Δ æquales habentia; & sit rectangulum ΒΑΓ æquale rectangulo ΕΔΖ. dico triangulum triangulo æquale esse.

Ductis enim perpendicularibus ΒΗ, ΕΘ; erit [per 4. 6.] ut ΗΒ ad ΒΑ ita ΕΘ ad ΕΔ: ergo [per 1. 6.] ut rectangulum sub ΒΗ & ΑΓ ad rectangulum ΒΑΓ ita rectangulum sub ΕΘ & ΔΖ ad rectangulum ΕΔΖ. est autem [ex hyp.] rectangulum ΒΑΓ rectangulo ΕΔΖ æquale: ergo [per 14. 5.] & rectangulum sub ΒΗ & ΑΓ æquale rectangulo sub ΕΘ & ΔΖ. sed [per 41. 1.] rectanguli sub ΒΗ & ΑΓ dimidium est ΑΒΓ triangulum; & rectanguli sub ΕΘ & ΔΖ dimidium triangulum ΔΕΖ: triangulum igitur ΑΒΓ triangulo ΔΕΖ æquale erit. Perspicuum autem est & parallelogramma ipsorum dupla inter se æqualia esse.



LEMMA III.

Sit triangulum ΑΒΓ, & sit ΔΕ ipsi ΒΓ parallela. dico ut quadratum ex ΒΑ ad quadratum ex ΑΔ ita esse triangulum ΑΒΓ ad triangulum ΑΔΕ.

Quoniam enim triangulum ΑΒΓ simile est triangulo ΑΔΕ, habebit [per 19. 6.] ΑΒΓ triangulum ad ipsum ΑΔΕ duplicatam rationem ejus quam habet ΒΑ ad ΑΔ. sed quadratum ex ΒΑ ad quadratum ex ΑΔ duplicatam rationem habet ejus quam habet ΒΑ ad ΑΔ: ergo ut quadratum ex ΒΑ ad quadratum ex ΑΔ, ita erit ΑΒΓ triangulum ad triangulum ΑΔΕ.



ΛΗΜΜΑ γ′.

Τρίγωνον τὸ ΑΒΓ, καὶ παράλληλος ἡ ΔΕ τῇ ΒΓ. ὅτι ἐστὶν ὡς τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον.

Ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ ΑΒΓ τῷ ΑΔΕ τριγώνῳ· τὸ ἄρα ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΑ πρὸς ΑΔ. ἀλλὰ καὶ τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΑ πρὸς τὴν ΑΔ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον.

LEMMA IV.

Sint lineæ ΑΒ, ΓΔ inter se æquales, & sumatur quodvis punctum Ε. dico rectangulum ΓΕΒ superare rectangulum ΓΑΒ rectangulo ΔΕΑ.

Secetur enim ΒΓ bifariam in Ζ: ergo punctum Ζ lineam quoque ΑΔ bifariam secat. & quoniam [per 6. 2.] rectangulum ΓΕΒ una cum quadrato ex ΒΖ æquale est quadrato ex ΕΖ: rectangulum autem ΔΕΑ una cum quadrato ex ΑΖ æquale est quadrato ex ΕΖ, atque est quadratum ex ΑΖ æquale rectangulo ΓΑΒ una cum quadrato ex ΒΖ; commune auferatur quadratum ex ΒΖ: reliquum igitur rectangulum ΓΕΒ æquale est rectangulo ΓΑΒ una cum rectangulo ΔΕΑ: quare ΓΕΒ rectangulum superat rectangulum ΓΑΒ ipso ΔΕΑ rectangulo. Q. E. D.



Si vero punctum Ε sit inter Α & Β; rectangulum ΓΕΒ minus est quam rectangulum ΓΑΒ, eodem ipso spatio, videlicet rectangulo ΑΕΔ: quod simili ratione demonstrabitur.



Quod si punctum Ε sit inter Β & Γ; eadem ratione rectangulum ΓΕΒ minus erit quam rectangulum ΑΕΔ rectangulo ΑΒΔ.



ΛΗΜΜΑ δ′.

Ἴσαι αἱ ΑΒ, ΓΔ, καὶ τυχὸν σημεῖον τὸ Ε. ὅτι τὸ ὑπὸ ΓΕΒ ὑπερέχει τοῦ ὑπὸ ΓΑΒ τῷ ὑπὸ ΔΕΑ.

Τετμήσθω ἡ ΒΓ δίχα τῷ Ζ· τὸ Ζ ἄρα διχοτομία ἐστὶ καὶ τῆς ΑΔ. καὶ ἐπεὶ τὸ ὑπὸ ΓΕΒ μετὰ τοῦ ἀπὸ ΒΖ ἴσον ἐστὶ τῷ ἀπὸ ΕΖ, ἀλλὰ καὶ τὸ ὑπὸ ΔΕΑ μετὰ τοῦ ἀπὸ ΑΖ ἴσον ἐστὶ τῷ ἀπὸ ΕΖ, καὶ ἐστὶ τὸ ἀπὸ ΑΖ ἴσον τῷ ὑπὸ ΓΑΒ μετὰ τοῦ ἀπὸ ΒΖ, κοινὸν ἐκκεκρούσθω τὸ ἀπὸ ΒΖ· λοιπὸν ἄρα τὸ ὑπὸ ΓΕΒ ἴσον ἐστὶ τῷ τε ὑπὸ ΓΑΒ καὶ τῷ ὑπὸ ΔΕΑ· ὥστε καὶ τὸ ΓΕΒ τοῦ ὑπὸ ΓΑΒ ὑπερέχει τῷ ὑπὸ ΔΕΑ. ὅπερ ἔ. δ.

Ἐὰν δὲ τὸ Ε σημεῖον ᾖ μεταξὺ τῶν Α, Β σημείων· τὸ ὑπὸ ΓΕΒ τοῦ ὑπὸ ΓΑΒ ἔλασσον ἔσται τῷ αὐτῷ χωρίῳ τῷ ὑπὸ ΔΕΑ· ὅπερ ἐστὶ κατὰ τὰ αὐτὰ ἀποδεῖξαι.

Ἐὰν δὲ τὸ Ε σημεῖον ᾖ μεταξὺ τῶν Β, Γ, τὸ ὑπὸ ΓΕΒ τοῦ ὑπὸ ΑΕΔ ἔλασσον ἔσται τῷ ὑπὸ ΑΒΔ, τῇ αὐτῇ ἀγωγῇ.

LEMMA V.

Sit recta ΑΒ æqualis ipsi ΒΓ, & duo puncta Δ, Ε sumantur. dico quadratum ex ΑΒ quater sumptum æquale esse rectangulo ΑΔΓ bis, una cum rectangulo ΑΕΓ bis & quadratis ex ΒΔ, ΒΕ bis sumptis.

Hoc autem perspicuum est, quadratum enim ex ΑΒ bis sumptum, propter bisectiones, æquale est [per 5. 2.] rectangulo ΑΔΓ bis & quadrato ex ΔΒ bis: itemque quadratum ex ΑΒ bis est æquale rectangulo ΑΕΓ bis & bis quadrato ex ΕΒ.



ΛΗΜΜΑ ε′.

Ἴση ἡ ΑΒ τῇ ΒΓ, καὶ δύο σημεῖα τὰ Δ, Ε. ὅτι τὸ τετράκις ἀπὸ τῆς ΑΒ τετράγωνον ἴσον ἐστὶ τῷ δὶς ὑπὸ ΑΔΓ μετὰ τοῦ δὶς ὑπὸ ΑΕΓ καὶ τοῦ δὶς ἀπὸ τῶν ΒΔ, ΒΕ τετραγώνων.

Τοῦτο δὲ φανερόν. τὸ μὲν γὰρ δὶς ἀπὸ ΑΒ, διὰ τὴν διχοτομίαν, ἴσον ἐστὶ τῷ τε δὶς ὑπὸ ΑΔΓ καὶ τῷ δὶς ἀπὸ ΒΔ· τὸ δὲ δὶς ἀπὸ ΑΒ ἴσον ἐστὶ τῷ τε δὶς ὑπὸ ΑΕΓ καὶ τῷ δὶς ἀπὸ ΕΒ τετραγώνῳ.

LEMMA VI.

Sit recta ΑΒ æqualis ipsi ΓΔ, & sumatur punctum Ε. dico quadrata ex ΑΕ, ΕΔ æqualia esse quadratis ex ΒΕ, ΕΓ & rectangulo sub ΑΓΔ bis sumpto.

Secetur ΒΓ bifariam in Ζ. & quoniam quadratum ex ΔΖ bis sumptum æquale est [per 5. 2.] rect-

ΛΗΜΜΑ ς′.

Ἴση ἡ ΑΒ τῇ ΓΔ, καὶ σημεῖον τὸ Ε. ὅτι τὰ ἀπὸ τῶν ΑΕ, ΕΔ τετράγωνα ἴσα τοῖς ἀπὸ τῶν ΒΕ, ΕΓ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓΔ.

Τετμήσθω δίχα ἡ ΒΓ κατὰ τὸ Ζ. ἐπεὶ οὖν τὸ δὶς ἀπὸ τῆς ΔΖ ἴσον ἐστὶ τῷ τε δὶς ὑπὸ ΑΓΔ καὶ τῷ δὶς ἀπὸ

ἀπὸ ΓΖ, κοινοῦ προστεθέντος τοῦ δὶς ἀπὸ ΕΖ, ἴσον ἐστὶ τό τε δὶς ὑπὸ ΑΓΔ καὶ τὰ δὶς ἀπὸ τῶν ΓΖ, ΖΕ τοῖς δὶς ἀπὸ τῶν ΔΖ, ΖΒ τετραγώνοις. ἀλλὰ τοῖς μὲν δὶς ἀπὸ ΔΖ, ΖΕ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΑΕ, ΕΔ τετράγωνα, τοῖς δὲ δὶς ἀπὸ τῶν ΓΖ, ΖΒ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΒΕ, ΕΓ τετράγωνα· τὰ ἄρα ἀπὸ τῶν ΑΕ, ΕΔ τετράγωνα ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΒΕ, ΕΓ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓΔ.



angulo ΑΓΔ bis & bis quadrato ex ΓΖ, addito communi quadrato ex ΕΖ bis, erit rectangulum ΑΓΔ bis una cum quadratis ex ΓΖ, ΖΕ bis æquale quadratis ex ΔΖ, ΖΒ bis sumptis. sed [per 9. vel 10.2.] quadratis ex ΔΖ, ΖΕ bis sumptis æqualia sunt quadrata ex ΑΕ, ΕΔ; quadratis autem ex ΓΖ, ΖΒ bis sumptis æqualia sunt ex ΒΕ, ΕΓ quadrata: quadrata igitur ex ΑΕ, ΕΔ æqualia sunt quadratis ex ΒΕ, ΕΓ & rectangulo ΑΓΔ bis sumpto.

ΛΗΜΜΑ ζ.

Ἔστω τὸ ὑπὸ ΒΑΓ μετὰ τοῦ ἀπὸ ΓΔ ἴσον τῷ ἀπὸ ΔΑ. ὅτι ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΒ.

Κοινὸν γὰρ ἀφῃρήσθω τὸ ἀπὸ ΓΔ· τὸ ἄρα ὑπὸ ΒΑΓ ἴσον ἐστὶ τῇ τῶν ἀπὸ ΑΔ, ΔΓ ὑπεροχῇ, τουτέστι τοῖς ὑπὸ τῶν ΔΑΓ, ΑΓΔ. τὸ δὲ ὑπὸ ΒΑΓ ἴσον ἐστὶ τῷ ὑπὸ ΔΑΓ καὶ τῷ ὑπὸ ΒΔ, ΑΓ. κοινὸν ἀφῃρήσθω τὸ ὑπὸ ΔΑΓ· λοιπὸν ἄρα τὸ ὑπὸ ΑΓ, ΔΒ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΓΔ· ἴση ἄρα ἐστὶν ἡ ΓΔ τῇ ΔΒ.



LEMMA VII.

Sit rectangulum ΒΑΓ una cum quadrato ex ΓΔ æquale quadrato ex ΔΑ. dico ΔΓ ipsi ΔΒ æqualem esse.

Commune enim auferatur quadratum ex ΓΔ: & rectangulum ΒΑΓ æquale erit excessui quadrati ex ΑΔ supra quadratum ex ΔΓ, hoc est [per 2.2.] utrique rectangulo sub ΔΑΓ & ΑΓΔ. at rectangulum ΒΑΓ æquale est rectangulis sub ΔΑΓ & sub ΒΔ, ΑΓ. commune auferatur ΔΑΓ: erit igitur reliquum, quod continetur sub ΑΓ, ΔΒ, æquale rectangulo ΑΓΔ: æqualis igitur est ΓΔ ipsi ΔΒ.

ΛΗΜΜΑ η.

Ἔστω τὸ ὑπὸ ΑΓΒ μετὰ τοῦ ἀπὸ ΓΔ ἴσον τῷ ἀπὸ ΔΒ τετραγώνῳ. ὅτι ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΒ.

Κείσθω τῇ ΓΔ ἴση ἡ ΔΕ· τὸ ἄρα ὑπὸ ΓΒΕ μετὰ τοῦ ἀπὸ ΔΕ, τουτέστι τοῦ ἀπὸ ΓΔ, ἴσον τῷ ἀπὸ ΔΒ, τουτέστι τῷ ὑπὸ ΑΓΒ μετὰ τοῦ ἀπὸ ΓΔ· ὥστε τὸ ὑπὸ ΓΒΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΓΒ· ἴση ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΕΒ. ἀλλὰ καὶ ΓΔ τῇ ΔΕ ἴση ἐστίν· ὅλη ἄρα ἡ ΑΔ ὅλῃ τῇ ΔΒ ἴση.



LEMMA VIII.

Sit rectangulum ΑΓΒ una cum quadrato ex ΓΔ æquale quadrato ex ΔΒ. dico rectam ΑΔ æqualem esse ipsi ΔΒ.

Ponatur ipsi ΓΔ æqualis ΔΕ: ergo [per 5.2.] rectangulum ΓΒΕ una cum quadrato ex ΔΕ, hoc est quadrato ex ΓΔ, æquale est quadrato ex ΔΒ; hoc est [ex hyp.] rectangulo ΑΓΒ una cum quadrato ex ΓΔ: quare rectangulum ΓΒΕ est æquale rectangulo ΑΓΒ: est igitur [per 1.6.] linea ΑΓ æqualis ipsi ΕΒ. sed & ΓΔ æqualis est ΔΕ: tota igitur ΑΔ toti ΔΒ est æqualis.

ΛΗΜΜΑ θ.

Ἔστω πάλιν τὸ ὑπὸ ΒΑΓ μετὰ τοῦ ἀπὸ ΔΒ ἴσον τῷ ἀπὸ ΑΔ. ὅτι ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΒ.

Κείσθω τῇ ΔΒ ἴση ἡ ΑΕ. ἐπεὶ οὖν τὸ ὑπὸ ΒΑΓ μετὰ τοῦ ἀπὸ ΔΒ, τουτέστι τοῦ ἀπὸ ΕΑ, ἴσον ἐστὶ τῷ ἀπὸ ΑΔ τετραγώνῳ, κοινὸν ἀφῃρήσθω τὸ ὑπὸ ΔΑΓ· λοιπὸν ἄρα τὸ ὑπὸ ΒΔ, ΑΓ, τουτέστι τὸ ὑπὸ ΕΑΓ, μετὰ τοῦ ἀπὸ ΕΑ, ὅ ἐστι τὸ ὑπὸ ΓΕΑ, ἴσον ἐστὶ τῷ ὑπὸ ΑΔΓ· ἴση ἄρα ἐστὶν ἡ ΕΑ, τουτέστιν ἡ ΒΔ, τῇ ΔΓ. ὅ. ἔ. δ.



LEMMA IX.

Sit rursus rectangulum ΒΑΓ una cum quadrato ex ΔΒ æquale quadrato ex ΑΔ. dico lineam ΓΔ æqualem esse ipsi ΔΒ.

Ponatur enim ipsi ΔΒ æqualis ΑΕ. & quoniam rectangulum ΒΑΓ una cum quadrato ex ΔΒ, hoc est cum quadrato ex ΕΑ, æquale est quadrato ex ΑΔ; commune auferatur rectangulum ΔΑΓ: ergo reliquum, quod sub ΒΔ & ΑΓ continetur, videlicet rectangulum ΕΑΓ, una cum quadrato ex ΕΑ, quod [per 3.2.] est rectangulum ΓΕΑ, æquale erit [per 2.2.] ipsi ΑΔΓ rectangulo: quare recta ΕΑ, hoc est ΒΔ, ipsi ΔΓ æqualis est.

ΛΗΜΜΑ ι.

Εὐθεῖα ἡ ΑΒ, ἐφ' ἧς τρία σημεῖα τὰ Γ, Δ, Ε, οὕτως ὥστε ἴσην μὲν εἶναι τὴν ΒΕ τῇ ΕΓ, τὸ δὲ ὑπὸ ΑΕΔ τῷ ἀπὸ ΕΓ ἴσον. ὅτι γίνεται ὡς ἡ ΒΑ πρὸς ΑΓ οὕτως ἡ ΒΔ πρὸς ΔΓ.

Ἐπεὶ γὰρ τὸ ὑπὸ ΑΕΔ ἴσον ἐστὶ τῷ ἀπὸ ΕΓ, ἀνάλογον καὶ ἀναστρέψαντι καὶ δὶς τὰ ἡγούμενα, καὶ διελόντι· ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΓ.



LEMMA X.

Sit recta linea ΑΒ, in qua sumantur tria puncta Γ, Δ, Ε, ita ut ΒΕ sit æqualis ΕΓ, & rectangulum ΑΕΔ æquale quadrato ex ΓΕ. dico ut ΒΑ ad ΑΓ ita esse ΒΔ ad ΔΓ.

Quoniam enim rectangulum ΑΕΔ æquale est quadrato ex ΕΓ; erit [per 17.6.] ut ΑΕ ad ΕΓ ita ΓΕ ad ΕΔ: unde per conversionem rationis, antecedentibusque bis sumptis, & dividendo proportionales erunt, nempe ΒΑ ad ΑΓ sicut ΒΔ ad ΔΓ.

LEMMA XI.

Sit rursus rectangulum ΒΓΔ æquale quadrato ex ΓΕ, & ΑΓ ipsi ΓΕ æqualis. dico rectangulum ΑΒΕ æquale esse rectangulo ΓΒΔ.

Quoniam enim [ex hyp.] rectangulum ΒΓΔ quadrato ex ΓΕ est æquale; ut ΒΓ ad ΓΕ, hoc est [ex hyp.] ad ΓΑ, ita erit [per 17.6.] ΓΕ, hoc est ΓΑ, ad ΓΔ, & * tota ad totam, & per conversionem rationis; & spatium spatio æquale: ergo rectangulum ΑΒΕ æquale est ΓΒΔ rectangulo.



Sed illud etiam constat, rectangulum nempe ΑΔΕ ipsi ΒΔΓ æquale esse: nam si à quadrato ex ΓΕ & à rectangulo ΒΓΔ æqualibus auferatur commune quadratum ex ΓΔ, quæ relinquentur æqualia erunt.

ΛΕΜΜΑ ια'.

Ἔστω πάλιν τὸ ὑπὸ ΒΓΔ ἴσον τῷ ἀπὸ ΓΕ, ἴση δὲ ἡ ΑΓ τῇ ΓΕ. ὅτι τὸ ὑπὸ ΑΒΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΒΔ.

Ἐπεὶ γὰρ τὸ ὑπὸ ΒΓΔ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΕ, ἀνάλογόν ἐστιν ὡς ἡ ΒΓ πρὸς ΓΕ, τουτέστι πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ, τουτέστιν ἡ ΑΓ, πρὸς τὴν ΓΔ, καὶ ὅλη πρὸς ὅλην, καὶ ἀναστρέψαντι, καὶ χωρίον χωρίῳ· τὸ ἄρα ὑπὸ ΑΒΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΒΔ.

Φανερὸν δὲ ὅτι καὶ τὸ ὑπὸ ΑΔΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΒΔΓ· ἐὰν γὰρ ἀφαιρεθῇ τὸ ἀπὸ ΓΔ κοινὸν ἀπό τε τοῦ ἀπὸ ΓΕ πρὸς τὸ ὑπὸ ΒΓΔ ἰσότητος, γίνεται τὰ λοιπὰ ἴσα.

LEMMA XII.

In duas æquidistantes ΑΒ, ΓΔ per idem punctum Ε tres lineæ ducantur ΑΕΔ, ΒΕΓ, ΖΕΗ. dico ut rectangulum ΑΕΒ ad rectangulum ΑΖΒ ita esse rectangulum ΓΕΔ ad ΓΗΔ rectangulum.

Hoc per compositam rationem manifestum est. ut enim ΑΕ ad ΕΔ ita [per 4.6.] est ΑΖ ad ΗΔ; & ut ΒΕ ad ΕΓ ita ΖΒ ad ΗΓ; & rationes rectangulorum componuntur ex his rationibus †: proportionalia igitur sunt.

Sed licet & aliter demonstrare absque composita ratione hoc pacto. quoniam enim [per 4.6.] ut ΑΕ ad ΕΒ ita est ΔΕ ad ΕΓ; erit [per 1.6.] rectangulum ΑΕΒ ad quadratum ex ΕΒ ut rectangulum ΔΕΓ ad quadratum ex ΕΓ. ut autem quadratum ΕΒ ad quadratum ex ΒΖ ita [per 1. & 22.6.] quadratum ex ΕΓ ad quadratum ex ΓΗ: quare ex æquo [per 22.5.] ut rectangulum ΑΕΒ ad quadratum ex ΒΖ ita rectangulum ΔΕΓ ad quadratum ex ΓΗ. sed ut quadratum ex ΒΖ ad rectangulum ΒΖΑ ita quadratum ex ΓΗ ad rectangulum ΓΗΔ: ex æquo igitur, ut rectangulum ΑΕΒ ad rectangulum ΑΖΒ ita rectangulum ΓΕΔ ad rectangulum ΓΗΔ. Q. E. D.



ΛΗΜΜΑ ιβ'.

Εἰς δύο παραλλήλους τὰς ΑΒ, ΓΔ, διά τε τοῦ αὐτοῦ σημείου τοῦ Ε, τρεῖς διήχθωσαν αἱ ΑΕΔ, ΒΕΓ, ΖΕΗ. ὅτι ἐστὶν ὡς τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ὑπὸ ΑΖΒ οὕτω τὸ ὑπὸ ΓΕΔ πρὸς τὸ ὑπὸ ΓΗΔ.

Διὰ τοῦ συνημμένου φανερόν. ὡς μὲν γὰρ ἡ ΑΕ πρὸς τὴν ΕΔ οὕτως ἡ ΑΖ πρὸς τὴν ΗΔ, ὡς δὲ ἡ ΒΕ πρὸς τὴν ΕΓ οὕτως ἡ ΖΒ πρὸς τὴν ΗΓ, καὶ σύγκειται ἐκ τούτων τὰ χωρία· ἀνάλογον ἄρα ἐστί.

Ἔστι δὲ καὶ οὕτως ἀποδεῖξαι μὴ προσχρησάμενον τῷ συνημμένῳ. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΓ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΕΒ οὕτως τὸ ὑπὸ ΔΕΓ πρὸς τὸ ἀπὸ ΕΓ. ἀλλὰ καὶ ὡς τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΖ οὕτω τὸ ἀπὸ ΕΓ πρὸς τὸ ἀπὸ ΓΗ· δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΒΖ οὕτω τὸ ὑπὸ ΔΕΓ πρὸς τὸ ἀπὸ ΓΗ. ἀλλὰ καὶ ὡς τὸ ἀπὸ ΒΖ πρὸς τὸ ὑπὸ ΒΖΑ οὕτω τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΓΗΔ· δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ὑπὸ ΑΖΒ οὕτω τὸ ὑπὸ ΓΕΔ πρὸς τὸ ὑπὸ ΓΗΔ. ὅ. ἔ. δ.

* Hoc est, adhibendo 19am quinti, quæ sic incipit, & postea conversionem rationis, & demum [per 16.6.] æquando rectangulum sub extremis cum rectangulo sub mediis. † Nempe ratio rectanguli ΑΕΒ ad ΓΕΔ componitur ex ratione ΑΕ ad ΕΔ, & ratione ΒΕ ad ΕΓ: & ratio ΑΖΒ ad ΓΗΔ componitur ex ratione ΑΖ ad ΗΔ, & ratione ΖΒ ad ΗΓ. Cumque componentes rationes æquales sint, constat propositum.

ΑΠΟΛ-

ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΓΑΙΟΥ
ΚΩΝΙΚΩΝ
ΤΟ ΤΡΙΤΟΝ,
ΜΕΤΑ ΤΩΝ ΕΥΤΟΚΙΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ.

APOLLONII PERGÆI
CONICORUM
LIBER TERTIUS,
CUM COMMENTARIIS EUTOCII ASCALONITÆ.

ΠΡΟΤΑΣΙΣ α΄.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσι, ἀχθῶσι δὲ διὰ τῶν ἁφῶν διάμετροι συμπίπτουσαι ταῖς ἐφαπτομέναις· ἴσα ἔσται τὰ γινόμενα κατὰ κορυφὴν τρίγωνα.

ΕΣΤΩ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ΑΒ, καὶ τῆς ΑΒ ἐφαπτέσθωσαν ἥ τε ΑΓ καὶ ἡ ΒΔ συμπίπτουσαι κατὰ τὸ Ε, καὶ ἤχθωσαν διὰ τῶν Α, Β διάμετροι τῆς τομῆς αἱ ΓΒ, ΔΑ, συμπίπτουσαι ταῖς ἐφαπτομέναις κατὰ τὰ Γ, Δ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΔΕ τρίγωνον τῷ ΕΒΓ.

Ἤχθω γὰρ ἀπὸ τοῦ Α παρὰ τὴν ΒΔ ἡ ΑΖ, τεταγμένως ἄρα κατῆκται. Ἔσται δή, ἐπὶ μὲν τῆς παραβολῆς, ἴσον τὸ ΑΔΒΖ παραλληλόγραμμον τῷ ΑΓΖ τριγώνῳ· καὶ, κοινοῦ ἀφαιρουμένου τοῦ ΑΕΒΖ, λοιπὸν τὸ ΑΔΕ τρίγωνον ἴσον ἐστὶ τῷ ΓΒΕ τριγώνῳ.



Ἐπὶ δὲ τῶν λοιπῶν, συμπιπτέτωσαν αἱ διάμετροι κατὰ τὸ Η κέντρον. ἐπεὶ οὖν κατῆκται ἡ ΑΖ, καὶ

Prop. I. *Theor.*

Si coni sectionem vel circuli circumferentiam rectæ lineæ contingentes inter se conveniant; per tactus vero ducantur diametri, quæ contingentibus occurrant: triangula ad verticem facta sibi ipsis æqualia erunt.

SIT coni sectio vel circuli circumferentia A B, quam contingant rectæ A Γ, B Δ convenientes in puncto E, & per tactus A, B diametri sectionis Γ B, Δ A ducantur, quæ contingentibus occurrant in punctis Γ, Δ : dico triangulum A Δ E triangulo E B Γ æquale esse.

Ducatur enim à puncto A recta A Z ipsi B Δ parallela, quæ propterea ordinatim applicata erit. Erit igitur, in parabola, parallelogrammum A Δ B Z æquale [per 42.1.huj.] triangulo A Γ Z: quare, ablato communi A E B Z, triangulum A Δ E, quod relinquitur, æquale est triangulo Γ B E.

In aliis vero, conveniant diametri in centro H. & quoniam ordinatim applicata est A Z, &

ΑΓ sectionem contingit; rectangulum ΖΗΓ [per 37.1.huj.] æquale est quadrato ex ΒΗ: ut igitur ΖΗ ad ΗΒ ita est [per 16.6.] ΒΗ ad ΗΓ: quare [per 20.6.] ut ΖΗ ad ΗΓ ita quadratum ex ΖΗ ad quadratum ex ΗΒ. sed [per 3.lem.huj.] ut quadratum ex ΖΗ ad quadratum ex ΗΒ ita triangulum ΑΗΖ ad triangulum ΔΗΒ, & ut ΖΗ ad ΗΓ ita [per 1.6.] triangulum ΑΗΖ ad triangulum

ἐφάπτεται ἡ ΑΓ, τὸ ὑπὸ ΖΗΓ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΗ· ἔστιν ἄρα ὡς ἡ ΖΗ πρὸς ΗΒ οὕτως ἡ ΒΗ πρὸς ΗΓ· καὶ ὡς ἄρα ἡ ΖΗ πρὸς ΗΓ οὕτως τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ ΗΒ. ἀλλ᾽ ὡς τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ ΗΒ οὕτως τὸ ΑΗΖ τρίγωνον πρὸς τὸ ΔΗΒ, ὡς δὲ ἡ ΖΗ πρὸς ΗΓ οὕτως τὸ ΑΗΖ πρὸς τὸ ΑΗΓ· καὶ ὡς ἄρα τὸ ΑΗΖ πρὸς τὸ ΑΗΓ



ΑΗΓ: ergo [per 11.5.] ut triangulum ΑΗΖ ad triangulum ΑΗΓ ita triangulum ΑΗΖ ad triangulum ΔΗΒ: & propterea [per 9.5.] triangulum ΑΗΓ triangulo ΔΗΒ est æquale. commune auferatur ΑΗΒΕ, [in hyperbola ΗΔΕΓ:] reliquum igitur triangulum ΑΕΔ reliquo ΓΕΒ æquale erit.

οὕτως τὸ ΑΗΖ πρὸς τὸ ΔΗΒ· ἴσον ἄρα τὸ ΑΗΓ τῷ ΔΗΒ. κοινὸν ἀφῃρήσθω τὸ ΑΗΒΕ· λοιπὸν ἄρα τὸ ΑΕΔ τρίγωνον ἴσον ἐστὶ τῷ ΓΕΒ.

EUTOCIUS.

Tertius conicorum liber, amicissime *Anthemi*, dignus ab antiquis existimatus est in quem multum studii ac diligentiæ conferretur, quod variæ ipsius editiones ostendunt. sed neque epistolam præfixam habet quemadmodum alii libri, neque commentarios in ipsum docti alicujus viri ex iis qui ante nos fuerunt, quanquam in eo multa sint contemplatione dignissima, ut ipse *Apollonius* in procemio totius libri asserit. omnia autem à nobis manifeste explicata sunt ac demonstrata ex præcedentibus libris & commentariis in eosdem.

Τὸ τρίτον τῶν κωνικῶν, ὦ φίλτατέ μοι Ἀνθέμιε, πολλῆς μὲν φροντίδος ὑπὸ τῶν παλαιῶν ἠξίωται, ὡς αἱ πολύτροποι αὐτοῦ ἐκδόσεις δηλοῦσιν. οὔτε δὲ ἐπιστολὴν ἔχει προγεγραμμένην, καθάπερ τὰ ἄλλα, οὐδὲ σχόλια εἰς αὐτὸ ἀξιόλογα τῶν πρὸ ἡμῶν εὑρίσκεται, καίτοι τῶν ἐν αὐτῷ ἀξίων ὄντων θεωρίας, ὡς καὶ αὐτὸς Ἀπολλώνιος ἐν τῷ προοιμίῳ τοῦ παντὸς βιβλίου φησίν. πάντα δὲ ὑφ᾽ ἡμῶν σαφῶς ἔκκειταί σοι διαιρούμενα ἐκ τῶν προεκδοθέντων βιβλίων καὶ τῶν εἰς αὐτὰ σχολίων.

Invenitur etiam alia demonstratio, in parabola quidem, hujusmodi.

Ἔστι δὲ καὶ ἄλλη ἀπόδειξις, ἐπὶ μὲν τῆς παραβολῆς.

Quoniam ΑΓ sectionem contingit, & ordinatim applicata est ΑΖ: erit [per 35.1.huj.] & ΓΒ æqualis ipsi ΒΖ, & [per 34.1.] ΒΖ ipsi ΑΔ: ergo ΑΔ, ΓΒ inter se æquales sunt. sed & [per 34.1.] parallelæ: triangulum igitur ΑΔΕ æquale est & simile triangulo ΕΒΓ.

Ἐπεὶ δὴ ἐφάπτεται ἡ ΑΓ, καὶ κατῆκται ἡ ΑΖ, ἴση ἐστὶν ἡ ΓΒ τῇ ΒΖ. ἀλλὰ ἡ ΒΖ τῇ ΑΔ ἴση· καὶ ἡ ΑΔ ἄρα τῇ ΓΒ ἴση. ἔστι δὲ αὐτῇ καὶ παράλληλος· ἴσον ἄρα καὶ ὅμοιον τὸ ΑΔΕ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ.

In reliquis vero, junctis ΑΒ, ΓΔ, dicendum.

Ἐπὶ δὲ τῶν λοιπῶν, ἐπιζευχθεισῶν τῶν ΑΒ, ΓΔ, λεκτέον.

Quoniam [per 37.1.huj. & 16.6.] ut ΖΗ ad ΗΒ ita est ΒΗ ad ΗΓ, ut vero ΖΗ ad ΗΒ ita ΑΗ ad ΗΔ, est enim ΑΖ ipsi ΔΒ parallela; ergo [per 11.5.] ut ΒΗ ad ΗΓ ita ΑΗ ad ΗΔ, & propterea [per 2.6.] ΑΒ parallela est ipsi ΓΔ: triangulum igitur ΑΔΓ æquale est [per 37.1.] triangulo ΒΓΔ. & communi ΓΔΕ ablato, relinquitur triangulum ΑΔΕ triangulo ΓΒΕ æquale.

Ἐπεί ἐστιν ὡς ἡ ΖΗ πρὸς ΗΒ οὕτως ἡ ΒΗ πρὸς ΗΓ, ὡς δὲ ἡ ΖΗ πρὸς ΗΒ οὕτως ἡ ΑΗ πρὸς ΗΔ, παράλληλος γὰρ ἡ ΑΖ τῇ ΔΒ· καὶ ὡς ἄρα ἡ ΒΗ πρὸς ΗΓ οὕτως ἡ ΑΗ πρὸς ΗΔ· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ· ἴσον ἄρα τὸ ΑΔΓ τρίγωνον τῷ ΒΓΔ, καὶ κοινοῦ ἀφαιρουμένου τοῦ ΓΔΕ, λοιπὸν τὸ ΑΔΕ ἴσον ἐστὶ τῷ ΓΒΕ.

Ad casus quod attinet, dicendum, in parabola quidem & hyperbola non dari casus; in ellipsi vero esse duos. vel enim contingentes rectæ in punctis tactuum diametris occurrentes productis etiam conveniunt, sicuti in textûs figura: vel ad alteras partes ad quas est Β, quemadmodum in hyperbola.

Περὶ δὲ τῶν πτώσεων λεκτέον ὅτι ἐπὶ μὲν τῆς παραβολῆς καὶ ὑπερβολῆς οὐκ ἔχει, ἐπὶ δὲ τῆς ἐλλείψεως ἔχει δύο. αἱ γὰρ ἐφαπτόμεναι κατὰ τὰς ἁφὰς συμβάλλουσαι ταῖς διαμέτροις καὶ ἐκβαλλομέναις αὐταῖς συμπίπτουσιν, ὡς ἐν τῷ ῥητῷ κεῖται· ἢ ἐπὶ τὰ ἕτερα μέρη καθ᾽ ἅ ἐστι τὸ Β, ὥσπερ ἔχει καὶ ἐπὶ τῆς ὑπερβολῆς.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ β.

Τῶν αὐτῶν ὑποκειμένων, ἐὰν ἐπὶ τῆς τομῆς ἢ τῆς τοῦ κύκλου περιφερείας ληφθῇ τι σημεῖον, καὶ δι' αὐτοῦ παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις ἕως τῶν διαμέτρων· τὸ γινόμενον τετράπλευρον πρὸς τῇ μιᾷ τῶν ἐφαπτομένων καὶ μιᾷ τῶν διαμέτρων ἴσον ἔσται τῷ γινομένῳ τριγώνῳ πρὸς τῇ αὐτῇ ἐφαπτομένῃ καὶ τῇ ἑτέρᾳ τῶν διαμέτρων.

PROP. II. *Theor.*

Iisdem positis, si in coni sectione vel circuli circumferentia sumatur aliquod punctum, & per ipsum parallelæ contingentibus usque ad diametros ducantur: quadrilaterum, factum ad unam contingentium & ad unam diametrorum, æquale erit triangulo ad eandem contingentem & alteram diametrum constituto.

ΕΣΤΩ γὰρ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ΑΒ, καὶ ἐφαπτόμεναι αἱ ΑΕΓ, ΒΕΔ, διάμετροι δὲ αἱ ΑΔ, ΒΓ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Η, καὶ ἤχθωσαν παρὰ τὰς ἐφαπτομένας αἱ ΗΚΛ, ΗΜΖ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΙΜ τρίγωνον τῷ ΓΛΗΙ τετραπλεύρῳ.

SIT AB coni sectio vel circuli circumferentia, quam contingant rectæ lineæ ΑΕΓ, ΒΕΔ, & diametri sint ΑΔ, ΒΓ; sumpto autem in sectione puncto Η, ducantur ΗΚΛ, ΗΜΖ contingentibus parallelæ: dico triangulum ΑΙΜ æquale esse quadrilatero ΓΛΗΙ.









Ἐπεὶ γὰρ προδέδεικται ἴσον τὸ ΗΚΜ τρίγωνον τῷ ΑΛ τετραπλεύρῳ, κοινὸν προσκείσθω ἢ ἀφῃρήσθω τὸ ΙΚ τετράπλευρον, καὶ γίνεται τὸ ΑΙΜ τρίγωνον ἴσον τῷ ΓΗ τετραπλεύρῳ.

Quoniam enim ostensum est [ad 42. & 43. 1. huj.] ΗΚΜ triangulum æquale quadrilatero ΑΛ; commune apponatur vel auferatur quadrilaterum ΙΚ, & fiet triangulum ΑΙΜ quadrilatero ΓΗ æquale.

EUTOCIUS.

Τὰς πτώσεις τούτου τοῦ θεωρήματος εὑρήσεις διὰ τοῦ μβ΄. καὶ μγ΄. θεωρήματος τοῦ πρώτου βιβλίου, καὶ τῶν εἰς αὐτὰ γεγραμμένων σχολίων. δεῖ μέντοι ἐπιστῆσαι, ὅτι ἐὰν τὸ Η σημεῖον μεταξὺ τῶν Α, Β ληφθῇ, ὥστε παραλλήλους εἶναι τὰς ΔΕΒ, ΜΗΖ· ΑΕΓ, ΛΗΚ, ἐκβληθῇ δὲ ἡ ΑΚ μέχρι τῆς τομῆς ὡς κατὰ τὸ Ν, καὶ διὰ τοῦ Ν τῇ ΒΔ παράλληλος ἀχθῇ ἡ ΝΞ· ἔσται διὰ τὰ εἰρημένα ἐν τῷ πρώτῳ βιβλίῳ, κατὰ τὸ μθ΄. καὶ ν΄. θεώρημα καὶ τὸ τούτων σχόλιον, τὸ ΚΝΞ τρίγωνον τῷ ΚΓ τετραπλεύρῳ ἴσον. ἀλλὰ τὸ ΚΝΞ ὅμοιόν ἐστι τῷ ΚΜΗ, διότι παράλληλός ἐστιν ἡ ΜΗ τῇ ΝΞ. ἔστι δὲ αὐτῷ καὶ ἴσον, διότι ἐφαπτομένη ἐστὶν ἡ ΑΓ, παράλληλος δὲ αὐτῇ ἡ ΗΝ, καὶ διάμετρος ἡ ΜΞ, καὶ ἴση ἄρα ἡ ΝΚ τῇ ΚΗ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΚΝΞ τρίγωνον τῷ ΚΓ τετραπλεύρῳ· κοινοῦ προστεθέντος τοῦ ΑΝ, γίνεται τὸ ΑΘΞ τρίγωνον τῷ ΝΓ τετραπλεύρῳ ἴσον.

Casus hujus theorematis invenientur per quadragesimum secundum & quadragesimum tertium theorema primi libri, & commentarios in ea conscriptos. oportet autem scire, si punctum Η inter Α, Β sumatur, ita ut æquidistantes sint ΔΕΒ, ΜΗΖ, itemque ΑΕΓ, ΛΗΚ, & producatur ΑΚ usque ad sectionem in Ν, & per Ν ducatur ΝΞ ipsi ΒΔ æquidistans: ex iis quæ tradita sunt in theoremate quadragesimo nono & quinquagesimo primi libri, & in ipsa commentariis, erit triangulum ΚΝΞ æquale quadrilatero ΚΓ. sed triangulum ΚΝΞ simile est triangulo ΚΜΗ, cum ΜΗ æquidistans sit ΝΞ. est autem & eidem æquale, quoniam ΑΓ est recta contingens, cui æquidistat ΗΝ, & ΜΞ est diameter, & ΝΚ æqualis ΚΗ. quoniam igitur triangulum ΚΝΞ æquale est quadrilatero ΚΓ; adjiciatur commune quadrilaterum ΑΝ, ac fiet triangulum ΑΘΞ æquale quadrilatero ΝΓ.

Prop. III. Theor.

Iisdem positis, si in coni sectione vel circuli circumferentia duo puncta sumantur; & per ipsa ducantur parallelæ contingentibus usque ad diametros: quadrilatera, quæ ab ipsis fiunt, diametrisque insistunt, inter se æqualia erunt.

ΠΡΟΤΑΣΙΣ γ΄.

Τῶν αὐτῶν ὑποκειμένων, ἐὰν ἐπὶ τῆς τομῆς ἢ τῆς περιφερείας δύο σημεῖα ληφθῇ, καὶ δι' αὐτῶν παράλληλοι ἀχθῶσιν ἕως τῶν διαμέτρων ταῖς ἐφαπτομέναις· τὰ γινόμενα ὑπὸ τῶν ἀχθεισῶν τετράπλευρα, βεβηκότα δὲ ἐπὶ τῶν διαμέτρων, ἴσα ἔσται ἀλλήλοις.

SIT enim coni sectio, vel circuli circumferentia, lineæque contingentes & diametri, sicuti jam dictum est; &, sumptis in sectione duobus punctis Z, H, ducantur per Z quidem lineæ contingentibus parallelæ ZΘΚΛ, ΝΖΙΜ, per Η vero ducantur ΝΗΞΟ, ΗΘΠΡ: dico quadrilaterum ΛΗ quadrilatero ΜΘ, & quadrilaterum ΛΝ ipsi ΡΝ æquale esse.

ΕΣΤΩ γὰρ ἡ τομή, ἢ κύκλου περιφέρεια, καὶ ἐφαπτόμεναι καὶ αἱ διάμετροι, ὡς προείρηται, καὶ εἰλήφθω ἐπὶ τῆς τομῆς δύο τυχόντα σημεῖα τὰ Ζ, Η, καὶ διὰ μὲν τοῦ Ζ ταῖς ἐφαπτομέναις παράλληλοι ἤχθωσαν ἥ τε ΖΘΚΛ καὶ ἡ ΝΖΙΜ, διὰ δὲ τοῦ Η ἥ τε ΝΗΞΟ καὶ ΗΘΠΡ· λέγω ὅτι ἴσον ἐστὶ τὸ μὲν ΛΗ τετράπλευρον τῷ ΜΘ, τὸ δὲ ΛΝ τῷ ΡΝ.







Quoniam enim antea [ad 2. 3. huj.] demonstratum est triangulum ΡΠΑ æquale quadrilatero ΓΗ, & triangulum ΑΜΙ quadrilatero ΓΖ; est autem ΑΡΠ triangulum majus quam triangulum ΑΜΙ quadrilatero ΠΜ: erit & quadrilaterum ΓΗ majus quam ΓΖ eodem ΜΠ quadrilatero: & propterea quadrilaterum ΓΗ æquale est quadrilateris ΓΖ, ΜΠ, hoc est ipsis ΓΘ, ΡΖ. commune auferatur ΓΘ: reliquum igitur quadrilaterum ΛΗ æquale est reliquo ΘΜ: quare & totum ΛΝ toti ΡΝ æquale erit.

Ἐπεὶ γὰρ προδέδεικται ἴσον τὸ ΡΠΑ τρίγωνον τῷ ΓΗ τετραπλεύρῳ, τὸ δὲ ΑΜΙ τῷ ΓΖ, τὸ δὲ ΑΡΠ τοῦ ΑΜΙ μεῖζόν ἐστι τῷ ΠΜ τετραπλεύρῳ· καὶ τὸ ΓΗ ἄρα τοῦ ΓΖ μεῖζόν ἐστι τῷ ΜΠ τετραπλεύρῳ· ὥστε τὸ ΓΗ ἴσον ἐστὶ τῷ ΓΖ καὶ τῷ ΜΠ, τουτέστι τῷ ΓΘ καὶ τῷ ΡΖ. κοινὸν ἀφῃρήσθω τὸ ΓΘ· λοιπὸν ἄρα τὸ ΛΗ ἴσον ἐστὶ τῷ ΘΜ· καὶ ὅλον ἄρα τὸ ΛΝ τῷ ΡΝ ἴσον ἐστίν.

EUTOCIUS.

Hoc theorema plures casus habet, quos ut in antecedente inveniemus. sed animadvertendum est duo puncta quæ sumuntur, vel esse inter duas diametros, vel extra & ad easdem partes. nam si alterum quidem extra sumatur, alterum vero inter diametros, non constituentur quadrilatera de quibus in propositione dictum est. sed neque ad utrasque diametrorum partes constituentur.

Τὸ θεώρημα τοῦτο πλείους ἔχει πτώσεις, ἃς εὑρήσομεν ὁμοίως τῷ πρὸ αὐτοῦ. δεῖ μέντοι ἐπισημήνασθαι ὅτι τὰ λαμβανόμενα δύο σημεῖα ἢ μεταξύ ἐστι τῶν δύο διαμέτρων, ἢ τὰ δύο ἐκτὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη. εἰ γὰρ τὸ μὲν ἕτερον ἐκτὸς λάβοιμεν, τὸ δὲ ἕτερον μεταξὺ τῶν διαμέτρων, οὐ συνίσταται τὰ ἐν τῇ προτάσει λεγόμενα τετράπλευρα, ἀλλ' οὐδὲ ἐφ' ἑκάτερα τῶν διαμέτρων.

ΠΡΟΤΑΣΙΣ δʹ.

Εὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσιν ἀλλήλαις, ἀχθῶσι δὲ διὰ τῶν ἁφῶν διάμετροι συμπίπτουσαι ταῖς ἐφαπτομέναις· ἴσα ἔσται τὰ πρὸς ταῖς ἐφαπτομέναις τρίγωνα.

Prop. IV. *Theor.*

Si duæ rectæ lineæ oppositas sectiones contingentes inter se conveniant, & per tactus ducantur diametri contingentibus occurrentes: triangula, quæ ad contingentes constituuntur, æqualia erunt.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ Α, Β, αἱ δὲ ἐφαπτόμεναι αὐτῶν αἱ ΑΓ, ΒΓ συμπιπτέτωσαν κατὰ τὸ Γ, κέντρον δὲ ἔστω τῶν τομῶν τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΑΒ, καὶ ἡ ΓΔ, καὶ ἐκβεβλήσθω ἡ ΓΔ ἐπὶ τὸ Ε, ἐπεζεύχθωσαν δὲ καὶ αἱ ΔΑ, ΒΔ, καὶ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Ζ, Η· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΔΗ τρίγωνον τῷ ΒΔΖ, τὸ δὲ ΑΓΖ τῷ ΒΓΗ.



Ἤχθω γὰρ διὰ τοῦ Θ ἐφαπτομένη τῆς τομῆς ἡ ΘΛ· παράλληλος ἄρα ἐστὶ τῇ ΑΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΘ, ἴσον ἂν εἴη τὸ ΑΗΔ τρίγωνον τῷ ΘΛΔ. ἀλλὰ τὸ ΔΘΛ τῷ ΒΔΖ ἐστὶν ἴσον· καὶ τὸ ΑΗΔ ἄρα τῷ ΒΔΖ ἐστὶν ἴσον· ὥστε καὶ τὸ ΑΓΖ τῷ ΒΓΗ ἴσον.

SINT oppositæ sectiones A, B, quas contingant rectæ lineæ ΑΓ, ΒΓ in puncto Γ convenientes; sitque sectionum centrum Δ; & junctis ΑΒ, ΓΔ, producatur ΓΔ usque ad E; jungantur etiam ΔΑ, ΒΔ; & ad Z, H producantur: dico triangulum ΑΔΗ æquale esse triangulo ΒΔΖ; & ΑΓΖ triangulum triangulo ΒΓΗ.

Ducatur enim per Θ contingens sectionem ΘΛ, quæ [per demonstrata ab *Eutocio* ad 44.1.huj.] ipsi AH parallela erit. & quoniam [per 30.1. huj.] ΑΔ æqualis est ΔΘ; erit [per 26.1.] ΑΗΔ triangulum æquale triangulo ΘΛΔ. sed [per 1.3.huj.] & triangulum ΔΘΛ æquale est triangulo ΒΔΖ: igitur triangulum ΑΗΔ triangulo ΒΔΖ æquale: unde triangulum ΑΓΖ ipsi ΒΓΗ est æquale.

EUTOCIUS.

Εν τῇ προτάσει τούτου τοῦ θεωρήματος καὶ τῶν ἑξῆς δεῖ ἐπιστῆσαι, ὅτι τῶν ἀντικειμένων λέγει ἀδιορίστως· καί τινα μὲν τῶν ἀντιγράφων τὰς δύο ἐφαπτομένας ἐπὶ τῆς μιᾶς τομῆς ἔχειν, τινὰ δὲ οὐκέτι τὰς δύο ἐφαπτομένας ἐπὶ τῆς μιᾶς, ἀλλ᾽ ἐφ᾽ ἑκατέρας αὐτῶν μίας συμπιπτούσας ἀλλήλαις (ὡς εἴρηται ἐν τῷ δευτέρῳ βιβλίῳ) ἐν τῇ ἐφεξῆς γωνίᾳ τῶν ἀσυμπτώτων. καὶ οὕτως δὴ κἀκείνῳ συμβαίνει τὰ τῆς προτάσεως. ἔξεστι δὲ τοῖς βουλομένοις καταγράφουσιν ἐπισκέπτεσθαι. καὶ δῆλον ὅτι, εἰ μὲν τῆς μιᾶς τῶν τομῶν δύο εὐθεῖαι ἐφάπτονται, ἡ διὰ τῆς συμπτώσεως αὐτῶν καὶ τοῦ κέντρου ἡ πλαγία διάμετρός ἐστι τῶν ἀντικειμένων· εἰ δὲ ἑκατέρας μία ἐστὶν ἐφαπτομένη, ἡ διὰ τῆς συμπτώσεως αὐτῶν καὶ τοῦ κέντρου ἡ ὀρθία διάμετρός ἐστιν.

In propositione hujus theorematis & eorum quæ sequuntur, scire oportet *Apollonium* indeterminate dicere *oppositas sectiones*: & nonnulli quidem codices habent duas contingentes in una sectione: nonnulli vero non duas contingentes in una, sed singulas in utraque sectione contingentes, quæ inter se conveniunt (uti dictum est in secundo libro) in angulo qui deinceps est angulo asymptotôn; & ita eveniunt ea quæ in propositione dicuntur. licet autem iis, qui volunt, hoc descriptis figuris considerare. ac manifestum est, si unam sectionum duæ rectæ lineæ contingant; quæ per punctum concursûs earum & centrum ducitur recta, oppositarum sectionum transversa diameter est: si vero utramque sectionem singulæ lineæ contingant; quæ per dictum punctum & centrum ducitur, est recta diameter sectionum.

ΠΡΟΤΑΣΙΣ εʹ.

Εὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσι, καὶ ληφθῇ ἐφ᾽ ὁποτέρας τῶν τομῶν σημεῖόν τι, καὶ ἀπ᾽ αὐτοῦ ἀχθῶσι δύο εὐθεῖαι, ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν· τὸ γινόμενον ὑπ᾽ αὐτῶν τρίγωνον, πρὸς τῇ διὰ τῆς συμπτώσεως ἠγμένῃ διαμέτρῳ, τοῦ ἀπολαμβανομένου τριγώνου πρὸς τῇ συμπτώσει τῶν ἐφαπτομένων διαφέρει, τῷ ἀπολαμβανομένῳ τριγώνῳ πρός τε τῇ ἐφαπτομένῃ καὶ τῇ διὰ τῆς ἁφῆς ἀγομένῃ διαμέτρῳ.

Prop. V. *Theor.*

Si duæ rectæ lineæ oppositas sectiones contingentes sibi ipsis occurrant; & in quavis sectionum aliquod punctum sumatur, à quo ducantur duæ lineæ, una quidem contingenti æquidistans, altera vero parallela ei quæ tactus conjungit: triangulum, quod ab ipsis constituitur ad diametrum per occursum ductam, à triangulo quod est ad occursum contingentium differt, triangulo facto ad contingentem & ad diametrum illam quæ per tactum ducitur.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ Α, Β, ὧν κέντρον τὸ Γ, καὶ ἐφαπτόμεναι αἱ ΕΔ, ΔΖ συμπιπτέ-

SINT oppositæ sectiones A, B, quarum centrum Γ; & lineæ contingentes sint ΕΔ, ΔΖ, quæ

quæ sibi ipsis occurrant in Δ; & junctis EZ, ΓΔ producatur ΓΔ, junctæque etiam ZΓ, EΓ producantur; in sectione autem sumatur aliquod punctum H, per quod ducatur HKΘΛ æquidistans EZ, & HM parallela ipsi ΔZ: dico triangulum HΘM à triangulo KΘΔ differre triangulo KΛZ.

Quoniam enim [per 38. 2. huj.] ostensa est ΓΔ diameter oppositarum sectionum, & EZ ad ipsam ordinatim applicatur; & HKΘΛ quidem ducitur parallela EZ, MH vero parallela ΔZ: triangulum MHΘ à triangulo ΓΛΘ differt [per 45. 1. huj.] triangulo ΓΔZ: quare MHΘ triangulum à triangulo KΘΔ differt triangulo KZΛ. constat igitur triangulum KZΛ quadrilatero MHKΔ æquale esse.

τέμνουσιν κατὰ τὸ Δ, καὶ ἐπεζεύχθω ἡ EZ καὶ ἡ ΓΔ, καὶ ἐκβεβλήσθω ἡ ΓΔ, καὶ αἱ ZΓ, EΓ ἐπιζευχθεῖσαι ἐκβεβλήσθωσαν, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ H, καὶ δι' αὐτοῦ ἤχθω παρὰ μὲν τὴν EZ ἡ HKΘΛ, παρὰ δὲ τὴν ΔZ ἡ HM· λέγω ὅτι τὸ HΘM τρίγωνον τοῦ KΘΔ διαφέρει τῷ KΛZ.



Ἐπεὶ γὰρ δέδεικται ἡ ΓΔ διάμετρος τῶν ἀντικειμένων, ἡ δὲ EZ τεταγμένως ἐπ' αὐτὴν κατηγμένη, καὶ ἡ μὲν HΘ παρὰ τὴν EZ, ἡ δὲ MH παρὰ τὴν ΔZ· τὸ ἄρα MHΘ τρίγωνον διαφέρει τοῦ ΓΛΘ τριγώνου τῷ ΓΔZ· ὥστε τὸ MHΘ τοῦ KΘΔ τριγώνου διαφέρει τῷ KZΛ. Φανερὸν δὴ ὅτι ἴσον γίνεται τὸ KZΛ τρίγωνον τῷ MHKΔ τετραπλεύρῳ.

EUTOCIUS.

Quintum quidem theorema satis constat: verumtamen in figura quæ diametrum habet rectam, ita dicemus. quoniam ostensum est [ad 45. 1. huj.] triangulum HΘM majus esse quam triangulum ΓΛΘ triangulo ΓΔZ; erit triangulum HΘM æquale triangulo ΓΘΛ una cum triangulo ΓΔZ: ergo & æquale triangulo KΔΘ una cum triangulo KΛZ: triangulum igitur HMΘ à triangulo KΔΘ differt triangulo KΛZ. communi ablato triangulo ΘΔK; reliquum KΛZ triangulum æquale est quadrilatero KΔMH.

Ἐστι δὴ σαφὲς τὸ πέμπτον θεώρημα· λεκτέον δὲ ἐπὶ μὲν τῆς καταγραφῆς τῆς ἐχούσης τὴν ὀρθίαν διάμετρον· ἐπεὶ δέδεικται τὸ HΘM τοῦ ΓΛΘ μεῖζον τῷ ΓΔZ, ἴσον ἔσται τὸ HΘM τῷ ΓΘΛ καὶ τῷ ΓΔZ· ὥστε καὶ τῷ KΔΘ μετὰ τοῦ KΛZ· τὸ ἄρα HMΘ τοῦ KΔΘ διαφέρει τῷ KΛZ. κοινοῦ ἀφαιρουμένου τοῦ ΘΔK, λοιπὸν τὸ KΛZ ἴσον τῷ KΔMH.

In figura vero quæ transversam diametrum habet, hoc modo. quoniam prius demonstratum est [ad 44. 1.] ΓΛΘ triangulum majus esse quam triangulum MΘH triangulo ΓΔZ; erit ΓΘΛ triangulum æquale triangulo ΘHM una cum triangulo ΓΔZ. commune auferatur quadrilaterum ΓΔKΛ: reliquum igitur KΘΔ triangulum æquale est triangulo ΘHM una cum triangulo ΛZK. rursus commune auferatur MΘH: ergo triangulum ZKΛ quadrilatero ΔMHK æquale erit. Casus habet plures quos ex demonstratis in quadragesimo quarto & quadragesimo quinto theoremate primi libri addiscere oportet. Cum autem dicitur, *auferatur vel apponatur quadrilaterum vel triangulum*, ablationes & appositiones juxta proprietatem casuum fieri debent. quoniam vero sequentia plures casus continent, ob punctorum sumptiones & parallelas lineas; ne confusionem commentariis afferamus multas figuras describentes, unam in singulis theorematibus faciemus, quæ oppositas sectiones & diametros & lineas contingentes habeat; ut servetur illud quod in propositione dictum est. *Iisdem positis*, & parallelas quousque occurrant producemus, in unoquoque occursu literas ponentes, ita ut quilibet, observatis consequentiis, facile possit casus omnes demonstrare.



Ἐπὶ δὲ τῆς ἐχούσης τὴν πλαγίαν διάμετρον· ἐπειδὴ προδέδεικται τὸ ΓΛΘ τοῦ MΘH μεῖζον τῷ ΓΔZ, ἴσον ἄρα ἐστὶ τὸ ΓΘΛ τῷ ΘHM μετὰ τοῦ ΓΔZ. κοινὸν ἀφῃρήσθω τὸ ΓΔKΛ· λοιπὸν ἄρα τὸ KΘΔ ἴσον ἐστὶ τῷ ΘHM μετὰ τοῦ ΛKZ. ἔτι κοινὸν ἀφῃρήσθω τὸ MΘH· λοιπὸν ἄρα τὸ ZKΛ τῷ ΔMHK ἴσον. Πτώσεις δ' ἔχει πολλάς, ἃς δεῖ ἐφιστάνειν ἀπὸ τῶν δεδειγμένων ἐν τῷ μδʹ. καὶ μεʹ. θεωρήματι τοῦ πρώτου βιβλίου. Ἐν δὲ τῷ λέγειν "ἀφῃρήσθω ἢ προσκείσθω τετράπλευρον ἢ τρίγωνον", τὰς ἀφαιρέσεις ἢ προσθέσεις κατὰ τὴν οἰκειότητα τῶν πτώσεων χρὴ ποιεῖσθαι. ἐπειδὴ δὲ τὰ ἑξῆς πολύπτωτά ἐστι διὰ τὰ λαμβανόμενα σημεῖα καὶ τὰς παραλλήλους, ἵνα μὴ ὄχλον παρέχωμεν τοῖς ὑπομνήμασι, πολλὰς ποιοῦντες καταγραφὰς καθ' ἕκαστον τῶν θεωρημάτων, μίαν ποιοῦμεν ἔχουσαν τὰς ἀντικειμένας καὶ τὰς διαμέτρους καὶ τὰς ἐφαπτομένας, ἵνα σώζηται τὸ ἐν τῇ προτάσει λεγόμενον. "τῶν αὐτῶν ὑποκειμένων" καὶ τὰς παραλλήλους πάσας ποιοῦμεν συμπίπτειν, στοιχεῖα καθ' ἑκάστην σύμπτωσιν θέντες, ἵνα φυλάττων τις τὰ ἀκόλουθα δύνηται πάσας τὰς πτώσεις ἀποδεικνύειν.

ΠΡΟΤΑΣΙΣ ϛʹ.

Τῶν αὐτῶν ὑποκειμένων, ἐὰν ἐπὶ μιᾶς τῶν ἀντικειμένων ληφθῇ τι σημεῖον, καὶ ἀπ' αὐτοῦ παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις, συμπίπτουσαι ταῖς τε ἐφαπτομέναις καὶ ταῖς διαμέτροις· τὸ γινόμενον ὑπ' αὐτῶν τετράπλευρον, πρὸς τῇ μιᾷ τῶν ἐφαπτομένων καὶ τῇ μιᾷ τῶν διαμέτρων, ἴσον ἔσται τῷ γινομένῳ τριγώνῳ, πρός τε τῇ αὐτῇ ἐφαπτομένῃ καὶ τῇ ἑτέρᾳ τῶν διαμέτρων.

Prop. VI. *Theor.*

Iisdem positis, si in una oppositarum sectionum aliquod punctum sumatur, & ab eo ducantur rectæ lineæ contingentibus parallelæ, quæ & contingentibus & diametris occurrant: quadrilaterum ab ipsis factum, ad unam contingentium & ad unam diametrorum, æquale erit triangulo, quod ad eandem contingentem & ad alteram diametrum constituitur.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι, ὧν διάμετροι αἱ ΑΕΓ, ΒΕΔ, καὶ τῆς ΑΒ τομῆς ἐφαπτέσθωσαν αἱ ΑΖ, ΒΗ, συμπίπτουσαι ἀλλήλαις κατὰ τὸ Θ, εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Κ, καὶ ἀπ' αὐτοῦ ταῖς ἐφαπτομέναις παράλληλοι ἤχθωσαν αἱ ΚΛΜ, ΚΝΞ· λέγω ὅτι τὸ ΚΖ τετράπλευρον τῷ ΑΙΝ τριγώνῳ ἐστὶν ἴσον.



Ἐπεὶ οὖν ἀντικείμεναί εἰσιν αἱ ΑΒ, ΓΔ, καὶ τῆς ΑΒ ἐφάπτεται ἡ ΑΖ συμπίπτουσα τῇ ΒΔ, καὶ παρὰ τὴν ΑΖ ἦκται ἡ ΚΛ· ἴσον ἐστὶ τὸ ΑΙΝ τρίγωνον τῷ ΚΖ τετραπλεύρῳ.

SINT oppositæ sectiones, quarum diametri ΑΕΓ, ΒΕΔ, & sectionem ΑΒ contingant rectæ lineæ ΑΖ, ΒΗ convenientes inter se in puncto Θ; sumatur autem aliquod punctum Κ in sectione, à quo parallelæ contingentibus ducantur ΚΛΜ, ΚΝΞ: dico quadrilaterum ΚΖ æquale esse triangulo ΑΙΝ.

Quoniam enim oppositæ sectiones sunt ΑΒ, ΓΔ, & sectionem ΑΒ contingit recta linea ΑΖ ipsi ΒΔ occurrens, & ducta est ΚΛ parallela ipsi ΑΖ: triangulum ΑΙΝ [per 2. 3. huj.] quadrilatero ΚΖ æquale erit.

EUTOCIUS.

Αἱ πτώσεις τούτου τοῦ θεωρήματος καὶ τῶν ἐφεξῆς πάντων, ὡς εἴρηται ἐν τοῖς τοῦ πέμπτου θεωρήματος σχολίοις, πολλαί εἰσιν· ἐπὶ πασῶν μέντοι τὰ αὐτὰ συμβαίνει. ὑπὲρ δὲ πλείονος σαφηνείας, ὑπογεγράφθω μία ἐξ αὐτῶν, καὶ ἤχθω ἀπὸ τοῦ Γ ἐφαπτομένη τῆς τομῆς ἡ ΓΠΡ· φανερὸν δὴ ὅτι παράλληλός ἐστι τῇ ΑΖ καὶ τῇ ΜΛ. καὶ ἐπεὶ δέδεικται ἐν τῷ δευτέρῳ θεωρήματι, κατὰ τὴν τῆς ὑπερβολῆς καταγραφὴν, τὸ ΓΠΝ τῷ ΛΚΠΡ τετραπλεύρῳ ἴσον, κοινὸν προσκείσθω τὸ ΜΠ· τὸ ἄρα ΜΚΝ τρίγωνον τῷ ΜΛΡΓ ἴσον ἐστί. κοινὸν προσκείσθω τὸ ΓΡΕ, ὅ ἐστιν ἴσον τῷ ΑΕΖ, διὰ τὰ ἐν τῷ μαʹ. τοῦ πρώτου βιβλίου· ὅλον ἄρα τὸ ΜΕΛ ἴσον ἐστὶ τῷ ΜΚΝ καὶ τῷ ΑΕΖ. κοινοῦ ἀφαιρουμένου τοῦ ΚΜΝ, λοιπὸν τὸ ΑΕΖ τῷ ΚΛΕΝ ἐστὶν ἴσον. κοινὸν προσκείσθω τὸ ΖΕΝΙ· ὅλον ἄρα τὸ ΑΙΝ τρίγωνον τῷ ΚΛΖΙ ἴσον ἐστίν. ὁμοίως δὲ καὶ τὸ ΒΟΛ ἴσον ἐστὶ τῷ ΚΝΗΟ.



Casus hujus theorematis, & quidem omnium sequentium, multi sunt; ut dictum est in scholiis ad quintam propositionem: eadem tamen eveniunt in singulis. Verum, majoris evidentiæ gratiâ, describatur eorum unus, & ducatur recta ΓΠΡ sectionem contingens in Γ: patet igitur eam ipsis ΑΖ, ΜΛ parallelam esse. Quoniam autem, per secundum theorema hujus, in figura hyperbolæ, demonstratum est triangulum ΓΠΝ quadrilatero ΛΚΠΡ æquale, commune addatur quadrilaterum ΜΠ; ac triangulum ΜΚΝ quadrilatero ΜΛΡΓ æquale erit. commune adjiciatur triangulum ΓΡΕ, ipsi ΑΕΖ [per 41. primi huj.] æquale: erit igitur totum triangulum ΜΕΛ triangulis ΜΚΝ, ΑΕΖ simul æquale. utrinque auferatur commune triangulum ΚΜΝ; ac reliquum ΑΕΖ quadrilatero ΚΛΕΝ æquabitur. dein addatur commune quadrilaterum ΖΕΝΙ; totum igitur triangulum ΑΙΝ quadrilatero ΚΛΖΙ æquale est †. Pariter triangulum ΒΟΛ æquale erit quadrilatero ΚΝΗΟ.

† Ac si producatur ΛΜ ad x, ac ducatur v x α ipsi ΒΗ parallela: erunt, ob ΚΜ ipsi Μx æqualem, triangula ΚΜΝ, xΜv æqualia; ac proinde quadrilaterum ΙΝvα parallelogrammo Κα æquale. adjiciantur æqualia ΑΙΝ & ΚΛΖΙ, ac fiet triangulum Αvα quadrilatero xΛΖα æquale.

Prop. VII. *Theor.*

Iisdem positis, si in utraque sectione aliqua puncta sumantur; & ab ipsis ducantur lineæ contingentibus parallelæ, quæ & contingentibus & diametris occurrant: quadrilatera à lineis ductis constituta & diametris insistentia inter se æqualia erunt.

ΠΡΟΤΑΣΙΣ ζ.

Τῶν αὐτῶν ὑποκειμένων, ἐὰν ἐφ' ἑκατέρας τῆς τομῆς σημεῖά τινα ληφθῇ, καὶ ἀπ' αὐτῶν παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις, συμπίπτουσαι ταῖς τε ἐφαπτομέναις καὶ ταῖς διαμέτροις· τὰ γινόμενα ὑπὸ τῶν ἀχθεισῶν τετράπλευρα, βεβηκότα δὲ ἐπὶ τῆς διαμέτρου, ἴσα ἔσται ἀλλήλοις.

PONANTUR enim eadem quæ supra; & in utraque sectione puncta Κ, Λ sumantur, per quæ ducantur ΜΚΠΡΧ, ΝΣΤΛ ipsi ΑΖ parallelæ; & ΝΙΟΚΞ, ΧΦΤΛ parallelæ ipsi ΒΗ: dico eadem evenire quæ in propositione dicta sunt.

Nam cum triangulum ΑΟΙ [per 2.3. huj.] quadrilatero ΡΟ æquale sit, commune apponatur ΕΟ; & erit totum triangulum ΑΕΖ æquale quadrilatero ΚΕ. est autem [per *Eutoc*.6.3. huj.] & ΒΕΗ triangulum quadrilatero ΛΕ æquale: & [per 1. 3. huj.] triangulum ΑΕΖ triangulo ΒΗΕ: ergo & quadrilaterum ΛΕ æquale est quadrilatero ΙΚΡΕ. commune apponatur ΝΕ: totum igitur ΤΚ toti ΙΛ; & ΚΤ ipsi ΡΛ æquale erit.



Ὑποκείσθω γὰρ τὰ προειρημένα, καὶ εἰλήφθω ἐφ' ἑκατέρας τῆς τομῆς σημεῖα τὰ Κ, Λ, καὶ δι' αὐτῶν παρὰ μὲν τὴν ΑΖ ἤχθωσαν ἡ ΜΚΠΡΧ καὶ ἡ ΝΣΤΛ, παρὰ δὲ τὴν ΒΗ ἡ ΝΙΟΚΞ καὶ ἡ ΧΦΤΛ· λέγω ὅτι ἔσται τὰ τῆς προτάσεως.

Ἐπεὶ γὰρ τὸ ΑΟΙ τρίγωνον τῷ ΡΟ τετραπλεύρῳ ἐστὶν ἴσον, κοινὸν προσκείσθω τὸ ΕΟ· ὅλον ἄρα τὸ ΑΕΖ τρίγωνον ἴσον ἐστὶ τῷ ΚΕ. ἔστι δὲ καὶ τὸ ΒΕΗ τρίγωνον ἴσον τῷ ΛΕ τετραπλεύρῳ, καὶ ἔστι τὸ ΑΕΖ τρίγωνον ἴσον τῷ ΒΗΕ· καὶ τὸ ΛΕ ἄρα ἴσον ἐστὶ τῷ ΙΚΡΕ. κοινὸν προσκείσθω τὸ ΝΕ· ὅλον ἄρα τὸ ΤΚ ἴσον ἐστὶ τῷ ΙΛ, καὶ τὸ ΚΤ τῷ ΡΛ.

Prop. VIII. *Theor.*

Iisdem positis, pro punctis Κ, Λ sumantur Γ, Δ, in quibus diametri cum sectionibus conveniunt; & per ipsa contingentibus parallelæ ducantur: dico ΞΕ quadrilaterum quadrilatero ΕΤ; & quadrilaterum ΞΙ quadrilatero ΤΟ æquale esse.

ΠΡΟΤΑΣΙΣ η.

Τῶν αὐτῶν ὑποκειμένων, εἰλήφθω ἀντὶ τῶν Κ, Λ τὰ Γ, Δ, καθ' ἃ συμβάλλουσιν αἱ διάμετροι ταῖς τομαῖς, καὶ δι' αὐτῶν ἤχθωσαν αἱ παράλληλοι ταῖς ἐφαπτομέναις· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΞΕ τετράπλευρον τῷ ΕΤ, καὶ τὸ ΞΙ τῷ ΟΤ.

QUONIAM enim triangulum ΑΗΘ ostensum est [per 1. 3. huj.] æquale triangulo ΘΒΖ: & [per 1. lem.] linea quæ à puncto Α ducitur ad Β æquidistat lineæ à puncto Η ad Ζ ductæ: erit [per 2. 6.] ut ΑΕ ad ΕΗ ita ΒΕ ad ΒΖ; & per conversionem rationis ut ΕΑ ad ΑΗ ita ΕΒ ad ΒΖ. est autem ut ΓΑ ad ΑΕ ita ΔΒ ad ΒΕ; utraque enim [per 30. 1. huj.] utriusque est dupla: ergo ex æquali [per 22. 5.] ut ΓΑ ad ΑΗ ita ΔΒ ad ΒΖ. & sunt triangula similia, propter lineas [ex hyp.] parallelas: ut igitur ΓΤΑ trian-



Ἐπεὶ γὰρ ἴσον ἐδείχθη τὸ ΑΗΘ τρίγωνον τῷ ΘΒΖ, καὶ ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β παράλληλός ἐστι τῇ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ζ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΕ πρὸς ΕΗ οὕτως ἡ ΒΕ πρὸς ΕΖ, καὶ ἀναστρέψαντι ὡς ἡ ΕΑ πρὸς ΑΗ οὕτως ἡ ΕΒ πρὸς ΒΖ. ἔστι δὲ καὶ ὡς ἡ ΓΑ πρὸς ΑΕ οὕτως ἡ ΔΒ πρὸς ΒΕ, ἑκατέρα γὰρ ἑκατέρας διπλῆ· δι' ἴσου ἄρα ὡς ἡ ΓΑ πρὸς ΑΗ οὕτως ἡ ΔΒ πρὸς ΒΖ. καὶ ἔστιν ὅμοια τὰ τρίγωνα, διὰ τὰς παραλλήλους· ὡς ἄρα τὸ ΓΤΑ τρίγωνον πρὸς τὸ

ΑΘΗ

ΑΘΗ ἤτοι τὸ ΞΒΔ πρὸς τὸ ΘΒΖ, ἐναλλάξ. ἴσον δὲ τὸ ΑΗΘ τῷ ΘΖΒ· ἴσον ἄρα καὶ τὸ ΤΑΓ τῷ ΔΒΞ, ὧν τὸ ΑΗΘ ἴσον ἐδείχθη τῷ ΒΘΖ· λοιπὸν ἄρα τὸ ΔΘ τετράπλευρον ἴσον τῷ ΓΘ· ὥστε καὶ τὸ ΞΕ τῷ ΕΤ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΟ τῇ ΑΖ, ἴσον ἐστὶ τὸ ΓΟΕ τρίγωνον τῷ ΑΕΖ· ὁμοίως δὴ καὶ τὸ ΔΕΙ τῷ ΒΕΗ. ἀλλὰ τῷ ΒΕΗ τὸ ΑΕΖ ἴσον· καὶ τὸ ΓΟΕ ἴσον τῷ ΔΕΙ. ἔστι δὲ καὶ τὸ ΞΕ τετράπλευρον ἴσον τῷ ΕΤ· ὅλον ἄρα τὸ ΞΙ ἴσον ἐστὶ τῷ ΟΤ.

gulum ad triangulum ΑΘΗ ita triangulum ΞΒΔ ad triangulum ΘΒΖ; & permutando. triangulum autem ΑΗΘ æquale est [per 1. 3. huj.] triangulo ΘΖΒ: ergo & ΤΑΓ triangulum triangulo ΔΒΞ est æquale; quorum triangulum ΑΗΘ æquale est triangulo ΒΘΖ, ut ostensum est: reliquum igitur quadrilaterum ΔΘ est æquale quadrilatero ΓΘ: & propterea quadrilaterum ΞΕ quadrilatero ΕΤ. itaque quoniam [per dem. ab *Eut.* ad 44. 1. huj.] ΓΟ æquidistat ΑΖ, triangulum ΓΟΕ æquale est triangulo ΑΕΖ: similiter autem & triangulum ΔΕΙ triangulo ΒΕΗ. sed [per 1. 3. huj.] ΒΕΗ triangulum triangulo ΑΕΖ est æquale: ergo & triangulum ΓΟΕ triangulo ΔΕΙ. estque ΞΕ quadrilaterum æquale quadrilatero ΕΤ: totum igitur ΞΙ toti ΟΤ æquale erit.

ΠΡΟΤΑΣΙΣ θ'.

Τῶν αὐτῶν ὑποκειμένων, ἐὰν τὸ μὲν ἕτερον τῶν σημείων μεταξὺ ᾖ τῶν διαμέτρων, οἷον τὸ Κ, τὸ δὲ ἕτερον ἐπὶ τῶν Γ, Δ ταὐτόν, οἷον τὸ Γ, καὶ ἀχθῶσιν αἱ παράλληλοι· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΓΕΟ τρίγωνον τῷ ΚΕ τετραπλεύρῳ, καὶ τὸ ΛΟ τῷ ΛΜ.

Prop. IX. *Theor.*

Iisdem positis, si alterum quidem punctum sit inter diametros, ut Κ; alterum vero sit idem quod unum punctorum Γ, Δ, ut Γ; & parallelæ ducantur: dico triangulum ΓΕΟ æquale esse quadrilatero ΚΕ; & quadrilaterum ΛΟ æquale ipsi ΛΜ.



Τοῦτο δὲ φανερόν. ἐπεὶ ἴσον ἐδείχθη τὸ ΓΕΟ τρίγωνον τῷ ΑΕΖ, τὸ δὲ ΑΕΖ ἴσον τῷ ΚΕ τετραπλεύρῳ· ὥστε καὶ τὸ ΓΡΜ ἴσον ἐστὶ τῷ ΚΟ, καὶ τὸ ΛΜ τῷ ΛΟ.

Illud vero perspicue apparet. nam demonstratum est [per 4. 3. huj.] ΓΕΟ triangulum æquale triangulo ΑΕΖ; triangulumque ΑΕΖ [per corol. 2. 3. huj.] æquale est quadrilatero ΚΕ; ergo & triangulum ΓΡΜ quadrilatero ΚΟ; & quadrilaterum ΛΜ quadrilatero ΛΟ est æquale.

ΠΡΟΤΑΣΙΣ ι'.

Τῶν αὐτῶν ὑποκειμένων εἰλήφθω τὰ Κ, Λ σημεῖα, μὴ καθ' ὃ συμβάλλουσι διάμετροι ταῖς τομαῖς· δεικτέον δὲ ὅτι ἴσον ἐστὶ τὸ ΛΤΡΧ τετράπλευρον τῷ ΩΧΚΙ τετραπλεύρῳ.

Prop. X. *Theor.*

Iisdem positis, sumantur Κ, Λ, quæ non sint puncta in quibus diametri sectionibus occurrunt: demonstrandum est quadrilaterum ΛΤΡΧ quadrilatero ΩΧΚΙ æquale esse.



Ἐπεὶ γὰρ ἐφάπτονται αἱ ΑΖ, ΒΗ, καὶ διὰ τῶν ἁφῶν διάμετροί εἰσιν αἱ ΑΕ, ΒΕ, καὶ παρὰ τὰς ἐφαπτομένας εἰσὶν αἱ ΛΤ, ΚΙ· μεῖζόν ἐστι τὸ ΤΥΕ τοῦ ΤΩΛ τῷ ΕΖΑ. ὁμοίως δὴ καὶ τὸ ΞΕΙ τοῦ ΞΡΚ μεῖζόν ἐστι τῷ ΒΕΗ. ἴσον δὲ τὸ ΑΕΖ τῷ ΒΕΗ· τῷ αὐτῷ ἄρα ὑπερέχει τό τε ΤΕΥ τοῦ ΤΩΛ, καὶ τὸ

Quoniam enim rectæ lineæ ΑΖ, ΒΗ sectionem contingunt; & per tactus diametri ΑΕ, ΒΕ ducuntur; & sunt ΛΤ, ΚΙ contingentibus parallelæ: triangulum ΤΥΕ majus est [per 43. 1. huj.] quam triangulum ΤΩΛ triangulo ΕΖΑ. similiter & triangulum ΞΕΙ majus est quam triangulum ΞΡΚ triangulo ΒΕΗ. sed [per 1. 3. huj.] triangulum ΑΕΖ æquale est triangulo ΒΕΗ: quare eodem excessu & triangulum ΤΕΥ excedit triangulum ΤΩΛ, quo triangulum ΞΕΙ excedit ipsum ΞΡΚ:

ΞΡΚ: triangulum igitur ΤΥΕ una cum triangulo ΞΡΚ æquale est triangulo ΞΕΙ una cum triangulo ΤΩΛ. [vid. *Eut.* comment. in 48. 2. huj.] commune apponatur ΚΞΕΤΛΧ: ergo quadrilaterum ΛΤΡΧ quadrilatero ΩΧΚΙ est æquale.

ΞΕΙ τοῦ ΞΡΚ· τὸ ΤΥΕ ἄρα μετὰ τοῦ ΞΡΚ ἴσον ἐστὶ τῷ ΞΕΙ μετὰ τοῦ ΤΩΛ. κοινὸν προσκείσθω τὸ ΚΞΕΤΛΧ· τὸ ΛΤΡΧ ἄρα τετράπλευρον ἴσον ἐστὶ τῷ ΩΧΚΙ τετραπλεύρῳ.

Prop. XI. *Theor.*

Iisdem positis, si in qualibet sectione punctum sumatur, & ab ipso rectæ ducantur, una quidem contingenti parallela, altera vero parallela ei quæ tactus conjungit: triangulum, quod ab ipsis fit ad diametrum per occursum contingentium ductam, à triangulo contento linea contingente & diametro per tactum differt, triangulo quod ad contingentium occursum constituitur.

ΠΡΟΤΑΣΙΣ ιαʹ.

Τῶν αὐτῶν ὑποκειμένων, ἐὰν ἐφ' ὁποτέρας τῶν τομῶν σημεῖόν τι ληφθῇ, καὶ ἀπ' αὐτοῦ παράλληλοι ἀχθῶσιν, ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν· τὸ γινόμενον ὑπ' αὐτῶν τρίγωνον, πρὸς τῇ διὰ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἠγμένῃ διαμέτρῳ, διαφέρει τοῦ ἀπολαμβανομένου τριγώνου, πρός τε τῇ ἐφαπτομένῃ καὶ τῇ διὰ τῆς ἁφῆς ἠγμένῃ διαμέτρῳ, τῷ ἀπολαμβανομένῳ τριγώνῳ πρὸς τῇ συμπτώσει τῶν ἐφαπτομένων.

Sint sectiones oppositæ ΑΒ, ΓΔ; & lineæ contingentes ΑΕ, ΔΕ, quæ in puncto Ε sibi ipsis occurrant; sit autem centrum Θ; junganturque ΑΔ & ΕΘΗ; & sumpto in sectione ΑΒ quovis puncto Β, ducatur ΒΖΛ quidem ipsi ΑΗ parallela, ΒΜ vero parallela ipsi ΑΕ: dico triangulum ΒΖΜ à triangulo ΑΚΛ differre triangulo ΚΕΖ.



Lineam enim ΑΔ ab ipsa ΕΘ bifariam secari [ex 38, & 39. 2. huj.] perspicuum est; & ΕΘ diametrum esse conjugatam ei, quæ per Θ ducta ipsi ΑΔ æquidistat: quare ΑΗ applicata est ad ΕΗ. quoniam igitur ΗΕ diameter est, lineaque ΑΕ sectionem contingit, & applicata est ΑΗ, à sumpto autem in sectione puncto Β ad ΕΗ applicatur ΒΖ ipsi ΑΗ parallela, & ΒΜ parallela ipsi ΑΕ: patet triangulum ΒΜΖ [per 45. 1. huj.] à triangulo ΛΘΖ differre triangulo ΘΑΕ: ergo ΒΖΜ triangulum à triangulo ΑΚΛ differt triangulo ΚΖΕ; ac simul patet quadrilaterum ΒΚΕΜ triangulo ΛΚΑ æquale esse.

Ἔστωσαν ἀντικείμεναι αἱ ΑΒ, ΓΔ, καὶ ἐφαπτόμεναι αἱ ΑΕ, ΔΕ συμπιπτέτωσαν κατὰ τὸ Ε, καὶ ἔστω κέντρον τὸ Θ, καὶ ἐπεζεύχθωσαν ἥτε ΑΔ καὶ ἡ ΕΘΗ, εἰλήφθω δὲ ἐπὶ τῆς ΑΒ τομῆς τυχὸν σημεῖον τὸ Β, καὶ δι' αὐτοῦ ἤχθωσαν παρὰ μὲν τὴν ΑΗ ἡ ΒΖΛ, παρὰ δὲ τὴν ΑΕ ἡ ΒΜ· λέγω ὅτι τὸ ΒΖΜ τρίγωνον τοῦ ΑΚΛ διαφέρει τῷ ΚΕΖ.

Ὅτι μὲν γὰρ ἡ ΑΔ δίχα τέμνεται ὑπὸ τῆς ΕΘ φανερὸν, καὶ ὅτι ἡ ΕΘ διάμετρός ἐστι συζυγὴς τῇ διὰ τοῦ Θ παρὰ τὴν ΑΔ ἀγομένῃ· ὥστε κατηγμένη ἐστὶν ἡ ΑΗ ἐπὶ τὴν ΕΗ. ἐπεὶ οὖν διάμετρός ἐστιν ἡ ΗΕ, καὶ ἐφαπτομένη ἡ ΑΕ, κατηγμένη δὲ ἡ ΑΗ, καὶ ληφθέντος ἐπὶ τῆς τομῆς τοῦ Β κατήγονται ἐπὶ τὴν ΕΗ ἡ μὲν ΒΖ παρὰ τὴν ΑΗ, ἡ δὲ ΒΜ παρὰ τὴν ΑΕ· δῆλον ὅτι τὸ ΒΜΖ τρίγωνον τοῦ ΛΘΖ διαφέρει τῷ ΘΑΕ· ὥστε καὶ τὸ ΒΖΜ τοῦ ΑΚΛ διαφέρει τῷ ΚΖΕ· καὶ συναποδέδεικται ὅτι τὸ ΒΚΕΜ τετράπλευρον ἴσον ἐστὶ τῷ ΛΚΑ τριγώνῳ.

Prop. XII. *Theor.*

Iisdem positis, si in una sectione sumantur duo puncta, & ab utrisque similiter æquidistantes ducantur: quadrilatera ab ipsis constituta inter se æqualia erunt.

ΠΡΟΤΑΣΙΣ ιβʹ.

Τῶν αὐτῶν ὄντων, ἐὰν ἐπὶ μιᾶς τῶν τομῶν δύο σημεῖα ληφθῇ, καὶ ἀφ' ἑκατέρου παράλληλοι ἀχθῶσιν ὁμοίως· ἴσα ἔσται τὰ γινόμενα ὑπ' αὐτῶν τετράπλευρα.



Sint eadem quæ supra; & in sectione ΑΒ sumantur quævis puncta Β, Κ, à quibus ducantur lineæ ΛΒΜΝ, ΚΞΟΤΠ ipsi ΑΔ parallelæ, itemque ΒΞΡ, ΛΚΣ parallelæ ipsi ΑΕ: dico quadrilaterum ΒΠ æquale esse quadrilatero ΚΡ.

Ἔστω γὰρ τὰ αὐτὰ τοῖς πρότερον, καὶ εἰλήφθω ἐπὶ τῆς ΑΒ τομῆς τυχόντα σημεῖα τὰ Β, Κ, καὶ δι' αὐτῶν ἤχθωσαν παράλληλοι τῇ ΑΔ αἱ ΛΒΜΝ, ΚΞΟΤΠ, τῇ δὲ ΑΕ αἱ ΒΞΡ, ΛΚΣ· λέγω ὅτι ἴσον ἐστὶ τὸ ΒΠ τῷ ΚΡ.

Ἐπεὶ

Ἐπεὶ γὰρ δέδεικται ἴσον τὸ μὲν Α Ο Π τρίγωνον τῷ Κ Ο Ε Σ τετραπλεύρῳ, τὸ δὲ Α Μ Ν τῷ Β Μ Ε Ρ· λοιπὸν ἄρα τὸ Κ Ξ Ρ Σ, λεῖπον ἢ προσλαβὸν τὸ Β Μ Ο Ξ, ἴσον ἐστὶ τῷ Μ Ν Π Ο, καὶ κοινοῦ προστεθέντος ἢ ἀφαιρουμένου τοῦ Β Μ Ξ Ο, τὸ Β Ν Π Ξ ἴσον ἐστὶ τῷ Κ Ξ Ρ Σ.

Quoniam enim demonstratum est [in præced.] triangulum Α Ο Π æquale quadrilatero Κ Ο Ε Σ, ac triangulum Α Μ Ν æquale quadrilatero Β Μ Ε Ρ: erit reliquum Κ Ξ Ρ Σ, auctum vel minutum quadrilatero Β Μ Ο Ξ æquale, quadrilatero Μ Ν Π Ο; & communi Β Μ Ξ Ο apposito vel ablato, quadrilaterum Β Ν Π Ξ quadrilatero Κ Ξ Ρ Σ æquale erit.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις τῶν ἐφεξῆς τομῶν εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ τῶν ἁφῶν διάμετροι ἀχθῶσιν· ἴσα ἔσται τὰ τρίγωνα, ὧν κορυφὴ κοινὴ τὸ κέντρον ἐστὶ τῶν ἀντικειμένων.

Prop. XIII. *Theor.*

Si in oppositis sectionibus conjugatis, rectæ eas contingentes quæ deinceps sunt in unum punctum conveniant; & per tactus diametri ducantur: triangula, quorum communis vertex est sectionum centrum, inter se æqualia erunt.

ΕΣΤΩΣΑΝ συζυγεῖς ἀντικείμεναι, ἐφ' ὧν τὰ Α, Β, Γ, Δ σημεῖα, καὶ τῶν Α, Β τομῶν ἐφαπτέσθωσαν αἱ Α Ε, Β Ε, συμπιπτέτωσαν κατὰ τὸ Ε, καὶ ἔστω κέντρον τὸ Θ, καὶ ἐπιζευχθεῖσαι αἱ Α Θ, Β Θ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Δ, Γ· λέγω ὅτι ἴσον ἐστὶ τὸ Β Ζ Θ τρίγωνον τῷ Α Η Θ τριγώνῳ.



Ἤχθωσαν γὰρ διὰ τῶν Α, Θ παρὰ τὴν Β Ε αἱ Α Κ, Θ Λ Μ. ἐπεὶ οὖν ἐφάπτεται τῆς Β τομῆς ἡ Β Ζ Ε, καὶ διὰ τῆς ἁφῆς διάμετρός ἐστιν ἡ Δ Θ Β, καὶ παρὰ τὴν Β Ε ἐστὶν ἡ Λ Μ· συζυγής ἐστιν ἡ Λ Μ διάμετρος τῇ Β Δ διαμέτρῳ, ἡ καλουμένη δευτέρα διάμετρος. διὰ δὲ τοῦτο κατῆκται ἡ Α Κ τεταγμένως ἐπὶ τὴν Β Δ, καὶ ἐφάπτεται ἡ Α Η· τὸ ἄρα ὑπὸ Κ Θ Η ἴσον ἐστὶ τῷ ἀπὸ Β Θ· ἔστιν ἄρα ὡς ἡ Κ Θ πρὸς Θ Β οὕτως ἡ Β Θ πρὸς Θ Η. ἀλλ' ὡς ἡ Κ Θ πρὸς Θ Β οὕτως ἡ Κ Α πρὸς Β Ζ καὶ ἡ Α Θ πρὸς Θ Ζ· καὶ [a] ὡς ἄρα ἡ Α Θ πρὸς Θ Ζ οὕτως ἡ Β Θ πρὸς Θ Η. καὶ εἰσὶν αἱ ὑπὸ Β Θ Ζ, Η Θ Ζ δυσὶν ὀρθαῖς ἴσαι· ἴσον ἄρα τὸ Α Η Θ τρίγωνον τῷ Β Θ Ζ τριγώνῳ.

Si duæ rectæ oppositas sectiones contingentes sibi ipsis occurrant, & per tactus recta producatur; ab occursu vero contingentium ducta recta & utramque sectionem & rectam tactus conjungentem secet: erit ut tota ad eam quæ extra sumitur inter sectionem & conjungentem tactus, ita portiones inter sese, quæ inter utramque sectionem & contingentium occursum interjiciuntur.

Ἔστωσαν ἀντικείμεναι αἱ Α,Β, ὧν κέντρον τὸ Γ, ἐφαπτόμεναι δὲ αἱ ΑΔ, ΔΒ, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΒ, ΓΔ ἐκβεβλήσθωσαν, καὶ διὰ τοῦ Δ διήχθω τις εὐθεῖα ἡ ΕΔΖΗ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΕΗ πρὸς τὴν ΗΖ οὕτως ἡ ΕΔ πρὸς τὴν ΔΖ.

Ἐπεζεύχθω γὰρ ἡ ΑΓ καὶ ἐκβεβλήσθω, καὶ διὰ τῶν Ε,Ζ παρὰ μὲν τὴν ΑΒ ἤχθωσαν αἱ ΕΘΣΚ, ΖΑΝΜΞΟ, παρὰ δὲ τὴν ΑΔ αἱ ΕΠ, ΖΡ. ἐπεὶ οὖν παράλληλοί εἰσιν αἱ ΖΞ, ΕΣ, καὶ διηγμέναι εἰς αὐτὰς αἱ ΕΖ, ΞΣ, ΘΜ· ἐστὶν ὡς ἡ ΕΘ πρὸς ΘΣ οὕτως ἡ ΖΜ πρὸς τὴν ΜΞ, καὶ ἐναλλὰξ ὡς ἡ ΕΘ πρὸς ΖΜ οὕτως ἡ ΘΣ πρὸς τὴν ΞΜ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΖΜ οὕτως τὸ ἀπὸ ΘΣ πρὸς τὸ ἀπὸ ΞΜ.



Sint oppositæ sectiones A, B, quarum centrum Γ, & rectæ contingentes AΔ, ΔB; junctæ vero AB, ΓΔ producantur; & per Δ ducatur EΔZH: dico ut EH ad HZ ita esse EΔ ad ΔZ.

Jungatur enim AΓ, producaturque; & per E, Z ducantur EΘΣK, ZΛNMΞO ipsi AB parallelæ, & EΠ, ZP parallelæ ipsi AΔ. quoniam igitur ZΞ, EΣ parallelæ sunt, & ad ipsas ducuntur EZ, ΞΣ, ΘM; erit [per 4.6.] ut EΘ ad ΘΣ ita ZM ad MΞ, & permutando ut EΘ ad ZM ita erit ΘΣ ad ΞM: ergo ut quadratum ex ΘE ad quadratum ex ZM ita quadratum ex ΘΣ ad quadratum ex

ΞΜ. ut autem quadratum ex ΕΘ ad quadratum ex ΜΖ ita [per 22.6.] ΕΘΠ triangulum ad triangulum ΖΡΜ; & ut quadratum ex ΘΣ ad quadratum ex ΞΜ ita triangulum ΔΘΣ ad ΞΜΔ triangulum: ergo ut triangulum ΕΘΠ ad triangulum ΖΡΜ ita triangulum ΔΘΣ ad triangulum ΞΜΔ. sed [per 11. 3. huj.] triangulum ΕΘΠ triangulis ΑΣΚ, ΘΔΣ est æquale; & triangulum ΖΡΜ æquale triangulis ΑΞΝ, ΔΜΞ: ut igitur triangulum ΔΘΣ ad triangulum ΞΜΔ ita triangula ΑΣΚ, ΔΘΣ simul ad triangulum ΑΞΝ una cum triangulo ΞΜΔ: quare reliquum triangulum ΑΣΚ ad reliquum ΑΞΝ erit ut triangulum ΔΘΣ ad ipsum ΔΜΞ. ut autem triangulum ΑΣΚ ad ΑΞΝ ita quadratum ex ΚΑ ad quadratum ex ΑΝ, hoc est [per 4. & 22. 6.] quadratum ex ΕΗ ad quadratum ex ΖΗ; & ut triangulum ΔΘΣ ad triangulum ΔΜΞ ita quadratum ex ΘΔ ad quadratum ex ΔΜ, hoc est quadratum ex ΕΔ ad quadratum ex ΔΖ: ergo ut ΕΗ ad ΗΖ ita ΕΔ ad ΔΖ.



ΞΜ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΕΘ πρὸς τὸ ἀπὸ ΜΖ οὕτως τὸ ΕΘΠ τρίγωνον πρὸς τὸ ΖΡΜ, ὡς δὲ τὸ ἀπὸ ΘΣ πρὸς τὸ ἀπὸ ΞΜ οὕτως τὸ ΔΘΣ τρίγωνον πρὸς τὸ ΞΜΔ· καὶ ὡς ἄρα τὸ ΕΘΠ τρίγωνον πρὸς τὸ ΖΡΜ οὕτως τὸ ΔΘΣ πρὸς τὸ ΞΜΔ. ἴσον δὲ τὸ μὲν ΕΘΠ τοῖς ΑΣΚ, ΘΔΣ, τὸ δὲ ΖΡΜ τοῖς ΑΞΝ, ΔΜΞ τριγώνοις· ὡς ἄρα τὸ ΔΘΣ πρὸς τὸ ΞΜΔ οὕτως τὸ ΑΣΚ μετὰ τοῦ ΔΘΣ πρὸς τὸ ΑΞΝ μετὰ τοῦ ΞΜΔ· καὶ λοιπὸν ἄρα τὸ ΑΣΚ πρὸς λοιπὸν τὸ ΑΞΝ ἐστὶν ὡς τὸ ΔΘΣ πρὸς τὸ ΔΜΞ. ἀλλ' ὡς μὲν τὸ ΑΣΚ πρὸς τὸ ΑΞΝ οὕτως τὸ ἀπὸ ΚΑ πρὸς τὸ ἀπὸ ΑΝ, τουτέστι τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΖΗ· ὡς δὲ τὸ ΔΘΣ τρίγωνον πρὸς τὸ ΔΜΞ οὕτως τὸ ἀπὸ ΘΔ πρὸς τὸ ἀπὸ ΔΜ, τουτέστι τὸ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΖ· καὶ ὡς ἄρα ἡ ΕΗ πρὸς ΗΖ οὕτως ἡ ΕΔ πρὸς ΔΖ.

Prop. XL. *Theor.*

Iisdem positis, si per occursum contingentium ducatur recta linea tactus jungenti parallela; & à puncto, quod jungentem tactus bifariam dividit, ducatur recta utrique sectioni atque parallelæ ei quæ tactus conjungit occurrens: sicut tota ducta ad eam partem quæ extra sumitur inter parallelam & sectionem, ita erunt portiones ejusdem, inter sectiones & jungentem tactus interjectæ, inter se.

Sint oppositæ sectiones Α, Β, quarum centrum Γ; sintque contingentes ΑΔ, ΔΒ, & jungantur ΑΒ, ΓΔΕ: erit itaque [per 39. 2. huj.] ΑΕ ipsi ΕΒ æqualis. ducatur per Δ recta ΖΔΗΛ parallela ipsi ΑΒ, & per Ε recta ad libitum ΘΕΚΛ: dico ut ΘΛ ad ΛΚ ita esse ΘΕ ad ΕΚ.

Ducantur enim à punctis Θ, Κ rectæ ΝΜΘΞ, ΚΟΤΠ ipsi ΑΒ parallelæ, & ΘΡ, ΚΣ parallelæ ipsi ΑΔ; & ducatur ΞΑΓΤ. itaque quoniam in rectas parallelas ΞΜ, ΚΠ cadunt ΞΑΤ, ΜΑΠ; erit [per 4.6.] ut ΞΑ ad ΑΤ ita ΜΑ ad ΑΠ. ut autem ΞΑ ad ΑΤ ita [per 34. 1.] ΘΕ ad ΕΚ; & ut ΘΕ ad ΕΚ ita ΘΝ ad ΚΟ, propter simi-

ΠΡΟΤΑΣΙΣ μ'.

Τῶν αὐτῶν ὄντων, ἐὰν διὰ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἀχθῇ εὐθεῖα παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, καὶ ἀπὸ μέσης τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης ἀχθεῖσα εὐθεῖα τέμνῃ ἑκατέραν τῶν τομῶν καὶ τὴν παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν· ἔσται ὡς ὅλη ἡ διηγμένη πρὸς τὴν ἐκτὸς ἀπολαμβανομένην μεταξὺ τῆς παραλλήλου καὶ τῆς τομῆς, οὕτως τὰ γινόμενα τμήματα τῆς εὐθείας ὑπὸ τῆς τομῆς καὶ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης πρὸς ἄλληλα.

Ἐστωσαν ἀντικείμεναι αἱ Α, Β, ὧν κέντρον τὸ Γ, ἐφαπτόμεναι δὲ αἱ ΑΔ, ΔΒ, καὶ ἐπεζεύχθω ἡ ΑΒ καὶ ἡ ΓΔΕ· ἴση ἄρα ἡ ΑΕ τῇ ΕΒ. καὶ ἀπὸ μὲν τοῦ Δ παρὰ τὴν ΑΒ ἤχθω ἡ ΖΔΗΛ, ἀπὸ δὲ τοῦ Ε, ὡς ἔτυχεν, ἡ ΘΕΚΛ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΘΛ πρὸς ΛΚ οὕτως ἡ ΘΕ πρὸς ΕΚ.

Ἤχθωσαν ἀπὸ τῶν Θ, Κ παρὰ μὲν τὴν ΑΒ αἱ ΝΜΘΞ, ΚΟΤΠ, παρὰ δὲ τὴν ΑΔ αἱ ΘΡ, ΚΣ, καὶ διήχθω ἡ ΞΑΓΤ. ἐπεὶ οὖν εἰς παραλλήλους τὰς ΞΜ, ΚΠ διηγμέναι εἰσὶν αἱ ΞΑΤ, ΜΑΠ, ἐστὶν ὡς ἡ ΞΑ πρὸς τὴν ΑΤ οὕτως ἡ ΜΑ πρὸς ΑΠ. ἀλλ' ὡς ἡ ΞΑ πρὸς ΑΤ οὕτως ἡ ΘΕ πρὸς ΕΚ, ὡς δὲ ἡ ΘΕ πρὸς ΕΚ οὕτως ἡ ΘΝ πρὸς ΚΟ, διὰ τὴν ὁμοιότητα τῶν

*

τῶν

τῶ ΘΕΝ, ΚΕΟ τριγώνων· ὡς ἄρα ἡ ΘΝ πρὸς ΚΟ οὕτως ἡ ΜΑ πρὸς ΑΠ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΘΝ πρὸς τὸ ἀπὸ ΚΟ οὕτως τὸ ἀπὸ ΜΑ πρὸς τὸ ἀπὸ ΑΠ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΘΝ πρὸς τὸ ἀπὸ ΚΟ οὕτως τὸ ΘΡΝ τρίγωνον πρὸς τὸ ΚΣΟ, ὡς δὲ τὸ ἀπὸ ΜΑ πρὸς τὸ ἀπὸ ΑΠ οὕτως τὸ ΞΜΑ τρίγωνον πρὸς τὸ ΑΤΠ· καὶ ὡς ἄρα τὸ ΘΡΝ πρὸς τὸ ΚΣΟ τρίγωνον οὕτως τὸ ΞΜΑ πρὸς τὸ ΑΤΠ τρίγωνον. ἴσον δὲ τὸ ΘΡΝ τοῖς ΞΑΜ, ΜΝΔ τριγώνοις, τὸ δὲ ΚΣΟ τοῖς ΑΤΠ, ΔΟΠ· καὶ ὡς ἄρα τὸ ΞΜΑ μετὰ τοῦ ΜΝΔ τριγώνου πρὸς τὸ ΑΤΠ τρίγωνον μετὰ τοῦ ΔΟΠ τριγώνου οὕτως τὸ ΞΜΑ τρίγωνον πρὸς τὸ ΑΤΠ τρίγωνον· καὶ λοιπὸν ἄρα ΜΝΔ πρὸς λοιπὸν τὸ ΔΟΠ τρίγωνόν ἐστιν ὡς ὅλον πρὸς ὅλον. ἀλλ' ὡς τὸ ΞΜΑ τρίγωνον πρὸς τὸ ΑΤΠ τρίγωνον οὕτως τὸ ἀπὸ ΞΑ πρὸς τὸ ἀπὸ ΑΤ, ὡς δὲ τὸ ΜΝΔ τρίγωνον πρὸς τὸ ΔΟΠ οὕτως τὸ ἀπὸ ΜΝ πρὸς τὸ ἀπὸ ΠΟ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΜΝ πρὸς τὸ ἀπὸ ΠΟ οὕτως τὸ ἀπὸ ΞΑ πρὸς τὸ ἀπὸ ΑΤ. ὡς δὲ τὸ ἀπὸ ΜΝ πρὸς τὸ ἀπὸ ΠΟ οὕτως τὸ ἀπὸ ΝΔ πρὸς τὸ ἀπὸ ΔΟ, καὶ ὡς τὸ ἀπὸ ΞΑ πρὸς τὸ ἀπὸ ΑΤ οὕτως τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΕΚ, ὡς δὲ τὸ ἀπὸ ΝΔ πρὸς τὸ ἀπὸ ΔΟ οὕτως τὸ ἀπὸ ΘΛ πρὸς τὸ ἀπὸ ΛΚ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΘΛ πρὸς τὸ ἀπὸ ΛΚ οὕτως τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΕΚ· ἔστιν ἄρα ὡς ἡ ΘΛ πρὸς ΛΚ οὕτως ἡ ΘΕ πρὸς ΕΚ.



litudinem triangulorum ΘΕΝ, ΚΕΟ: quare ut ΘΝ ad ΚΟ ita ΜΑ ad ΑΠ; & idcirco ut quadratum ex ΘΝ ad quadratum ex ΚΟ ita quadratum ex ΜΑ ad quadratum ex ΑΠ. sed [per 22. 6.] ut quadratum ex ΘΝ ad quadratum ex ΚΟ ita triangulum ΘΡΝ ad triangulum ΚΣΟ; & ut quadratum ex ΜΑ ad quadratum ex ΑΠ ita ΞΜΑ triangulum ad triangulum ΑΤΠ: ut igitur triangulum ΘΡΝ ad triangulum ΚΣΟ ita triangulum ΞΜΑ ad triangulum ΑΤΠ. triangulum autem ΘΡΝ [per 11. 3. huj.] triangulis ΞΑΜ, ΜΝΔ est æquale; & triangulum ΚΣΟ æquale triangulis ΑΤΠ, ΔΟΠ: ergo ut triangulum ΞΜΑ una cum triangulo ΜΝΔ ad triangulum ΑΤΠ una cum triangulo ΔΟΠ ita ΞΜΑ triangulum ad triangulum ΑΤΠ: quare & reliquum triangulum ΜΝΔ ad reliquum ΔΟΠ est ut totum ad totum. sed ut triangulum ΞΜΑ ad triangulum ΑΤΠ ita quadratum ex ΞΑ ad quadratum ex ΑΤ; & ut triangulum ΜΝΔ ad triangulum ΔΟΠ ita quadratum ex ΜΝ ad quadratum ex ΠΟ: ergo [per 11. 5.] ut quadratum ex ΜΝ ad quadratum ex ΠΟ ita quadratum ex ΞΑ ad quadratum ex ΑΤ. ut autem quadratum ex ΜΝ ad quadratum ex ΠΟ ita quadratum ex ΝΔ ad quadratum ex ΔΟ, & ut quadratum ex ΞΑ ad quadratum ex ΑΤ ita quadratum ex ΘΕ ad quadratum ex ΕΚ, & ut quadratum ex ΝΔ ad quadratum ex ΔΟ ita quadratum ex ΘΛ ad quadratum ex ΛΚ: ut igitur quadratum ex ΘΛ ad quadratum ex ΛΚ ita quadratum ex ΘΕ ad quadratum ex ΕΚ; & propterea ut ΘΛ ad ΛΚ ita ΘΕ ad ΕΚ.

Divisio hæc rectæ ad conicas sectiones ductæ, de qua in sex ultimis propositionibus agitur, ea est quæ *Harmonica* dicitur: qua fit ut rectangulum sub tota & parte media æquale sit rectangulo sub partibus extremis: ac datis tribus quibusvis è quatuor punctis, facile est quartum invenire, per ea quæ tradit *Pappus* in Lemmatis X. & XI. in hunc Librum. Postulatur autem hæc divisio *Harmonica* ad demonstrationes Libri quarti.

ΠΡΟΤΑΣΙΣ μα'.

Ἐὰν παραβολῆς τρεῖς εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσιν ἀλλήλαις· εἰς τὸν αὐτὸν λόγον τμηθήσονται.

Ἔστω παραβολὴ ἡ ΑΒΓ, ἐφαπτόμεναι δὲ αἱ ΑΔΕ, ΕΖΓ, ΔΒΖ· λέγω ὅτι ἐστὶν ὡς ἡ ΓΖ πρὸς ΖΕ οὕτως ἡ ΕΔ πρὸς ΔΑ, καὶ ἡ ΖΒ πρὸς ΒΔ.

Prop. XLI. *Theor.*

Si parabolam contingentes tres rectæ inter se conveniant; in eadem ratione secabuntur.

Sit parabola ΑΒΓ, quam rectæ ΑΔΕ, ΕΖΓ, ΔΒΖ contingant: dico ut ΓΖ ad ΖΕ ita esse ΕΔ ad ΔΑ, & ΖΒ ad ΒΔ.

Conjungatur enim ΑΓ, & bifariam in Η dividatur: perspicuum est [ex 29. 2.huj.] rectam quæ ab Ε ducitur ad Η, sectionis diametrum esse. si igitur ΕΗ per Β transit, erit [per 5. 2. huj.] recta ΔΖ parallela ipsi ΑΓ, & ab ΕΗ bifariam in puncto Β secabitur: propptereaque [per 35.1.huj.] ΑΔ ipsi ΔΕ, & ΕΖ ipsi ΖΓ æqualis erit: constat igitur verum esse quod proponebatur.

Ἐπεζεύχθω γὰρ ἡ ΑΓ, καὶ τετμήσθω δίχα κατὰ τὸ Η· ὅτι μὲν οὖν ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Η διάμετρός ἐστι τῆς τομῆς φανερόν. εἰ μὲν οὖν διὰ τοῦ Β ἔρχεται ἡ ΕΗ, παράλληλός ἐστιν ἡ ΔΖ τῇ ΑΓ, καὶ δίχα τμηθήσεται κατὰ τὸ Β ὑπὸ τῆς ΕΗ· καὶ διὰ τοῦτο ἴση ἔσται ἡ ΑΔ τῇ ΔΕ, καὶ ἡ ΓΖ τῇ ΖΕ· καὶ φανερὸν τὸ ζητούμενον.



Sed non transeat per Β, sed per aliud punctum, quod sit Θ. & per Θ ducatur ΚΘΛ parallela ipsi ΑΓ, quæ [per 32.1.huj.] in Θ sectionem continget: & erit, per ea quæ dicta sunt, ΑΚ ipsi ΚΕ æqualis, & ΛΓ ipsi ΛΕ. itaque per punctum quidem Β ducatur ΜΝΒΞ, parallela ipsi ΕΗ; per Α, Γ vero ducantur ΑΟ, ΓΠ parallelæ ipsi ΔΖ. quoniam igitur ΜΒ ipsi ΕΘ parallela est, erit [ex 46. 1. huj.] ΜΒ diameter; & ΔΖ in Β sectionem contingit; quare ΑΟ, ΓΠ ordinatim applicantur. & quoniam ΜΒ diameter est, & ΓΜ sectionem contingit, ordinatimque applicatur ΓΠ: erit [per 35. 1. huj.] ΜΒ ipsi ΒΠ æqualis, adeoque [per 2. 6.] ΜΖ ipsi ΖΓ. quod cum ΜΖ sit æqualis ΖΓ, & ΕΛ ipsi ΛΓ; erit ut ΜΓ ad ΓΖ ita ΕΓ ad ΓΛ, & permutando ut ΜΓ ad ΓΕ ita ΖΓ ad ΓΛ. ut autem ΜΓ ad ΓΕ ita [per 4. 6.] ΞΓ ad ΓΗ: ergo ut ΖΓ ad ΓΛ ita ΞΓ ad ΓΗ. sed ut ΛΓ ad ΓΕ ita ΗΓ ad ΓΑ: (quod utraque utriusque dupla sit) ex æquali igitur [per 22.5.] ut ΕΓ ad ΓΖ ita ΑΓ ad ΓΞ; & per conversionem rationis ut ΓΕ ad ΕΖ ita ΓΑ ad ΑΞ; dividendoque ut ΓΖ ad ΖΕ ita ΓΞ ad ΞΑ. rursus quoniam diameter est ΜΒ, contingitque ΑΝ, & ordinatim applicatur ΑΟ; erit ΝΒ ipsi ΒΟ, & ΝΔ ipsi ΔΑ æqualis. est autem & ΕΚ æqualis ipsi ΚΑ: ergo ut ΕΑ ad ΑΚ ita ΝΑ ad ΑΔ, & permutando ut ΕΑ ad ΑΝ ita ΚΑ ad ΑΔ. sed ut ΗΑ ad ΑΞ ita ΕΑ ad ΑΝ: quare ut ΗΑ ad ΑΞ ita ΚΑ ad ΑΔ. atque est ut ΓΑ ad ΑΗ ita ΕΑ ad ΑΚ; (utraque enim utriusque est dupla) ex æquali igitur erit ut ΓΑ ad ΑΞ ita ΕΑ ad ΑΔ; & dividendo, ut ΓΞ ad ΞΑ ita ΕΔ ad ΔΑ. demonstratum est autem ut ΓΞ ad ΞΑ ita ΓΖ ad ΖΕ: ergo [per 11.5.] ut ΓΖ ad ΖΕ ita ΕΔ ad ΔΑ. rursus quoniam ut ΓΞ est ad ΞΑ ita [per 4.6.] ΓΠ ad ΑΟ, & est quidem ΓΠ dupla ipsius

Μὴ ἐρχέσθω δὲ διὰ τοῦ Β, ἀλλὰ διὰ τοῦ Θ, καὶ ἤχθω διὰ τοῦ Θ παρὰ τὴν ΑΓ ἡ ΚΘΛ· ἐφάψεται ἄρα τῆς τομῆς κατὰ τὸ Θ· καὶ διὰ τὰ εἰρημένα ἴση ἔσται ἡ ΑΚ τῇ ΚΕ, καὶ ἡ ΛΓ τῇ ΛΕ. ἤχθω διὰ μὲν τοῦ Β παρὰ τὴν ΕΗ ἡ ΜΝΒΞ, διὰ δὲ τῶν Α, Γ παρὰ τὴν ΔΖ αἱ ΑΟ, ΓΠ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΜΒ τῇ ΕΘ, διάμετρός ἐστιν ἡ ΜΒ. καὶ ἐφάπτεται κατὰ τὸ Β ἡ ΔΖ· κατηγμέναι ἄρα εἰσὶν αἱ ΑΟ, ΓΠ. καὶ ἐπεὶ διάμετρός ἐστιν ἡ ΜΒ, ἐφαπτομένη δὲ ἡ ΓΜ, κατηγμένη δὲ ἡ ΓΠ· ἴση ἔσται ἡ ΜΒ τῇ ΒΠ, ὥστε καὶ ἡ ΜΖ τῇ ΖΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΜΖ τῇ ΖΓ καὶ ἡ ΕΛ τῇ ΛΓ, ἔστιν ὡς ἡ ΜΓ πρὸς ΓΖ οὕτως ἡ ΕΓ πρὸς ΓΛ, καὶ ἐναλλὰξ ὡς ἡ ΜΓ πρὸς ΓΕ οὕτως ἡ ΖΓ πρὸς ΓΛ. ἀλλ᾽ ὡς ἡ ΜΓ πρὸς ΓΕ οὕτως ἡ ΞΓ πρὸς ΓΗ· καὶ ὡς ἄρα ἡ ΖΓ πρὸς ΓΛ οὕτως ἡ ΞΓ πρὸς ΓΗ. ὡς δὲ ἡ ΛΓ πρὸς ΓΕ οὕτως ἡ ΗΓ πρὸς ΓΑ· (διπλασία γὰρ ἑκατέρα) δι᾽ ἴσου ἄρα ὡς ἡ ΕΓ πρὸς ΓΖ οὕτως ἡ ΑΓ πρὸς ΓΞ, καὶ ἀναστρέψαντι ὡς ἡ ΓΕ πρὸς ΕΖ οὕτως ἡ ΓΑ πρὸς ΑΞ, καὶ διελόντι ὡς ἡ ΓΖ πρὸς ΖΕ οὕτως ἡ ΓΞ πρὸς τὴν ΞΑ. πάλιν ἐπεὶ διάμετρός ἐστιν ἡ ΜΒ, καὶ ἐφαπτομένη ἡ ΑΝ, καὶ κατηγμένη ἡ ΑΟ, ἴση ἐστὶν ἡ ΝΒ τῇ ΒΟ, καὶ ἡ ΝΔ τῇ ΔΑ. ἔστι δὲ καὶ ἡ ΕΚ τῇ ΚΑ ἴση· ὡς ἄρα ἡ ΕΑ πρὸς ΑΚ οὕτως ἡ ΝΑ πρὸς ΑΔ, καὶ ἐναλλὰξ ὡς ἡ ΕΑ πρὸς ΑΝ οὕτως ἡ ΚΑ πρὸς ΑΔ. ἀλλ᾽ ὡς ἡ ΗΑ πρὸς ΑΞ οὕτως ἡ ΕΑ πρὸς ΑΝ· καὶ ὡς ἄρα ἡ ΗΑ πρὸς ΑΞ οὕτως ἡ ΚΑ πρὸς ΑΔ. ἔστι δὲ καὶ ὡς ἡ ΓΑ πρὸς ΑΗ οὕτως ἡ ΕΑ πρὸς ΑΚ· (διπλασία γὰρ ἑκατέρα ἑκατέρας) δι᾽ ἴσου ἄρα ὡς ἡ ΓΑ πρὸς ΑΞ οὕτως ἡ ΕΑ πρὸς ΑΔ, καὶ διελόντι ὡς ἡ ΓΞ πρὸς ΞΑ οὕτως ἡ ΕΔ πρὸς ΔΑ. ἐδείχθη δὲ καὶ ὡς ἡ ΓΞ πρὸς ΞΑ οὕτως ἡ ΓΖ πρὸς ΖΕ· ὡς ἄρα ἡ ΓΖ πρὸς ΖΕ οὕτως ἡ ΕΔ πρὸς ΔΑ. πάλιν ἐπεί ἐστιν ὡς ἡ ΓΞ πρὸς ΞΑ οὕτως ἡ ΓΠ πρὸς ΑΟ, καὶ ἔστιν ἡ μὲν ΓΠ



τῆς

τῆς ΒΖ διπλῆ, ἐπεὶ καὶ ἡ ΓΜ τῆς ΜΖ, ἡ δὲ ΑΟ τῆς ΒΔ, ἐπεὶ ἡ ΑΝ τῆς ΝΔ· ὡς ἄρα ἡ ΓΞ πρὸς ΞΑ οὕτως ἡ ΖΒ πρὸς ΒΔ, καὶ ἡ ΓΖ πρὸς ΖΕ, καὶ ἡ ΕΔ πρὸς ΔΑ.

ΒΖ, quia ΓΜ ipsius ΜΖ est dupla; dupla vero est ΑΟ ipsius ΒΔ, ob ΑΝ ipsius ΝΔ duplam: ut igitur ΓΞ ad ΞΑ ita ΖΒ ad ΒΔ, & ita ΓΖ ad ΖΒ, & ita ΕΔ ad ΔΑ.

ΠΡΟΤΑΣΙΣ μβ′.

Ἐὰν ὑπερβολῇ, ἢ ἐλλείψει, ἢ κύκλου περιφερείᾳ, ἢ ταῖς ἀντικειμέναις ἀπ' ἄκρας τῆς διαμέτρου ἀχθῶσι εὐθεῖαι παρὰ τεταγμένως κατηγμένην, ἄλλη δέ τις ὡς ἔτυχεν ἀχθῇ ἐφαπτομένη· ἀποτεμεῖ ἀπ' αὐτῶν εὐθείας ἴσον περιεχούσας τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ αὐτῇ διαμέτρῳ εἴδους.

Prop. XLII. *Theor.*

Si in hyperbola, vel ellipsi, vel circuli circumferentia, vel oppositis sectionibus, ab extremitatibus diametri ducantur rectæ parallelæ ordinatim applicatæ; & alia quæpiam recta quomodocunque contingens ducatur: abscindet ex ipsis rectas continentes rectangulum æquale quartæ parti figuræ ad eandem diametrum factæ.

ΕΣΤΩ γάρ τις τῶν προειρημένων τομῶν ἧς διάμετρος ἡ ΑΒ, καὶ ἀπὸ τῶν Α, Β ἤχθωσαν παρὰ τεταγμένως κατηγμένην αἱ ΑΓ, ΒΔ, ἄλλη δέ τις ἐφαπτέσθω κατὰ τὸ Ε ἡ ΓΕΔ· λέγω ὅτι τὸ ὑπὸ ΑΓ, ΒΔ ἴσον ἐστὶ τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ ΑΒ εἴδους.

SIT aliqua prædictarum sectionum, cujus diameter ΑΒ; atque à punctis Α, Β ducantur rectæ ΑΓ, ΒΔ parallelæ ei quæ ordinatim applicata est; & alia quæpiam recta ΓΕΔ in puncto Ε sectionem contingat: dico rectangulum sub ipsis ΑΓ, ΒΔ æquale esse quartæ parti figuræ quæ ad diametrum ΑΒ fit.

Ἔστω γὰρ κέντρον τὸ Ζ, καὶ δι' αὐτοῦ ἤχθω παρὰ τὰς ΑΓ, ΒΔ ἡ ΗΖΘ. ἐπεὶ οὖν αἱ ΑΓ, ΒΔ τῇ κατηγμένῃ παράλληλοί εἰσιν, ἔστι δὲ καὶ ἡ ΖΗ παράλληλος· συζυγὴς ἄρα διάμετρός ἐστι τῇ ΑΒ· ὥστε τὸ ἀπὸ ΖΗ ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΑΒ εἴδους.



Sit enim sectionis centrum Ζ; & per Ζ ducatur ΖΗΘ ipsis ΑΓ, ΒΔ parallela. itaque quoniam ΑΓ, ΒΔ parallelæ sunt applicatæ, & ipsis parallela est ΖΗ; erit ΖΗ diameter ipsi ΑΒ conjugata: ergo quadratum ex ΖΗ æquale erit quartæ parti figuræ quæ fit ad ΑΒ.

Εἰ μὲν οὖν ἡ ΖΗ ἐπὶ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου διὰ τοῦ Ε ἔρχεται, ἴσαι γίνονται αἱ ΑΓ, ΖΗ, ΒΔ· καὶ φανερὸν αὐτόθεν ὅτι τὸ ὑπὸ ΑΓ, ΒΔ ἴσον ἐστὶ τῷ ἀπὸ ΖΗ, τουτέστι τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΑΒ εἴδους.

Si igitur in ellipsi & circulo recta ΖΗ per Ε transit; æquales sunt ΑΓ, ΖΗ, ΒΔ: & ideo per se manifestum est rectangulum quod continetur sub ΑΓ, ΒΔ æquale esse quadrato ex ΖΗ, hoc est quartæ parti figuræ quæ ad ΑΒ constituitur.

Μὴ ἐρχέσθω δὴ, καὶ συμπιπτέτωσαν αἱ ΔΓ, ΒΑ ἐκβαλλόμεναι κατὰ τὸ Κ, καὶ διὰ τοῦ Ε παρὰ μὲν τὴν ΑΓ ἤχθω ἡ ΕΛ, παρὰ δὲ τὴν ΑΒ ἡ ΕΜ.

Sed non transeat per Ε; & ΔΓ, ΒΑ productæ conveniant in Κ, ducaturque per Ε recta quidem ΕΛ ipsi ΑΓ parallela, ΕΜ vero ipsi ΑΒ.





ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ὑπὸ ΚΖΛ τῷ ἀπὸ ΑΖ· ἔστιν ὡς ἡ ΚΖ πρὸς ΖΑ οὕτως ἡ ΑΖ πρὸς ΖΛ, καὶ ἡ ΚΑ πρὸς ΑΛ. ἔστι δὲ τῇ ΖΑ ἴση ἡ ΖΒ· ἀνά-

quoniam igitur rectangulum ΚΖΛ [per 37.1.huj.] quadrato ex ΑΖ est æquale; ut ΚΖ ad ΖΑ [per 17.6.] ita erit ΑΖ ad ΖΛ, & ita [per 12. vel 19. 5.] ΚΑ ad ΑΛ. sed ΖΒ ipsi ΖΑ æqualis est: quare

quare invertendo, ut BZ ad ZK ita ΛA ad AK; componendoque vel dividendo, ut BK ad KZ

πάλιν ἄρα ὡς ἡ BZ πρὸς ZK οὕτως ἡ ΛA πρὸς AK, καὶ συνθέντι ἢ διελόντι ὡς ἡ BK πρὸς KZ οὕ-





ita ΛK ad KA: ergo ut ΔB ad ZΘ ita EΛ ad ΓA; & propterea [per 16.6.] rectangulum contentum sub ΔB, ΓA æquale est ei quod sub ZΘ, EΛ continetur, hoc est rectangulo ΘZM. rectangulum autem ΘZM [per 38. 1. huj.] est æquale quadrato ex ZH, hoc est quartæ parti figuræ quæ ad AB: rectangulum igitur sub ΔB, ΓA æquale est quartæ parti figuræ quæ ad diametrum AB constituitur.

τως ἡ ΛK πρὸς KA· ὡς ἄρα ἡ ΔB πρὸς ZΘ οὕτως ἡ EΛ πρὸς ΓA· τὸ ἄρα ὑπὸ ΔB, ΓA ἴσον ἐστὶ τῷ ἀπὸ ZΘ, EΛ, τουτέστι τῷ ὑπὸ ΘZM. τὸ δὲ ὑπὸ ΘZM ἴσον ἐστὶ τῷ ἀπὸ ZH, τουτέστι τῷ τετάρτῳ τοῦ πρὸς τῇ AB εἴδους· καὶ τὸ ὑπὸ ΔB, ΓA ἄρα ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ πρὸς τῇ AB εἴδους.

Prop. XLIII. *Theor.*

Si hyperbolam recta quævis contingat; abscindet ex asymptotis, ad sectionis centrum, rectas continentes rectangulum æquale ei quod continetur sub rectis ab altera contingente abscissis, ad verticem sectionis qui est ad axem.

ΠΡΟΤΑΣΙΣ μγ'.

Ἐὰν ὑπερβολῆς εὐθεῖά τις ἐπιψαύῃ, ἀποτεμεῖ ἀπὸ τῶν ἀσυμπτώτων, πρὸς τῷ κέντρῳ τῆς τομῆς, εὐθείας ἴσον περιεχούσας τῷ περιεχομένῳ ὑπὸ τῶν ἀποτεμνομένων εὐθειῶν ὑπὸ τῆς ἐφαπτομένης τῆς κατὰ τὴν πρὸς τῷ ἄξονι κορυφὴν τῆς τομῆς.

SIT hyperbola AB, cujus asymptoti ΓΔ, ΔE, & axis BΔ; ducatur autem per B recta ZBH sectionem contingens, & alia quæpiam utcunque contingens ducatur ΓAΘ: dico rectangulum ZΔH rectangulo ΓΔΘ æquale esse.

ΕΣΤΩ ὑπερβολὴ ἡ AB, ἀσύμπτωτοι δὲ ἡ ΓΔ, ΔE, ἄξων δὲ ὁ BΔ, καὶ ἤχθω διὰ τοῦ B ἐφαπτομένη ἡ ZBH, ἄλλη δέ τις ὡς ἔτυχεν ἐφαπτομένη ἡ ΓAΘ· λέγω ὅτι τὸ ὑπὸ ZΔH ἴσον ἐστὶ τῷ ὑπὸ ΓΔΘ.

Ducantur enim à punctis A, B rectæ AK, BΛ ipsi ΔH parallelæ, ut & rectæ AM, BN ipsi ΓΔ. quoniam igitur ΓAΘ sectionem contingit; erit [per 3.2.huj.] ΓA æqualis ipsi AΘ: quare ΓΘ dupla est ipsius ΘA, & ΓΔ ipsius AM, & ΔΘ ipsius AK dupla: ergo rectangulum ΓΔΘ quadruplum est rectanguli KAM. eodem modo demonstrabitur rectangulum ZΔH rectanguli ΛBN quadruplum. sed [per 12.2.huj.] rectangulum KAM est æquale rectangulo ΛBN: rectangulum igitur ΓΔΘ rectangulo ZΔH æquale erit. similiter demonstrabitur etiamsi ΔB sit alia quæpiam diameter, & non axis.



Ἤχθωσαν γὰρ ἀπὸ τῶν A, B παρὰ μὲν τὴν ΔH αἱ AK, BΛ, παρὰ δὲ τὴν ΓΔ αἱ AM, BN. ἐπεὶ οὖν ἐφάπτεται ἡ ΓAΘ, ἴση ἡ ΓA τῇ AΘ· ὥστε ἡ ΓΘ τῆς ΘA διπλῆ, καὶ ἡ ΓΔ τῆς AM, καὶ ἡ ΔΘ τῆς AK· τὸ ἄρα ὑπὸ ΓΔΘ τετραπλάσιόν ἐστι τοῦ ὑπὸ KAM. ὁμοίως δὲ δειχθήσεται τὸ ὑπὸ ZΔH τετραπλάσιον τοῦ ὑπὸ ΛBN. ἴσον δὲ τὸ ὑπὸ KAM τῷ ὑπὸ ΛBN· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΓΔΘ τῷ ὑπὸ ZΔH. ὁμοίως δὴ δειχθήσεται κἂν ἡ ΔB ἑτέρα τις ᾖ διάμετρος, καὶ μὴ ἄξων.

ΠΡΟ-

EUTOCIUS.

Ἐπὶ δὲ τῶν ἀντικειμένων, ἐὰν ἡ Α Β μὴ ἔρχηται διὰ τοῦ Δ κέντρου, ἤχθω διὰ τοῦ Δ παράλληλος τῇ Ε Γ ἡ Λ Δ Κ, καὶ διὰ τῶν Κ, Λ ἐφαπτόμεναι τῶν τομῶν αἱ Μ Κ Ν, Ξ Λ Ο. οὕτως γὰρ δὴ γενήσεται ὅτι τὸ ὑπὸ Ξ Δ Ο ἴσον ἐστὶ τῷ ὑπὸ Μ Δ Ν. ἀλλὰ τὸ μὲν ὑπὸ Ξ Δ Ο τῷ ὑπὸ Ε Δ Η ἐστὶν ἴσον, τὸ δὲ ὑπὸ Μ Δ Ν τῷ ὑπὸ Γ Δ Ζ· τὸ ἄρα ὑπὸ Ε Δ Η ἴσον τῷ ὑπὸ Γ Δ Ζ.



In oppositis vero sectionibus, si recta A B per centrum Δ non transeat, ducatur per Δ ipsi E Γ parallela Λ Δ K, & per K, Λ ducantur M K N, Ξ Λ O quæ sectiones contingant. sic enim fiet rectangulum Ξ Δ O æquale rectangulo M Δ N. rectangulum autem Ξ Δ O [per 43. 3. huj.] rectangulo E Δ H est æquale, & rectangulum M Δ N æquale rectangulo Γ Δ Z: proinde rectangulum E Δ H rectangulo Γ Δ Z æquale erit.

ΠΡΟΤΑΣΙΣ μδ'.

Ἐὰν ὑπερβολῆς ἢ τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι ταῖς ἀσυμπτώτοις· αἱ ἐπὶ τὰς συμπτώσεις ἀγόμεναι παράλληλοι ἔσονται τῇ τὰς ἁφὰς ἐπιζευγνυούσῃ.

Ἔστω γὰρ ἡ ὑπερβολὴ, ἢ ἀντικείμεναι αἱ Α, Β, ἀσύμπτωτοι δὲ αἱ Γ Δ, Δ Ε, καὶ ἐφαπτόμεναι αἱ Γ Α Θ Ζ, Ε Β Θ Η, καὶ ἐπεζεύχθωσαν αἱ Α Β, Ζ Η, Γ Ε· λέγω ὅτι παράλληλοί εἰσιν.

Prop. XLIV. *Theor.*

Si duæ rectæ hyperbolam vel oppositas sectiones contingentes asymptotis occurrant; quæ ad occursus ducuntur rectæ tactus conjungenti parallelæ erunt.

Sit hyperbola, vel oppositæ sectiones A, B; asymptoti vero Γ Δ, Δ E, & contingentes Γ A Θ Z, E B Θ H; junganturque A B, Z H, Γ E: dico eas inter se parallelas esse.





Ἐπεὶ γὰρ τὸ ὑπὸ Γ Δ Ζ ἴσον τῷ ὑπὸ Η Δ Ε, ἔσται ὡς ἡ Γ Δ πρὸς Δ Ε οὕτως ἡ Η Δ πρὸς Δ Ζ· παράλληλος ἄρα ἐστὶν ἡ Γ Ε τῇ Ζ Η· καὶ διὰ τοῦτο ὡς ἡ Θ Η πρὸς Η Ε οὕτως ἡ Θ Ζ πρὸς Ζ Γ. ὡς δὲ ἡ Ε Η πρὸς Η Β οὕτως ἡ Γ Ζ πρὸς τὴν Ζ Α, διπλῆ γὰρ ἑκατέρα· δι' ἴσου ἄρα ὡς ἡ Θ Η πρὸς Η Β οὕτως ἡ Θ Ζ πρὸς Ζ Α· παράλληλος ἄρα ἐστὶν ἡ Ζ Η τῇ Α Β.

Quoniam enim [per 43. 3. huj.] rectangulum Γ Δ Z æquale est rectangulo H Δ E; ut Γ Δ ad Δ E ita erit H Δ ad Δ Z: parallela est igitur [per 2.6.] Γ E ipsi Z H; & ideo [per 4. 6.] ut Θ H ad H E ita Θ Z ad Z Γ. ut autem E H ad H B ita Γ Z ad Z A; utraque enim utriusque est dupla: ergo ex æquali, ut Θ H ad H B ita Θ Z ad Z A: recta igitur Z H ipsi A B est parallela.

EUTOCIUS.

Ἀποδεδειγμένων τῶν Γ Ε, Ζ Η παραλλήλων, ἐπεζεύχθωσαν αἱ Η Α, Ζ Β. ἐπεὶ παράλληλός ἐστιν ἡ Ζ Η τῇ Γ Ε, ἴσον τὸ Γ Η Ζ τρίγωνον τῷ Ε Η Ζ τριγώνῳ. καὶ ἔστι τὸ μὲν Γ Η Ζ τοῦ Α Η Ζ διπλάσιον, ἐπεὶ καὶ ἡ Γ Ζ τῆς Ζ Α, τὸ δὲ Ε Ζ Η τοῦ Β Η Ζ διπλάσιον· ἴσον ἄρα τὸ Α Η Ζ τῷ Β Η Ζ, παράλληλος ἄρα ἐστὶν ἡ Ζ Η τῇ Α Β.

Demonstrato rectas Γ E, Z H inter se parallelas, conjungantur H A, Z B. quoniam parallelæ sunt Z H, Γ E, erit triangulum Γ H Z triangulo E H Z æquale. atque est triangulum quidem Γ H Z duplum trianguli A H Z, quia recta Γ Z ipsius Z A est dupla; triangulum vero E Z H duplum trianguli B H Z: ergo triangulum A H Z triangulo B H Z est æquale, & propterea recta Z H ipsi A B parallela.

ΠΡΟΤΑΣΙΣ με'.

Ἐὰν ἐν ὑπερβολῇ, ἢ ἐλλείψει, ἢ κύκλου περιφερείᾳ, ἢ ταῖς ἀντικειμέναις, ἀπ' ἄκρου τοῦ ἄξονος ἀχθῶσιν εὐθεῖαι πρὸς ὀρθὰς, καὶ τῷ τετάρτῳ μέρει τοῦ ἀ-

Prop. XLV. *Theor.*

Si in hyperbola, vel ellipsi, vel circuli circumferentia, vel oppositis sectionibus, ab extremo axis rectæ ad rectos angulos ducantur; & rectangu-

lum

lum æquale quartæ parti figuræ applicetur ad axem ab utraque parte, in hyperbola quidem & sectionibus oppositis excedens figura quadrata, in ellipsi vero deficiens; & ducatur recta sectionem contingens, occurrensque eis quæ sunt ad rectos angulos: rectæ quæ ab occursibus ducuntur ad puncta ex applicatione facta angulos rectos ad dicta puncta efficient.

δὲς ἴσον παρὰ τὸν ἄξονα παραβληθῇ ἐφ' ἑκάτερα, ἐπὶ μὲν τῆς ὑπερβολῆς καὶ τῆς ἀντικειμένων ὑπερβάλλον εἴδει τετραγώνῳ, ἐπὶ δὲ τῆς ἐλλείψεως ἐλλεῖπον, ἀχθῇ δέ τις εὐθεῖα ἐφαπτομένη τῆς τομῆς, συμπίπτουσα ταῖς πρὸς ὀρθὰς εὐθείαις· αἱ ἀπὸ τῶν συμπτώσεων ἀγόμεναι εὐθεῖαι, ἐπὶ τὰ ἐκ τῆς παραβολῆς γενηθέντα σημεῖα, ὀρθὰς ποιοῦσι γωνίας πρὸς τοῖς εἰρημένοις σημείοις.

SIT aliqua dictarum sectionum, cujus axis ΑΒ; & rectæ ΑΓ, ΒΔ ad rectos angulos ducantur; tangat autem ΓΕΔ, & rectangulum quartæ parti figuræ æquale applicetur ab utraque parte, sicuti dictum est, videlicet rectangulum ΑΖΒ, & ΑΗΒ; & jungantur ΓΖ, ΓΗ, ΔΖ, ΔΗ: dico angulum ΓΖΔ, & angulum ΓΗΔ rectum esse.

Ἔστω μία τῶν εἰρημένων τομῶν ἧς ἄξων ὁ ΑΒ, πρὸς ὀρθὰς δὲ αἱ ΑΓ, ΒΔ, ἐφαπτομένη δὲ ἡ ΓΕΔ, καὶ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἴσον παραβεβλήσθω ἐφ' ἑκάτερα, ὡς εἴρηται, τὸ ὑπὸ ΑΖΒ, καὶ τὸ ὑπὸ ΑΗΒ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΖ, ΓΗ, ΔΖ, ΔΗ· λέγω ὅτι ἥ τε ὑπὸ ΓΖΔ, καὶ ἡ ὑπὸ ΓΗΔ γωνία ὀρθή ἐστιν.





Quoniam enim [ad 42. 3. huj.] ostensum est rectangulum sub ΑΓ, ΒΔ æquale esse quartæ parti figuræ quæ ad ΑΒ fit; atque est rectangulum ΑΖΒ æquale quartæ parti ejusdem figuræ; rectangulum sub ΑΓ, ΒΔ rectangulo ΑΖΒ æquale erit: ergo [per 16. 6.] ut ΓΑ ad ΑΖ ita ΖΒ ad ΒΔ. & sunt anguli qui ad Α, Β recti: angulus igitur ΑΓΖ [per 6. 6.] angulo ΒΖΔ est æqualis; angulusque ΑΖΓ æqualis angulo ΖΔΒ. & quoniam angulus ΓΑΖ est rectus, anguli ΑΓΖ, ΑΖΓ [per 32. 1.] uni recto æquales erunt. demonstratum autem est angulum ΑΓΖ æqualem esse angulo ΔΖΒ: ergo ΓΖΑ, ΔΖΒ anguli uni recto sunt æquales: angulus igitur ΔΖΓ rectus est. similiter & angulus ΓΗΔ rectus demonstrabitur.

Ἐπεὶ γὰρ τὸ ὑπὸ ΑΓ, ΒΔ ἴσον ἐδείχθη τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ ΑΒ εἴδους, ἔστι δὲ καὶ τὸ ὑπὸ ΑΖΒ ἴσον τῷ τετάρτῳ μέρει τοῦ εἴδους· τὸ ἄρα ὑπὸ ΑΓ, ΒΔ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΖΒ· ἔστιν ἄρα ὡς ἡ ΓΑ πρὸς ΑΖ οὕτως ἡ ΖΒ πρὸς ΒΔ. καὶ ὀρθαὶ αἱ πρὸς τοῖς Α, Β σημείοις γωνίαι· ἴση ἄρα ἡ μὲν ὑπὸ ΑΓΖ γωνία τῇ ὑπὸ ΒΖΔ, ἡ δὲ ὑπὸ ΑΖΓ τῇ ὑπὸ ΖΔΒ. καὶ ἐπεὶ ἡ ὑπὸ ΓΑΖ ὀρθή ἐστιν, αἱ ἄρα ὑπὸ ΑΓΖ, ΑΖΓ μιᾷ ὀρθῇ ἴσαι εἰσίν. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΓΖ ἴση τῇ ὑπὸ ΔΖΒ· αἱ ἄρα ὑπὸ ΓΖΑ, ΔΖΒ μιᾷ ὀρθῇ ἴσαι εἰσί· ἡ ὑπὸ ΔΖΓ ἄρα ὀρθή ἐστιν. ὁμοίως δὴ δειχθήσεται καὶ ἡ ὑπὸ ΓΗΔ ὀρθή.

PROP. XLVI. *Theor.*

Iisdem positis, rectæ dicto modo junctæ æquales facient angulos ad contingentes.

ISDEM namque positis; dico angulum ΑΓΖ angulo ΔΓΗ, & angulum ΓΔΖ angulo ΒΔΗ æqualem esse.

ΠΡΟΤΑΣΙΣ μϛ'.

Τῶν αὐτῶν ὄντων, αἱ ἐπιζευγνύμεναι ἴσας ποιοῦσι γωνίας πρὸς ταῖς ἐφαπτομέναις.

Τῶν γὰρ αὐτῶν ὑποκειμένων λέγω ὅτι ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΓΖ γωνία τῇ ὑπὸ ΔΓΗ, ἡ δὲ ὑπὸ ΓΔΖ τῇ ὑπὸ ΒΔΗ.

Ἐπεὶ





Ἐπεὶ γὰρ ἐδείχθη ὀρθὴ ἑκατέρα τῶν ὑπὸ ΓΖΔ, ΓΗΔ γωνιῶν, ὁ περὶ διάμετρον τὴν ΓΔ γραφόμενος κύκλος ἥξει διὰ τῶν Ζ, Η σημείων· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΔΓΗ τῇ ὑπὸ ΔΖΗ γωνίᾳ· ἐν γὰρ τῷ αὐτῷ τμήματι τοῦ κύκλου εἰσίν. ἡ δὲ ὑπὸ ΔΖΗ ἐδείχθη ἴση τῇ ὑπὸ ΑΓΖ γωνίᾳ· ὥστε καὶ ἡ ὑπὸ ΔΓΗ τῇ ὑπὸ ΑΓΖ γωνίᾳ ἐστὶν ἴση. ὁμοίως δὴ καὶ ἡ ὑπὸ ΓΔΖ τῇ ὑπὸ ΒΔΗ γωνίᾳ ἴση.

Quoniam enim ostendimus [in praeced.] utrumque angulorum ΓΖΔ, ΓΗΔ rectum esse, si circa diametrum ΓΔ circulus describatur [per conv. 31. 3.] per puncta Z, H transibit: quare [per 21. 3.] angulus ΔΓΗ aequalis est angulo ΔΖΗ, quia sunt in eadem circuli portione. angulus autem ΔΖΗ angulo ΑΓΖ est aequalis, ut [in praeced.] demonstratum fuit: ergo & ΔΓΗ angulus aequalis erit angulo ΑΓΖ. eodem modo & angulus ΓΔΖ angulo ΒΔΗ aequalis ostendetur.

ΠΡΟΤΑΣΙΣ μζ΄.

Τῶν αὐτῶν ὄντων, ἡ ἀπὸ τῆς συμπτώσεως τῶν ἐπιζευχθεισῶν ἐπὶ τὴν ἁφὴν ἀγομένη πρὸς ὀρθὰς ἔσται τῇ ἐφαπτομένῃ.

Ὑποκείσθω γὰρ τὰ αὐτὰ τοῖς πρότερον, καὶ συμπιπτέτωσαν ἀλλήλαις αἱ μὲν ΓΗ, ΖΔ κατὰ τὸ Θ, αἱ δὲ ΓΔ, ΒΑ ἐκβαλλόμεναι κατὰ τὸ Κ, καὶ ἐπεζεύχθω ἡ ΕΘ· λέγω ὅτι κάθετός ἐστιν ἡ ΕΘ ἐπὶ τὴν ΓΔ.

Εἰ γὰρ μή, ἤχθω ἀπὸ τοῦ Θ ἐπὶ τὴν ΓΔ κάθετος ἡ ΘΛ. ἐπεὶ οὖν ἴση ἡ ὑπὸ ΓΔΖ τῇ ὑπὸ ΗΔΒ, ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΔΒΗ ὀρθῇ τῇ ὑπὸ ΔΛΘ ἴση· ὅμοιον ἄρα τὸ ΔΗΒ τρίγωνον τῷ ΛΘΔ· ὡς ἄρα ἡ ΗΔ πρὸς ΔΘ οὕτως ἡ ΒΔ πρὸς ΔΛ. ἀλλ' ὡς ἡ ΗΔ πρὸς ΔΘ οὕτως ἡ ΖΓ πρὸς ΓΘ, διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς Ζ, Η γωνίας, καὶ τὰς πρὸς τῷ Θ ἴσας. ὡς δὲ ἡ ΖΓ πρὸς ΓΘ οὕτως ἡ ΑΓ πρὸς ΓΛ, διὰ τὴν ὁμοιότητα τῶν ΑΖΓ, ΛΓΘ τριγώνων· καὶ ὡς ἄρα ἡ ΒΔ πρὸς ΔΛ οὕτως ἡ ΑΓ πρὸς ΓΛ, καὶ ἐναλλὰξ ὡς ἡ ΔΒ πρὸς ΓΑ οὕτως ἡ ΔΛ πρὸς ΛΓ. ἀλλ' ὡς ἡ ΔΒ πρὸς ΓΑ οὕτως ἡ ΒΚ πρὸς ΚΑ· καὶ ὡς ἄρα ἡ ΔΛ πρὸς ΛΓ οὕτως ἡ ΒΚ πρὸς ΚΑ. ἤχθω ἀπὸ τοῦ Ε παρὰ τὴν ΑΓ ἡ ΕΜ· τεταγμένως ἄρα ἐστὶ κατηγμένη ἐπὶ τὴν ΑΒ, καὶ ἔσται ὡς ἡ ΒΚ πρὸς ΚΑ οὕτως ἡ ΒΜ πρὸς ΜΑ. ὡς δὲ ἡ ΒΜ πρὸς ΜΑ οὕτως ἡ ΔΕ πρὸς ΕΓ· καὶ ὡς





Prop. XLVII. *Theor.*

Iisdem positis, recta ab occursu junctarum ad tactum ducta perpendicularis erit super contingentem.

PONANTUR eadem quae prius; & rectae lineae ΓΗ, ΖΔ sibi ipsis occurrant in puncto Θ; rectae vero ΓΔ, ΒΑ productae occurrant in puncto K; jungaturque ΕΘ: dico ΕΘ super ΓΔ perpendicularem esse.

Si enim non ita sit; ducatur à puncto Θ ad ΓΔ perpendicularis ΘΛ. quoniam igitur angulus ΓΔΖ aequalis est [per praeced.] angulo ΗΔΒ, & angulus ΔΒΗ rectus aequalis recto ΔΛΘ; triangulum ΔΗΒ triangulo ΛΘΔ simile erit: quare [per 4. 6.] ut ΗΔ ad ΔΘ ita ΒΔ ad ΔΛ. sed ut ΗΔ ad ΔΘ ita ΖΓ ad ΓΘ, propterea quod [ex praec.] anguli ad Z, H recti, & qui ad Θ aequales sunt. est autem ut ΖΓ ad ΓΘ ita ΑΓ ad ΓΛ, ob similitudinem triangulorum ΑΖΓ, ΛΓΘ: ut igitur ΒΔ ad ΔΛ ita [per 11. 5.] ΑΓ ad ΓΛ: & permutando ut ΔΒ ad ΓΑ ita ΔΛ ad ΛΓ. ut autem ΔΒ ad ΓΑ ita ΒΚ ad ΚΑ: ergo ut ΔΛ ad ΛΓ ita ΒΚ ad ΚΑ. à puncto E ducatur recta EM ipsi ΑΓ parallela, quae proinde ad ΑΒ ordinatim applicata erit; & ut ΒΚ ad ΚΑ ita erit [per 36. 1. huj.] ΒΜ ad ΜΑ. sed [per 4. 6.] ut ΒΜ ad ΜΑ ita ΔΕ ad ΕΓ: quare [per 11. 5.] ut

ΔΛ

Δ Λ ad Λ Γ ita erit Δ E ad E Γ; quod eſt abſurdum. igitur Θ Λ non eſt perpendicularis ad Δ Γ, neque alia ulla præter ipſam Θ E.

ἄρα ἡ Δ Λ πρὸς Λ Γ οὕτως ἡ Δ E πρὸς E Γ, ὅπερ ἄτοπον. οὐκ ἄρα ἡ Θ Λ κάθετός ἐστιν ἐπὶ τὴν Δ Γ, οὐδὲ ἄλλη τις πλὴν τῆς Θ E.

Prop. XLVIII. *Theor.*

Iiſdem poſitis, oſtendendum eſt rectas, quæ à tactu ducuntur ad puncta ex applicatione facta, æquales continere angulos cum contingente.

PONANTUR eadem quæ prius; & jungantur E Z, E H: dico angulum Γ E Z angulo H E Δ æqualem eſſe.

Quoniam enim [per 46. & 47. 3. huj.] anguli Δ H Θ, Δ E Θ recti ſunt, circulus circa diametrum Δ Θ deſcriptus per puncta E, H tranſibit: quare [per 21. 3.] angulus Δ Θ H æqualis erit angulo Δ E H; in eodem enim circuli ſegmento ſunt. ſimiliter & Γ E Z angulus angulo Γ Θ Z eſt æqualis: angulus autem Γ Θ Z angulo Δ Θ H [per 15. 1.] æqualis eſt; quia ſunt ad verticem: angulus igitur Γ E Z angulo Δ E H æqualis erit.



ΠΡΟΤΑΣΙΣ μη′.

Τῶν αὐτῶν ὄντων, δεικτέον ὅτι αἱ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὰ ἐκ τῆς παραβολῆς γινόμενα σημεῖα ἴσας ποιοῦσι γωνίας πρὸς τῇ ἐφαπτομένῃ.

ΥΠΟΚΕΙΣΘΩ τὰ αὐτὰ, καὶ ἐπεζεύχθωσαν αἱ E Z, E H· λέγω ὅτι ἴση ἐστὶν ἡ ὑπὸ Γ E Z γωνία τῇ ὑπὸ H E Δ.

Ἐπεὶ γὰρ ὀρθαί εἰσιν αἱ ὑπὸ Δ H Θ, Δ E Θ γωνίαι, ὁ περὶ διάμετρον τὴν Δ Θ γραφόμενος κύκλος ἥξει διὰ τῶν E, H σημείων· ὥστε ἴση ἔσται ἡ ὑπὸ Δ Θ H τῇ ὑπὸ Δ E H, ἐν γὰρ τῷ αὐτῷ τμήματι. ὁμοίως δὴ καὶ ἡ ὑπὸ Γ E Z τῇ ὑπὸ Γ Θ Z ἐστὶν ἴση· ἡ δὲ ὑπὸ Γ Θ Z τῇ ὑπὸ Δ Θ H ἐστὶν ἴση, κατὰ κορυφὴν γάρ. καὶ ἡ ὑπὸ Γ E Z ἄρα τῇ ὑπὸ Δ E H ἐστὶν ἴση.



Prop. XLIX. *Theor.*

Iiſdem poſitis, ſi ab aliquo horum punctorum perpendicularis ad contingentem demittatur: quæ à puncto quo cadit cathetus ducuntur ad axis utramque extremitatem rectos angulos inter ſe continebunt.

PONANTUR eadem, & à puncto H ad Γ Δ ducatur perpendicularis H Θ; & jungantur A Θ, B Θ: dico angulum A Θ B rectum eſſe.



ΠΡΟΤΑΣΙΣ μθ′.

Τῶν αὐτῶν ὄντων, ἐὰν ἀπό τινος τῶν σημείων κάθετος ἀχθῇ ἐπὶ τὴν ἐφαπτομένην· αἱ ἀπὸ τοῦ γινομένου σημείου ἐπὶ τὰ πέρατα τοῦ ἄξονος ὀρθὴν ποιοῦσι γωνίαν.

ΥΠΟΚΕΙΣΘΩ γὰρ τὰ αὐτὰ, καὶ ἀπὸ τοῦ H ἐπὶ τὴν Γ Δ κάθετος ἤχθω ἡ H Θ, καὶ ἐπεζεύχθωσαν αἱ A Θ, B Θ· λέγω ὅτι ἡ ὑπὸ A Θ B γωνία ὀρθή ἐστιν.



Ἐπεὶ

Ἐπεὶ γὰρ ὀρθὴ ἡ ὑπὸ ΔΒΗ καὶ ἡ ὑπὸ ΔΘΗ, ὁ περὶ διάμετρον τὴν ΔΗ γραφόμενος κύκλος ἥξει διὰ τῶν Θ, Β, καὶ ἴση ἔσται ἡ ὑπὸ ΗΘΒ γωνία τῇ ὑπὸ ΒΔΗ. ἡ δὲ ὑπὸ ΑΗΓ τῇ ὑπὸ ΒΔΗ ἐδείχθη ἴση· καὶ ἡ ὑπὸ ΗΘΒ ἄρα τῇ ὑπὸ ΑΗΓ, τουτέστι τῇ ὑπὸ ΑΘΓ ἐστὶν ἴση· ὥστε καὶ ἡ ὑπὸ ΓΘΗ τῇ ὑπὸ ΑΘΒ. ὀρθὴ δὲ ἡ ὑπὸ ΓΘΗ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΘΒ.

Quoniam enim angulus ΔΒΗ & ΔΘΗ est rectus; si circa diametrum ΔΗ circulus describatur, transibit per puncta Θ, Β, & [per 21.3.] angulus ΗΘΒ angulo ΒΔΗ æqualis erit. angulus autem ΑΗΓ ostensus est [per 45. 3. huj.] æqualis angulo ΒΔΗ: ergo ΗΘΒ angulus æqualis est angulo ΑΗΓ, hoc est angulo ΑΘΓ: & propterea angulus ΓΘΗ angulo ΑΘΒ. sed rectus est [ex hyp.] angulus ΓΘΗ: ergo & ΑΘΒ rectus erit.

ΠΡΟΤΑΣΙΣ ν'.

Τῶν αὐτῶν ὄντων, ἐὰν ἐκ τοῦ κέντρου τῆς τομῆς προσπέσῃ τις τῇ ἐφαπτομένῃ, παράλληλος οὖσα τῇ διὰ τῆς ἁφῆς καὶ ἑνὸς τῶν σημείων ἐκ τῆς παραβολῆς ἠγμένῃ εὐθείᾳ, ἴση ἔσται τῇ ἡμισείᾳ τοῦ ἄξονος.

Prop. L. *Theor.*

Iisdem positis, si à centro sectionis ducatur recta contingenti occurrens, ac parallela ei quæ per tactum & per alterutrum punctorum ex applicatione ducitur: erit ea dimidio axis æqualis.

Ἔστω γὰρ τὰ αὐτὰ τοῖς πρότερον, καὶ κέντρον τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΕΖ, καὶ αἱ ΔΓ, ΒΑ συμπιπτέτωσαν κατὰ τὸ Κ, καὶ διὰ τοῦ Θ παρὰ τὴν ΕΖ ἤχθω ἡ ΘΛ· λέγω ὅτι ἴση ἐστὶν ἡ ΘΛ τῇ ΘΒ.

Sint eadem quæ supra, & centrum sit Θ; jungatur autem ΕΖ, & rectæ ΔΓ, ΒΑ inter se conveniant in Κ; & per Θ ducatur ΘΛ parallela ipsi ΕΖ: dico ΘΛ ipsi ΘΒ æqualem esse.





Ἐπεζεύχθωσαν γὰρ αἱ ΕΗ, ΑΛ, ΛΗ, ΛΒ, καὶ διὰ τοῦ Η παρὰ τὴν ΕΖ ἤχθω ἡ ΗΜ. ἐπεὶ οὖν τὸ ὑπὸ ΑΖΒ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΗΒ· ἴση ἄρα ἡ ΑΖ τῇ ΗΒ. ἔστι δὲ καὶ ἡ ΑΘ τῇ ΘΒ ἴση· καὶ ἡ ΖΘ ἄρα τῇ ΘΗ ἴση, ὥστε καὶ ἡ ΕΛ τῇ ΛΜ ἴση. καὶ ἐπεὶ ἐδείχθη ἡ ὑπὸ ΓΕΖ γωνία τῇ ὑπὸ ΔΕΗ ἴση, ἡ δὲ ὑπὸ ΓΕΖ ἴση ἐστὶ τῇ ὑπὸ ΕΜΗ· ἴση ἄρα καὶ ἡ ὑπὸ ΕΜΗ τῇ ὑπὸ ΜΕΗ· ἴση ἄρα καὶ ἡ ΕΗ τῇ ΗΜ. ἀλλὰ καὶ ἡ ΕΛ τῇ ΛΜ ἐδείχθη ἴση· κάθετος ἄρα ἡ ΗΛ ἐπὶ τὴν ΕΜ. ἔστι δὲ, διὰ τὸ προδειχθὲν, ὀρθὴ ἡ ὑπὸ ΑΛΒ γωνία· καὶ ὁ ἄρα περὶ διάμετρον τὴν ΑΒ γραφόμενος κύκλος ἥξει διὰ τοῦ Λ. καὶ ἐστιν ἴση ἡ ΘΛ τῇ ΘΒ· καὶ ἡ ΘΛ ἄρα, ἐκ τοῦ κέντρου οὖσα τοῦ ἡμικυκλίου, ἴση ἐστὶ τῇ ΘΒ.

Jungantur enim ΕΗ, ΑΛ, ΛΗ, ΛΒ; & per Η ducatur ΗΜ parallela ipsi ΕΖ. quoniam igitur rectangulum ΑΖΒ est æquale rectangulo ΑΗΒ, recta ΑΖ ipsi ΗΒ æqualis erit. est autem & ΑΘ æqualis ΘΒ: ergo & ΖΘ ipsi ΘΗ; & propterea ΕΛ ipsi ΛΜ est æqualis. itaque quoniam demonstratum est [ad 48. 3.huj.] angulum ΓΕΖ angulo ΔΕΗ æqualem esse; estque angulus ΓΕΖ [per 29.1.] æqualis angulo ΕΜΗ: erit & angulus ΕΜΗ ipsi ΜΕΗ æqualis, & recta ΕΗ ipsi ΗΜ. sed & ΕΛ est æqualis ipsi ΛΜ, uti demonstravimus: recta igitur ΗΛ ad ΕΜ perpendicularis est. est autem [per 49. 3. huj.] & angulus ΑΛΒ rectus: quare si circa diametrum ΑΒ circulus describatur, per Λ transibit. atque est ΘΛ æqualis ipsi ΘΒ: ergo & ΘΛ, quæ est ex centro circuli, ipsi ΘΒ æqualis erit.

ΠΡΟΤΑΣΙΣ να'.

Ἐὰν ὑπερβολῆς, ἢ τῶν ἀντικειμένων παρὰ τὸν ἄξονα ἴσον ἐφ' ἑκάτερα παραβληθῇ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ὑπερβάλλον εἴδει τετραγώνῳ, καὶ

Prop. LI. *Theor.*

Si in hyperbola, vel oppositis sectionibus applicetur ad axem rectangulum æquale quartæ parti figuræ excedens figurâ quadratâ;

drata; & à punctis ex applicatione factis ad alterutram sectionum rectæ lineæ inclinentur: major minorem quantitate axis superabit.

SIT hyperbola, vel oppositæ sectiones, quarum axis A B, centrumque Γ; & quartæ parti figuræ æquale sit utrumque rectangulorum A Δ B, A E B; & à punctis E, Δ ad sectionem inclinentur E Z, Z Δ: dico E Z ipsam Z Δ superare quantitate A B.

Ducatur enim per Z recta Z K Θ sectionem contingens, & per Γ ducatur H Γ Θ parallela ipsi Z Δ: erit igitur angulus K Θ H angulo K Z Δ æqualis; alterni enim sunt. angulus vero K Z Δ [per 48.3.huj.] æqualis est angulo H Z Θ: ergo & H Z Θ ipsi H Θ Z, rectaque H Z ipsi H Θ. sed [per 2.6.] recta Z H ipsi H E æqualis est; quia A B æqualis est Δ B, & A Γ ipsi Γ B, & E Γ ipsi Γ Δ: est igitur recta H Θ æqualis ipsi E H; & ob id Z E ipsius H Θ dupla. itaque quoniam demonstrata est [ad 50. 3. huj] Γ Θ ipsi Γ B æqualis; erit E Z utriusque H Γ, Γ B dupla. sed ipsius quidem H Γ dupla est Z Δ; ipsius vero Γ B dupla A B: recta igitur E Z utrique Z Δ, A B est æqualis; & propterea E Z ipsam Z Δ superat quantitate A B.



ἀπὸ τῆς γινομένων ἐκ τῆς παραβολῆς σημείων κλασθῶσιν εὐθεῖαι πρὸς ὁποτέραν τῶν τομῶν· ἡ μείζων τῆς ἐλάσσονος ὑπερέχει τῷ ἄξονι.

ΕΣΤΩ γὰρ ὑπερβολὴ, ἢ ἀντικείμεναι, ὧν ἄξων ὁ A B, κέντρον δὲ τὸ Γ, καὶ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἴσον ἔστω ἑκάτερον τῶν ὑπὸ A Δ B, A E B, καὶ ἀπὸ τῶν E, Δ σημείων κεκλάσθωσαν πρὸς τὴν γραμμὴν αἱ E Z, Z Δ· λέγω ὅτι ἡ E Z τῆς Z Δ ὑπερέχει τῇ A B.

Ηχθω διὰ τοῦ Z ἐφαπτομένη ἡ Z K Θ, διὰ δὲ τοῦ Γ παρὰ τὴν Z Δ ἡ H Γ Θ· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ K Θ H τῇ ὑπὸ K Z Δ, ἐναλλὰξ γάρ. ἡ δὲ ὑπὸ K Z Δ ἴση τῇ ὑπὸ H Z Θ· καὶ ἡ ὑπὸ H Z Θ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ H Θ Z· ἴση ἄρα ἡ H Z τῇ H Θ. ἡ δὲ Z H τῇ H E ἴση, ἐπεὶ γὰρ ἡ A E τῇ B Δ καὶ ἡ A Γ τῇ Γ B καὶ ἡ E Γ τῇ Γ Δ ἐστὶν ἴση· καὶ ἡ H Θ ἄρα τῇ E H ἐστὶν ἴση· ὥστε ἡ Z E τῆς H Θ ἐστὶ διπλῆ. καὶ ἐπεὶ ἡ Γ Θ ἴση δέδεικται τῇ Γ B, ἡ E Z ἄρα διπλῆ ἐστι συναμφοτέρου τῆς H Γ, Γ B. ἀλλὰ τῆς μὲν H Γ διπλῆ ἡ Z Δ, τῆς δὲ Γ B διπλῆ ἡ A B· ἡ E Z ἄρα ἴση ἐστὶ συναμφοτέρῳ τῇ Z Δ, A B, ὥστε ἡ E Z τῆς Z Δ ὑπερέχει τῇ A B.

Prop. LII. *Theor.*

Si in ellipsi ad majorem axem ab utraque parte applicetur rectangulum æquale quartæ parti figuræ deficiens figura quadrata; & à punctis ex applicatione factis ad sectionem rectæ lineæ inclinentur: ipsi axi æquales erunt.

SIT ellipsis, cujus major axis A B; & sit utrumque rectangulorum A Γ B, A Δ B æquale quartæ parti figuræ; & à punctis Γ, Δ ad sectionem inclinentur rectæ lineæ Γ E, E Δ: dico Γ E, E Δ axi A B æquales esse.

Ducatur enim contingens Z E Θ; & per centrum, quod sit H, ducatur H K Θ ipsi Γ E parallela. quoniam igitur angulus Γ E Z [per 48. 3. huj.] est æqualis angulo Θ E K, & [per 29.1.] angulus Z E Γ angulo E Θ K; erit angulus E Θ K ipsi Θ E K æqualis, & [per 6. 1.] recta Θ K æqualis ipsi K E. & quoniam A H est æqualis ipsi H B, & Γ A ipsi Δ B; erit & Γ H ipsi H Δ æqualis: ergo [per 2. 6.] & E K æqualis ipsi K Δ. & ob id E Δ quidem dupla est ipsius Θ K; ut & E Γ [per 4.6.] dupla ipsius K H: utraque igitur Γ E, E Δ ipsius H Θ est dupla. sed A B [per 50.3.huj.] dupla est ipsius H Θ: quare A B ipsis Γ E, E Δ æqualis erit.



ΠΡΟΤΑΣΙΣ νϐʹ.

Εὰν ἐλλείψεως παρὰ τὸν μείζονα τῶν ἀξόνων τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἴσον ἐφ' ἑκάτερα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ ἀπὸ τῶν γινομένων ἐκ τῆς παραβολῆς σημείων κλασθῶσιν εὐθεῖαι πρὸς τὴν γραμμήν· ἴσαι ἔσονται τῷ ἄξονι.

ΕΣΤΩ ἔλλειψις, ἧς μείζων τῶν ἀξόνων ὁ A B, καὶ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἑκάτερον ἴσον ἔστω τῶν ὑπὸ A Γ B, A Δ B, καὶ ἀπὸ τῶν Γ, Δ κεκλάσθωσαν πρὸς τὴν γραμμὴν αἱ Γ E, E Δ· λέγω ὅτι αἱ Γ E, E Δ ἴσαι εἰσὶ τῇ A B.

Ηχθω ἐφαπτομένη ἡ Z E Θ, καὶ διὰ τοῦ κέντρου τοῦ H παρὰ τὴν Γ E ἡ H K Θ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ Γ E Z τῇ ὑπὸ Θ E K, ἡ δὲ ὑπὸ Z E Γ τῇ ὑπὸ E Θ K· καὶ ἡ ὑπὸ E Θ K ἄρα τῇ ὑπὸ Θ E K ἐστὶν ἴση· ἴση ἄρα καὶ ἡ Θ K τῇ K E. καὶ ἐπεὶ ἡ A H τῇ H B ἴση, καὶ ἡ Γ A τῇ Δ B· καὶ ἡ Γ H ἄρα τῇ H Δ ἴση, ὥστε καὶ ἡ E K τῇ K Δ. καὶ διὰ τοῦτο διπλῆ ἐστιν ἡ μὲν E Δ τῆς Θ K, ἡ δὲ E Γ τῆς K H· καὶ συναμφότερος ἄρα ἡ Γ E, E Δ διπλῆ ἐστι τῆς H Θ. ἀλλὰ καὶ ἡ A B διπλῆ τῆς H Θ· ἴση ἄρα ἡ A B ταῖς Γ E, E Δ.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ νγ'.

Ἐὰν ἐν ὑπερβολῇ, ἢ ἐλλείψει, ἢ κύκλου περιφερείᾳ, ἢ ταῖς ἀντικειμέναις, ἀπ' ἄκρων τῆς διαμέτρου ἀχθῶσιν εὐθεῖαι παρὰ τεταγμένως κατηγμένην, καὶ ἀπὸ τῶν αὐτῶν περάτων πρὸς τὸ αὐτὸ σημεῖον τῆς γραμμῆς ἀχθεῖσαι εὐθεῖαι τέμνωσι τὰς παραλλήλους· τὸ περιεχόμενον ὑπὸ τῶν ἀποτεμνομένων ἴσον ἔσται τῷ πρὸς τῇ αὐτῇ διαμέτρῳ εἴδει.

ΕΣΤΩ μία τῶν εἰρημένων τομῶν ἡ ΑΒΓ, ἧς διάμετρος ἡ ΑΓ, καὶ παρὰ τεταγμένως κατηγμένην ἤχθωσαν αἱ ΑΔ, ΓΕ, καὶ διήχθωσαν αἱ ΑΒΕ, ΓΒΔ· λέγω ὅτι τὸ ὑπὸ ΑΔ, ΕΓ ἴσον ἐστὶ τῷ εἴδει τῷ πρὸς τῇ ΑΓ.

Prop. LIII. *Theor.*

Si in hyperbola, vel ellipsi, vel circuli circumferentia, vel sectionibus oppositis, ab extremis diametri ducantur rectæ ordinatim applicatis parallelæ; & ab iisdem terminis ad idem sectionis punctum rectæ ductæ occurrant parallelis: rectangulum sub abscissis factum æquale erit figuræ quæ ad eandem diametrum constituitur.

SIT quævis dictarum sectionum ABΓ, cujus diameter AΓ; ducanturque AΔ, ΓE ordinatim applicatis parallelæ, & ABE, ΓBΔ producantur: dico rectangulum contentum sub AΔ, EΓ figuræ quæ fit ad AΓ æquale esse.





Ἤχθω γὰρ ἀπὸ τοῦ Β παρὰ τεταγμένως κατηγμένην ἡ ΒΖ· ἔστιν ἄρα ὡς τὸ ὑπὸ ΑΖΓ πρὸς τὸ ἀπὸ ΖΒ οὕτως ἡ πλαγία πρὸς τὴν ὀρθίαν, καὶ τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον πρὸς τὸ εἶδος. ὁ δὲ τοῦ ὑπὸ ΑΖΓ πρὸς τὸ ἀπὸ ΒΖ λόγος σύγκειται ἐκ τοῦ τῆς ΑΖ πρὸς ΖΒ καὶ τοῦ τῆς ΓΖ πρὸς ΖΒ· ὁ ἄρα τοῦ εἴδους πρὸς τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον λόγος σύγκειται ἐκ τοῦ τῆς ΖΒ πρὸς ΑΖ καὶ τοῦ τῆς ΒΖ πρὸς ΖΓ. ἀλλ' ὡς μὲν ἡ ΖΒ πρὸς ΑΖ οὕτως ἡ ΕΓ πρὸς ΓΑ, ὡς δὲ ἡ ΒΖ πρὸς ΖΓ οὕτως ἡ ΔΑ πρὸς ΑΓ· ὁ ἄρα τοῦ εἴδους πρὸς τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον λόγος σύγκειται ἐκ τοῦ τῆς ΓΕ πρὸς ΓΑ καὶ τοῦ τῆς ΑΔ πρὸς ΓΑ. σύγκειται δὲ καὶ ὁ τοῦ ὑπὸ ΑΔ, ΓΕ πρὸς τὸ ἀπὸ ΑΓ τετράγωνον ἐκ τῶν αὐτῶν· ὡς ἄρα τὸ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον οὕτως τὸ ὑπὸ ΑΔ, ΓΕ πρὸς τὸ ἀπὸ ΑΓ τετράγωνον· ἴσον ἄρα τὸ ὑπὸ ΑΔ, ΓΕ τῷ παρὰ τὴν ΑΓ εἴδει.

A puncto enim B ordinatim applicetur recta BZ: ergo [per 21. 1. huj.] ut rectangulum AZΓ ad quadratum ex ZB ita transversum figuræ latus ad rectum; & [per 1. 6.] ita quadratum ex AΓ ad ipsius figuram. sed [per 23. 6.] rectanguli AZΓ ad quadratum ex BZ ratio componitur ex ratione AZ ad ZB & ratione ΓZ ad ZB: ergo ratio figuræ ad quadratum ex AΓ componitur ex ratione ZB ad AZ & ratione BZ ad ZΓ. sed ut ZB ad AZ ita EΓ [per 4. 6.] ad ΓA, & ut BZ ad ZΓ ita ΔA ad AΓ: ratio igitur figuræ ad quadratum ex AΓ componitur ex ratione ΓE ad ΓA & ratione AΔ ad ΓA. sed [per 23. 6.] rectangulum contentum sub AΔ, ΓE ad quadratum ex AΓ ex eisdem rationibus componitur: ergo ut figura ad quadratum ex AΓ ita est rectangulum contentum sub AΔ, ΓE ad quadratum ex AΓ: rectangulum igitur contentum sub AΔ, ΓE æquale erit figuræ quæ fit ad AΓ.

ΠΡΟΤΑΣΙΣ νδ'.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, διὰ δὲ τῶν ἁφῶν παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις, καὶ ἀπὸ τῶν ἁφῶν πρὸς τὸ αὐτὸ σημεῖον τῆς γραμμῆς διαχθῶσιν εὐθεῖαι τέμνουσαι τὰς παραλλήλους· τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν ἀποτεμνομένων πρὸς τὸ ἀπὸ τῆς ἐπιζευγνυούσης τὰς ἁφὰς τετράγωνον λόγον ἔχει τὸν συγκείμενον, ἐκ τοῦ

Prop. LIV. *Theor.*

Si duæ rectæ lineæ coni sectionem vel circuli circumferentiam contingentes sibi ipsis occurrant, & per tactus ducantur contingentibus parallelæ; à tactibus vero ad idem sectionis punctum ductæ rectæ parallelis occurrant: rectangulum sub abscissis ad quadratum rectæ tactus jungentis rationem habebit compositam, ex ratione quam habet quadratum portionis rectæ

rectæ ab occursu contingentium ad punctum medium jungentis tactus ductæ quæ est intra sectionem ad reliquæ portionis quadratum, & ex ratione quam habet rectangulum sub contingentibus contentum ad quartam partem quadrati ejus quæ tactus conjungit.

SIT coni sectio, vel circuli circumferentia ABΓ, quam contingant rectæ lineæ AΔ, ΓΔ; & juncta AΓ bifariam in puncto E dividatur, jungaturque ΔBE; à puncto autem A ducatur recta AZ ipsi ΓΔ parallela, & à puncto Γ recta ΓH parallela ipsi AΔ; denique sumpto in sectione quovis puncto Θ, jungantur AΘ, ΓΘ, & ad puncta H, Z producantur: dico rectangulum contentum sub AZ, ΓH ad quadratum ex AΓ rationem habere compositam, ex ratione quadrati ex EB ad quadratum ex BΔ & ratione rectanguli AΔΓ ad quartam partem quadrati ex AΓ, hoc est ad rectangulum AEΓ.

Ducatur enim à puncto quidem Θ recta ΘKΛΞO; à puncto autem B recta BMN, quæ ipsi AΓ parallelæ sint: perspicuum est [per 32. 1. huj.] rectam MN sectionem contingere. & cum AE sit æqualis ipsi EΓ; erit & MB ipsi BN æqualis, & KO ipsi OΛ, & [per 46. & 47. 1. huj.] ΘO ipsi OΞ, & KΘ ipsi ΞΛ. itaque quoniam MB, MA sectionem contingunt, & ipsi MB parallela ducta est KΘΛ; erit [per 16. 3. huj.] ut quadratum ex AM ad quadratum ex MB, hoc est ad rectangulum NBM, ita quadratum ex AK ad rectangulum ΞKΘ, hoc est ad rectangulum ΛΘK. ut autem NΓ ad AM ita AΓ ad KA: [a] ut igitur rectangulum sub NΓ, MA ad quadratum ex AM ita rectangulum sub ΛΓ, KA ad quadratum ex AK: ergo ex æquali ut rectangulum sub NΓ, MA ad rectangulum NBM ita rectangulum sub ΛΓ, KA ad rectangulum ΛΘK. sed [per 23. 6.] rectangulum sub ΛΓ, KA ad rectangulum ΛΘK rationem habet compositam ex ratione ΓΛ ad ΛΘ, hoc est [per 4. 6.] ZA ad AΓ, & ratione AK ad KΘ, hoc est HΓ ad ΓA, atque hæc eadem est ratio quæ rectanguli sub HΓ, ZA ad quadratum ex ΓA: ut igitur rectangulum sub NΓ, MA ad rectangulum NBM ita rectangulum sub HΓ, ZA ad quadratum ex ΓA. rectangulum vero sub NΓ, MA ad rectangulum NBM, (sumpto medio rectangulo NΔM) habet rationem compositam, ex ratione rectanguli sub NΓ, MA ad rectangulum NΔM & ratione rectanguli NΔM ad rectangulum NBM: ergo & rectangulum sub HΓ, ZA ad quadratum ex ΓA habet rationem compositam ex ratione rectanguli sub NΓ, MA ad rectangulum NΔM & ratione re-



ὃν ἔχει τῆς ἐπιζευγνυούσης τὴν σύμπτωσιν τῶν ἐφαπτομένων καὶ τὴν διχοτομίαν τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης τὸ ἐντὸς τμῆμα πρὸς τὸ λοιπὸν δυνάμει, καὶ τοῦ ὃν ἔχει τὸ ὑπὸ τῶν ἐφαπτομένων περιεχόμενον ὀρθογώνιον πρὸς τὸ τέταρτον μέρος τοῦ ἀπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης τετραγώνου.

ΕΣΤΩ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ΑΒΓ, καὶ ἐφαπτόμεναι αἱ ΑΔ, ΓΔ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΓ δίχα τετμήσθω κατὰ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΔΒΕ, καὶ ἤχθω ἀπὸ μὲν τοῦ Α παρὰ τὴν ΓΔ ἡ ΑΖ, ἀπὸ δὲ τοῦ Γ παρὰ τὴν ΑΔ ἡ ΓΗ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς γραμμῆς τὸ Θ, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΘ, ΓΘ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Η, Ζ· λέγω ὅτι τὸ ὑπὸ ΑΖ, ΓΗ πρὸς τὸ ἀπὸ ΑΓ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ὃν ἔχει τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΔ καὶ ἐκ τοῦ ὃν ἔχει τὸ ὑπὸ ΑΔΓ πρὸς τὸ τέταρτον τοῦ ἀπὸ ΑΓ, τουτέστι τὸ ὑπὸ ΑΕΓ.

Ἤχθω ἀπὸ μὲν τοῦ Θ παρὰ τὴν ΑΓ ἡ ΘΚΛΞΟ, ἀπὸ δὲ τοῦ Β ἡ ΒΜΝ· φανερὸν δὴ ὅτι ἐφάπτεται ἡ ΜΝ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΓ· ἴση ἐστὶ καὶ ἡ ΜΒ τῇ ΒΝ, καὶ ἡ ΚΟ τῇ ΟΛ, καὶ ἡ ΘΟ τῇ ΟΞ, καὶ ἡ ΚΘ τῇ ΞΛ. ἐπεὶ οὖν ἐφάπτονται αἱ ΜΒ, ΜΑ, καὶ παρὰ τὴν ΜΒ ἦκται ἡ ΚΘΛ· ἔστιν ὡς τὸ ἀπὸ ΑΜ πρὸς τὸ ἀπὸ ΜΒ, τουτέστι τὸ ὑπὸ ΝΒΜ, οὕτως τὸ ἀπὸ ΑΚ πρὸς τὸ ὑπὸ ΞΚΘ, τουτέστι τὸ ὑπὸ ΛΘΚ. ὡς δὲ ἡ ΝΓ πρὸς ΑΜ οὕτως ἡ ΛΓ πρὸς τὴν ΚΑ· [a] ὡς ἄρα τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ἀπὸ ΑΜ οὕτως τὸ ὑπὸ ΛΓ, ΚΑ πρὸς τὸ ἀπὸ ΚΑ· δι' ἴσου ἄρα ὡς τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΒΜ οὕτως τὸ ὑπὸ ΛΓ, ΚΑ πρὸς τὸ ὑπὸ ΛΘΚ. τὸ δὲ ὑπὸ ΛΓ, ΚΑ πρὸς τὸ ὑπὸ ΛΘΚ τὸν συγκείμενον ἔχει λόγον, ἐκ τοῦ τῆς ΓΛ πρὸς ΛΘ, τουτέστι τῆς ΖΑ πρὸς ΑΓ, καὶ τοῦ τῆς ΑΚ πρὸς ΚΘ, τουτέστι τῆς ΗΓ πρὸς ΓΑ, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ὑπὸ ΗΓ, ΖΑ πρὸς τὸ ἀπὸ ΓΑ· ὡς ἄρα τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΒΜ οὕτως τὸ ὑπὸ ΗΓ, ΖΑ πρὸς τὸ ἀπὸ ΓΑ. τὸ δὲ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΒΜ (τοῦ ὑπὸ ΝΔΜ μέσου λαμβανομένου) τὸν συγκείμενον ἔχει λόγον, ἐκ τοῦ ὃν ἔχει τὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΔΜ καὶ τὸ ὑπὸ ΝΔΜ πρὸς τὸ ὑπὸ ΝΒΜ· τὸ ἄρα ὑπὸ ΗΓ, ΖΑ πρὸς τὸ ἀπὸ ΓΑ τὸν συγκείμενον ἔχει λόγον, ἐκ τοῦ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΔΜ καὶ τοῦ ὑπὸ ΝΔΜ πρὸς

πρὸς τὸ ὑπὸ ΝΒΜ. [b] ἀλλ᾽ ὡς μὲν τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΔΜ οὕτως τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΔ, [c] ὡς δὲ τὸ ὑπὸ ΝΔΜ πρὸς τὸ ὑπὸ ΝΒΜ οὕτως τὸ ὑπὸ ΓΔΑ πρὸς τὸ ὑπὸ ΓΕΑ· τὸ ἄρα ὑπὸ ΗΓ, ΑΖ πρὸς τὸ ἀπὸ ΑΓ τὸν συγκείμενον ἔχει λόγον, ἔκ τε τοῦ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΔ καὶ τοῦ ὑπὸ ΓΔΑ πρὸς τὸ ὑπὸ ΓΕΑ.

ctanguli ΝΔΜ ad rectangulum ΝΒΜ: [b] sed ut rectangulum sub ΝΓ, ΜΑ ad rectangulum ΝΔΜ ita quadratum ex ΕΒ ad quadratum ex ΒΔ; [c] & ut rectangulum ΝΔΜ ad rectangulum ΝΒΜ ita rectangulum ΓΔΑ ad rectangulum ΓΕΑ: rectangulum igitur sub ΗΓ, ΑΖ ad quadratum ex ΑΓ compositam rationem habet ex ratione quadrati ex ΕΒ ad quadratum ex ΒΔ & ratione rectanguli ΓΔΑ ad rectangulum ΓΕΑ.

EUTOCIUS.

[a] Ως δὲ τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ἀπὸ ΑΜ οὕτως τὸ ὑπὸ ΛΓ, ΚΑ πρὸς τὸ ἀπὸ ΚΑ.] Ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΔ πρὸς ΔΜ οὕτως ἡ ΓΔ πρὸς ΔΝ, ἀναστρέψαντι ὡς ἡ ΔΑ πρὸς ΑΜ οὕτως ἡ ΔΓ πρὸς ΓΝ· διὰ ταῦτα δὴ καὶ τὸ ἀνάπαλίν ἐστιν ὡς ἡ ΚΑ πρὸς ΛΔ οὕτως ἡ ΛΓ πρὸς ΓΔ· δι᾽ ἴσου ἄρα ὡς ἡ ΜΑ πρὸς ΑΚ οὕτως ἡ ΝΓ πρὸς ΓΛ, ἐναλλὰξ δὲ ὡς ἡ ΜΑ πρὸς ΝΓ οὕτως ἡ ΚΑ πρὸς ΓΛ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ἀπὸ ΑΜ οὕτως τὸ ὑπὸ ΛΓ, ΚΑ πρὸς τὸ ἀπὸ ΚΑ.

[b] Ἀλλ᾽ ὡς μὲν τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΔΜ οὕτως τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΔ.] Ἐπεὶ γὰρ τὸ ὑπὸ ΑΜ, ΓΝ πρὸς τὸ ὑπὸ ΝΔΜ τὸν συγκείμενον ἔχει λόγον, ἐκ τοῦ τῆς ΑΜ πρὸς ΜΔ καὶ τοῦ τῆς ΓΝ πρὸς ΝΔ. ἀλλ᾽ ὡς ἡ ΑΜ πρὸς ΜΔ οὕτως ἡ ΕΒ πρὸς ΒΔ, ὡς δὲ ἡ ΓΝ πρὸς ΝΔ οὕτως ἡ ΕΒ πρὸς ΒΔ· τὸ ἄρα ὑπὸ ΑΜ, ΓΝ πρὸς τὸ ὑπὸ ΝΔΜ διπλασίονα λόγον ἔχει τοῦ ὃν ἔχει ἡ ΕΒ πρὸς ΒΔ. ἔχει δὲ τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΔ διπλασίονα λόγον τοῦ τῆς ΕΒ πρὸς ΒΔ· ὡς ἄρα τὸ ὑπὸ ΑΜ, ΓΝ πρὸς τὸ ὑπὸ ΝΔΜ οὕτως τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΔ.

[c] Ως δὲ τὸ ὑπὸ ΝΔΜ πρὸς τὸ ὑπὸ ΝΒΜ οὕτως τὸ ὑπὸ ΓΔΑ πρὸς τὸ ὑπὸ ΓΕΑ.] Ἐπεὶ γὰρ τὸ ὑπὸ ΝΔΜ πρὸς τὸ ὑπὸ ΝΒΜ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς ΔΝ πρὸς ΝΒ καὶ τοῦ τῆς ΔΜ πρὸς ΜΒ, ἀλλ᾽ ὡς μὲν ἡ ΔΝ πρὸς ΝΒ οὕτως ἡ ΔΓ πρὸς ΓΕ, ὡς δὲ ἡ ΔΜ πρὸς ΜΒ οὕτως ἡ ΔΑ πρὸς ΑΕ· ἕξει ἄρα τὸν συγκείμενον ἐκ τοῦ τῆς ΔΓ πρὸς ΓΕ καὶ τοῦ τῆς ΔΑ πρὸς ΑΕ, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ὑπὸ ΓΔΑ πρὸς τὸ ὑπὸ ΓΕΑ· ὡς ἄρα τὸ ὑπὸ ΝΔΜ πρὸς τὸ ὑπὸ ΝΒΜ οὕτω τὸ ὑπὸ ΓΔΑ πρὸς τὸ ὑπὸ ΓΕΑ.

[a] Ut autem rectangulum sub ΝΓ, ΜΑ ad quadratum ex ΑΜ ita rectangulum sub ΛΓ, ΚΑ ad quadratum ex ΚΑ.] Quoniam enim ut ΑΔ ad ΔΜ ita ΓΔ ad ΔΝ, erit per conversionem rationis ut ΔΑ ad ΑΜ ita ΔΓ ad ΓΝ; eadem quoque ratione & invertendo demonstrabitur ut ΚΑ ad ΛΔ ita ΛΓ ad ΓΔ: ergo ex æquali ut ΜΑ ad ΑΚ ita ΝΓ ad ΓΛ, & permutando ut ΜΑ ad ΝΓ ita ΚΑ ad ΓΛ: ut igitur rectangulum sub ΝΓ, ΜΑ ad quadratum ex ΑΜ ita rectangulum sub ΛΓ, ΚΑ ad quadratum ex ΚΑ.

[b] Sed ut rectangulum sub ΝΓ, ΜΑ ad rectangulum ΝΔΜ ita quadratum ex ΕΒ ad quadratum ex ΒΔ.] Nam cum rectangulum sub ΑΜ, ΓΝ ad rectangulum ΝΔΜ compositam rationem habeat ex ratione ΑΜ ad ΜΔ & ratione ΓΝ ad ΝΔ; ut autem ΑΜ ad ΜΔ ita ΕΒ ad ΒΔ, ut vero ΓΝ ad ΝΔ ita ΕΒ ad ΒΔ: habebit igitur rectangulum sub ΑΜ, ΓΝ ad rectangulum ΝΔΜ rationem duplicatam ejus quam habet ΕΒ ad ΒΔ. sed quadratum ex ΕΒ ad quadratum ex ΒΔ duplicatam habet rationem ipsius ΕΒ ad ΒΔ: quare ut rectangulum sub ΑΜ, ΓΝ ad rectangulum ΝΔΜ ita quadratum ex ΕΒ ad quadratum ex ΒΔ.

[c] Et ut rectangulum ΝΔΜ ad rectangulum ΝΒΜ ita rectangulum ΓΔΑ ad rectangulum ΓΕΑ.] Quoniam enim rectangulum ΝΔΜ ad rectangulum ΝΒΜ rationem habet compositam ex ratione ΔΝ ad ΝΒ & ratione ΔΜ ad ΜΒ; ut autem ΔΝ ad ΝΒ ita ΔΓ ad ΓΕ, & ut ΔΜ ad ΜΒ ita ΔΑ ad ΑΕ: habebit igitur rationem compositam ex ratione ΔΓ ad ΓΕ & ratione ΔΑ ad ΑΕ; quæ quidem ratio eadem est quam rectangulum ΓΔΑ habet ad rectangulum ΓΕΑ: ut igitur rectangulum ΝΔΜ ad rectangulum ΝΒΜ ita rectangulum ΓΔΑ ad rectangulum ΓΕΑ.

ΠΡΟΤΑΣΙΣ νε′.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ μὲν τῆς συμπτώσεως ἀχθῇ εὐθεῖα παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, ἀπὸ δὲ τῶν ἁφῶν διαχθῶσι παράλληλοι ταῖς ἐφαπτομέναις, προσβληθῶσι δὲ ἀπὸ τῶν ἁφῶν πρὸς τὸ αὐτὸ σημεῖον τῆς ἑτέρας τομῆς τέμνουσαι τὰς παραλλήλους· τὸ περιεχόμενον ὑπὸ τῶν ἀποτεμνομένων πρὸς τὸ ἀπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης τετράγωνον λόγον ἔχει, ὃν τὸ ὑπὸ τῶν ἐφαπτομένων περιεχόμενον πρὸς τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς συμπτώσεως παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν ἕως τῆς τομῆς.

Prop. LV. *Theor.*

Si duæ rectæ lineæ oppositas sectiones contingentes sibi ipsis occurrant, & per occursum ducatur recta jungenti tactus parallela; per tactus vero ducantur contingentibus parallelæ, & à tactibus ad idem alterutræ sectionis punctum ducantur rectæ quæ parallelas secent: rectangulum sub abscissis contentum ad quadratum ejus quæ tactus jungit eandem rationem habebit, quam rectangulum sub contingentibus factum ad quadratum rectæ ab occursu ad sectionem ductæ jungentique tactus parallelæ.

Ἔστωσαν ἀντικείμεναι αἱ ΑΒΓ, ΔΕΖ, ἐφαπτόμεναι δὲ αὐτῶν αἱ ΑΗ, ΗΔ, καὶ ἐπεζεύχθω ἡ ΑΔ, καὶ ἀπὸ μὲν τοῦ Η παρὰ τὴν ΑΔ ἤχθω ἡ ΓΗΕ, ἀπὸ δὲ τοῦ Α παρὰ τὴν ΔΗ ἡ ΑΜ,

Sint oppositæ sectiones ΑΒΓ, ΔΕΖ, quas contingant rectæ ΑΗ, ΗΔ; & juncta ΑΔ ducatur per Η recta ΓΗΕ ipsi ΑΔ parallela; & à puncto Α ducatur ΑΜ parallela ipsi ΔΗ, atque

atque à Δ recta ΔΜ ipsi ΑΗ parallela. sumatur autem in sectione ΔΖ aliquod punctum Ζ, & jungantur ΑΖΝ, ΖΔΘ: dico rectangulum sub ΑΘ, ΝΔ esse ad quadratum ex ΑΔ sicut rectangulum ΑΗΔ ad quadratum ex ΓΗ.

Ducatur per Ζ recta ΖΛΚΒ quæ ipsi ΑΔ æquidistet. quoniam igitur demonstratum est [ad 20.3.huj.] ut quadratum ex ΕΗ ad quadratum ex ΗΔ ita rectangulum ΒΛΖ ad quadratum ex ΛΔ; & est ΓΗ æqualis ΕΗ, & ΚΖ ipsi ΒΛ: erit ut quadratum ex ΓΗ ad quadratum ex ΗΔ ita rectangulum ΚΖΛ ad quadratum ex ΛΔ. est autem ut quadratum ex ΔΗ ad rectangulum ΔΗΑ ita quadratum ex ΔΛ ad rectangulum sub ΔΛ, ΑΚ: ergo ex æquali ut quadratum ex ΓΗ ad rectangulum ΔΗΑ ita rectangulum ΚΖΛ ad rectangulum sub ΔΛ, ΑΚ. sed ratio rectanguli ΚΖΛ ad rectangulum sub ΑΚ, ΔΛ componitur ex ratione ΖΚ ad ΚΑ & ratione ΖΛ ad ΛΔ; ut autem ΖΚ ad ΚΑ ita [per 4. 6.] ΑΔ ad ΔΝ, & ut ΖΛ ad ΛΔ ita ΔΑ ad ΑΘ: ratio igitur quadrati ex ΓΗ ad rectangulum ΔΗΑ composita est ex ratione ΑΔ ad ΔΝ & ratione ΔΑ ad ΑΘ. sed quadrati ex ΑΔ ad rectangulum sub ΑΘ, ΝΔ ratio ex eisdem rationibus componitur: ergo ut quadratum ex ΓΗ ad rectangulum ΑΗΔ ita est quadratum ex ΑΔ ad rectangulum ex ΑΘ, ΝΔ; & invertendo rectangulum sub ΑΘ, ΝΔ erit ad quadratum ex ΑΔ ut rectangulum ΑΗΔ ad quadratum ex ΓΗ.

ἀπὸ δὲ τοῦ Δ παρὰ τὴν ΑΗ ἡ ΔΜ· εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς ΔΖ τομῆς τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖΝ, ΖΔΘ· λέγω ὅτι ἐστὶν ὡς τὸ ὑπὸ ΑΘ, ΝΔ πρὸς τὸ ἀπὸ τῆς ΑΔ οὕτως τὸ ὑπὸ ΑΗΔ πρὸς τὸ ἀπὸ τῆς ΓΗ.



Ἤχθω γὰρ διὰ τοῦ Ζ παρὰ τὴν ΑΔ ἡ ΖΛΚΒ. ἐπεὶ οὖν δέδεικται ὅτι ἐστὶν ὡς τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΗΔ οὕτως τὸ ὑπὸ ΒΛΖ πρὸς τὸ ἀπὸ ΛΔ, ἴση δὲ ἡ μὲν ΓΗ τῇ ΕΗ, ἡ δὲ ΚΖ τῇ ΒΛ· ὡς ἄρα τὸ ἀπὸ ΓΗ πρὸς τὸ ἀπὸ ΗΔ οὕτως τὸ ὑπὸ ΚΖΛ πρὸς τὸ ἀπὸ ΛΔ. ἔστι δὲ καὶ ὡς τὸ ἀπὸ ΔΗ πρὸς τὸ ὑπὸ ΔΗΑ οὕτως τὸ ἀπὸ ΔΛ πρὸς τὸ ὑπὸ ΔΛ, ΑΚ· δι' ἴσου ἄρα ὡς τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΔΗΑ οὕτως τὸ ὑπὸ ΚΖΛ πρὸς τὸ ὑπὸ ΔΛ, ΑΚ. ὁ δὲ τοῦ ὑπὸ ΚΖΛ πρὸς τὸ ὑπὸ ΑΚ, ΔΛ λόγος ὁ συγκείμενός ἐστιν ἐκ τοῦ τῆς ΖΚ πρὸς ΚΑ καὶ τοῦ τῆς ΖΛ πρὸς ΛΔ· ἀλλ' ὡς μὲν ἡ ΖΚ πρὸς ΚΑ οὕτως ἡ ΑΔ πρὸς ΔΝ, ὡς δὲ ἡ ΖΛ πρὸς ΛΔ οὕτως ἡ ΔΑ πρὸς ΑΘ· ὁ ἄρα τοῦ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΔΗΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΑΔ πρὸς ΔΝ καὶ τοῦ τῆς ΔΑ πρὸς ΑΘ. σύγκειται δὲ καὶ ὁ τοῦ ἀπὸ ΑΔ πρὸς τὸ ὑπὸ ΑΘ, ΝΔ λόγος ἐκ τῶν αὐτῶν· ἔστιν ἄρα ὡς τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΑΗΔ οὕτως τὸ ἀπὸ ΑΔ πρὸς τὸ ὑπὸ ΑΘ, ΝΔ· καὶ ἀνάπαλιν τὸ ὑπὸ ΑΘ, ΝΔ πρὸς τὸ ἀπὸ ΑΔ ἐστὶν ὡς τὸ ὑπὸ ΑΗΔ πρὸς τὸ ἀπὸ ΓΗ.

PROP. LVI. *Theor.*

Si duæ rectæ lineæ alteram oppositarum sectionum contingentes sibi ipsis occurrant, & per tactus ducantur contingentibus parallelæ; à tactibus vero ad idem alterius sectionis punctum ducantur rectæ, quæ parallelas secent: rectangulum sub abscissis contentum ad quadratum rectæ tactus jungentis rationem habebit, compositam ex ratione quam habet quadratum portionis rectæ ab occursu contingentium ad punctum medium jungentis tactus ductæ inter punctum illud & alteram sectionem interceptæ ad quadratum ejus quæ inter eandem sectionem & occursum, & ex ratione quam habet rectangulum sub contin-

ΠΡΟΤΑΣΙΣ νϛʹ.

Ἐὰν μιᾶς τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, διὰ δὲ τῶν ἁφῶν παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις, καὶ ἀπὸ τῶν ἁφῶν πρὸς τὸ αὐτὸ σημεῖον τῆς ἑτέρας τομῆς ἀχθῶσιν εὐθεῖαι τέμνουσαι τὰς παραλλήλους· τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν ἀποτεμνομένων λόγον ἕξει πρὸς τὸ ἀπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης τετράγωνον, τὸν συγκείμενον ἐκ τοῦ ὃν ἔχει (ἐπὶ τῆς ἐπιζευγνυούσης τὴν σύμπτωσιν καὶ τὴν διχοτομίαν) ἡ μεταξὺ τῆς διχοτομίας καὶ τῆς ἑτέρας τομῆς πρὸς τὴν μεταξὺ τῆς αὐτῆς τομῆς καὶ τῆς συμπτώσεως δυνάμει, καὶ ἐκ τοῦ ὃν ἔχει τὸ ὑπὸ τῶν ἐφαπτομένων περιεχόμενον πρὸς

πρὸς τὸ τέταρτον μέρος τοῦ ἀπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης.

gentibus factum ad quartam partem quadrati tactus jungentis.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ ΑΒ, ΓΔ, ὧν κέντρον τὸ Ο, ἐφαπτόμεναι δὲ αἱ ΑΕΖΗ, ΒΕΘΚ, καὶ ἐπεζεύχθω ἡ ΑΒ, καὶ δίχα τετμήσθω κατὰ τὸ Λ, καὶ ἐπιζευχθεῖσα ἡ ΛΕ διήχθω ἐπὶ τὸ Δ, καὶ ἤχθω ἀπὸ τοῦ Α παρὰ τὴν ΒΕ ἡ ΑΜ, ἀπὸ δὲ τοῦ Β παρὰ τὴν ΑΕ ἡ ΒΝ, εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς ΓΔ τομῆς τὸ Γ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΒΜ, ΓΑΝ· λέγω ὅτι τὸ ὑπὸ ΒΝ, ΑΜ πρὸς τὸ ἀπὸ ΑΒ λόγον ἔχει τὸν συγκείμενον, ἐκ τοῦ ὃν ἔχει τὸ ἀπὸ ΛΔ πρὸς τὸ ἀπὸ ΔΕ καὶ τοῦ ὃν ἔχει τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ τέταρτον τοῦ ἀπὸ ΑΒ, τουτέστι τὸ ὑπὸ ΑΛΒ.

Sint oppoſitæ ſectiones ΑΒ, ΓΔ, quarum centrum Ο, & contingentes ΑΕΖΗ, ΒΕΘΚ; & juncta ΑΒ dividatur bifariam in Λ, & jungatur ΛΕ & ad Δ producatur; à puncto autem Α ducatur ΑΜ ipſi ΒΕ parallela, & à puncto Β recta ΒΝ parallela ipſi ΑΕ; denique ſumpto in ſectione ΓΔ quovis puncto Γ, jungantur ΓΒΜ, ΓΑΝ: dico rectangulum ſub ΒΝ, ΑΜ ad quadratum ex ΑΒ rationem habere compoſitam, ex ratione quadrati ex ΛΔ ad quadratum ex ΔΕ & ratione rectanguli ΑΕΒ ad quartam partem quadrati ex ΑΒ, ſive ad rectangulum ΑΛΒ.



Ἤχθωσαν γὰρ ἀπὸ τῶν Γ, Δ παρὰ τὴν ΑΒ αἱ ΗΓΚ, ΖΔΘ· φανερὸν δή, ἐπεὶ ἴση ἐστὶν ἡ ΑΛ τῇ ΛΒ, ὅτι ἴση ἡ ΔΘ τῇ ΔΖ καὶ ἡ ΚΞ τῇ ΞΗ. ἔστι δὲ καὶ ἡ ΞΓ τῇ ΞΠ ἴση, ὥστε καὶ ἡ ΓΚ τῇ ΗΠ. καὶ ἐπεὶ ἀντικείμεναί εἰσιν αἱ ΑΒ, ΔΓ, ἐφαπτόμεναι δὲ αἱ ΒΕΘ, ΘΔ, καὶ παρὰ τὴν ΔΘ ἡ ΚΗ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ ΒΘ πρὸς τὸ ἀπὸ ΘΔ οὕτως τὸ ἀπὸ ΒΚ πρὸς τὸ ὑπὸ ΠΚΓ. ἴσον δὲ τὸ μὲν ἀπὸ ΘΔ τῷ ὑπὸ ΘΔΖ, τὸ δὲ ὑπὸ ΠΚΓ τῷ ὑπὸ ΚΓΗ· ἔστιν ἄρα ὡς τὸ ἀπὸ ΒΘ πρὸς τὸ ὑπὸ ΘΔΖ οὕτως τὸ ἀπὸ ΒΚ πρὸς τὸ ὑπὸ ΚΓΗ. ἔστι δὲ καὶ ὡς τὸ ὑπὸ ΖΑ, ΘΒ πρὸς τὸ ἀπὸ ΘΒ οὕτως τὸ ἀπὸ ΗΑ, ΚΒ πρὸς τὸ ἀπὸ ΚΒ· δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ ὑπὸ ΑΖ, ΘΒ πρὸς τὸ ὑπὸ ΘΔΖ οὕτως τὸ ὑπὸ ΑΗ, ΚΒ πρὸς τὸ ὑπὸ ΚΓΗ. ὁ δὲ τοῦ ὑπὸ ΑΖ, ΘΒ πρὸς τὸ ὑπὸ ΘΔΖ λόγος (τοῦ ὑπὸ ΘΕΖ μέσου λαμβανομένου) σύγκειται ἐκ τοῦ τοῦ ὑπὸ ΑΖ, ΘΒ πρὸς τὸ ὑπὸ ΘΕΖ καὶ τοῦ ὑπὸ ΘΕΖ πρὸς τὸ ὑπὸ ΘΔΖ. καὶ ἔστιν ὡς μὲν τὸ ὑπὸ ΑΖ, ΘΒ πρὸς τὸ ὑπὸ ΘΕΖ οὕτως τὸ ἀπὸ ΛΔ πρὸς τὸ ἀπὸ ΔΕ, ὡς δὲ τὸ ὑπὸ ΘΕΖ πρὸς τὸ ὑπὸ ΘΔΖ οὕτως τὸ ὑπὸ

Ducantur enim à punctis Γ, Δ rectæ ΗΓΚ, ΖΔΘ parallelæ ipſi ΑΒ: patet igitur, ob ΑΛ æqualem ipſi ΛΒ, quod ΔΘ ipſi ΔΖ æqualis ſit & ΚΞ ipſi ΞΗ. ſed [per 47. 1. huj.] ΞΓ eſt æqualis ipſi ΞΠ: ergo & ΓΚ ipſi ΗΠ. & quoniam ΑΒ, ΔΓ oppoſitæ ſectiones ſunt, contingentesque ΒΕΘ, ΘΔ, & ducta eſt ΚΗ ipſi ΘΔ parallela; erit [per 18. 3. huj.] ut quadratum ex ΒΘ ad quadratum ex ΘΔ ita quadratum ex ΒΚ ad rectangulum ΠΚΓ. quadratum autem ex ΘΔ eſt æquale rectangulo ΘΔΖ, & rectangulum ΠΚΓ rectangulo ΚΓΗ; ergo ut quadratum ex ΒΘ ad rectangulum ΘΔΖ ita quadratum ex ΒΚ ad rectangulum ΚΓΗ. ſed ut rectangulum ſub ΖΑ, ΘΒ ad quadratum ex ΘΒ ita rectangulum ſub ΗΑ, ΚΒ ad quadratum ex ΚΒ*: ex æquali igitur ut rectangulum ſub ΑΖ, ΘΒ ad rectangulum ΘΔΖ ita rectangulum ex ΑΗ, ΚΒ ad rectangulum ſub ΚΓΗ. ratio autem rectanguli ſub ΑΖ, ΘΒ ad rectangulum ΘΔΖ (ſumpto medio rectangulo ΘΕΖ) componitur ex ratione rectanguli ſub ΑΖ, ΘΒ ad rectangulum ΘΕΖ & ratione rectanguli ΘΕΖ ad rectangulum ΘΔΖ. ſed ut rectangulum ſub ΑΖ, ΘΒ ad rectangulum ΘΕΖ ita quadratum ex ΛΔ ad quadratum ex ΔΕ†. & ut rectangulum ΘΕΖ ad rectangulum ΘΔΖ ita [per 12. lem. 3. huj.] rectangulum

* Quoniam enim ſimilia ſunt triangula ΑΕΒ, ΘΕΖ, ΚΕΗ, erit ΖΕ ad ΕΑ ut ΘΕ ad ΕΒ; & ideo componendo, ut ΖΑ ad ΑΕ ita ΘΒ ad ΒΕ. Pari modo conſtat eſſe ΗΑ ad ΑΕ ut ΚΒ ad ΒΕ; & invertendo, ut ΑΕ ad ΑΗ ita ΒΕ ad ΒΚ: quare, ex æquali, eſt ΖΑ ad ΑΗ ſicut ΘΒ ad ΒΚ; adeoque ΖΑ ad ΘΒ ut ΑΗ ad ΒΚ. ſed ut ΖΑ ad ΘΒ ita rectangulum ſub ΖΑ, ΘΒ ad quadratum ex ΘΒ; & ut ΑΗ ad ΒΚ ita rectangulum ſub ΗΑ, ΚΒ ad quadratum ex ΚΒ: eſt igitur ut rectangulum ſub ΖΑ, ΘΒ ad quadratum ex ΘΒ ita rectangulum ſub ΗΑ, ΚΒ ad quadratum ex ΚΒ.

† Nam ratio rectanguli ſub ΑΖ, ΘΒ ad rectangulum ΘΕΖ componitur ex ratione ΑΖ ad ΖΕ & ratione ΒΘ ad ΘΕ. ſed tam ratio ΑΖ ad ΖΕ quam ratio ΒΘ ad ΘΕ eadem eſt cum ratione ΛΔ ad ΔΕ: ergo ratio ex illis compoſita (hoc eſt ratio rectanguli ſub ΑΖ, ΘΒ ad rectangulum ΘΕΖ) eadem eſt cum ratione quadrati ex ΛΔ ad quadratum ex ΔΕ.

AEB ad rectangulum AΛB; ergo ratio rectanguli sub AH, BK ad rectangulum KΓH composita est ex ratione quadrati ex ΛΔ ad quadratum ex ΔB & ratione rectanguli AEB ad rectangulum AΛB. habet autem rectangulum sub AH, KB ad rectangulum KΓH rationem compositam ex ratione BK ad KΓ & ratione AH ad HΓ. atqui ut BK ad KΓ ita est [per 4. 6.] MA ad AB, & ut AH ad HΓ ita NB ad BA: ratio igitur composita ex ratione MA ad AB & ratione NB ad BA, quæ quidem eadem est quam habet rectangulum sub AM, BN ad quadratum ex AB, componitur ex ratione quadrati ex ΛΔ ad quadratum ex ΔE & ratione rectanguli AEB ad rectangulum AΛB.



AEB πρὸς τὸ ὑπὸ AΛB· ὁ ἄρα τοῦ ὑπὸ AH, BK πρὸς τὸ ὑπὸ KΓH λόγος σύγκειται ἐκ τοῦ τοῦ ἀπὸ ΛΔ πρὸς τὸ ἀπὸ ΔB καὶ τοῦ ὑπὸ AEB πρὸς τὸ ὑπὸ AΛB. ἔχει δὲ τὸ ὑπὸ AH, KB πρὸς τὸ ὑπὸ KΓH τὸν συγκείμενον λόγον, ἐκ τοῦ τῆς BK πρὸς KΓ καὶ τοῦ τῆς AH πρὸς HΓ. ἀλλ' ὡς μὲν ἡ BK πρὸς KΓ οὕτως ἡ MA πρὸς AB, ὡς δὲ ἡ AH πρὸς HΓ οὕτως ἡ NB πρὸς BA· ὁ ἄρα συγκείμενος λόγος ἐκ τοῦ τῆς MA πρὸς AB καὶ τοῦ τῆς NB πρὸς BA, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ὑπὸ AM, BN πρὸς τὸ ἀπὸ AB, σύγκειται ἐκ τοῦ τοῦ ἀπὸ ΛΔ πρὸς τὸ ἀπὸ ΔE καὶ τοῦ ὑπὸ AEB πρὸς τὸ ὑπὸ AΛB.

ΑΠΟΛ-

ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΓΑΙΟΥ
ΚΩΝΙΚΩΝ
ΤΟ ΤΕΤΑΡΤΟΝ,
ΜΕΤΑ ΤΩΝ ΕΥΤΟΚΙΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ.

APOLLONII PERGÆI
CONICORUM
LIBER QUARTUS,
CUM COMMENTARIIS EUTOCII ASCALONITÆ.

Ἀπολλώνιος Ἀττάλῳ χαίρειν.

ΠΡΟΤΕΡΟΝ μὲν ἐξέθηκα, γράψας πρὸς Εὔδημον τὸν Περγαμηνόν, τῶν συντεταγμένων ἡμῖν Κωνικῶν ἐν ὀκτὼ βιβλίοις τὰ πρῶτα τρία. μετηλλαχότος δὲ ἐκείνου, τὰ λοιπὰ διεγνωκότες πρὸς σὲ γράψαι, διὰ τὸ φιλοτιμεῖσθαί σε μεταλαμβάνειν τὰ ὑφ' ἡμῶν πραγματευόμενα, πεπόμφαμεν ἐπὶ τοῦ παρόντος σοι τὸ τέταρτον. περιέχει δὲ τοῦτο κατὰ πόσα σημεῖα πλεῖστα δυνατόν ἐστι τὰς τῶν κώνων τομὰς ἀλλήλαις τε καὶ τῇ τοῦ κύκλου περιφερείᾳ συμβάλλειν, ἐάν περ μὴ ὅλαι ἐπὶ ὅλας ἐφαρμόζωσιν· ἔτι κώνου τομὴ καὶ κύκλου περιφέρεια ταῖς ἀντικειμέναις κατὰ πόσα σημεῖα πλεῖστα συμβάλλουσι, καὶ ἔτι ἀντικείμεναι ἀντικειμέναις· καὶ ἐκτὸς τούτων ἄλλα οὐκ ὀλίγα ὅμοια τούτοις. τούτων δὲ τὸ μὲν προειρημένον Κόνων ὁ Σάμιος ἐξέθηκε πρὸς Θρασυδαῖον, οὐκ ὀρθῶς ἐν ταῖς ἀποδείξεσιν ἀναστραφείς· διὸ καὶ μετρίως αὐτοῦ ἀνθήψατο Νικοτέλης ὁ Κυρηναῖος. περὶ δὲ τοῦ δευτέρου μνείαν μόνον πεποίηται ὁ Νικοτέ-

Apollonius Attalo S. P.

ANTEA quidem ex octo libris, quos de Conicis composuimus, tres priores ad *Eudemum Pergamenum* scriptos edidimus. Verum eo mortuo, cum reliquos ad Te mittere decreverimus, quartum hunc, quod scriptorum nostrorum desiderio tenearis, in præsentia ad Te mittimus. Ostendit autem ad quot puncta, ut plurimum, Coni sectiones inter se & circuli circumferentiæ occurrant, nisi totæ totis congruant: præterea ad quot puncta, ut plurimum, Coni sectio & circuli circumferentia oppositis sectionibus conveniant; itemque oppositæ sectiones oppositis sectionibus: atque ad hæc alia non pauca his similia. Horum autem primum *Conon Samius* ad *Thrasydæum* scribens explicavit, non ritè confectis demonstrationibus: quamobrem *Nicoteles Cyrenæus* eum nonnihil reprehendit. Verum secundi mentionem tantum fecit *Ni-*

coteles in libro contra *Cononem*, tanquam ejus quod facile demonstrari posset: quod tamen nos neque ab illo neque ab alio quopiam demonstratum invenimus. At tertium cæteraque id genus plane nemini in mentem venisse comperimus. Ex dictis autem quotquot ab aliis non demonstrata deprehendimus multa atque varia postulant Theoremata nova; quorum plurima in tribus prioribus libris, reliqua autem in hoc ipso exposuimus. Hæc vero probe perspecta non parum utilitatis afferunt tam ad problematum compositiones quam ad eorundem determinationes. Verum *Nicoteles* quidem, ob dissensionem quæ illi cum *Conone* erat, nihil ex iis quæ à *Conone* inventa sunt ad problematum διορισμοὺς commodi provenire asserit: quod plane falsum. Nam etiamsi omnino absque his determinationes dare liceret; eorum tamen ope nonnulla facilius percipiuntur: veluti quod problema pluribus modis construi possit, vel quot modis, vel etiam quod nullo modo fiat. Hujusmodi autem præcognitio satis idoneam solutiones quærendi præbet ansam; & ad analyses διορισμῶν Theoremata hæc admodum utilia sunt. Verum & absque hac utilitate, propter ipsas demonstrationes digna erunt quæ recipiantur: multa enim alia in Mathematicis disciplinis ob hoc ipsum, nec ob aliquid aliud, recipere consuevimus.

λης ἐν τῇ πρὸς τὸν Κόνωνα ἀντιγραφῇ, ὡς δυναμένου δειχθῆναι· δεδειγμένῳ δὲ οὔτε ὑπ' αὐτοῦ τούτῳ οὔθ' ὑπ' ἄλλου τινὸς ἐντετύχαμεν. τὸ μέντοι τρίτον, καὶ τὰ ἄλλα τὰ ὁμογενῆ τούτοις, ἁπλῶς ὑπὸ οὐδενὸς νενοημένα εὕρηκα. πάντα δὲ τὰ λεχθέντα, ὅσοις οὐκ ἐντέτυχα, πολλῶν καὶ ποικίλων προσεδεῖτο ξενιζόντων θεωρημάτων· ὧν τὰ μὲν πλεῖστα τυγχάνω ἐν τοῖς πρώτοις τρισὶ βιβλίοις ἐκτεθεικώς, τὰ δὲ λοιπὰ ἐν τούτῳ. ταῦτα δὲ θεωρηθέντα χρείαν ἱκανὴν παρέχεται πρός τε τὰς τῶν προβλημάτων συνθέσεις καὶ τοὺς διορισμούς. Νικοτέλης μὲν γάρ, ἕνεκα τῆς πρὸς τὸν Κόνωνα διαφορᾶς, οὐδεμίαν ἐκ τῶν ὑπὸ τοῦ Κόνωνος εὑρημένων εἰς τοὺς διορισμοὺς φησὶν ἔρχεσθαι χρείαν, οὐκ ἀληθῆ λέγων. καὶ γὰρ εἰ ὅλως ἄνευ τούτων δύναται κατὰ τοὺς διορισμοὺς ἀποδίδοσθαι, ἀλλά τοί γε δι' αὐτῶν ἔστι κατανοεῖν προχειρότερον ἔνια· οἷον ὅτι πλεοναχῶς ἢ τοσαυταχῶς ἂν γένοιτο, καὶ πάλιν ὅτι οὐκ ἂν γένοιτο. ἡ δὲ τοιαύτη πρόγνωσις ἱκανὴν ἀφορμὴν συμβάλλεται πρὸς τὰς ζητήσεις· καὶ πρὸς τὰς ἀναλύσεις τῶν διορισμῶν εὔχρηστα τὰ θεωρήματά ἐστι ταῦτα. χωρὶς δὲ τῆς τοιαύτης εὐχρηστίας, καὶ δι' αὐτὰς τὰς ἀποδείξεις ἄξια ἔσται ἀποδοχῆς· καὶ γὰρ ἄλλα πολλὰ τῶν ἐν τοῖς μαθήμασι διὰ τοῦτο, καὶ οὐ δι' ἄλλο τι, ἀποδεχόμεθα.

EUTOCIUS.

Quartus liber, *Anthemi* amicissime, inquirit, quot modis conorum sectiones inter sese & circuli circumferentiæ conveniant, sive contingentes fuerint sive secantes. Est autem & elegans & legentibus perspicuus, præsertim ex editione nostra: ac ne commentariis quidem ullis indiget, quod enim necessarium est explet ipse textus. In eo autem omnia demonstrantur argumentatione ducente ad impossibile; sicut & *Euclides* fecit in iis quæ de intersectionibus & tactionibus circuli conscripsit. quæ sane ratio & ad usum accommodata & necessaria *Aristoteli* ac Geometris, præcipue vero *Archimedi*, visa est. Itaque tibi quatuor libros perlegenti licebit, adhibitis Conicis, resolvere & componere quodcunque propositum fuerit: quocirca & ipse *Apollonius* in principio libri dixit quatuor libros ad hujus disciplinæ elementa sufficere, reliquos autem quatuor ad abundantiorem scientiam pertinere. Perlege igitur eos diligenter, & si tibi placuerit reliquos ad eandem formam à nobis edi, id quoque Deo duce fiet. *Vale.*

Τὸ τέταρτον βιβλίον, ὦ φίλε ἑταῖρε Ἀνθέμιε, ζήτησιν μὲν ἔχει, ποσαχῶς αἱ τῶν κώνων τομαὶ ἀλλήλαις τε καὶ τῇ τοῦ κύκλου περιφερείᾳ συμβάλλουσι, ἤτοι ἐφαπτόμεναι ἢ τέμνουσαι. ἔστι δέ τι χαρίεν καὶ σαφὲς τοῖς ἐντυγχάνουσι καὶ μάλιστα ἀπὸ τῆς ἡμετέρας ἐκδόσεως· καὶ οὐδὲ σχολίων δεῖται, τὸ γὰρ ἐνδέον αἱ παραγραφαὶ πληροῦσι. δείκνυται δὲ τὰ ἐν αὐτῷ πάντα διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὥσπερ καὶ Εὐκλείδης ἔδειξε τὰ περὶ τῶν τομῶν τοῦ κύκλου καὶ τῶν ἐπαφῶν. εὔχρηστος δὲ καὶ ἀναγκαῖος ὁ τρόπος οὗτος καὶ τῷ Ἀριστοτέλει δοκεῖ καὶ τοῖς γεωμέτραις, καὶ μάλιστα τῷ Ἀρχιμήδει. ἀναγινώσκοντι οὖν σοὶ τὰ τέσσαρα βιβλία, δυνατὸν ἔσται διὰ τῆς τῶν κωνικῶν πραγματείας ἀναλύειν καὶ συντιθέναι τὸ προτεθέν· διὸ καὶ αὐτὸς ὁ Ἀπολλώνιος, ἐν ἀρχῇ τοῦ βιβλίου, φησὶ τὰ τέσσαρα βιβλία ἀρκεῖν πρὸς τὴν ἀγωγὴν τὴν στοιχειώδη, τὰ δὲ λοιπὰ εἶναι περιουσιαστικώτερα. ἀνάγνωθι οὖν αὐτὰ ἐπιμελῶς, καὶ εἰ σοὶ κατὰ θυμὸν γένηται καὶ τὰ λοιπὰ κατὰ τοῦτον τὸν τύπον ὑπ' ἐμοῦ ἐκτεθῆναι, καὶ τοῦτο θεοῦ ἡγουμένου γενήσεται. ἔρρωσο.

PROP. I. *Theor.*

Si in coni sectione, vel circuli circumferentia, aliquod punctum extra sumatur; atque ab eo ad sectionem ducantur duæ rectæ lineæ, una quidem contingens, altera vero in duobus punctis secans; & quam rationem habet

ΠΡΟΤΑΣΙΣ α'.

Ἐὰν κώνου τομῆς, ἢ κύκλου περιφερείας ληφθῇ τι σημεῖον ἐκτός, καὶ ἀπ' αὐτοῦ τῇ τομῇ προσπίπτωσι δύο εὐθεῖαι, ὧν ἡ μὲν ἐφάπτηται ἡ δὲ τέμνῃ κατὰ δύο σημεῖα, καὶ ὃν ἔχει λόγον ὅλη ἡ τέμνου-

σα

σα πρὸς τὴν ἐκτὸς ἀπολαμβανομένην μεταξὺ τοῦ τε σημείου καὶ τῆς γραμμῆς, εἰς τοῦτον τμηθῇ ἡ ἐντὸς ἀπολαμβανομένη εὐθεῖα, ὥστε τὰς ὁμολόγους εὐθείας πρὸς τῷ αὐτῷ σημείῳ εἶναι· ἡ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὴν διαίρεσιν ἀγομένη εὐθεῖα συμπεσεῖται τῇ γραμμῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ ἐκτὸς σημεῖον ἀγομένη εὐθεῖα ἐφάψεται τῆς γραμμῆς.

tota secans ad partem ejusdem quæ extra sumitur, inter punctum & sectionem interjecta, in eandem dividatur ea pars quæ est intra, ita ut rectæ eandem rationem habentes ad idem punctum conveniant: quæ à tactu ad divisionem ducitur, occurret sectioni; & quæ ab occursu ducitur ad punctum extra sumptum, sectionem continget.

Ἔστω γὰρ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ΑΒΓ, καὶ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπ' αὐτοῦ ἡ μὲν ΔΒ ἐφαπτέσθω κατὰ τὸ Β, ἡ δὲ ΔΕΓ τεμνέτω τὴν τομὴν κατὰ τὰ Ε, Γ, [περιέχοντα πρότερον τὴν κατὰ τὸ Β ἁφήν,] καὶ ὃν ἔχει λόγον ἡ ΓΔ πρὸς ΔΕ, τοῦτον ἐχέτω ἡ ΓΖ πρὸς ΖΕ· λέγω ὅτι ἡ ἀπὸ τοῦ Β ἐπὶ τὸ Ζ ἀγομένη συμπίπτει τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἐφάπτεται τῆς τομῆς.



Ἐπεὶ οὖν ἡ ΔΓ τέμνει τὴν τομὴν κατὰ δύο σημεῖα, οὐκ ἔσται διάμετρος αὐτῆς *· δυνατὸν ἄρα ἐστὶ διὰ τοῦ Δ διάμετρον ἀγαγεῖν, ὥστε καὶ ἐφαπτομένην. ἤχθω γὰρ ἀπὸ τοῦ Δ ἐφαπτομένη τῆς τομῆς ἡ ΔΑ, καὶ ἐπιζευχθεῖσα ἡ ΒΑ τεμνέτω τὴν ΕΓ, εἰ δυνατὸν, μὴ κατὰ τὸ Ζ, ἀλλὰ κατὰ τὸ Η. ἐπεὶ οὖν ἐφάπτονται αἱ ΒΔ, ΔΑ, καὶ ἐπὶ τὰς ἁφάς ἐστιν ἡ ΒΑ, καὶ διῆκται ἡ ΓΔ τέμνουσα τὴν μὲν τομὴν κατὰ τὰ Γ, Ε, τὴν δὲ ΑΒ κατὰ τὸ Η· ἔσται ὡς ἡ ΓΔ πρὸς ΔΕ οὕτως ἡ ΓΗ πρὸς ΗΕ, ὅπερ ἄτοπον, ὑπόκειται γὰρ ὡς ἡ ΓΔ πρὸς ΔΕ οὕτως ἡ ΓΖ πρὸς ΖΕ· οὐκ ἄρα ἡ ΒΑ καθ' ἕτερον σημεῖον τέμνει τὴν ΓΕ· κατὰ τὸ Ζ ἄρα.

Ταῦτα μὲν κοινῶς ἐπὶ πασῶν τῶν τομῶν δείκνυται· ἐπὶ δὲ τῆς ὑπερβολῆς μόνον, ἐὰν ἡ μὲν ΔΒ ἐφάπτηται, ἡ δὲ ΔΓ τέμνῃ κατὰ δύο σημεῖα τὰ Ε, Γ, τὰ δὲ Ε, Γ περιέχῃ τὴν κατὰ τὸ Β ἁφήν, καὶ τὸ Δ σημεῖον ἐντὸς ᾖ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας, ὁμοίως ἡ ἀπόδειξις γενήσεται.

Δυνατὸν γὰρ ἀπὸ τοῦ Δ σημείου ἄλλην ἐφαπτομένην ἀγαγεῖν εὐθεῖαν τὴν ΔΑ, καὶ τὰ λοιπὰ τῆς ἀποδείξεως ὁμοίως ποιεῖν.

Sit coni sectio, vel circuli circumferentia ABΓ; & puncto extra sectionem sumpto, quod sit Δ, ab eo ducatur recta ΔB quidem contingens sectionem in B; ΔEΓ vero in punctis E, Γ secans, [quæ primum contineant punctum tactus B;] & quam rationem habet ΓΔ ad ΔE, eandem habeat ΓZ ad ZE: dico rectam, quæ à puncto B ad Z ducitur occurrere sectioni; & quæ ab occursu ducitur ad Δ, sectionem contingere.

Quoniam enim recta ΔΓ sectionem in duobus punctis secat, cum non sit ipsius diameter, licebit per Δ diametrum & ideo contingentem ducere. ducatur [per 49.2.huj.] à puncto Δ recta ΔA sectionem contingens; & juncta BA secet ipsam EΓ non in Z, sed in alio puncto H, si fieri possit. itaque quoniam rectæ BΔ, ΔA sectionem contingunt; & tactus jungit recta BA; recta vero ΓΔ sectionem in punctis Γ, E secat, ipsamque AB secat in H: erit [per 37. 3.huj.] ut ΓΔ ad ΔE ita ΓH ad HE, quod est absurdum; posuimus enim, ut ΓΔ ad ΔE ita esse ΓZ ad ZE: igitur BA non secat ΓE in alio puncto; quare in ipso Z secet necesse est.

Hæc quidem communiter in omnibus sectionibus demonstrata sunt: at in hyperbola tantum, si recta ΔB sectionem contingat, & ΔΓ in punctis E, Γ secet, puncta vero E, Γ contineant tactum ad B, & punctum Δ sit intra angulum asymptotis comprehensum, similiter fiet demonstratio.

Possumus enim tunc solum à puncto Δ aliam ducere contingentem ΔA, & quæ reliqua sunt ad demonstrationem perficere.

ΠΡΟΤΑΣΙΣ β'.

Τῶν αὐτῶν ὄντων, τὰ Ε, Γ σημεῖα μὴ περιεχέτω τὴν κατὰ τὸ Β ἁφὴν μεταξὺ αὐτῶν· [ἐπὶ δὲ τῆς ὑπερβολῆς,] τὸ Δ σημεῖον ἐντὸς ἔστω τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας· δυνατὸν ἄρα ἀπὸ τοῦ Δ ἑτέραν ἐφαπτομένην ἀγαγεῖν τὴν ΔΑ, καὶ τὰ λοιπὰ ὁμοίως ἀποδεικνύειν.



Prop. II. *Theor.*

Iisdem existentibus, puncta E, Γ tactum ad B non contineant; at, si fuerit hyperbola, sit punctum Δ intra angulum asymptotis comprehensum: possumus igitur [per 49. 2. huj.] à puncto Δ alteram contingentem ducere, quæ sit ΔA, & reliqua similiter demonstrare.

* Nam si Ellipseos diameter fuerit, res manifesta est ex 34. primi.

*Prop.

*Prop. III. Theor.

Si vero sectio A B fuerit Parabola, quam contingat Γ A, secet autem Γ E in uno tantum puncto, ac fiat E Z æqualis ipsi Γ E: dico rectam à puncto A ad Z ductam ordinatim esse applicatam, & quæ ab occursu ejus cum sectione ad punctum Γ ducitur sectionem contingere.



Quoniam enim sectio parabola est, ac Γ E in uno tantum puncto occurrit sectioni, erit Γ E Z sectionis diameter. nam si non sit diameter, fiat E Δ diametro parallela, & [per 46. 1. huj.] erit E Δ diameter sectionis. & quoniam Γ E Z occurrit diametro, producta etiam occurret sectioni [per 27. 1. huj.] in alio puncto; quod est absurdum. posuimus enim eam in uno tantum puncto occurrere: adeoq; Γ E Z est sectionis diameter. cumque Γ E æqualis sit ipsi E Z, erit [per 33. 1. huj.] A Z ordinatim applicata, ac producta occurret sectioni. occurrat ad B, ac [per eandem 33am] juncta Γ B continget sectionem, ob Γ E ipsi E Z æqualem, ac B Z ordinatim applicatam.

* *Tam in Codice* Armachano *quam in Epitome ejus per* Abdolmelec, *præcedens Propositio pro secundâ habetur, quæ in* Græcis *quidem MSS. non reperitur. Quoniam vero in* Græcis *secunda propositio primæ tantum particula sit, & propositio vix dici mereatur, nos eam primæ subjecimus, & hanc* Arabum *secundam (quæ vix alia est quam conversa 33tiæ primi) tertiam fecimus, ne Propositionum ordo in citationibus turbaretur.*

Prop. IV. Theor.

Si in Hyperbola occursus E, Γ contineant tactum ad B, & punctum Δ sit in angulo qui deinceps est angulo asymptotis comprehenso: recta, quæ à tactu ad divisionem ducitur, occurret oppositæ sectioni, & quæ ab occursu ejus ad punctum Δ ducitur eandem sectionem continget.

Sint oppositæ sectiones B, Θ, quarum asymptoti K Λ, M Ξ N; & punctum Δ sit in angulo Λ Ξ N; ab eo autem ducta recta Δ B sectionem contingat, & Δ Γ secet, ita ut occursus E, Γ tactum ad B contineant; & quam rationem habet Γ Δ ad Δ E eandem habeat Γ Z ad Z E. demonstrandum est rectam, quæ à puncto B ad Z ducitur, occurrere sectioni Θ; & quæ ab occursu ducitur ad Δ sectionem contingere.



Ducatur enim à puncto Δ recta Δ Θ sectionem contingens; & juncta Θ B, si fieri possit, non transeat per Z, sed per aliud punctum H: est igitur [per 37. 3. huj.] ut Γ Δ ad Δ E ita Γ H ad H E, quod est absurdum; posuimus enim ut Γ Δ ad Δ E ita esse Γ Z ad Z E.

ΠΡΟΤΑΣΙΣ δ′.

Ἐὰν ἐν τῇ ὑπερβολῇ αἱ μὲν Ε, Γ συμπτώσεις τὴν κατὰ τὸ Β ἁφὴν περιέχωσι, τὸ δὲ Δ σημεῖον ᾖ ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης· ἡ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὴν διαίρεσιν ἀγομένη εὐθεῖα συμπεσεῖται τῇ ἀντικειμένῃ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἀγομένη εὐθεῖα ἐφάψεται τῆς ἀντικειμένης.

Ἔστωσαν ἀντικείμεναι αἱ Β, Θ, καὶ ἀσύμπτωτοι αἱ ΚΛ, ΜΞΝ, καὶ τὸ Δ σημεῖον ἐν τῇ ὑπὸ ΛΞΝ γωνίᾳ, καὶ ἀπ' αὐτοῦ ἐφαπτέσθω μὲν ἡ ΔΒ, τεμνέτω δὲ ἡ ΔΓ, καὶ αἱ Ε, Γ συμπτώσεις περιεχέτωσαν τὴν Β ἁφὴν, καὶ ὃν ἔχει λόγον ἡ ΓΔ πρὸς ΔΕ ἐχέτω ἡ ΓΖ πρὸς ΖΕ. δεικτέον ὅτι ἡ ἀπὸ τοῦ Β ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη συμπεσεῖται τῇ Θ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἐφάψεται τῆς τομῆς.

Ἤχθω γὰρ ἀπὸ τοῦ Δ ἐφαπτομένη τῆς τομῆς ἡ ΔΘ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΒ πιπτέτω, εἰ δυνατὸν, μὴ διὰ τοῦ Ζ ἀλλὰ διὰ τοῦ Η· ἔστιν ἄρα ὡς ἡ ΓΔ πρὸς ΔΕ οὕτως ἡ ΓΗ πρὸς ΗΕ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ὡς ἡ ΓΔ πρὸς ΔΕ οὕτως ἡ ΓΖ πρὸς ΖΕ.

Prop. V. Theor.

Iisdem positis, si punctum Δ sit in una asymptotôn; quæ à puncto B ad Z ducitur eidem asymptoto parallela erit.

ΠΡΟΤΑΣΙΣ ε′.

Τῶν αὐτῶν ὄντων, ἐὰν τὸ Δ σημεῖον ἐπί τινος ᾖ τῶν ἀσυμπτώτων, ἡ ἀπὸ τοῦ Β ἐπὶ τὸ Ζ ἀγομένη παράλληλος ἔσται τῇ αὐτῇ ἀσυμπτώτῳ.

Ὑποκείσθω

Υποκείσθω γὰρ τὰ αὐτά, καὶ τὸ Δ σημεῖον ἔστω ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων τῆς ΜΝ· δεικτέον ὅτι ἡ ἀπὸ τοῦ Β τῇ ΜΝ παράλληλος ἀγομένη ἐπὶ τὸ Ζ πεσεῖται.

Μὴ γάρ, ἀλλ', εἰ δυνατόν, ἔστω ἡ ΒΗ· ἔσται δὴ ὡς ἡ ΓΔ πρὸς ΔΕ οὕτως ἡ ΓΗ πρὸς ΗΕ, ὅπερ ἀδύνατον.



Ponantur enim eadem; & punctum Δ sit in altera asymptotôn, videlicet in MN: demonstrandum est rectam, quæ à puncto B ipsi MN parallela ducitur, in punctum Z cadere.

Non enim, sed, si fieri potest, sit ea BH: erit igitur [per 35. 3. huj.] ut ΓΔ ad ΔE ita ΓH ad HE; quod fieri non potest.

ΠΡΟΤΑΣΙΣ ϛ'.

Ἐὰν ὑπερβολῆς ληφθῇ τι σημεῖον ἐκτός, καὶ ἀπ' αὐτοῦ πρὸς τὴν τομὴν διαχθῶσι δύο εὐθεῖαι, ὧν ἡ μὲν ἐφάπτηται, ἡ δὲ παράλληλος ᾖ μιᾷ τῶν ἀσυμπτώτων, καὶ τῇ ἀπολαμβανομένῃ ἐπὶ τῆς παραλλήλου μεταξὺ τῆς τομῆς καὶ τοῦ σημείου ἴση ἐπ' εὐθείας ἐντὸς τῆς τομῆς τεθῇ· ἡ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὸ γενόμενον σημεῖον ἐπιζευγνυμένη εὐθεῖα συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ ἐκτὸς σημεῖον ἀγομένη ἐφάψεται τῆς τομῆς.

Prop. VI. *Theor.*

Si in hyperbola aliquod punctum extra sumatur, à quo ad sectionem ducantur duæ rectæ lineæ, altera quidem contingens, altera vero parallela uni asymptotôn; & portio parallelæ inter sectionem & punctum interjecta æqualis sit ei quæ intra sectionem continetur: recta, quæ à tactu ad inventum punctum ducitur, occurret sectioni; & quæ ab occursu ducitur ad punctum extra sumptum, sectionem continget.

Ἔστω ὑπερβολὴ ἡ ΑΕΒ, καὶ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἔστω πρότερον ἐντὸς τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας τὸ Δ, καὶ ἀπ' αὐτοῦ ἡ μὲν ΒΔ ἐφαπτέσθω, ἡ δὲ ΔΕΖ παράλληλος ἔστω τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων, καὶ κείσθω τῇ ΔΕ ἴση ἡ ΕΖ· λέγω ὅτι ἡ ἀπὸ τοῦ Β ἐπὶ τὸ Ζ ἐπιζευγνυμένη συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἐφάψεται τῆς τομῆς.

Ἤχθω γὰρ ἐφαπτομένη τῆς τομῆς ἡ ΔΑ, καὶ ἐπιζευχθεῖσα ἡ ΒΑ τεμνέτω τὴν ΔΕ, εἰ δυνατόν, μὴ κατὰ τὸ Ζ, ἀλλὰ καθ' ἕτερον τὸ Η· ἔσται δὴ ἴση ἡ ΔΕ τῇ ΕΗ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ ΔΕ τῇ ΕΖ ἴση.

Sit hyperbola AEB, & sumatur aliquod punctum extra, quod sit Δ; sit autem primo Δ intra angulum sub asymptotis contentum, & ab ipso Δ recta quidem ΔB ducta sectionem contingat, ΔEZ vero parallela sit alteri asymptotôn, ponaturque ipsi ΔE æqualis EZ: dico rectam, quæ à puncto B ad Z ducitur, occurrere sectioni; & quæ ab occursu ducitur ad Δ, sectionem contingere.



Ducatur enim ΔA, quæ sectionem contingat; & juncta BA secet ipsam ΔE, si fieri potest, non in Z, sed in alio puncto H: erit itaque [per 30. 3. huj.] ΔE æqualis ipsi EH, quod est absurdum; supponebatur enim ΔE ipsi EZ æqualis.

ΠΡΟΤΑΣΙΣ ζ'.

Τῶν αὐτῶν ὄντων, τὸ Δ σημεῖον ἔστω ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης· λέγω ὅτι καὶ οὕτως τὰ αὐτὰ συμβήσεται.

Ἤχθω γὰρ ἐφαπτομένη ἡ ΔΘ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΒ πιπτέτω, εἰ δυνατόν, μὴ διὰ τοῦ Ζ, ἀλλὰ διὰ τοῦ Η· ἴση ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΕΗ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ ΔΕ τῇ ΕΖ ἴση.



Prop. VII. *Theor.*

Iisdem positis, sit punctum Δ in angulo deinceps ei qui sub asymptotis continetur: dico etiam sic eadem evenire.

Ducatur enim ΔΘ sectionem contingens; & juncta ΘB, si fieri potest, non cadat in Z, sed in aliud punctum H: ergo [per 31. 3. huj.] ΔE est æqualis ipsi EH, quod est absurdum; supponitur enim ΔE æqualis ipsi EZ.

Prop. VIII. *Theor.*

IISDEM positis, sit punctum Δ in una asymptotôn, & reliqua eadem fiant: dico rectam, quæ à tactu ad extremitatem sumptæ ducitur, parallelam esse asymptoto in qua est punctum Δ.



Sint enim eadem quæ supra, ponaturque ipsi ΔE æqualis EZ, & à puncto B ducatur BH parallela ipsi MN, si fieri possit: æqualis igitur est [per 34. 3. huj.] ΔE ipsi EH, quod est absurdum; posuimus enim ΔE ipsi EZ æqualem esse.

ΠΡΟΤΑΣΙΣ η'.

ΤΩΝ αὐτῶν ὄντων, ἔστω τὸ Δ σημεῖον ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων, καὶ τὰ λοιπὰ γενέσθω τὰ αὐτά· λέγω ὅτι ἡ ἀπὸ τῆς ἁφῆς ἐπ᾽ ἄκρον τῆς ἀποληφθείσης ἀγομένη παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ, ἐφ᾽ ἧς ἐστι τὸ Δ σημεῖον.

Ἔστω γὰρ τὰ εἰρημένα, καὶ κείσθω τῇ ΔΕ ἴση ἡ ΕΖ, καὶ ἀπὸ τοῦ Β παράλληλος τῇ ΜΝ ἤχθω, εἰ δυνατόν, ἡ ΒΗ· ἴση ἄρα ἡ ΔΕ τῇ ΕΗ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ ΔΕ τῇ ΕΖ ἴση.

Prop. IX. *Theor.*

Si ab eodem puncto duæ rectæ lineæ ducantur, quarum utraque coni sectionem vel circuli circumferentiam in duobus punctis secet; & quas rationes habent totæ rectæ ad portiones quæ extra sumuntur, in easdem dividantur quæ sunt intra, ita ut partes proportionales ad idem punctum conveniant: quæ per divisiones ducitur recta sectioni in duobus punctis occurret; & quæ ab occursu ad punctum extra sumptum ducuntur sectionem contingent.

SIT aliqua prædictarum sectionum AB, & ab aliquo puncto Δ ducantur rectæ ΔE, ΔZ quæ sectionem secent, illa quidem in Θ, E punctis, hæc vero in Z, H; & quam rationem habet EΔ ad ΔΘ eandem habeat EΛ & ΛΘ, & rursus quam habet ZΔ ad ΔH habeat ZK ad KH: dico rectam, quæ ab Λ ad K ducitur, utraque ex parte occurrere sectioni; & quæ ab occursibus ducuntur ad Δ, sectionem contingere.



Quoniam enim utraque rectarum EΔ, ZΔ sectionem in duobus punctis secat, poterimus ab ipso Δ sectionis diametrum ducere; atque adeo contingentes ex utraque parte. ducantur igitur ΔA, ΔB, quæ sectionem contingant; & juncta BA, si fieri possit, non transeat per Λ, K, sed vel per alterum ipsorum tantum, vel per neutrum. transeat primo per Λ tantum, & rectam ZH in puncto M secet: ergo [per 37. 3. huj.] ut ZΔ ad ΔH ita ZM ad MH, quod est absurdum: supponitur enim ut ZΔ ad ΔH ita ZK ad KH. si vero recta BA per neutrum punctorum Λ, K transeat, in utraque ipsarum ΔE, ΔZ dictum absurdum sequetur.

ΠΡΟΤΑΣΙΣ θ'.

Ἐὰν ἀπὸ τοῦ αὐτοῦ σημείου δύο εὐθεῖαι ἀχθῶσι τέμνουσαι κώνου τομὴν ἢ κύκλου περιφέρειαν, ἑκατέρα κατὰ δύο σημεῖα, καὶ ὡς ἔχουσιν αἱ ὅλαι πρὸς τὰς ἐκτὸς ἀπολαμβανομένας οὕτως αἱ ἐντὸς ἀπολαμβανόμεναι διαιρεθῶσιν, ὥστε τὰς ὁμολόγους πρὸς τῷ αὐτῷ σημείῳ εἶναι· ἡ διὰ τῶν διαιρέσεων ἀγομένη εὐθεῖα συμπεσεῖται τῇ τομῇ κατὰ δύο σημεῖα, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ ἐκτὸς σημεῖον ἀγόμεναι ἐφάψονται τῆς γραμμῆς.

ΕΣΤΩ γὰρ τῶν προειρημένων γραμμῶν τις ἡ ΑΒ, καὶ ἀπό τινος σημείου τοῦ Δ διήχθωσαν αἱ ΔΕ, ΔΖ τέμνουσαι τὴν γραμμήν, ἡ μὲν κατὰ τὰ Θ, Ε ἡ δὲ κατὰ τὰ Ζ, Η, καὶ ὃν μὲν ἔχει λόγον ἡ ΕΔ πρὸς ΔΘ τοῦτον ἐχέτω ἡ ΕΛ πρὸς ΛΘ, ὃν δὲ ἡ ΖΔ πρὸς ΔΗ τοῦτον ἐχέτω ἡ ΖΚ πρὸς ΚΗ· λέγω ὅτι ἡ ἀπὸ τοῦ Λ ἐπὶ τὸ Κ ἐπιζευγνυμένη συμπεσεῖται ἐφ᾽ ἑκάτερα τῇ τομῇ, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ ἐπιζευγνύμεναι ἐφάψονται τῆς τομῆς.

Ἐπεὶ γὰρ αἱ ΕΔ, ΖΔ ἑκατέρα κατὰ δύο σημεῖα τέμνουσι τὴν τομήν, δυνατόν ἐστιν ἀπὸ τοῦ Δ διάμετρον ἀγαγεῖν τῆς τομῆς, ὥστε καὶ ἐφαπτομένας ἐφ᾽ ἑκάτερα. ἤχθωσαν ἐφαπτόμεναι αἱ ΔΑ, ΔΒ, καὶ ἐπιζευχθεῖσα ἡ ΒΑ, εἰ δυνατόν, μὴ ἐρχέσθω διὰ τῶν Λ, Κ, ἀλλ᾽ ἤτοι διὰ τοῦ ἑτέρου αὐτῶν, ἢ δι᾽ οὐδετέρου. ἐρχέσθω πρότερον διὰ μόνου τοῦ Λ, καὶ τεμνέτω τὴν ΖΗ κατὰ τὸ Μ· ἔστιν ἄρα ὡς ἡ ΖΔ πρὸς ΔΗ οὕτως ἡ ΖΜ πρὸς ΜΗ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ὡς ἡ ΖΔ πρὸς ΔΗ οὕτως ἡ ΖΚ πρὸς ΚΗ. ἐὰν δὲ ἡ ΒΑ μηδὲ δι᾽ ἑτέρου τῶν Λ, Κ πορεύηται, ἐφ᾽ ἑκατέρας τῶν ΔΕ, ΔΖ συμβήσεται τὸ ἄτοπον.

ΠΡΟΤΑΣΙΣ ι'.

Ταῦτα μὲν κοινῶς· ἐπὶ δὲ τῆς ὑπερβολῆς μόνον, ἐὰν τὰ μὲν ἄλλα ὑπάρχῃ τὰ αὐτὰ, αἱ δὲ τῆς μιᾶς εὐθείας συμπτώσεις περιέχωσι τὰς τῆς ἑτέρας συμπτώσεις, καὶ τὸ Δ σημεῖον ἐντὸς ᾖ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας, τὰ αὐτὰ συμβήσεται τοῖς προειρημένοις, ὡς προείρηται ἐν τῷ πρώτῳ θεωρήματι.

Prop. X. *Theor.*

Hæc quidem communiter in omnibus: at in hyperbola tantum, si cætera quidem eadem sint, unius autem rectæ lineæ occursus contineant occursus alterius, & punctum Δ sit intra angulum sub asymptotis comprehensum, evenient illa quæ dicta sunt ut in primo theoremate tradidimus.

ΠΡΟΤΑΣΙΣ ια'.

Τῶν αὐτῶν ὄντων, ἐὰν τῆς μιᾶς συμπτώσεις μὴ περιέχωσι τὰς τῆς ἑτέρας συμπτώσεις, τὸ δὲ Δ σημεῖον ἐντὸς ᾖ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας· καὶ ἡ καταγραφὴ καὶ ἡ ἀπόδειξις ἡ αὐτὴ τῷ ἐνάτῳ.

Prop. XI. *Theor.*

Iisdem positis, si occursus unius rectæ alterius occursus non contineant, & punctum Δ sit intra angulum sub asymptotis comprehensum; & figura & demonstratio eadem erit, quæ in nono theoremate.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Τῶν αὐτῶν ὄντων, ἐὰν περιέχωσιν αἱ τῆς μιᾶς εὐθείας συμπτώσεις τὰς τῆς ἑτέρας, καὶ ᾖ τὸ ληφθὲν σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης· ἡ διὰ τῶν διαιρέσεων ἀγομένη εὐθεῖα ἐκβαλλομένη τῇ ἀντικειμένῃ τομῇ συμπεσεῖται, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ σημεῖον ἀγόμεναι εὐθεῖαι ἐφάψονται τῶν ἀντικειμένων.

Prop. XII. *Theor.*

Iisdem positis, si unius rectæ occursus alterius occursus contineant, & punctum sumptum sit in angulo deinceps ei qui sub asymptotis comprehenditur: recta per divisiones ducta, si producatur, occurret oppositæ sectioni; & quæ ab occursibus ducuntur ad punctum Δ, oppositas sectiones contingent.

ΕΣΤΩ ὑπερβολὴ ἡ ΕΗ, ἀσύμπτωτοι δὲ αἱ ΝΞ, ΟΠ, καὶ κέντρον τὸ Ρ, καὶ τὸ Δ σημεῖον ἔσω ἐν τῇ ΞΡΠ γωνίᾳ, καὶ ἤχθωσαν αἱ ΔΕ, ΔΖ τέμνουσαι τὴν ὑπερβολὴν, ἑκατέρα κατὰ δύο σημεῖα, καὶ περιεχέσθω τὰ Ε, Θ ὑπὸ τῶν Ζ, Η, καὶ ἔσω ὡς μὲν ἡ ΕΔ πρὸς ΔΘ οὕτως ἡ ΕΚ πρὸς ΚΘ, ὡς δὲ ἡ ΖΔ πρὸς ΔΗ οὕτως ἡ ΖΛ πρὸς ΛΗ· δεικτέον ὅτι ἡ διὰ τῶν Κ, Λ συμπεσεῖται τῇ τε ΕΖ τομῇ καὶ τῇ ἀντικειμένῃ, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ ἐφάψονται τῶν τομῶν.

Ἔσω δὴ ἀντικειμένη ἡ Μ, καὶ ἀπὸ τοῦ Δ ἤχθωσαν ἐφαπτόμεναι τῶν τομῶν αἱ ΔΜ, ΔΣ, καὶ ἐπιζευχθεῖσα ἡ ΜΣ, εἰ δυνατὸν, μὴ ἐρχέσθω διὰ τῶν Κ, Λ, ἀλλ' ἤτοι διὰ τοῦ ἑτέρου αὐτῶν, ἢ δι' οὐδετέρου. ἐρχέσθω πρότερον διὰ τοῦ Κ, καὶ τεμνέτω τὴν ΖΗ κατὰ τὸ Χ· ἔστιν ἄρα ὡς ἡ ΖΔ πρὸς ΔΗ οὕτως ἡ ΖΧ πρὸς ΧΗ, ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ὡς ἡ ΖΔ πρὸς ΔΗ οὕτως ἡ ΖΛ πρὸς ΛΗ. ἐὰν δὲ μηδὲ δι' ἑτέρου τῶν Κ, Λ ἔρχηται ἡ ΜΣ, ἐφ' ἑκατέρας τῶν ΕΔ, ΔΖ τὸ ἀδύνατον συμβαίνει.

SIT hyperbola ΕΗ, cujus asymptoti ΝΞ, ΟΠ, & centrum Ρ; punctum vero Δ sit in angulo ΞΡΠ; & ducantur ΔΕ, ΔΖ, quarum utraque hyperbolam in duobus punctis secet; & puncta Ε, Θ à punctis Ζ, Η contineantur; sitque ut ΕΔ ad ΔΘ ita ΕΚ ad ΚΘ, & ut ΖΔ ad ΔΗ ita ΖΛ ad ΛΗ: demonstrandum est rectam per Κ, Λ ductam occurrere & sectioni ΕΖ & ei quæ ipsi opponitur; ac rectas quæ ab occursibus ducuntur ad punctum Δ, sectiones contingere.



Sit itaq; sectio opposita Μ; & à puncto Δ ducantur ΔΜ, ΔΣ, quæ sectiones contingant; junctaque ΜΣ, si fieri possit, non transeat per Κ, Λ; sed vel per alterum ipsorum, vel per neutrum. transeat primum per Κ, & secet ΖΗ in Χ: est igitur [per 37.3.huj.] ut ΖΔ ad ΔΗ ita ΖΧ ad ΧΗ, quod est absurdum; supponitur enim ut ΖΔ ad ΔΗ ita ΖΛ ad ΛΗ. si vero ΜΣ per neutrum punctorum Κ, Λ transeat, in utraque ipsarum ΕΔ, ΔΖ impossibile istud eveniet.

Prop.

Prop. XIII. Theor.

Iisdem positis, si punctum Δ sit in una asymptotôn, & reliqua eadem existant: quæ per divisiones transit recta asymptoto in qua est punctum parallela erit, & producta occurret sectioni; quæ vero ab occursu ad punctum ducitur, sectionem continget.

SIT hyperbola, & asymptoti; sumptoque in una asymptotôn puncto Δ, ducantur rectæ lineæ, & dividantur, ut dictum est; & ab ipso Δ recta ΔB sectionem contingat; dico eam, quæ à puncto B ducitur ipsi OΠ parallela, per puncta K, Λ transire.

Si enim non, vel per unum ipsorum transibit, vel per neutrum. transeat primo per K tantum: quare [per 35.3.huj.] ut ZΔ ad ΔH ita ZX ad XH, quod est absurdum*: recta igitur à puncto B ducta parallela ipsi ΠO per unum tantum eorum non transibit; ergo per utrumque transeat necesse est.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Τῶν αὐτῶν ὄντων, ἐὰν τὸ Δ σημεῖον ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων ᾖ, καὶ τὰ λοιπὰ τὰ αὐτὰ ὑπάρχῃ· ἡ διὰ τῶν διαιρέσεων ἀγομένη παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ ἐφ' ἧς ἐστι τὸ σημεῖον, καὶ ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ σημεῖον ἀγομένη ἐφάψεται τῆς τομῆς.

ΕΣΤΩ γὰρ ὑπερβολὴ, καὶ ἀσύμπτωτοι, καὶ εἰλήφθω ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων τὸ Δ, καὶ διήχθωσαν αἱ εὐθεῖαι, καὶ διαιρείσθωσαν ὡς εἴρηται καὶ ἤχθω ἀπὸ τοῦ Δ ἐφαπτομένη τῆς τομῆς ἡ ΔΒ· λέγω ὅτι ἡ ἀπὸ τοῦ Β παρὰ τὴν ΠΟ ἀγομένη ἥξει διὰ τῶν Κ, Λ.

Εἰ γὰρ μὴ, ἤτοι διὰ τοῦ ἑνὸς αὐτῶν ἐλεύσεται, ἢ δι' οὐδετέρου. ἐρχέσθω διὰ μόνου τοῦ Κ· ἔστιν ἄρα ὡς ἡ ΖΔ πρὸς ΔΗ οὕτως ἡ ΖΧ πρὸς ΧΗ, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ ἀπὸ τοῦ Β παρὰ τὴν ΠΟ ἀγομένη διὰ μόνου τοῦ Κ ἐλεύσεται· δι' ἀμφοτέρων ἄρα.



Prop. XIV. Theor.

IISDEM positis, si punctum Δ sit in una asymptotôn, & recta quidem ΔE sectionem in duobus punctis secet, ΔH vero alteri asymptoto parallela illam secet in uno tantum, quod sit H; fiatque ut ΔE ad ΔΘ ita EK ad KΘ, & ipsi ΔH ponatur æqualis & in directo HΛ: quæ per puncta K, Λ transit recta & asymptoto parallela erit, & sectioni occurret; quæ vero ab occursu ducitur ad Δ, sectionem continget.

Similiter enim ut in superioribus, ducta recta ΔB contingente: dico eam, quæ à puncto B ducitur asymptoto ΠO parallela, per puncta K, Λ transire.

Si enim per K solum transeat; non erit ΔH ipsi HΛ æqualis, quod [per 34. 3.huj.] est absurdum. si vero per Λ solum, non erit ut EΔ ad ΔΘ ita EK ad KΘ†. quod si neque per K transeat, neque per Λ, in utrisque absurdum sequetur: ergo per utrumque punctum transire necesse est.

ΠΡΟΤΑΣΙΣ ιδ'.

ΤΩΝ αὐτῶν ὄντων, ἐὰν τὸ Δ σημεῖον ἐπὶ μιᾶς ᾖ τῶν ἀσυμπτώτων, καὶ ἡ μὲν ΔΕ τέμνῃ τὴν τομὴν κατὰ δύο σημεῖα, ἡ δὲ ΔΗ κατὰ μόνον τὸ Η, παράλληλος οὖσα τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων, καὶ γένηται ὡς ἡ ΔΕ πρὸς ΔΘ οὕτως ἡ ΕΚ πρὸς ΚΘ, τῇ δὲ ΔΗ ἴση ἐπ' εὐθείας τεθῇ ἡ ΗΛ· ἡ διὰ τῶν Κ, Λ σημείων ἀγομένη παράλληλός τε ἔσται τῇ ἀσυμπτώτῳ καὶ συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἐφάψεται τῆς τομῆς.

Ὁμοίως γὰρ τῷ προειρημένῳ, ἀγαγὼν τὴν ΔΒ ἐφαπτομένην· λέγω ὅτι ἡ ἀπὸ τοῦ Β παρὰ τὴν ΠΟ ἀσύμπτωτον ἀγομένη ἥξει διὰ τῶν Κ, Λ σημείων.



Εἰ οὖν διὰ τοῦ Κ μόνου ἥξει, οὐκ ἔσται ἡ ΔΗ τῇ ΗΛ ἴση, ὅπερ ἄτοπον. εἰ δὲ διὰ τοῦ Λ μόνου, οὐκ ἔσται ὡς ἡ ΕΔ πρὸς ΔΘ οὕτως ἡ ΕΚ πρὸς ΚΘ. εἰ δὲ μήτε διὰ τοῦ Κ, μήτε διὰ τοῦ Λ, κατ' ἀμφότερα συμβήσεται τὸ ἄτοπον· δι' ἀμφοτέρων ἄρα ἐλεύσεται.

* Ponitur enim ZΔ ad ΔH sicut ZΔ ad ΔH. † Quod est absurdum per 35.3.huj.

ΠΡΟΤΑΣΙΣ ιε'.

Ἐὰν ἐν ἀντικειμέναις ληφθῇ τι σημεῖον μεταξὺ τῶν δύο τομῶν, καὶ ἀπ' αὐτοῦ ἡ μὲν ἐφάπτηται μιᾶς τῶν ἀντικειμένων, ἡ δὲ τέμνῃ ἑκατέραν τῶν ἀντικειμένων, καὶ ὡς ἔχει ἡ μεταξὺ τῆς ἑτέρας τομῆς, ἧς οὐκ ἐφάπτεται ἡ εὐθεῖα, καὶ τοῦ σημείου, πρὸς τὴν μεταξὺ τοῦ σημείου καὶ τῆς ἑτέρας τομῆς, οὕτως ἔχῃ μείζων τις εὐθεῖα τῆς μεταξὺ τῶν τομῶν πρὸς τὴν ὑπεροχὴν αὐτῆς κειμένην ἐπ' εὐθείας τε καὶ πρὸς τῷ αὐτῷ πέρατι τῇ ὁμολόγῳ· ἡ ἀπὸ τοῦ πέρατος τῆς μείζονος εὐθείας ἐπὶ τὴν ἁφὴν ἀγομένη συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ ληφθὲν σημεῖον ἀγομένη ἐφάψεται τῆς τομῆς.

ἘΣΤΩΣΑΝ ἀντικείμεναι αἱ Α, Β, καὶ εἰλήφθω τι σημεῖον μεταξὺ τῶν τομῶν τὸ Δ, ἐντὸς τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας, καὶ ἀπ' αὐτοῦ ἡ μὲν ΔΖ διήχθω ἐφαπτομένη, ἡ δὲ ΑΔΒ τέμνουσα τὰς τομάς, καὶ ὃν ἔχει λόγον ἡ ΑΔ πρὸς ΔΒ ἐχέτω ἡ ΑΓ πρὸς ΓΒ· δεικτέον ὅτι ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Γ ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἀγομένη ἐφάψεται τῆς τομῆς.



Ἐπεὶ γὰρ τὸ Δ σημεῖον ἐντός ἐστι τῆς περιεχούσης τὴν τομὴν γωνίας, δυνατόν ἐστι καὶ ἑτέραν ἐφαπτομένην ἀγαγεῖν ἀπὸ τοῦ Δ. ἤχθω ἡ ΔΕ, καὶ ἐπιζευχθεῖσα ἡ ΖΕ ἐρχέσθω, εἰ δυνατόν, μὴ διὰ τοῦ Γ, ἀλλὰ διὰ τοῦ Η· ἔσται δὴ ὡς ἡ ΑΔ πρὸς ΔΒ οὕτως ἡ ΑΗ πρὸς ΗΒ, ὅπερ ἄτοπον, ὑπόκειται γὰρ ὡς ἡ ΑΔ πρὸς ΔΒ οὕτως ἡ ΑΓ πρὸς ΓΒ.

PROP. XV. Theor.

Si in sectionibus oppositis inter duas sectiones sumatur aliquod punctum, & ab ipso duæ rectæ ducantur, altera quidem contingens unam oppositarum, altera vero utramque secans; & quam rationem habet ea quæ inter sectionem quam non contingit recta & punctum interjicitur ad rectam quæ est inter punctum & alteram sectionem, eandem habeat recta quædam major ea quæ inter sectiones interjicitur ad excessum ipsius in eadem recta & ad eundem terminum cum ea quæ in eadem est ratione: quæ à termino majoris rectæ ad tactum ducitur, occurret sectioni; & quæ ab occursu ad sumptum punctum, sectionem continget.

SINT sectiones oppositæ A, B; sumptoque inter sectiones aliquo puncto Δ intra angulum sub asymptotis contentum, ab ipso ducatur recta quidem ΔZ contingens sectionem, AΔB vero sectiones secans; & quam rationem habet AΔ ad ΔB eandem habeat AΓ ad ΓB: demonstrandum est rectam à puncto Z ad Γ productam occurrere sectioni; & eam quæ ab occursu ducitur ad Δ, sectionem contingere.

Quoniam enim punctum Δ est intra angulum qui sectionem continet, poterimus [per 49. 2. huj.] ab ipso Δ aliam contingentem ducere, quæ sit ΔE; & juncta ZE, si fieri potest, per Γ non transeat, sed per aliud punctum H: erit igitur [per 37. 3. huj.] ut AΔ ad ΔB ita AH ad HB, quod est absurdum; posuimus enim ut AΔ ad ΔB ita esse AΓ ad ΓB.

ΠΡΟΤΑΣΙΣ ιϛ'.

ΤΩΝ αὐτῶν ὄντων, ἔστω τὸ Δ σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, καὶ τὰ λοιπὰ τὰ αὐτὰ γινέσθω· λέγω ὅτι ἡ ἀπὸ τοῦ Ζ ἐπὶ τὸ Γ ἐπιζευγνυμένη ἐκβληθεῖσα συμπεσεῖται τῇ ἀντικειμένῃ τομῇ, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἐφάψεται τῆς ἀντικειμένης τομῆς.

PROP. XVI. Theor.

IISDEM positis, sit punctum Δ in angulo deinceps ei qui sub asymptotis continetur, & reliqua eadem fiant: dico rectam à puncto Z ad Γ productam occurrere oppositæ sectioni; & quæ ab occursu ducitur ad Δ, eandem oppositam sectionem contingere.



Sint

Sint enim eadem quæ supra, & punctum Δ sit in angulo deinceps ei qui sub asymptotis continetur; atque à puncto Δ ducatur Δ E sectionem A contingens; juncta autem E Z & pro-

Ἔστω γὰρ τὰ αὐτὰ, καὶ τὸ Δ σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, καὶ ἤχθω ἀπὸ τοῦ Δ ἐφαπτομένη τῆς A τομῆς ἡ Δ E, καὶ



ducta, si fieri potest, non transeat per Γ, sed per aliud punctum H: erit igitur [per 39.3. huj.] ut A H ad H B ita A Δ ad Δ B, quod est absurdum; supponebatur enim ut A Δ ad Δ B ita A Γ ad Γ B.

ἐπιζεύχθω ἡ E Z, καὶ ἐκβαλλομένη, εἰ δυνατὸν, μὴ ἐρχέσθω ἐπὶ τὸ Γ, ἀλλ' ἐπὶ τὸ H· ἔσται δὴ ὡς ἡ A H πρὸς H B οὕτως ἡ A Δ πρὸς Δ B, ὅπερ ἄτοπον, ὑπόκειται γὰρ ὡς ἡ A Δ πρὸς Δ B οὕτως ἡ A Γ πρὸς Γ B.

Prop. XVII. *Theor.*

Iisdem positis sit punctum Δ in una asymptotôn: dico rectam, quæ à Z ad Γ ducitur, asymptoto, in qua est punctum, esse parallelam.



Sint eadem quæ supra, & punctum Δ in una asymptotôn; ductaque per Z eidem asymptoto parallela non transeat per Γ, si fieri potest, sed per H; erit igitur [per 36. 3. huj.] ut A Δ ad Δ B ita A H ad H B, quod est absurdum *: ergo quæ à puncto Z ducitur asymptoto parallela per punctum Γ transibit.

ΠΡΟΤΑΣΙΣ ιζ'.

ΤΩΝ αὐτῶν ὄντων, ἔστω τὸ Δ σημεῖον ἐπί τινος τῶν ἀσυμπτώτων· λέγω ὅτι ἡ ἀπὸ τοῦ Z ἐπὶ τὸ Γ ἀγομένη παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ ἐφ' ἧς ἐστι τὸ σημεῖον.

Ἔστωσαν τὰ αὐτὰ τοῖς ἔμπροσθεν, τὸ δὲ Δ σημεῖον ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων, καὶ ἤχθω διὰ τοῦ Z παράλληλος, καὶ, εἰ δυνατὸν, μὴ πιπτέτω ἐπὶ τὸ Γ, ἀλλ' ἐπὶ τὸ H· ἔσται δὴ ὡς ἡ A Δ πρὸς Δ B οὕτως ἡ A H πρὸς H B, ὅπερ ἄτοπον· ἡ ἄρα ἀπὸ τοῦ Z παρὰ τὴν ἀσύμπτωτον ἐπὶ τὸ Γ πίπτει.

Prop. XVIII. *Theor.*

Si in sectionibus oppositis aliquod punctum sumatur inter duas sectiones, & ab ipso duæ rectæ ducantur utramque sectionem secantes; & quas rationes habent interjectæ inter unam sectionem & punctum ad eas quæ inter idem punctum & alteram sectionem interjiciuntur, easdem habeant rectæ majores iis quæ sunt inter sectiones oppositas ad excessus ipsarum: quæ per terminos majorum rectarum transeunt, occurrent sectionibus; & quæ ab occursibus ad sumptum punctum ducuntur, sectiones contingent.

ΠΡΟΤΑΣΙΣ ιη'.

Ἐὰν ἐν ἀντικειμέναις ληφθῇ τι σημεῖον μεταξὺ τῶν δύο τομῶν, καὶ ἀπ' αὐτοῦ δύο εὐθεῖαι διαχθῶσι τέμνουσαι ἑκατέραν τῶν τομῶν, καὶ ὡς ἔχουσιν αἱ μεταξὺ τῆς μιᾶς τομῆς πρὸς τὰς μεταξὺ τῆς ἑτέρας καὶ τοῦ αὐτοῦ σημείου οὕτως ἔχωσιν αἱ μείζους τῶν ἀπολαμβανομένων μεταξὺ τῶν ἀντικειμένων πρὸς τὰς ὑπεροχὰς αὐτῶν· ἡ διὰ τῶν περάτων ἀγομένη εὐθεῖα τῶν μειζόνων εὐθειῶν ταῖς τομαῖς συμπεσεῖται, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ ληφθὲν σημεῖον ἀγόμεναι εὐθεῖαι, ἐφάψονται τῶν τομῶν.

Sint oppositæ sectiones A, B, & punctum Δ inter sectiones, quod quidem primum ponatur in angulo sub asymptotis contento, & per Δ rectæ A Δ B, Γ Δ Θ ducantur; major igitur

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ A, B, καὶ τὸ Δ σημεῖον μεταξὺ τῶν τομῶν πρότερον ὑποκείσθω ἐν τῇ ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένῃ γωνίᾳ, καὶ διὰ τοῦ Δ διήχθωσαν αἱ A Δ B, Γ Δ Θ· μείζων ἄρα ἐστὶν

* Est enim, [ex hyp.] ut A Δ ad Δ B ita A Γ ad Γ B.

ἡ μὲν

ἡ μὲν ΑΔ τῆς ΔΒ, ἡ δὲ ΓΔ τῆς ΔΘ, διότι ἴση ἐστὶν ἡ ΒΝ τῇ ΑΜ, καὶ ὃν μὲν ἔχει λόγον ἡ ΑΔ πρὸς ΔΒ ἐχέτω ἡ ΑΚ πρὸς ΚΒ, ὃν δὲ ἔχει λόγον ἡ ΓΔ πρὸς ΔΘ ἐχέτω ἡ ΓΗ πρὸς ΗΘ· λέγω ὅτι ἡ διὰ τῶν Κ, Η συμπεσεῖται τῇ τομῇ, καὶ αἱ ἀπὸ τοῦ Δ ἐπὶ τὰς συμπτώσεις τῆς τομῆς ἐφάψονται.



Ἐπεὶ γὰρ τὸ Δ ἐστὶν ἐν τῇ ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας, δυνατὸν ἀπὸ τοῦ Δ δύο ἐφαπτομένας ἀγαγεῖν. ἤχθωσαν αἱ ΔΕ, ΔΖ, καὶ ἐπεζεύχθω ἡ ΕΖ· ἐλεύσεται δὴ διὰ τῶν Κ, Η σημείων. εἰ γὰρ μή, ἢ διὰ τοῦ ἑνὸς αὐτῶν ἐλεύσεται μόνου, ἢ δι᾽ οὐδετέρου. εἰ μὲν γὰρ δι᾽ ἑνὸς αὐτῶν μόνου, ἡ ἑτέρα τῶν εὐθειῶν εἰς τὸν αὐτὸν λόγον τμηθήσεται καθ᾽ ἕτερον, ὅπερ ἀδύνατον· εἰ δὲ δι᾽ οὐδετέρου, ἐπ᾽ ἀμφοτέρων τὸ ἀδύνατον συμβήσεται.

est ΑΔ quam ΔΒ, & ΓΔ major quam ΔΘ, quoniam [per 16. 2. huj.] ΒΝ est æqualis ΑΜ; quam vero rationem habet ΑΔ ad ΔΒ eandem habeat ΑΚ ad ΚΒ, & quam ΓΔ habet ad ΔΘ eandem habeat ΓΗ ad ΗΘ: dico rectam quæ per Κ, Η transit, occurrere sectioni; & quæ à puncto Δ ad occursus ducuntur, sectionem contingere.

Quoniam enim punctum Δ est in angulo sub asymptotis contento, possumus [per 49. 2. huj.] ab eo duas rectas contingentes ducere. ducantur ΔΕ, ΔΖ; & ΕΖ jungatur: quæ igitur per puncta Κ, Η transibit. si enim non, vel transibit per unum ipsorum tantum, vel per neutrum. & si quidem per unum tantum, altera rectarum [per 37. 3. huj.] in eadem ratione ad aliud punctum secabitur; quod fieri non potest: si vero per neutrum, in utrisque impossibile eveniet.

ΠΡΟΤΑΣΙΣ ιθ'.

ΕΙΛΗΦΘΩ δὴ τὸ Δ σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, καὶ διήχθωσαν αἱ εὐθεῖαι τέμνουσαι τὰς τομάς, καὶ διαιρείσθωσαν ὡς εἴρηται· λέγω ὅτι ἡ διὰ τῶν Κ, Η ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν ἀντικειμένων, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ ἐφάψονται τῶν τομῶν.

Prop. XIX. *Theor.*

SUMATUR itaque punctum Δ in angulo deinceps ei qui sub asymptotis continetur, ducanturque rectæ sectiones secantes, & modo dicto dividantur: dico eam quæ per Κ, Η producitur, occurrere utrique sectionum; & quæ ab occursibus ducuntur ad Δ, sectiones contingere.



Ἤχθωσαν γὰρ ἀπὸ τοῦ Δ ἐφαπτόμεναι ἑκατέρας τῶν τομῶν αἱ ΔΕ, ΔΖ· ἡ ἄρα διὰ τῶν Ε, Ζ καὶ διὰ τῶν Κ, Η ἐλεύσεται. εἰ γὰρ μή, ἤτοι διὰ τοῦ ἑτέρου αὐτῶν ἥξει, ἢ δι᾽ οὐδετέρου· καὶ πάλιν ὁμοίως συναχθήσεται τὸ ἄτοπον.

Ducantur enim à puncto Δ rectæ ΔΕ, ΔΖ, quæ utramque sectionem contingant: ergo quæ ducitur per Ε, Ζ etiam per Κ, Η transibit. si enim non; vel transibit per alterum ipsarum, vel per neutrum: & rursus eodem modo absurdum concludetur.

ΠΡΟΤΑΣΙΣ κ'.

Ἐὰν δὲ τὸ ληφθὲν σημεῖον ἐπί τινος ᾖ τῶν ἀσυμπτώτων, καὶ τὰ λοιπὰ γένηται τὰ αὐτά· ἡ διὰ τῶν περάτων τῶν ὑπεροχῶν ἀγομένη εὐθεῖα παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ ἐφ᾽ ἧς ἐστι τὸ σημεῖον, καὶ ἡ ἀπὸ τοῦ σημείου ἐπὶ τὴν σύμπτωσιν τῆς

Prop. XX. *Theor.*

Si sumptum punctum sit in una asymptoton, & reliqua eadem fiant: recta, quæ transit per terminos excessuum, asymptoto in qua est punctum parallela erit; & quæ à puncto ducitur ad occursum sectionis & rectæ per

per terminos transeuntis, sectionem continget.

SINT oppositæ sectiones A, B; & punctum Δ sit in una asymptotôn, & reliqua eadem fiant: dico rectam quæ per K, H transit, occurrere sectioni; [& parallelam esse asymptoto in qua punctum Δ;] & quæ ab occursu ad Δ ducitur, sectionem contingere.



Ducatur enim à puncto Δ recta contingens Δ Z, & à Z ducatur parallela asymptoto in qua est punctum Δ: transibit igitur ea per puncta K, H. si enim non, vel per alterum tantum transibit, vel per neutrum; & ita eadem absurda sequentur ac in præmissis.

τομῆς καὶ τοῦ διὰ τῶν περάτων ἠγμένης εὐθείας ἐφάψεται τῆς τομῆς.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ Α, Β, καὶ τὸ Δ σημεῖον ἔστω ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων, καὶ τὰ λοιπὰ τὰ αὐτὰ γινέσθω· λέγω ὅτι ἡ διὰ τῶν Κ, Η συμπεσεῖται τῇ τομῇ, [καὶ παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ ἐφ᾽ ἧς τὸ Δ σημεῖον,] καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἐφάψεται τῆς τομῆς.

Ηχθω ἀπὸ τοῦ Δ ἐφαπτομένη ἡ Δ Ζ, καὶ ἀπὸ τοῦ Ζ, παρὰ τὴν ἀσύμπτωτον ἐφ᾽ ἧς ἐστι τὸ Δ, ἤχθω εὐθεῖα· ἥξει δὴ διὰ τῶν Κ, Η. εἰ γὰρ μή, ἢ διὰ τοῦ ἑτέρου αὐτῶν ἥξει ἢ δι᾽ οὐδετέρου· καὶ τὰ αὐτὰ ἄτοπα συμβήσεται τοῖς πρότερον.

PROP. XXI. *Theor.*

SINT rursus oppositæ sectiones A, B, sitque punctum Δ in una asymptotôn; & recta quidem Δ B K, alteri asymptoto parallela, in uno tantum puncto B occurrat sectioni; recta vero Γ Δ Θ H utrique sectioni occurrat; & ut Γ Δ ad Δ Θ ita sit Γ H ad H Θ, & ipsi Δ B æqualis sit B K: dico rectam, quæ per puncta K, H transit, occurrere sectioni, & asymptoto in qua est punctum Δ parallelam esse; & quæ ab occursu ad punctum Δ ducitur, sectionem contingere.



Ducatur enim recta contingens Δ Z; & à Z ducatur parallela ei asymptoto in qua est Δ: transibit igitur ea per puncta K, H. nam si non ita sit, eadem absurda sequantur necesse est.

ΠΡΟΤΑΣΙΣ κα′.

ΕΣΤΩΣΑΝ πάλιν ἀντικείμεναι αἱ Α, Β, καὶ τὸ Δ σημεῖον ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων, καὶ ἡ μὲν Δ Β Κ τῇ τομῇ καθ᾽ ἓν μόνον σημεῖον συμβαλλέτω τὸ Β, παράλληλος οὖσα τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων, ἡ δὲ Γ Δ Θ ἑκατέρᾳ τῶν τομῶν συμβαλλέτω, καὶ ἔστω ὡς ἡ Γ Δ πρὸς Δ Θ οὕτως ἡ Γ Η πρὸς Η Θ, τῇ δὲ Δ Β ἴση ἔστω ἡ Β Κ· λέγω ὅτι ἡ διὰ τῶν Κ, Η σημείων συμπεσεῖται τῇ τομῇ, καὶ παράλληλος ἔσται τῇ ἀσυμπτώτῳ ἐφ᾽ ἧς ἐστι τὸ Δ σημεῖον, καὶ ἡ ἀπὸ τῆς συμπτώσεως ἐπὶ τὸ Δ ἀγομένη ἐφάψεται τῆς τομῆς.

Ηχθω γὰρ ἐφαπτομένη ἡ Δ Ζ, καὶ ἀπὸ τοῦ Ζ παρὰ τὴν ἀσύμπτωτον ἐφ᾽ ἧς ἐστι τὸ Δ ἤχθω εὐθεῖα· ἥξει δὴ διὰ τῶν Κ, Η. εἰ γὰρ μή, τὰ πρότερον εἰρημένα ἄτοπα συμβήσεται.

PROP. XXII. *Theor.*

SIMILITER autem sint oppositæ sectiones, asymptotique; & punctum Δ sumatur in angulo deinceps ei qui sub asymptotis continetur; recta vero Γ Δ Θ secet utramque sectionem, & Δ B alteri asymptoto parallela sit; sitque ut Γ Δ ad Δ Θ ita Γ H ad H Θ, & ipsi Δ B æqualis ponatur B K: dico rectam quæ per puncta K, H transit, occurrere utrique oppositarum sectionum; & quæ ab occursibus ducuntur ad punctum Δ, sectiones easdem contingere.



ΠΡΟΤΑΣΙΣ κβ′.

ΕΣΤΩΣΑΝ δὲ ὁμοίως αἱ ἀντικείμεναι, καὶ αἱ ἀσύμπτωτοι, καὶ τὸ Δ σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, ὁμοίως εἰλήφθω καὶ ἡ μὲν Γ Δ Θ τέμνουσα τὰς τομάς, ἡ δὲ Δ Β παράλληλος τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων, καὶ ἔστω ὡς ἡ Γ Δ πρὸς Δ Θ οὕτως ἡ Γ Η πρὸς Η Θ, τῇ δὲ Δ Β ἴση ἔστω ἡ Β Κ· λέγω ὅτι ἡ διὰ τῶν Κ, Η σημείων συμπεσεῖται ἑκατέρᾳ τῶν ἀντικειμένων, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ ἀγόμεναι ἐφάψονται τῶν ἀντικειμένων.

Ηχθω

Ἤχθωσαν ἐφαπτόμεναι αἱ ΔΕ, ΔΖ, καὶ ἐπεζεύχθω ἡ ΕΖ, καὶ εἰ δυνατὸν μὴ ἐρχέσθω διὰ τῶν Κ, Η, ἀλλ᾽ ἤτοι διὰ τοῦ ἑτέρου, ἢ δι᾽ οὐδετέρου ἥξει. εἰ μὲν διὰ τοῦ Η μόνου, οὐκ ἔσται ἡ ΔΒ τῇ ΒΚ ἴση, ἀλλ᾽ ἑτέρᾳ. ὅπερ ἄτοπον. εἰ δὲ διὰ μόνου τοῦ Κ, οὐκ ἔσται ὡς ἡ ΓΔ πρὸς ΔΘ οὕτως ἡ ΓΗ πρὸς ΗΘ, ἀλλ᾽ ἄλλη τις πρὸς ἄλλην. εἰ δὲ δι᾽ οὐδετέρου τῶν Η, Κ, ἀμφότερα τὰ ἀδύνατα συμβήσεται.

Ducantur enim ΔE, ΔZ, quæ sectiones contingant; & juncta EZ, si fieri possit, non transeat per K, H, sed vel per alterum ipsorum tantum, vel per neutrum. si enim per H tantum transeat, recta ΔB non erit æqualis ipsi BK, sed alii cuidam; quod [per 31. 3.huj.] est absurdum. si vero tantum per K, non erit ut ΓΔ ad ΔΘ ita ΓH ad HΘ, sed [per 37.3.huj.] alia quædam ad aliam. quod si per neutrum ipsorum K, H transeat, utraque absurda sequentur.

ΠΡΟΤΑΣΙΣ κγ΄.

Ἐστωσαν πάλιν ἀντικείμεναι αἱ Α, Β, καὶ τὸ Δ σημεῖον ἐν τῇ ἐφεξῆς γωνίᾳ τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης, καὶ ἤχθω ἡ μὲν ΒΔ τὴν Β τομὴν καθ᾽ ἓν μόνον τέμνουσα, τῇ δὲ ἑτέρᾳ τῶν ἀσυμπτώτων παράλληλος· ἡ δὲ ΔΑ τὴν Α τομὴν ὁμοίως τέμνῃ, καὶ ἔστω ἴση ἡ μὲν ΔΒ τῇ ΒΗ, ἡ δὲ ΔΑ τῇ ΑΚ· λέγω ὅτι ἡ διὰ τῶν Κ, Η συμβάλλει ταῖς τομαῖς, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Δ ἀγόμεναι ἐφάψονται τῶν τομῶν.



Ἤχθωσαν ἐφαπτόμεναι αἱ ΔΕ, ΔΖ, καὶ ἐπιζευχθεῖσα ἡ ΕΖ, εἰ δυνατὸν, μὴ ἐρχέσθω διὰ τῶν Κ, Η, ἤτοι δὴ διὰ τοῦ ἑτέρου αὐτῶν ἐλεύσεται, ἢ δι᾽ οὐδετέρου. καὶ ἤτοι ἡ ΔΑ οὐκ ἔσται ἴση τῇ ΑΚ, ἀλλ᾽ ἄλλῃ τινι, ὅπερ ἄτοπον· ἢ ἡ ΔΒ τῇ ΒΗ οὐκ ἴση, ἢ οὐδετέρα οὐδετέρᾳ. καὶ πάλιν ἐπ᾽ ἀμφοτέρων τὸ αὐτὸ ἄτοπον συμβήσεται. ἥξει ἄρα ἡ ΕΖ διὰ τῶν Κ, Η.

Prop. XXIII. *Theor.*

Sint itidem oppositæ sectiones A, B, punctumque Δ sit in angulo deinceps ei qui sub asymptotis continetur, & recta quidem BΔ sectionem B in uno puncto tantum secet, & sit alteri asymptoto parallela, recta vero ΔA similiter secet sectionem A, sitque ΔB ipsi BH æqualis, & ΔA ipsi AK: dico rectam quæ transit per K, H occurrere sectionibus; & quæ ab occursibus ad Δ ducuntur sectiones contingere.

Ducantur enim ΔE, ΔZ quæ contingant sectiones; & juncta EZ, si fieri potest, non transeat per K, H; vel igitur per alterum ipsorum, vel per neutrum transibit. unde vel ΔA non erit æqualis AK, sed alii cuipiam, quod [per 31. 3. huj.] est absurdum: vel ΔB non erit æqualis ipsi BH; vel neutra neutræ. & rursus in utrisque idem continget absurdum: recta igitur EZ per puncta K, H necessario transibit.

ΠΡΟΤΑΣΙΣ κδ΄.

Κώνου τομὴ κώνου τομῇ ἢ κύκλου περιφερείᾳ οὐ συμβάλλει οὕτως, ὥστε μέρος μέν τι εἶναι ταὐτὸν, μέρος δὲ μὴ εἶναι κοινόν.

Εἰ δυνατὸν, κώνου τομὴ ἡ ΔΑΒΓ κύκλου περιφερείᾳ ἢ κώνου τομῇ τῇ ΕΑΒΓ συμβαλλέτω, καὶ ἔστω αὐτῶν κοινὸν μέρος τὸ αὐτὸ τὸ ΑΒΓ, μὴ κοινὸν δὲ τὸ ΑΔ καὶ τὸ ΑΕ, καὶ εἰλήφθω ἐπ᾽ αὐτῶν σημεῖον τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΘΑ, καὶ διὰ τυχόντος σημείου τοῦ Ε τῇ ΑΘ παράλληλος ἤχθω ἡ ΔΕΓ, καὶ τετμήσθω ἡ ΑΘ δίχα κατὰ τὸ Η, καὶ διὰ τοῦ Η διάμετρος ἤχθω ἡ ΒΗΖ· ἡ ἄρα διὰ τοῦ Β παρὰ τὴν ΑΘ ἐφάψεται ἑκατέρας τῶν τομῶν, καὶ παράλληλος ἔσται τῇ ΔΕΓ, καὶ ἔσται ἐν μὲν τῇ ἑτέρᾳ τομῇ ἡ ΔΖ τῇ ΖΓ ἴση, ἐν δὲ τῇ ἑτέρᾳ ἡ ΕΖ τῇ ΖΓ ἴση· ὥστε καὶ ἡ ΔΖ τῇ ΖΕ ἐστὶν ἴση, ὅπερ ἀδύνατον.

Prop. XXIV. *Theor.*

Coni sectio coni sectioni vel circuli circumferentiæ non ita occurrit, ut pars quidem eadem sit, pars vero non sit communis.

Si enim fieri potest, coni sectio ΔABΓ coni sectioni aut circuli circumferentiæ EABΓ occurrat, atque ipsarum communis pars sit eadem ABΓ, non communis autem AΔ, AE; & sumpto in ipsis puncto Θ jungatur ΘA, & per quodvis punctum E ducatur ΔEΓ parallela ipsi AΘ; secetque AΘ bifariam in H, ducatur per H diameter BHZ: ergo [per 32. 1.huj.] quæ per B ipsi AΘ parallela ducitur, utramque sectionem continget, & parallela erit ipsi ΔBΓ; eritque [per 46. vel 47. 1.huj.] in altera quidem sectione ΔZ æqualis ZΓ, in altera vero EZ æqualis ZΓ: quare & ΔZ ipsi ZE æqualis erit, quod fieri non potest.



EUTOCIUS.

Ἄλλως.

Ἔστωσαν αἱ ΕΑΒΓ, ΔΑΒΓ τομαὶ, ὡς εἴρηται, καὶ διήχθω ὡς ἔτυχεν ἡ ΔΕΓ, καὶ διὰ τοῦ Α τῇ ΔΕΓ

Aliter.

Sint sectiones EABΓ, ΔABΓ, ducaturque utcunque recta ΔEΓ, & per A ipsi ΔEΓ parallela

ducatur

ducatur ΑΘ. si igitur ΑΘ intra sectiones cadit, congruet ea demonstratio quæ ab *Apollonio* affertur. si vero contingit in puncto Α, utrasque sectiones continget: atque tum [per 46. vel 47. 1. huj.] diameter alterius sectionis, quæ ab Α ducitur, reliquæ etiam diameter erit; & propterea in puncto Ζ bifariam secabit & rectam ΓΔ & ΕΓ, quod fieri non potest.



παράλληλος ἤχθω ἡ ΑΘ. εἰ οὖν ἐντὸς τῶν τομῶν πίπτει, ἡ ἐν τῷ ῥητῷ ἀπόδειξις ἁρμόσει. εἰ δὲ ἐφάψεται κατὰ τὸ Α, ἀμφοτέρων ἐφάψεται τῶν τομῶν· καὶ διὰ τοῦτο ἡ ἀπὸ τοῦ Α ἀγομένη διάμετρος τῆς ἑτέρας τῶν τομῶν, διάμετρος ἔσται καὶ τῆς λοιπῆς· δίχα ἄρα τέμνει κατὰ τὸ Ζ τήν τε ΓΔ καὶ τὴν ΕΓ, ὅπερ ἀδύνατον.

Aliter.

Sint sectiones ΕΑΒΓ, ΔΑΒΓ, ut dictum est, & in communi ipsarum parte ΑΒΓ sumatur quodvis punctum Β, & ducta ΑΒ bifariam secetur in Ζ, perque Ζ ducatur diameter ΗΖΘ, & per Γ recta ΓΕΔ ipsi ΑΒ parallela. quoniam itaque ΖΘ diameter est, & bifariam secat rectam ΑΒ; erit igitur ΑΒ ordinatim applicata, & illi parallela erit ΓΕΔ: ergo ΓΕ bifariam secabitur in Θ. sed in sectione quidem ΕΑΒΓ ducta est ΕΓ, & in sectione ΔΑΒΓ ipsa ΔΓ: recta igitur ΕΘ rectæ ΘΔ est æqualis, quod fieri non potest.



Ἄλλως.

Ἔστωσαν αἱ ΕΑΒΓ, ΔΑΒΓ τομαὶ, ὡς εἴρηται, καὶ εἰλήφθω ἐπὶ τοῦ ΑΒΓ κοινοῦ τμήματος αὐτῶν σημεῖόν τι τὸ Β, καὶ ἐπεζεύχθω ἡ ΑΒ, καὶ δίχα τετμήσθω κατὰ τὸ Ζ, καὶ διὰ τοῦ Ζ διάμετρος ἤχθω ἡ ΗΖΘ, καὶ διὰ τοῦ Γ παρὰ τὴν ΑΒ ἤχθω ἡ ΓΕΔ. ἐπεὶ οὖν διάμετρός ἐστιν ἡ ΖΘ, καὶ δίχα τέμνει τὴν ΑΒ· τεταγμένως ἄρα κατῆκται ἡ ΑΒ, καὶ ἔσται παράλληλος αὐτῇ ἡ ΓΕΔ· δίχα ἄρα τέτμηται ἡ ΓΕ κατὰ τὸ Θ. ἀλλ' ἐν μὲν τῇ ΕΑΒΓ γέγραπται ἡ ΕΓ, ἐν δὲ τῇ ΔΑΒΓ ἡ ΔΓ· ἴση ἄρα ἡ ΕΘ τῇ ΘΔ, ὅπερ ἀδύνατον.

Prop. XXV. *Theor.*

Coni sectio coni sectionem vel circuli circumferentiam in pluribus punctis quam quatuor non secat.

Si enim fieri potest, secet in quinque punctis Α, Β, Γ, Δ, Ε; sintque Α, Β, Γ, Δ, Ε occursus deinceps, nullum intermedium relinquentes, & junctæ ΑΒ, ΓΔ producantur: convenient igitur [per 24. & 25. 2. huj.] inter se extra sectionem in parabola & hyperbola. itaque conveniant in Λ; & quam rationem habet ΑΛ ad ΛΒ eandem habeat ΑΟ ad ΟΒ; quam vero habet ΔΛ ad ΛΓ habeat ΔΠ ad ΠΓ: ergo [per 9. 4. huj.] quæ à puncto Π ad Ο juncta producitur, ex utraque parte occurret sectioni; & quæ ab occursibus ducuntur ad Λ sectiones contingent. occurrat in punctis Θ, Ρ, & ΘΛ, ΛΡ jungantur: contingent igitur hæ sectiones; ergo ΕΛ utramq; secabit, quoniam [ex hyp.] inter Β, Γ nullus est occursus. itaque secet in punctis Μ, Η: ergo [per 37. 3. huj.] in altera quidem sectione erit ut ΕΛ ad ΛΗ ita ΕΝ ad ΝΗ: in altera autem ut ΕΛ ad ΛΜ ita ΕΝ ad ΝΜ: quod fieri non potest *;



ΠΡΟΤΑΣΙΣ κε'.

Κώνου τομὴ κώνου τομὴν ἢ κύκλου περιφέρειαν οὐ τέμνει κατὰ πλείονα σημεῖα τεσσάρων.

Εἰ γὰρ δυνατὸν, τεμνέτω κατὰ πέντε σημεῖα, τὰ Α, Β, Γ, Δ, Ε, καὶ ἔστωσαν αἱ Α, Β, Γ, Δ, Ε συμπτώσεις ἐφεξῆς μηδεμίαν παραλείπουσαι μεταξὺ αὐτῶν, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΓΔ καὶ ἐκβεβλήσθωσαν· συμπεσοῦνται δὴ αὗται ἐκτὸς τῶν τομῶν ἐπὶ τῆς παραβολῆς καὶ ὑπερβολῆς. συμπιπτέτωσαν κατὰ τὸ Λ, καὶ ὃν μὲν ἔχει λόγον ἡ ΑΛ πρὸς ΛΒ ἐχέτω ἡ ΑΟ πρὸς ΟΒ, ὃν δὲ ἔχει λόγον ἡ ΔΛ πρὸς ΛΓ ἐχέτω ἡ ΔΠ πρὸς ΠΓ· ἡ ἄρα ἀπὸ τοῦ Π ἐπὶ τὸ Ο ἐπιζευγνυμένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Λ ἐπιζευγνύμεναι ἐφάψονται τῶν τομῶν. συμπιπτέτω δὲ κατὰ τὰ Θ, Ρ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΛ, ΛΡ· ἐφάψονται δὴ αὗται· ἡ ἄρα ΕΛ τέμνει ἑκατέραν τομὴν, ἐπείπερ μεταξὺ τῶν Β, Γ σύμπτωσις οὐκ ἔστι. τεμνέτω κατὰ τὰ Μ, Η· ἔσται ἄρα διὰ μὲν τὴν ἑτέραν τομὴν ὡς ἡ ΕΛ πρὸς ΛΗ οὕτως ἡ ΕΝ πρὸς ΝΗ, διὰ δὲ τὴν ἑτέραν ὡς ἡ ΕΛ πρὸς ΛΜ οὕτως ἡ ΕΝ πρὸς ΝΜ· τοῦτο δὲ

* Nam ΕΛ ad ΛΜ majorem habet rationem quam ΕΛ ad ΛΗ. est vero [per 37. 3. huj.] ΕΛ ad ΛΜ ut ΕΝ ad ΝΜ; & ΕΛ ad ΛΗ ut ΕΝ ad ΝΗ: ergo ΕΝ ad ΝΜ majorem habet rationem quam ΕΝ ad ΝΗ: unde ΝΜ minor est quam ΝΗ. quod fieri non potest.

ἀδύνατον,

ἀδυνάτον, ὥστε καὶ τὸ ἐξ ἀρχῆς. Εὰν δὲ αἱ ΑΒ, ΔΓ παράλληλοι ὦσιν, ἔσονται μὲν αἱ τομαὶ ἐλλείψεις, ἢ κύκλου περιφέρεια. τετμήσθωσαν αἱ ΑΒ, ΓΔ δίχα κατὰ τὰ Ο, Π, καὶ ἐπεζεύχθω ἡ ΠΟ, καὶ ἐκβεβλήσθω ἐφ' ἑκάτερα· συμπεσεῖται δὴ ταῖς τομαῖς. συμπιπτέτω δὲ κατὰ τὰ Θ, Ρ· ἔσται δὴ διάμετρος τῶν τομῶν ἡ ΘΡ, τεταγμένως δὲ ἐπ' αὐτὴν κατηγμέναι αἱ ΑΒ, ΓΔ. ἤχθω ἀπὸ τοῦ Ε παρὰ τὰς ΑΒ, ΓΔ ἡ ΕΝΜΗ· τεμεῖ ἄρα ἡ ΕΜΗ τὴν ΘΡ καὶ ἑκατέραν τῶν γραμμῶν, διότι ἑτέρα σύμπτωσις οὐκ ἔστι παρὰ τὰς Α, Β, Γ, Δ· ἔσται δὴ διὰ ταῦτα ἐν μὲν τῇ ἑτέρᾳ τομῇ ἡ ΝΜ ἴση τῇ ΕΝ, ἐν δὲ τῇ ἑτέρᾳ ἡ ΝΕ τῇ ΝΗ ἴση· ὥστε καὶ ἡ ΝΜ τῇ ΝΗ ἐστὶν ἴση, ὅπερ ἀδυνάτον.



quare neque illud quod à principio supponebatur. Si vero ΑΒ, ΔΓ parallelæ sint, sectiones erunt ellipses, vel circuli circumferentia. dividantur ΑΒ, ΓΔ bifariam in Ο, Π; & juncta ΠΟ ad utrasque partes producatur: sectionibus igitur occurret. occurrat in Θ, Ρ: erit igitur [per 28. 2. huj.] ΘΡ diameter sectionum, & ΑΒ, ΓΔ ad ipsam ordinatim applicatæ. à puncto Ε ducatur ΕΝΜΗ ipsis ΑΒ, ΓΔ parallela: secabit igitur rectam ΘΡ & utramq; sectionem, propterea quod alius occursus non est præter Α, Β, Γ, Δ: ergo, per jam dicta, in altera quidem sectione erit ipsi ΕΝ æqualis ΝΜ; in altera vero ΕΝ æqualis ΝΗ; quare ΝΜ erit æqualis ipsi ΝΗ, quod fieri non potest.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Εὰν τῶν εἰρημένων γραμμῶν τινες καθ' ἓν ἐφάπτωνται σημεῖον ἀλλήλων οὐ συμβάλλουσιν ἑαυταῖς καθ' ἕτερα σημεῖα πλείονα ἢ δύο.

Εφαπτέσθωσαν γὰρ ἀλλήλων τινὲς δύο τῶν εἰρημένων γραμμῶν κατὰ τὸ Α σημεῖον· λέγω ὅτι οὐ συμβάλλουσι κατ' ἄλλα σημεῖα πλείονα ἢ δύο.

Εἰ γὰρ δυνατὸν, συμβαλλέτωσαν κατὰ τὰ Β, Γ, Δ, καὶ ἔστωσαν αἱ συμπτώσεις ἐφεξῆς ἀλλήλαις μηδεμίαν μεταξὺ παραλείπουσαι, καὶ ἐπεζεύχθω ἡ ΒΓ καὶ ἐκβεβλήσθω, καὶ ἀπὸ τοῦ Α ἐφαπτομένη ἤχθω ἡ ΑΛ· ἐφάψεται δὴ τῶν δύο τομῶν, καὶ συμπεσεῖται τῇ ΓΒ. συμπιπτέτω κατὰ τὸ Λ, καὶ γινέσθω ὡς ἡ ΓΛ πρὸς ΛΒ οὕτως ἡ ΓΠ πρὸς ΠΒ, καὶ ἐπεζεύχθω ἡ ΑΠ καὶ ἐκβεβλήσθω· συμπεσεῖται δὴ ταῖς τομαῖς, καὶ αἱ ἀπὸ τῶν συμπτώσεων ἐπὶ τὸ Λ ἐφάψονται τῶν τομῶν. συμπιπτέτω κατὰ τὰ Θ, Ρ, καὶ ἐπεζεύχθωσαν αἱ ΘΛ, ΛΡ· ἐφάψονται δὴ αὗται τῶν τομῶν· ἡ ἄρα ἀπὸ τοῦ Δ ἐπὶ τὸ Λ ἐπιζευγνυμένη τέμνει ἑκατέραν τῶν τομῶν, καὶ συμβήσεται τὰ πρότερον εἰρημένα ἄτοπα· οὐκ ἄρα τέμνουσιν ἀλλήλας κατὰ πλείονα σημεῖα ἢ δύο. Εὰν δὲ ἐπὶ τῆς ἐλλείψεως, ἢ τῆς τοῦ κύκλου περιφερείας ἡ ΓΒ παράλληλος ᾖ τῇ ΑΛ, ὁμοίως τῷ προειρημένῳ ποιησόμεθα τὴν ἀπόδειξιν, διάμετρον δείξαντες τὴν ΑΘ.

Prop. XXVI. *Theor.*

Si dictarum curvarum aliquæ in uno puncto sese contingant; non occurrent sibi ipsis ad alia puncta plura quam duo.

Contingant enim sese duæ quæpiam dictarum curvarum in puncto Α: dico eas non occurrere sibi ipsis ad alia puncta plura quam duo.



Nam, si fieri potest, occurrant ad puncta Β, Γ, Δ; sintque occursus deinceps, nullum intermedium relinquentes; & juncta ΒΓ producatur; à puncto autem Α ducatur contingens ΑΛ, quæ quidem continget duas sectiones & cum recta ΓΒ conveniet. conveniat in Λ, & fiat ut ΓΛ ad ΛΒ ita ΓΠ ad ΠΒ; jungaturque ΑΠ, & producatur: occurret igitur ea [per 9. 4. huj.] sectionibus; & quæ ab occursibus ad punctum Λ ducuntur, sectiones contingent. itaque occurrat in punctis Θ, Ρ, & jungantur ΘΛ, ΛΡ; contingent igitur sectiones: ergo quæ à puncto Δ ad Λ ducitur utramque sectionem secabit; & eadem quæ dicta sunt [in præced.] absurda sequentur: non igitur se secant ad plura puncta quam duo. Si vero in ellipsi & circuli circumferentia ΓΒ ipsi ΑΛ parallela sit; pari modo [atque in præced.] demonstrationem faciemus, rectam ΑΘ diametrum esse ostendentes.

Prop. XXVII. *Theor.*

Si prædictarum curvarum aliquæ in duobus punctis sese contingant, in alio puncto sibi ipsis non occurrent.

Prædictarum enim curvarum duæ sese contingant in duobus punctis A, B: dico eas ad aliud punctum sibi ipsis non occurrere.



Nam, si fieri potest, occurrant etiam ad punctum Γ; sitque primum Γ extra A, B tactus; & ab ipsis A, B ducantur rectæ contingentes, quæ in punctum Λ conveniant, ut in prima figura apparet: contingent igitur hæ utramque sectionem; & juncta Γ Λ utramque secabit. secet ea in punctis H, M, & jungatur A N B: ergo in altera quidem sectione erit ut Γ Λ ad Λ H ita Γ N ad N H; in altera vero ut Γ Λ ad Λ M ita Γ N ad N M; quod est absurdum [ut ad 25. ostensum est.]

At si Γ H parallela sit rectis ad puncta A, B contingentibus, ut in ellipsi in secunda figura; jungemus lineam A B, quæ [per convers. 27. 2. huj.] sectionum diameter erit; ergo utraque rectarum Γ H, Γ M in puncto N bifariam secabitur; quod est absurdum: igitur sectiones ad aliud punctum sibi ipsis non occurrunt, sed ad A, B tantum.



Sit deinde Γ inter tactus, ut in tertia figura: perspicuum est igitur sectiones non contingere sese ad punctum Γ, quia ad duo tantum puncta contingere ponebantur. secent igitur seipsas in Γ, & à punctis A, B ducantur A Λ, Λ B, quæ sectiones contingant; jungaturque A B, quæ in Z bifariam dividatur: ergo [per 29. 2. huj.] à puncto Λ ad Z ducta diameter erit; quæ quidem per Γ non transibit. si enim transeat, quæ per Γ ipsi A B parallela ducitur [per convers. 5, & 6. 2. huj.] continget utramque sectionem, quod fieri non potest. itaque ducatur à puncto Γ recta Γ K H M parallela ipsi A B: erit igitur in altera quidem sectione Γ K æqualis ipsi K H, in altera vero ipsi K Γ æqualis K M; quare K M ipsi K H erit æqualis, quod fieri non potest. eodemque modo si contingentes inter se parallelæ sint, ex iis quæ diximus idem concludetur absurdum.



ΠΡΟΤΑΣΙΣ κζʹ.

Ἐὰν τῶν προειρημένων γραμμῶν τινες κατὰ δύο σημεῖα ἐφάπτωνται ἀλλήλων, οὐ συμβάλλουσιν ἀλλήλαις καθ' ἕτερον.

Δύο γὰρ τῶν εἰρημένων γραμμῶν ἐφαπτέσθωσαν ἀλλήλων κατὰ δύο σημεῖα τὰ A, B· λέγω ὅτι ἀλλήλαις κατ' ἄλλο σημεῖον οὐ συμβάλλουσιν.

Εἰ γὰρ δυνατὸν, συμβαλλέτωσαν κατὰ τὸ Γ, καὶ ἔστω πρότερον τὸ Γ ἐκτὸς τῶν A, B, καὶ ἤχθωσαν ἐκ τῶν A, B ἐφαπτόμεναι· ἐφάψονται ἄρα ἀμφοτέρων τῶν γραμμῶν. ἐφαπτέσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Λ, ὡς ἐπὶ τῆς πρώτης καταγραφῆς, καὶ ἐπεζεύχθω ἡ Γ Λ· τέμνει δὴ ἑκατέραν τῶν τομῶν. τεμνέτω κατὰ τὰ H, M, καὶ ἐπεζεύχθω ἡ A N B· ἔσται ἄρα ἐν μὲν τῇ ἑτέρᾳ τομῇ ὡς ἡ Γ Λ πρὸς Λ H οὕτως ἡ Γ N πρὸς N H, ἐν δὲ τῇ ἑτέρᾳ ὡς ἡ Γ Λ πρὸς Λ M οὕτως ἡ Γ N πρὸς N M, ὅπερ ἄτοπον.

Ἐὰν δὲ ἡ Γ H παράλληλος ᾖ ταῖς κατὰ τὰ A, B σημεῖα ἐφαπτομέναις, ὡς ἐπὶ τῆς ἐλλείψεως ἐν τῇ δευτέρᾳ καταγραφῇ, ἐπιζεύξαντες τὴν A B ἐροῦμεν ὅτι διάμετρος ἔσται τῶν τομῶν· ὥστε δίχα τμηθήσεται ἑκατέρα τῶν Γ H, Γ M κατὰ τὸ N, ὅπερ ἄτοπον· οὐκ ἄρα καθ' ἕτερον σημεῖον συμβάλλουσι γραμμαὶ ἀλλήλαις, ἀλλὰ κατὰ μόνα τὰ A, B.

Ἔστω δὴ τὸ Γ μεταξὺ τῶν ἁφῶν, ὡς ἐπὶ τῆς τρίτης καταγραφῆς· φανερὸν δὴ ὅτι οὐκ ἐφάψονται αἱ γραμμαὶ ἀλλήλων κατὰ τὸ Γ, κατὰ δύο γὰρ μόνον ὑπέκειντο ἐφαπτόμεναι. τεμνέτωσαν οὖν κατὰ τὸ Γ, καὶ ἤχθωσαν ἀπὸ τῶν A, B ἐφαπτόμεναι αἱ A Λ, Λ B, καὶ ἐπεζεύχθω ἡ A B, καὶ δίχα τετμήσθω κατὰ τὸ Z· ἡ ἄρα ἀπὸ τοῦ Λ ἐπὶ τὸ Z διάμετρος ἔσται, διὰ μὲν οὖν τοῦ Γ οὐκ ἐλεύσεται. εἰ γὰρ ἥξει, ἡ διὰ τοῦ Γ παρὰ τὴν A B ἀγομένη ἐφάψεται ἀμφοτέρας τῶν τομῶν. τοῦτο δὲ ἀδύνατον. ἤχθω δὴ ἀπὸ τοῦ Γ παρὰ τὴν A B ἡ Γ K H M· ἔσται δὴ ἐν μὲν τῇ ἑτέρᾳ τομῇ ἡ Γ K ἴση τῇ K H, ἐν δὲ τῇ ἑτέρᾳ ἡ K M τῇ K Γ ἴση· ὥστε καὶ ἡ K M τῇ K H, ὅπερ ἀδύνατον. ὁμοίως δὴ καὶ ἐὰν παράλληλοι ὦσιν αἱ ἐφαπτόμεναι, κατὰ τὰ αὐτὰ τοῖς ἐπάνω τὸ ἀδύνατον δειχθήσεται.

ΠΡΟ-

ΠΡΟΤΑΣΙΣ κη'.

Παραβολὴ παραβολῆς οὐκ ἐφάψεται κατὰ πλείονα σημεῖα ἢ ἕν.

Εἰ γὰρ δυνατὸν ἐφαπτέσθωσαν αἱ ΑΗΒ, ΑΜΒ παραβολαὶ κατὰ τὰ Α, Β, καὶ ἤχθωσαν ἐφαπτόμεναι αἱ ΛΑ, ΛΒ· ἐφάψονται δὴ αὗται τῶν τομῶν ἀμφοτέρων, καὶ συμπεσοῦνται κατὰ τὸ Λ.

Ἐπεζεύχθω ἡ ΑΒ, καὶ δίχα τετμήσθω κατὰ τὸ Ζ, καὶ ἤχθω ἡ ΛΖ. ἐπεὶ οὖν δύο γραμμαὶ αἱ ΑΗΒ, ΑΜΒ ἐφάπτονται ἀλλήλων κατὰ δύο τὰ Α, Β, οὐ συμβάλλουσιν ἀλλήλαις καθ' ἕτερον· ὥστε ἡ ΛΖ ἑκατέραν τῶν τομῶν τέμνει. τεμνέτω κατὰ τὰ Η, Μ· ἔσται δὴ διὰ μὲν τὴν ἑτέραν τομὴν ἡ ΛΗ τῇ ΗΖ ἴση, διὰ δὲ τὴν ἑτέραν ἡ ΛΜ τῇ ΜΖ ἴση, ὅπερ ἀδύνατον· οὐκ ἄρα παραβολὴ παραβολῆς ἐφάψεται κατὰ πλείονα σημεῖα ἢ ἕν.

Prop. XXVIII. Theor.

Parabola parabolam non continget præterquam in uno puncto.

Si enim fieri potest, parabolæ AHB, AMB in punctis A, B sese contingant, & ducantur rectæ contingentes ΛA, ΛB: contingent igitur hæ utrasque sectiones, & in puncto Λ convenient.



Jungatur AB, & bifariam secetur in Z, & ducatur ΛZ. quoniam igitur duæ sectiones AHB, AMB sese contingunt in punctis A, B [per præced.] ad aliud punctum sibi ipsis non occurrent: quare ΛZ utramque sectionem secabit. secet in H, M: ergo [per 35. I. huj.] in altera quidem sectione erit ΛH æqualis ipsi HZ, in altera vero ΛM ipsi MZ; quod fieri non potest: igitur parabola parabolam præterquam in uno puncto non continget.

ΠΡΟΤΑΣΙΣ κθ'.

Παραβολὴ ὑπερβολῆς οὐκ ἐφάψεται κατὰ δύο σημεῖα, ἐκτὸς αὐτῆς πίπτουσα.

Ἔστω παραβολὴ μὲν ἡ ΑΗΒ, ὑπερβολὴ δὲ ἡ ΑΜΒ, καὶ εἰ δυνατὸν ἐφαπτέσθωσαν κατὰ τὰ Α, Β, καὶ ἤχθωσαν ἀπὸ τῶν Α, Β ἐφαπτόμεναι ἑκατέρας τῶν ΑΒ τομῶν, συμπιπτέτωσαν ἀλλήλαις κατὰ τὸ Λ, καὶ ἐπεζεύχθω ἡ ΑΒ, καὶ τετμήσθω δίχα κατὰ τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΛΖ. ἐπεὶ οὖν αἱ ΑΗΒ, ΑΜΒ τομαὶ κατὰ τὰ Α, Β ἐφάπτονται, κατ' ἄλλο οὐ συμβάλλουσιν· ἡ ἄρα ΛΖ κατ' ἄλλο καὶ ἄλλο τέμνει τὰς τομάς. τεμνέτω κατὰ τὰ Η, Μ, καὶ προσεκβεβλήσθω ἡ ΛΖ· πεσεῖται δὴ ἐπὶ τὸ κέντρον τῆς ὑπερβολῆς. ἔστω κέντρον τὸ Δ· ἔσται δή, διὰ μὲν τὴν ὑπερβολήν, ὡς ἡ ΖΔ πρὸς ΔΜ οὕτως ἡ ΜΔ πρὸς ΔΛ, καὶ λοιπὴ ἡ ΖΜ πρὸς ΜΛ. μείζων δὲ ἡ ΖΔ τῆς ΔΜ· μείζων ἄρα καὶ ἡ ΖΜ τῆς ΜΛ. διὰ δὲ τὴν παραβολὴν ἴση ἡ ΖΗ τῇ ΗΛ· ὅπερ ἀδύνατον.

Prop. XXIX. Theor.

Parabola hyperbolam non continget in duobus punctis, extra ipsam cadens.

Sit parabola quidem AHB, hyperbola vero AMB; & si fieri potest, sese contingant in punctis A, B; & ab ipsis ducantur rectæ utramque sectionem contingentes, quæ in Λ conveniant; junctaque AB bifariam secetur in Z, & ducatur ΛZ. itaque quoniam sectiones AHB, AMB sese contingunt in punctis A, B [per 27. 4. huj.] ad aliud punctum sibi ipsis non occurrent: quare ΛZ in alio atque alio puncto sectiones secabit. secet in H, M, & producatur ΛZ: igitur [per 29. 2. huj.] in centrum hyperbolæ cadet. sit quidem centrum Δ:



ergo, propter hyperbolam, ut ZΔ ad ΔM ita erit [per 37. I. huj. & 17. 6.] MΔ ad ΔΛ; & [per 19. 5.] ita reliqua ZM ad MΛ. est autem ZΔ major quam ΔM: ergo [per 14. 5.] & ZM major quam MΛ. sed & propter parabolam [per 35. I. huj.] erit ZH æqualis ipsi HΛ; quod absurdum.

ΠΡΟΤΑΣΙΣ λ'.

Παραβολὴ ἐλλείψεως ἢ κύκλου περιφερείας οὐκ ἐφάψεται κατὰ δύο σημεῖα, ἐντὸς αὐτῆς πίπτουσα.

Ἔστω γὰρ ἔλλειψις ἢ κύκλου περιφέρεια ἡ ΑΗΒ, παραβολὴ δὲ ἡ ΑΜΒ, καὶ εἰ δυνατὸν ἐφαπτέσθωσαν κατὰ δύο τὰ Α, Β, καὶ ἤχθωσαν ἀπὸ τῶν Α, Β

Prop. XXX. Theor.

Parabola ellipsim vel circuli circumferentiam non continget in duobus punctis, intra ipsam cadens.

Sit ellipsis, vel circuli circumferentia AHB, parabola vero AMB; &, si fieri potest, in duobus punctis A, B sese contingant, & ab ipsis ducantur rectæ contingentes sectiones, quæ conveniant in punctum Λ; junctaque AB secetur in Z bifariam, & jungatur ΛZ: secabit igitur ΛZ utramque sectionem in alio atque alio puncto, uti dictum est. secet in H, M; & producatur ΛZ usque ad Δ centrum ellipseos vel circuli: ergo propter ellipsim & circulum erit [per 37.1.huj.] ut ΛΔ ad ΔH ita HΔ ad ΔZ, & ita reliqua ΛH ad HZ. est autem ΛΔ major quam ΔH; ergo & ΛH major quam HZ. sed & propter parabolam erit [per 35. 1. huj.] ΛM æqualis ipsi MZ; quod fieri non potest.



ἐφαπτόμεναι τῶν τομῶν συμπιπτέτωσαν κατὰ τὸ Λ, καὶ ἐπεζεύχθω ἡ ΑΒ· καὶ δίχα τετμήσθω κατὰ τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΛΖ· τεμεῖ δὴ ἑκατέραν τῶν τομῶν κατ' ἄλλο καὶ ἄλλο, ὡς εἴρηται. τεμνέτω κατὰ τὰ Η, Μ, καὶ ἐκβεβλήσθω ἡ ΛΖ ἐπὶ τὸ Δ, καὶ ἔστω τὸ Δ κέντρον τῆς ἐλλείψεως ἢ τοῦ κύκλου· ἔστιν ἄρα διὰ τὴν ἔλλειψιν καὶ τὸν κύκλον ὡς ἡ ΛΔ πρὸς ΔΗ οὕτως ἡ ΔΗ πρὸς ΔΖ, καὶ λοιπὴ ἡ ΛΗ πρὸς ΗΖ. μείζων δέ ἐστιν ἡ ΛΔ τῆς ΔΗ· μείζων ἄρα καὶ ΛΗ τῆς ΗΖ. διὰ δὲ τὴν παραβολὴν ἴση ἡ ΛΜ τῇ ΜΖ· ὅπερ ἀδύνατον.

Prop. XXXI. *Theor.*

Hyperbola hyperbolam idem centrum habentem in duobus punctis non continget.

Hyperbolæ enim AHB, AMB idem habentes centrum Δ, si fieri potest, in punctis A, B sese contingant; & ducantur ab ipsis rectæ contingentes, quæ inter se conveniant, ut AΛ, ΛB; junctaque ΔΛ producatur ad Z, & jungatur AB: ergo [per 30.2.huj.] ΔΛZ secat bifariam rectam AB in Z, utrasque autem sectiones in H, M secabit; quare [per 37.1. huj.] propter hyperbolam AHB, rectangulum ZΔΛ est æquale quadrato ex ΔH; & propter hyperbolam AMB rectangulum ZΔΛ æquale est quadrato ex ΔM: quadratum igitur ex MΔ quadrato ex ΔH æquale erit; quod fieri non potest.



ΠΡΟΤΑΣΙΣ λα'.

Ὑπερβολὴ ὑπερβολῆς τὸ αὐτὸ κέντρον ἔχουσα οὐκ ἐφάψεται κατὰ δύο σημεῖα.

ΥΠΕΡΒΟΛΑΙ γὰρ αἱ ΑΗΒ, ΑΜΒ τὸ αὐτὸ κέντρον ἔχουσαι τὸ Δ, εἰ δυνατόν, ἐφαπτέσθωσαν κατὰ τὰ Α, Β, ἤχθωσαν δὲ ἀπὸ τῶν Α, Β ἐφαπτόμεναι αὐτῶν καὶ συμπιπτέτωσαν ἀλλήλαις αἱ ΑΛ, ΛΒ, καὶ ἐπεζεύχθω ἡ ΔΛ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ζ, ἐπεζεύχθω δὲ καὶ ἡ ΑΒ. ἡ ἄρα ΔΛΖ τὴν ΑΒ δίχα τέμνει κατὰ τὸ Ζ, τεμεῖ δὲ ἡ ΔΛΖ τὰς τομὰς κατὰ τὰ Η, Μ· ἔσται δὴ διὰ μὲν τὴν ΑΗΒ ὑπερβολήν, ἴσον τὸ ὑπὸ ΖΔΛ τῷ ἀπὸ ΔΗ, διὰ δὲ τὴν ΑΜΒ, τὸ ὑπὸ ΖΔΛ ἴσον τῷ ἀπὸ ΔΜ· τὸ ἄρα ἀπὸ ΜΔ ἴσον τῷ ἀπὸ ΔΗ, ὅπερ ἀδύνατον.

Prop. XXXII. *Theor.*

Si ellipsis ellipsim vel circuli circumferentiam idem centrum habentem in duobus punctis contingat; recta conjungens tactus per centrum transibit.

Contingant enim sese dictæ lineæ in punctis A, B; & juncta AB, per A, B puncta ducantur rectæ sectiones contingentes, quæ, si fieri possit, conveniant in Λ; & recta AB in Z bifariam dividatur, & jungatur ΛZ: ergo [per 29. 2. huj.] ΛZ diameter erit sectionum. sit centrum Δ, si fieri potest: rectangu-



ΠΡΟΤΑΣΙΣ λβ'.

Ἐὰν ἔλλειψις ἐλλείψεως ἢ κύκλου περιφερείας κατὰ δύο σημεῖα ἐφάπτηται, τὸ αὐτὸ κέντρον ἔχουσα· ἡ τὰς ἁφὰς ἐπιζευγνύουσα διὰ τοῦ κέντρου πεσεῖται.

ΕΦΑΠΤΕΣΘΩΣΑΝ γὰρ ἀλλήλων αἱ εἰρημέναι γραμμαὶ κατὰ τὰ Α, Β σημεῖα, καὶ ἐπεζεύχθω ἡ ΑΒ, καὶ διὰ τῶν Α, Β ἐφαπτόμεναι τῶν τομῶν ἤχθωσαν, καὶ εἰ δυνατὸν συμπιπτέτωσαν κατὰ τὸ Λ, καὶ ἡ ΑΒ δίχα τετμήσθω κατὰ τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΛΖ· διάμετρος ἄρα ἐστὶν ἡ ΛΖ τῶν τομῶν. ἔστω, εἰ δυνατόν, κέντρον

τρον τὸ Δ· ἔσαι ἄρα τὸ ὑπὸ Λ Δ Ζ διὰ μὲν τὴν ἑτέραν τομὴν ἴσον τῷ ἀπὸ Δ Η, διὰ δὲ τὴν ἑτέραν ἴσον τῷ ἀπὸ Δ Μ· ὥστε τὸ ἀπὸ Η Δ ἴσον τῷ ἀπὸ Δ Μ, ὅπερ ἀδύνατον· οὐκ ἄρα αἱ ἀπὸ τῶν Α, Β ἐφαπτόμεναι συμπεσοῦνται· παράλληλοι ἄρα εἰσίν· καὶ διὰ τοῦτο διάμετρος ἡ Α Β· ὥστε διὰ τοῦ κέντρου πίπτει. ὅπερ ἔδει δεῖξαι.

lum igitur Λ Δ Ζ [per 37.1.huj.] propter alteram quidem ſectionem eſt æquale quadrato ex Δ Η, propter alteram vero æquale quadrato ex Δ Μ: quare quadratum ex Η Δ quadrato ex Δ Μ æquale erit, quod fieri non poteſt: igitur rectæ contingentes à punctis Α, Β ductæ non conveniunt: ergo parallelæ ſunt inter ſeſe: & idcirco recta Α Β diameter eſt; adeoque per centrum tranſibit. quod erat demonſtrandum.

ΠΡΟΤΑΣΙΣ λγ'.

Κώνου τομὴ, ἢ κύκλου περιφέρεια κώνου τομῇ ἢ κύκλου περιφερείᾳ, μὴ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἔχουσα, οὐ συμπεσεῖται κατὰ πλείονα σημεῖα ἢ δύο.

Ει γὰρ δυνατὸν, κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ Α Β Γ κώνου τομῇ ἢ κύκλου περιφερείᾳ τῇ Α Δ Β Ε Γ συμβαλλέτω κατὰ πλείονα σημεῖα ἢ δύο, μὴ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κυρτὰ ἔχουσα τὰ Α Β Γ τῇ γραμμῇ. εἰλήφθω τρία σημεῖα τὰ Α, Β, Γ καὶ ἐπεζεύχθωσαν αἱ Α Β, Β Γ· γωνίαν ἄρα περιέχουσιν ἐπὶ τὰ αὐτὰ τοῖς κοίλοις τῆς Α Β Γ γραμμῆς. διὰ τὰ αὐτὰ δὲ αἱ Α Β, Β Γ τὴν αὐτὴν γωνίαν περιέχουσιν ἐπὶ τὰ αὐτὰ τοῖς κοίλοις τῆς Α Δ Β Ε Γ γραμμῆς· αἱ εἰρημέναι ἄρα γραμμαὶ ἐπὶ τὰ αὐτὰ μέρη ἔχουσι τὰ κοῖλα, ὅπερ ἀδύνατον· ὑπόκειται γὰρ ἐπὶ τὰ ἕτερα μέρη.



Prop. XXXIII. *Theor.*

Coni ſectio vel circuli circumferentia coni ſectioni vel circuli circumferentiæ, ad eaſdem partes concava non habens, ad plura puncta quam duo non occurret.

Si enim fieri poteſt, coni ſectio vel circuli circumferentia Α Β Γ coni ſectioni vel circuli circumferentiæ Α Δ Β Ε Γ occurrat ad plura puncta quam duo, non habens convexa Α Β Γ ad eaſdem partes ad quas altera. ſumantur tria puncta Α, Β, Γ; & Α Β, Β Γ jungantur: continent igitur angulum ad eaſdem partes, ad quas ſunt concava ſectionis Α Β Γ. pari modo rectæ Α Β, Β Γ eundem angulum continent ad eas partes ad quas ſunt concava ſectionis Α Δ Β Ε Γ: ergo dictæ curvæ ad eaſdem partes habent concava ſua, quod fieri non poteſt; poſuimus enim ea ad contrarias partes ſita.

ΠΡΟΤΑΣΙΣ λδ'.

Εὰν κώνου τομὴ ἢ κύκλου περιφέρεια συμπίπτῃ μιᾷ τῶν ἀντικειμένων κατὰ δύο σημεῖα, καὶ αἱ μεταξὺ τῶν συμπτώσεων γραμμαὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἔχωσι· προσεκβαλλομένη ἡ γραμμὴ κατὰ τὰς συμπτώσεις οὐ συμπεσεῖται τῇ ἑτέρᾳ τῶν ἀντικειμένων.

Εστωσαν ἀντικείμεναι αἱ Δ, Α Γ Ζ, καὶ ἔστω κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ Α Β Ζ, συμπίπτουσα τῇ ἑτέρᾳ τῶν ἀντικειμένων κατὰ δύο σημεῖα τὰ Α, Ζ, καὶ ἐχέτωσαν αἱ Α Β Ζ, Α Γ Ζ τομαὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα· λέγω ὅτι ἡ Α Β Ζ γραμμὴ ἐκβαλλομένη οὐ συμπεσεῖται τῇ Δ.

Επεζεύχθω γὰρ ἡ Α Ζ, καὶ ἐπεὶ ἀντικείμεναί εἰσιν αἱ Δ, Α Γ Ζ, καὶ ἡ Α Ζ εὐθεῖα κατὰ δύο τέμνει τὴν ὑπερβολὴν, οὐ συμπεσεῖται ἐκβαλλομένη τῇ Δ ἀντικειμένῃ· οὐδὲ ἄρα ἡ Α Β Ζ γραμμὴ συμπεσεῖται τῇ Δ.



Prop. XXXIV. *Theor.*

Si coni ſectio vel circuli circumferentia occurrat uni oppoſitarum ſectionum in duobus punctis; & curvæ, quæ inter occurſus interjiciuntur, ad eaſdem partes concava habeant: producta curva ultra occurſus alteri oppoſitarum ſectionum non occurret.

Sint oppoſitæ ſectiones Δ, Α Γ Ζ; & coni ſectio vel circuli circumferentia Α Β Ζ occurrat alteri oppoſitarum ſectionum in duobus punctis Α, Ζ; habeantque Α Β Ζ, Α Γ Ζ concava ad eaſdem partes: dico curvam Α Β Ζ productam ſectioni Δ non occurrere.

Jungatur enim Α Ζ; &, quoniam Δ, Α Γ Ζ oppoſitæ ſectiones ſunt, & recta Α Ζ in duobus punctis hyperbolam ſecat, producta [per 32.2.huj.] non occurret oppoſitæ ſectioni Δ: quare neque curva Α Β Ζ eidem occurret.

Prop. XXXV. Theor.

Si coni sectio vel circuli circumferentia uni oppositarum sectionum occurrat; alteri ipsarum non occurret ad plura puncta quam duo.

Sint oppositæ sectiones A, B; & ipsi A occurrat coni sectio vel circuli circumferentia ABΓ, secetque B in punctis B, Γ: dico ad aliud punctum ipsi BΓ non occurrere.



Si enim fieri possit, occurrat in Δ: ergo sectio BΓΔ sectioni BΓ occurrit ad plura puncta quam duo, non habens concava ad easdem partes; quod [per 33.4.huj.] fieri non potest. similiter demonstrabitur si recta ABΓ oppositam sectionem contingat.

ΠΡΟΤΑΣΙΣ λε'.

Ἐὰν κώνου τομὴ ἢ κύκλου περιφέρεια μιᾷ τῶν ἀντικειμένων συμπίπτῃ, τῇ λοιπῇ αὐτῶν οὐ συμπεσεῖται κατὰ πλείονα σημεῖα ἢ δύο.

Ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, καὶ συμβαλλέτω τῇ Α ἡ τοῦ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ΑΒΓ, καὶ τεμνέτω τὴν Β ἀντικειμένην κατὰ τὰ Β, Γ· λέγω ὅτι κατ' ἄλλο σημεῖον οὐ συμπεσεῖται τῇ ΒΓ.

Εἰ γὰρ δυνατὸν, συμπιπτέτω κατὰ τὸ Δ· ἡ ἄρα ΒΓΔ τῇ ΒΓ τομῇ συμβάλλει κατὰ πλείονα ἢ δύο, μὴ ἐπὶ τὰ αὐτὰ ἔχουσα τὰ κοῖλα· ὅπερ ἀδύνατον. ὁμοίως δὲ δειχθήσεται καὶ ἐὰν ἡ ΑΒΓ γραμμὴ τῆς ἀντικειμένης ἐφάπτηται.

Prop. XXXVI. Theor.

Coni sectio vel circuli circumferentia oppositis sectionibus ad plura puncta quam quatuor non occurret.

Hoc autem perspicue constat ex eo, quod sectio occurrens uni oppositarum sectionum reliquæ non occurrit ad plura puncta quam duo.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Κώνου τομὴ ἢ κύκλου περιφέρεια ταῖς ἀντικειμέναις οὐ συμπεσεῖται κατὰ πλείονα σημεῖα ἢ τέσσαρα.

Φανερὸν δὲ τοῦτο, ἐκ τοῦ τὴν μιᾷ τῶν ἀντικειμένων συμπίπτουσαν τῇ λοιπῇ κατὰ πλείονα δυοῖν μὴ συμπίπτειν.

Prop. XXXVII. Theor.

Si coni sectio vel circuli circumferentia unam oppositarum sectionum concava sui parte contingat; alteri oppositarum non occurret.

Sint oppositæ sectiones A, B; & sectionem A contingat alia ΓAΔ: dico sectionem ΓAΔ sectioni B non occurrere.



Ducatur enim per punctum A recta contingens EAZ: utramque igitur sectionem continget in A: quare * non occurret sectioni B; & propterea neque curva ΓAΔ eidem occurret.

ΠΡΟΤΑΣΙΣ λζ'.

Ἐὰν κώνου τομὴ ἢ κύκλου περιφέρεια μιᾶς τῶν ἀντικειμένων ἐφάπτηται τοῖς κοίλοις αὐτῆς· τῇ ἑτέρᾳ τῶν ἀντικειμένων οὐ συμπεσεῖται.

Ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, καὶ τῆς Α τομῆς ἐφαπτέσθω ἡ ΓΑΔ· λέγω ὅτι ἡ ΓΑΔ τῇ Β οὐ συμπεσεῖται.

Ἤχθω ἀπὸ τοῦ Α ἐφαπτομένη ἡ ΕΑΖ· ἑκατέρας δὴ τῶν γραμμῶν ἐπιψαύει κατὰ τὸ Α· ὥστε οὐ συμπεσεῖται τῇ Β, ὥστε οὐδὲ ἡ ΓΑΔ.

Prop. XXXVIII. Theor.

Si coni sectio vel circuli circumferentia utramque oppositarum sectionum contingat in uno puncto; oppositis sectionibus in alio puncto non occurret.

ΠΡΟΤΑΣΙΣ λη'.

Ἐὰν κώνου τομὴ ἢ κύκλου περιφέρεια ἑκατέρας τῶν ἀντικειμένων καθ' ἓν ἐφάπτηται σημεῖον· καθ' ἕτερον οὐ συμπεσεῖται ταῖς ἀντικειμέναις.

* Non enim potest transire per loca quæ sunt κατὰ κορυφὴν angulo sub asymptotis sectionis.

ΕΣΤΩ

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ Α, Β, καὶ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἐφαπτέσθω ἑκατέρας τῶν Α, Β κατὰ τὰ Α, Β· λέγω ὅτι ἡ ΑΒΓ γραμμὴ καθ' ἕτερον οὐ συμπεσεῖται ταῖς Α, Β τομαῖς.

Ἐπεὶ οὖν ἡ ΑΒΓ γραμμὴ τῆς Α τομῆς ἐφάπτεται καθ' ἕν, συμπίπτουσα καὶ τῇ Β· τῆς Α ἄρα τομῆς οὐκ ἐφάψεται κατὰ τὰ κοῖλα. ὁμοίως δὲ δειχθήσεται ὅτι οὐδὲ τῆς Β. ἤχθωσαν τῶν Α, Β τομῶν ἐφαπτόμεναι αἱ ΑΔΚ, ΒΕ, καὶ αὗται ἐφάψονται τῆς ΑΒΓ γραμμῆς. εἰ γὰρ δυνατὸν, τεμνέτω ἡ ἑτέρα αὐτῶν, καὶ ἔστω ἡ ΑΖ· μεταξὺ ἄρα τῆς ΔΑΖ ἐφαπτομένης καὶ τῆς Α τομῆς παρεμπέπτωκεν εὐθεῖα ἡ ΑΚ, ὅπερ ἀδύνατον· ἐφάψονται ἄρα τῆς ΑΒΓ. καὶ διὰ τοῦτο φανερὸν ὅτι ἡ ΑΒΓ καθ' ἕτερον οὐ συμβάλλει ταῖς Α, Β ἀντικειμέναις. οὕτως καὶ φανερὸν ὅτι ἐὰν ἡ ΓΑΒ γραμμὴ συμπίπτῃ τῇ Β ἀντικειμένῃ, οὐκ ἐφάψεται τῆς Α τοῖς κοίλοις ἑαυτῆς· δειχθήσεται δὲ ἀντιστρόφως τῷ λε'.



SINT oppositæ sectiones A, B; coni autem sectio vel circuli circumferentia ABΓ utramque ipsarum in punctis A, B contingat: dico lineam ABΓ oppositis sectionibus A, B in alio puncto non occurrere.

Quoniam igitur ABΓ sectionem A in uno puncto contingit, sectioni B occurrens; non continget sectionem A concava sui parte. similiter demonstrabitur, neque ita contingere sectionem B. ducantur rectæ AΔK, BE contingentes sectiones A, B; quæ & curvam ABΓ contingent. si enim fieri potest, altera ipsarum secet; sitque ea AZ: ergo inter rectam ΔAZ contingentem & sectionem A cadit recta intermedia AK; quod [per 32.1.huj.] est absurdum: rectæ igitur AΔ, BE ipsam quoque ABΓ contingent. ex quo apparet curvam ABΓ ad aliud punctum oppositis sectionibus non occurrere. sic etiam manifestum est quod, si curva ΓAB occurrat oppositæ sectioni B, non continget sectionem A partibus ejus concavis: è converso autem 35^{tæ} demonstrabitur.

ΠΡΟΤΑΣΙΣ λθ'.

Ἐὰν ὑπερβολὴ μιᾷ τῶν ἀντικειμένων κατὰ δύο σημεῖα συμπίπτῃ, ἀντεστραμμένα τὰ κυρτὰ ἔχουσα· ἡ ἀντικειμένη αὐτῇ οὐ συμπεσεῖται τῇ ἑτέρᾳ τῶν ἀντικειμένων.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ ΑΒΔ, Ζ, καὶ ὑπερβολὴ ἡ ΑΒΓ τῇ ΑΒΔ συμβαλλέτω κατὰ τὰ Α, Β σημεῖα, ἀντεστραμμένα ἔχουσα τὰ κυρτὰ τοῖς κοίλοις, καὶ τῆς ΑΒΓ ἔστω ἀντικειμένη ἡ Ε· λέγω ὅτι ἡ Ε οὐ συμπεσεῖται τῇ Ζ.

Ἐπεζεύχθω ἡ ΑΒ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Η. ἐπεὶ οὖν ὑπερβολὴν τὴν ΑΒΔ εὐθεῖα τέμνει ἡ ΑΒΗ, ἐκβαλλομένη δὲ ἐφ' ἑκάτερα ἐκτὸς πίπτει τῆς τομῆς· ὥστε οὐ συμπεσεῖται τῇ Ζ τομῇ. ὁμοίως δὴ, διὰ τὴν ΑΒΓ ὑπερβολὴν, οὐδὲ τῇ Ε ἀντικειμένῃ συμπίπτει· οὐδὲ ἡ Ε ἄρα τῇ Ζ συμπεσεῖται.

PROP. XXXIX. *Theor.*

Si hyperbola uni oppositarum sectionum in duobus punctis occurrat, convexa habens è regione sita; quæ ipsi opponitur sectio alteri oppositarum non occurret.

SINT oppositæ sectiones ABΔ, Z; & hyperbola ABΓ sectioni ABΔ occurrat in punctis A, B, habens convexa è regione sita; sitque sectioni ABΓ opposita sectio E: dico ipsam E sectioni Z non occurrere.



Jungatur enim AB & ad H producatur. quoniam igitur ABH recta secat hyperbolam ABΔ, producta vero ex utraque parte extra sectionem cadit; ideo [per 33. 2. huj.] non occurret sectioni Z. similiter, propter hyperbolam ABΓ, neque occurret oppositæ sectioni E: ergo sectio E sectioni Z non occurret.

ΠΡΟΤΑΣΙΣ μ'.

Ἐὰν ὑπερβολὴ ἑκατέρᾳ τῶν ἀντικειμένων συμπίπτῃ, ἡ ἀντικειμένη αὐτῇ τῶν ἀντικειμένων οὐδετέρᾳ συμπεσεῖται κατὰ δύο σημεῖα.

PROP. XL. *Theor.*

Si hyperbola occurrat utrique oppositarum sectionum: quæ ipsi opponitur sectio nulli oppositarum in duobus punctis occurret.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ Α, Β, ὑπερβολὴ δὲ ΑΓΒ συμπιπτέτω ἑκατέρᾳ τῶν ἀντικειμένων·

SINT oppositæ sectiones A, B; & AΓB hyperbola utrique occurrat: dico sectionem, quæ

quæ ipsi Α Γ Β opponitur, nulli sectionum Α, Β occurrere in duobus punctis.

Si enim fieri potest, occurrat in punctis Δ, Ε; & juncta Δ Ε producatur: ergo quidem [per 33. 2. huj.] propter sectionem Δ Ε Η recta Δ Ε sectioni Α Γ Β non occurret; & propter sectionem Α Ε Δ non occurret ipsi Β; (per tres enim locos [per 33. 2. huj.] transibit) quod fieri non potest *. similiter demonstrabitur neque sectioni Β in duobus punctis occurrere.



Eadem etiam ratione neutram ipsarum continget. ducatur enim recta contingens Θ Ε, quæ quidem continget utramque sectionem: ergo propter sectionem Η Ε, Θ Ε ipsi Α Γ non occurret; & propter sectionem Α Ε, Θ Ε non occurret sectioni Β: quare neque Α Γ sectio sectioni Β occurret, contra hypothesin.

λέγω ὅτι ἡ τῇ Α Γ Β ἀντικειμένη οὐ συμβάλλει ταῖς Α, Β τομαῖς κατὰ δύο σημεῖα.

Εἰ γὰρ δυνατὸν, συμβαλλέτω κατὰ τὰ Δ, Ε, καὶ ἐπιζευχθεῖσα ἡ Δ Ε ἐκβεβλήσθω· διὰ μὲν δὴ τὴν Δ Ε Η τομὴν οὐ συμπεσεῖται ἡ Δ Ε εὐθεῖα τῇ Α Β τομῇ, διὰ δὲ τὴν Α Ε Δ οὐ συμπεσεῖται τῇ Β τομῇ· (διὰ γὰρ τῶν τριῶν τόπων ἐλεύσεται) ὅπερ ἀδύνατον. ὁμοίως δὲ δειχθήσεται ὅτι οὐδὲ τῇ Β τομῇ κατὰ δύο σημεῖα συμπεσεῖται.

Διὰ τὰ αὐτὰ δὲ οὐδὲ ἐφάψεται ἑκατέρας αὐτῶν. ἀγαγόντες γὰρ ἐπιψαύουσαν τὴν Θ Ε, ἐφάπτεται μὲν αὕτη ἑκατέρας τῶν τομῶν· ὥστε διὰ μὲν τὴν Η Ε τομὴν οὐ συμπεσεῖται ἡ Θ Ε τῇ Α Γ, διὰ δὲ τὴν Α Ε οὐ συμβάλλει τῇ Β· ὥστε οὐδὲ ἡ Α Γ τῇ Β συμβάλλει, ὅπερ οὐχ ὑπόκειται.

Prop. XLI. Theor.

Si hyperbola utramque oppositarum sectionum in duobus punctis secet, convexa habens è regione utrique sita; quæ ipsi opponitur sectio nulli oppositarum occurret.

SINT oppositæ sectiones Α, Β; & hyperbola Γ Α Β Δ utramque secet in duobus punctis, convexa habens è regione utrisque sita: dico sectionem Ε Ζ huic oppositam nulli ipsarum Α, Β occurrere.



Si enim fieri potest, occurrat sectioni Α in puncto Ε; & junctæ Γ Α, Δ Β producantur. convenient igitur hæ inter sese. conveniant autem in Θ: erit igitur [per 25. 2. huj.] Θ intra angulum contentum sub asymptotis sectionis Γ Α Β Δ cui opponitur sectio Ε Ζ: ergo quæ à puncto Ε ad Θ ducitur, cadet intra angulum contentum sub ipsis Α Θ, Θ Β. rursus quoniam Γ Α Ε, Δ Β oppositæ sectiones sunt, recta Δ Β Θ producta [per 33. 2. huj.] non conveniet sectioni Γ Α Ε: quare si jungatur Ε Θ, cadet ea extra angulum Α Θ Β, quod quidem absurdum; cadebat enim ea ipsa Ε Θ intra angulum Α Θ Β: quocirca sectio Ε Ζ neutri sectionum Α, Β conveniet.

ΠΡΟΤΑΣΙΣ μα΄.

Ἐὰν ὑπερβολὴ ἑκατέραν τῶν ἀντικειμένων τέμνῃ κατὰ δύο σημεῖα, ἀντεστραμμένα ἔχουσα πρὸς ἑκατέραν τὰ κυρτά· ἡ ἀντικειμένη αὐτῇ οὐδεμιᾷ τῶν ἀντικειμένων συμπεσεῖται.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ Α, Β, καὶ ὑπερβολὴ ἡ Γ Α Β Δ ἑκατέραν τῶν Α, Β τεμνέτω κατὰ δύο σημεῖα, ἀντεστραμμένα ἔχουσα τὰ κυρτά· λέγω ὅτι ἡ ἀντικειμένη αὐτῇ ἡ Ε Ζ οὐδεμιᾷ τῶν Α, Β συμπεσεῖται.

Εἰ γὰρ δυνατὸν, συμπιπτέτω τῇ Α Γ κατὰ τὸ Ε, καὶ ἐπεζεύχθωσαν αἱ Γ Α, Δ Β, καὶ ἐκβεβλήσθωσαν· συμπεσοῦνται δὴ ἀλλήλαις. συμπιπτέτωσαν κατὰ τὸ Θ· ἔσται δὴ τὸ Θ ἐν τῇ περιεχομένῃ γωνίᾳ ὑπὸ τῶν ἀσυμπτώτων τῆς Γ Α Β Δ τομῆς, καὶ ἔστιν αὐτῆς ἀντικειμένη ἡ Ε Ζ· ἡ ἄρα ἀπὸ τοῦ Ε ἐπὶ τὸ Θ ἐπιζευγνυμένη [ἐὰν ἐκβληθῇ] ἐντὸς πεσεῖται τῆς ὑπὸ τῶν Α Θ Β περιεχομένης γωνίας. πάλιν ἐπεὶ ἀντικείμεναί εἰσιν αἱ Γ Α Ε, Δ Β, ἡ Δ Β Θ ἐκβληθεῖσα οὐ συμπίπτει τῇ Γ Α Ε τομῇ· ἡ ἄρα Ε Θ ἐπιζευχθεῖσα ἐκτὸς πεσεῖται τῆς ὑπὸ Α Θ Β γωνίας, ὅπερ ἄτοπον· ἔπιπτε γὰρ αὕτη ἡ Ε Θ ἐντὸς τῆς ὑπὸ Α Θ Β· οὐκ ἄρα ἡ Ε Ζ μηδεμιᾷ τῶν Α, Β συμπεσεῖται.

* Scil. fieri non potest ut recta Δ Ε Θ, transiens per tres locos [ad 33. 2. huj.] definitos, secet Α Γ Β vel Β. Sed & fieri non potest ut Α Γ Β secet Β, & tamen Δ Ε Θ harum neutri occurrat.

EU-

EUTOCIUS.

Ἄλλως.

Ἐστωσαν ἀντικείμεναι αἱ Α, Β, καὶ ὑπερβολὴ ἡ ΓΑΒΔ ἑκατέραν αὐτῶν τεμνέτω κατὰ τὰ Γ, Α, Β, Δ, καὶ ἔστω ἀντικειμένη αὐτῇ ἡ ΕΖ· λέγω ὅτι ἡ ΕΖ οὐδεμιᾷ τῶν ἀντικειμένων συμπεσεῖται. ἐπιζευχθεῖσαι γὰρ αἱ ΔΒ, ΓΑ ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Θ· ἔστιν ἄρα τὸ Θ μεταξὺ τῶν ἀσυμπτώτων τῆς ΓΑΒΔ τομῆς. ἔστωσαν αἱ τῆς ΓΑΒΔ ἀσύμπτωτοι αἱ ΚΗΛ, ΜΗΝ· φανερὸν δὴ ὅτι αἱ ΝΗ, ΗΛ τὴν ΖΕ τομὴν περιέχουσι. ἡ δὲ ΓΑΘ τέμνει τὴν ΓΑΞ κατὰ δύο τὰ Γ, Α· ἐκβληθεῖσα ἄρα ἐφ' ἑκάτερα οὐ συμπεσεῖται τῇ ΔΒΟ ἀντικειμένῃ, ἀλλ' ἔσται μεταξὺ τῆς ΒΟ καὶ τῆς ΗΛ εὐθείας. ὁμοίως δὴ καὶ ἡ ΔΒΘ ἐκβληθεῖσα τῇ ΓΑΞ τομῇ οὐ συμπεσεῖται, ἀλλ' ἔσται μεταξὺ τῶν ΑΞ, ΗΝ. ἐπεὶ οὖν αἱ ΠΘ, ΘΡ, μὴ συμβάλλουσαι ταῖς Α, Β τομαῖς, περιέχουσι τὰς ΝΗ, ΗΛ ἀσυμπτώτους, καὶ πολλῷ μᾶλλον τὴν ΕΖ τομήν· ἡ ΕΖ ἄρα οὐδετέρᾳ τῶν ἀντικειμένων συμπεσεῖται.

Aliter.

Sint oppositæ sectiones Α, Β, & hyperbola ΓΑΒΔ utramque ipsarum in punctis Γ, Α, Β, Δ secet, & sit sectio ipsi opposita ΕΖ: dico ΕΖ nulli oppositarum sectionum occurrere. junctæ enim ΔΒ, ΓΑ producantur, & conveniant inter se in puncto Θ: erit igitur [per 25. 2. huj.] Θ inter asymptotos sectionis ΓΑΒΔ. sint sectionis ΓΑΒΔ asymptoti ΚΗΛ, ΜΗΝ: perspicuum est igitur rectas ΝΗ, ΗΛ sectionem ΖΕ continere. ΓΑΘ autem sectionem ΓΑΞ in duobus punctis Γ, Α secat: ergo [per 33. 2. huj.] producta ex utraque parte non occurret oppositæ sectioni ΔΒΟ, sed erit inter ΒΟ & rectam ΗΛ. similiter & ΔΒΘ producta sectioni ΓΑΞ non occurret, sed erit inter ΑΞ & ΗΝ. quoniam igitur ΠΘ, ΘΡ, non occurrentes sectionibus Α, Β, continent asymptotos ΝΗ, ΗΛ, & multo magis sectionem ΕΖ; sequitur ΕΖ nulli oppositarum sectionum occurrere.



ΠΡΟΤΑΣΙΣ μβ'.

Ἐὰν ὑπερβολὴ μίαν τῶν ἀντικειμένων κατὰ τέσσαρα τέμνῃ σημεῖα· ἡ ἀντικειμένη αὐτῇ οὐ συμπεσεῖται τῇ ἑτέρᾳ τῶν ἀντικειμένων.

ἘΣΤΩΣΑΝ ἀντικείμεναι αἱ ΑΒΓΔ, Ε, καὶ τεμνέτω ὑπερβολὴ τὴν ΑΒΓΔ κατὰ τέσσαρα σημεῖα τὰ Α, Β, Γ, Δ, καὶ ἔστω αὐτῇ ἀντικειμένη ἡ Κ· λέγω ὅτι ἡ Κ οὐ συμπεσεῖται τῇ Ε.

Εἰ γὰρ δυνατὸν, συμπιπτέτω κατὰ τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΓΔ, καὶ ἐκβεβλήσθωσαν· συμπεσοῦνται δὴ ἀλλήλαις. συμπιπτέτωσαν κατὰ τὸ Λ, καὶ ὃν μὲν ἔχει λόγον ἡ ΑΛ πρὸς ΑΒ ἐχέτω ἡ ΑΠ πρὸς ΠΒ, ὃν δὲ ἡ ΔΛ πρὸς ΛΓ ἡ ΔΡ πρὸς ΡΓ· ἡ ἄρα διὰ τῶν Π, Ρ ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν τομῶν, καὶ αἱ ἀπὸ τοῦ Λ ἐπὶ τὰς συμπτώσεις ἐφάψονται. ἐπεζεύχθω δὴ ἡ ΚΛ, καὶ ἐκβεβλήσθω· τεμεῖ δὴ τὴν

Prop. XLII. *Theor.*

Si hyperbola unam oppositarum sectionum in quatuor punctis secet; quæ ipsi opponitur sectio non occurret alteri oppositarum.

SINT oppositæ sectiones ΑΒΓΔ, Ε; & hyperbola ipsam ΑΒΓΔ secet in quatuor punctis Α, Β, Γ, Δ; sitque ei opposita sectio Κ: dico Κ sectioni Ε non occurrere.



Si enim fieri potest, occurrat in Κ: & junctæ ΑΒ, ΔΓ producantur: convenient igitur [per 25. 2. huj.] inter se. conveniant in Λ; & quam rationem habet ΑΛ ad ΛΒ habeat ΑΠ ad ΠΒ; quam vero habet ΔΛ ad ΛΓ habeat ΔΡ ad ΡΓ: ergo [per 9. 4. huj.] recta, quæ per Π, Ρ producitur, utrique sectioni occurret; & quæ ab Λ ad occursus ducuntur sectionem contingent. jungatur itaque ΚΛ, & producatur: secabit igitur angulum

angulum B Λ Γ & sectiones in alio atque alio puncto. secet eas in Z M: ergo [per 39.3. huj.& 16. 5.] propter oppositas sectiones A Θ Z H, K, erit ut N K ad K Λ ita N Z ad Z Λ; & propter sectiones A B Γ Δ, E ut N K ad K Λ ita erit N M ad M Λ, quod fieri non potest: igitur sectiones E, K sibi ipsis non occurrunt.

ὑπὸ B Λ Γ γωνίαν, καὶ τὰς τομὰς κατ' ἄλλο καὶ ἄλλο σημεῖον. τεμνέτω κατὰ τὰ Z, M· ἔσται δὴ διὰ μὲν τὰς A Θ Z H, K ἀντικειμένας, ὡς ἡ N K πρὸς K Λ οὕτως ἡ N Z πρὸς Z Λ, διὰ δὲ τὰς A B Γ Δ, E, ὡς ἡ N K πρὸς K Λ οὕτως ἡ N M πρὸς M Λ, ὅπερ ἀδύνατον· οὐκ ἄρα αἱ E, K συμπίπτουσιν ἀλλήλαις.

Prop. XLIII. Theor.

Si hyperbola alteri oppositarum sectionum in duobus punctis occurrat, concava habens ad easdem partes; alteri vero occurrat in uno puncto: quæ ipsi opponitur sectio nulli oppositarum occurret.

ΠΡΟΤΑΣΙΣ μγ'.

Ἐὰν ὑπερβολὴ τῇ μιᾷ ἀντικειμένῃ συμπίπτῃ κατὰ δύο σημεῖα, ἐπὶ τὰ αὐτὰ ἔχουσα αὐτῇ τὰ κοῖλα, τῇ δὲ καθ' ἓν σημεῖον· ἡ ἀντικειμένη αὐτῇ οὐδετέρᾳ τῶν ἀντικειμένων συμπεσεῖται.

SINT oppositæ sectiones A B, Γ; & hyperbola A Γ B sectioni quidem A B in punctis A, B occurrat, sectioni vero Γ occurrat in uno puncto Γ; sitque ipsi A Γ B opposita sectio Δ: dico Δ nulli sectionum A B, Γ occurrere.



Jungantur enim A Γ, B Γ, & producantur: rectæ igitur A Γ, B Γ [per 33. 2. huj.] sectioni Δ non occurrent; sed neque occurrent sectioni Γ præterquam in uno puncto Γ. si enim in alio puncto; oppositæ sectioni A B [per 33. 2. huj.] non occurrent. positum autem est A Γ, B Γ occurrere sectioni A B: quare sequitur, A Γ, B Γ sectioni Γ in solo puncto Γ occurrere; sectioni vero Δ nullo modo: ergo Δ erit intra angulum B Γ Z; & propterea sectionibus oppositis A B, Γ minime occurret.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ A B, Γ, καὶ ὑπερβολὴ ἡ A Γ B τῇ μὲν A B συμπιπτέτω κατὰ τὰ A, B, τῇ δὲ Γ καθ' ἓν τὸ Γ, καὶ ἔστω τῇ A Γ B ἀντικειμένη ἡ Δ· λέγω ὅτι ἡ Δ οὐδετέρᾳ τῶν A B, Γ συμπεσεῖται.

Ἐπεζεύχθωσαν γὰρ αἱ A Γ, B Γ, καὶ ἐκβεβλήσθωσαν· αἱ ἄρα A Γ, B Γ τῇ Δ τομῇ οὐ συμπεσοῦνται· ἀλλ' οὐδὲ τῇ Γ τομῇ κατ' ἄλλο σημεῖον οὐ συμπεσοῦνται πλὴν κατὰ τὸ Γ. εἰ γὰρ συμβάλλουσι καὶ καθ' ἕτερον, τῇ A B ἀντικειμένῃ οὐ συμπεσοῦνται. ὑπόκεινται δὲ συμπίπτουσαι· αἱ A Γ, B Γ ἄρα εὐθεῖαι τῇ μὲν Γ τομῇ καθ' ἓν συμβάλλουσι τὸ Γ, τῇ δὲ Δ τομῇ οὐδὲν ὅλως συμβάλλουσιν· ἡ Δ ἄρα ἔσται ὑπὸ τὴν γωνίαν τὴν ὑπὸ E Γ Z· ὥστε ἡ Δ τομὴ οὐ συμπεσεῖται ταῖς A B, Γ ἀντικειμέναις.

Prop. XLIV. Theor.

Si hyperbola uni oppositarum sectionum occurrat in tribus punctis; quæ ipsi opponitur, alteri oppositarum, præterquam in uno puncto, non occurret.

ΠΡΟΤΑΣΙΣ μδ'.

Ἐὰν ὑπερβολὴ μιᾷ τῶν ἀντικειμένων κατὰ τρία σημεῖα συμβάλλῃ· ἡ ἀντικειμένη αὐτῇ τῇ ἑτέρᾳ τῶν ἀντικειμένων οὐ συμπεσεῖται πλὴν καθ' ἕν.

SINT oppositæ sectiones A Λ B Γ, Δ E Z; & hyperbola A M B Γ occurrat sectioni A Λ B Γ in tribus punctis A, B, Γ; sit autem sectioni A M B Γ opposita sectio Δ E K: dico sectionem Δ E K non occurrere sectioni Δ E Z præterquam in uno puncto.

Si enim fieri potest, in punctis Δ, E occurrat: & jungantur A B, Δ E; quæ vel parallelæ erunt inter se, vel non.

Sint primum parallelæ; secenturque A B, Δ E bifariam in punctis H, Θ, & jungatur H Θ: est igitur [per 36. 2. huj.] H Θ diameter omnium se-

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ A Λ B Γ, Δ E Z, καὶ ὑπερβολὴ ἡ A M B Γ συμβαλλέτω τῇ A Λ B Γ κατὰ τρία σημεῖα τὰ A, B, Γ, ἔστω δὲ τῇ A M B Γ ἀντικειμένη ἡ Δ E K· λέγω ὅτι ἡ Δ E K τῇ Δ E Z οὐ συμβάλλει κατὰ πλείονα ἢ ἕν.

Εἰ γὰρ δυνατὸν, συμβαλλέτω κατὰ τὰ Δ, E· καὶ ἐπιζευχθεῖσαι αἱ A B, Δ E ἤτοι παράλληλοί εἰσιν, ἢ οὔ.

Ἔστωσαν πρότερον παράλληλοι, καὶ τετμήσθωσαν αἱ A B, Δ E δίχα κατὰ τὰ H, Θ, καὶ ἐπεζεύχθω ἡ H Θ· διάμετρος ἄρα ἐστὶ πασῶν τῶν τομῶν,

καὶ

καὶ τεταγμένως ἐπ' αὐτὴν κατηγμέναι αἱ ΑΒ, ΔΕ. ἤχθω δὲ ἀπὸ τοῦ Γ παρὰ τὴν ΑΒ ἡ ΓΝΟΞ· ἔσται δὴ καὶ αὐτὴ τεταγμένως ἐπὶ τὴν διάμετρον κατηγμένη, καὶ συμπεσεῖται ταῖς τομαῖς κατ' ἄλλο καὶ ἄλλο. εἰ γὰρ κατὰ τὸ αὐτὸ, οὐκέτι κατὰ τρία συμβάλλουσι, ἀλλὰ τέσσαρα· ἔσται δὴ ἐν μὲν τῇ ΑΜΒ τομῇ ἴση ἡ ΓΝ τῇ ΝΞ, ἐν δὲ τῇ ΑΛΒ ἡ ΓΝ τῇ ΝΟ· καὶ ἡ ΟΝ ἄρα τῇ ΝΞ ἐστὶν ἴση, ὅπερ ἀδύνατον.

ctionum, atque ad eam applicantur ordinatim AB, ΔE. ducatur à puncto Γ recta ΓΝΟΞ parallela AB: erit igitur & ipsa ad diametrum ordinatim applicata; & sectionibus in alio atque alio puncto occurret. si enim in eodem puncto, non occurrerent sectiones sibi ipsis in tribus punctis, sed in quatuor: ergo in sectione AMB erit ΓΝ ipsi ΝΞ æqualis, & in ΑΛΒ sectione ΓΝ æqualis ipsi ΝΟ; quare ΟΝ est æqualis ipsi ΝΞ, quod fieri non potest.



Μὴ ἔστωσαν δὲ παράλληλοι αἱ ΑΒ, ΔΕ, ἀλλ' ἐκβαλλόμεναι συμπιπτέτωσαν κατὰ τὸ Π, καὶ ἡ ΓΟ ἤχθω παρὰ τὴν ΑΠ, καὶ συμπιπτέτω τῇ ΔΠ ἐκβληθείσῃ κατὰ τὸ Ρ, καὶ τετμήσθωσαν αἱ ΑΒ, ΔΕ δίχα κατὰ τὰ Η, Θ, καὶ διὰ τῶν Η, Θ διάμετροι ἤχθωσαν αἱ ΗΝ, ΣΙ, ΘΛ, ΜΣ, ἀπὸ δὲ τῶν Ν, Ι, Λ, Μ ἐφαπτόμεναι τῶν τομῶν αἱ ΥΙ, ΝΤ, ΜΥ, ΛΤ· ἔσονται δὴ αἱ μὲν ΥΙ, ΝΤ παρὰ τὴν ΔΠ, αἱ δὲ ΛΤ, ΜΥ παρὰ τὰς ΑΠ, ΟΡ. καὶ ἐπεί ἐστιν ὡς τὸ ἀπὸ ΜΥ πρὸς τὸ ἀπὸ ΥΙ οὕτως τὸ ὑπὸ ΑΠΒ πρὸς τὸ ὑπὸ ΔΠΕ, καὶ ὡς τὸ ἀπὸ ΛΤ πρὸς τὸ ἀπὸ ΤΝ οὕτως τὸ ὑπὸ ΑΠΒ πρὸς τὸ ὑπὸ ΔΠΕ· ὡς ἄρα τὸ ἀπὸ ΜΥ πρὸς τὸ ἀπὸ ΥΙ οὕτως τὸ ἀπὸ ΛΤ πρὸς τὸ ἀπὸ ΤΝ. διὰ τὰ αὐτὰ ἔσται, ὡς μὲν τὸ ἀπὸ ΜΥ πρὸς τὸ ἀπὸ ΥΙ οὕτως τὸ ὑπὸ ΞΡΓ πρὸς τὸ ὑπὸ ΔΡΕ, ὡς δὲ τὸ ἀπὸ ΛΤ πρὸς τὸ ἀπὸ ΤΝ οὕτως τὸ ὑπὸ ΟΡΓ πρὸς τὸ ὑπὸ ΔΡΕ· ἴσον ἄρα τὸ ὑπὸ ΟΡΓ τῷ ὑπὸ ΞΡΓ, ὅπερ ἀδύνατον.

Sed non sint parallelæ AB, ΔE; producanturque & conveniant in Π, & ducatur ΓΟ ipsi ΑΠ parallela, quæ cum ΔΠ producta conveniat in P. secentur autem AB, ΔE bifariam in H, Θ; & per H, Θ ducantur diametri HN, ΣI; ΘΛ, MΣ; & in punctis N, I, Λ, M rectæ ΥI, NT, MΥ, ΛT sectiones contingant: erunt igitur [per 5. 2. huj.] ΥI, NT parallelæ ipsi ΔΠ; & ΛT, MΥ ipsis ΑΠ, OP parallelæ. & quoniam ut quadratum ex MΥ ad quadratum ex ΥI ita [per 19. 3. huj.] rectangulum ΑΠΒ ad rectangulum ΔΠΕ, ac (per eandem) ut quadratum ex ΛT ad quadratum ex TN ita rectangulum ΑΠΒ ad rectangulum ΔΠΕ: ut igitur quadratum ex MΥ ad quadratum ex ΥI ita quadratum ex ΛT ad quadratum ex TN. eadem ratione ut quadratum ex MΥ ad quadratum ex ΥI ita erit rectangulum ΞΡΓ ad rectangulum ΔΡΕ, & ut quadratum ex ΛT ad quadratum ex TN ita ΟΡΓ rectangulum ad rectangulum ΔΡΕ: ergo rectangulum ΟΡΓ rectangulo ΞΡΓ est æquale, quod impossibile est*.

* *Hanc propositionem fœde depravatam integritati suæ restituimus.*

ΠΡΟΤΑΣΙΣ μέ.

Ἐὰν ὑπερβολὴ τῆς μιᾶς ἐφάπτηται τῶν ἀντικειμένων, τὴν δὲ κατὰ δύο σημεῖα τέμνῃ, ἡ ἀντικειμένη αὐτῇ τῶν ἀντικειμένων οὐδεμιᾷ συμπεσεῖται.

Ἔστωσαν ἀντικείμεναι αἱ ΑΒΓ, Δ, καὶ ὑπερβολή τις ἡ ΑΒΔ τὴν μὲν ΑΒΓ τεμνέτω κα-

Prop. XLV. *Theor.*

Si hyperbola unam oppositarum sectionum contingat, alteram vero secet in duobus punctis; quæ ipsi opponitur sectio nulli oppositarum occurret.

Sint oppositæ sectiones ΑΒΓ, Δ; & hyperbola ΑΒΔ sectionem quidem ΑΒΓ in pun-

 ctis

ctis A, B secet, sectionem vero Δ contingat in Δ; & sit hyperbolæ ABΔ opposita sectio ΓE: dico ΓE nulli ipsarum ABΓ, Δ occurrere.

Si enim fieri potest, occurrat ipsi ABΓ in Γ puncto, jungaturque AB; & per Δ ducatur contingens, quæ cum recta AB conveniat in Z: punctum igitur Z [per 25 & 3.2.huj.] erit intra asymptotos sectionis ABΔ. est autem ipsi opposita sectio ΓE: ergo quæ à puncto Γ ad Z ducitur cadet intra angulum ipsis BZ, ZΔ contentum. rursus quoniam oppositæ sectiones sunt ABΓ, Δ, contingens ΔZ, si producatur, non occurret [per 33. 2.huj.] sectioni ABΓ: quæ igitur à puncto Γ ad Z ducitur extra angulum BZΔ cadet, quod est absurdum; cadebat enim ipsa ΓZ intra eundem angulum BZΔ: quare ΓE nulli oppositarum sectionum ABΓ, Δ occurret.



πῃ τὰ Α, Β, τῆς δὲ Δ ἐφάπτηται κατὰ τὸ Δ, καὶ ἔστω τῆς ΑΒΔ τομῆς ἀντικειμένη ἡ ΓΕ· λέγω ὅτι ἡ ΓΕ οὐδεμιᾷ τῶν ΑΒΓ, Δ συμπεσεῖται.

Εἰ γὰρ δυνατὸν, συμπιπτέτω τῇ ΑΒ κατὰ τὸ Γ, καὶ ἐπεζεύχθω ἡ ΑΒ, καὶ διὰ τοῦ Δ ἐφαπτομένη ἤχθω συμπίπτουσα τῇ ΑΒ κατὰ τὸ Ζ· τὸ Ζ ἄρα σημεῖον ἐντὸς ἔσται τῶν ἀσυμπτώτων τῆς ΑΒΔ τομῆς. καὶ ἔστιν αὐτῆς ἀντικειμένη ἡ ΓΕ· ἡ ἄρα ἀπὸ τοῦ Γ ἐπὶ τὸ Ζ ἐντὸς πεσεῖται τῆς ὑπὸ τῶν ΒΖΔ περιεχομένης γωνίας. πάλιν ἐπεὶ ἀντικείμεναί εἰσιν αἱ ΑΒΓ, Δ, ἐφαπτομένη, ἡ ΔΖ, ἐὰν ἐκβληθῇ, οὐ συμπεσεῖται τῇ ΑΒΓ τομῇ· ἡ ἄρα ἀπὸ τοῦ Γ ἐπὶ τὸ Ζ ἐκτὸς πεσεῖται τῆς ὑπὸ ΒΖΔ γωνίας, ὅπερ ἄτοπον· ἔπιπτε γὰρ καὶ ἐντὸς τῆς αὐτῆς· οὐκ ἄρα ἡ ΓΕ μιᾷ τῶν ΑΒΓ, Δ συμπεσεῖται.

Prop. XLVI. *Theor.*

Si hyperbola unam oppositarum sectionum in uno puncto contingat, eandemque secet in duobus punctis; quæ ipsi opponitur sectio alteri oppositarum non occurret.

Sint oppositæ sectiones ABΓ, Δ, & hyperbola AHΓ sectionem ABΓ contingat quidem in puncto A, secet vero in B, Γ; & ipsi AHΓ opposita sit sectio E: dico E sectioni Δ non occurrere.

Si enim fieri potest, occurrat in Δ; junctaque BΓ producatur ad Z; & à puncto A ducatur recta AZ contingens. similiter demonstrabitur punctum Z esse intra angulum sub asymptotis contentum; & rectam AZ utrasq; sectiones contingere; & ΔZ productam secare sectiones inter A, B, videlicet in punctis H, K: & quam rationem habet ΓZ ad ZB habeat ΓΛ ad ΛB, & juncta AΛ producatur; sectiones igitur in alio, atque alio puncto secabit. secet in M, N: ergo [per 1. 4. huj.] quæ per Z ad puncta M, N ducuntur sectiones contingent. & similiter iis quæ superius dicta sunt, propter alteram quidem sectionem [per 39. 3. huj.] erit ut ΞΔ ad ΔZ ita ΞK ad KZ; propter alteram vero ut ΞΔ ad ΔZ ita



ΠΡΟΤΑΣΙΣ μϛ'.

Ἐὰν ὑπερβολὴ μιᾶς τῶν ἀντικειμένων καθ' ἓν μὲν ἐφάπτηται, κατὰ δύο δὲ συμπίπτῃ· ἡ ἀντικειμένη αὐτῇ οὐ συμπεσεῖται ἑτέρᾳ τῶν ἀντικειμένων.

Ἔστωσαν ἀντικείμεναι αἱ ΑΒΓ, Δ, καὶ ὑπερβολή τις ἡ ΑΗΓ ἐφαπτέσθω μὲν κατὰ τὸ Α, τεμνέτω δὲ κατὰ τὰ Β, Γ, καὶ τῆς ΑΗΓ ἀντικειμένη ἔστω ἡ Ε· λέγω ὅτι ἡ Ε τῇ Δ οὐ συμπεσεῖται.

Εἰ γὰρ δυνατὸν, συμπιπτέτω κατὰ τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΒΓ, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ζ, καὶ ἤχθω ἀπὸ τοῦ Α ἡ ΑΖ ἐφαπτομένη. ὁμοίως δὴ τοῖς πρότερον δειχθήσεται, ὅτι τὸ Ζ σημεῖον ἐντὸς τῆς ὑπὸ τῶν ἀσυμπτώτων περιεχομένης γωνίας ἔσται, καὶ ἡ ΑΖ ἐφάψεται τῶν τομῶν ἀμφοτέρων, καὶ ἡ ΔΖ ἐκβαλλομένη τεμεῖ τὰς τομὰς μεταξὺ τῶν Α, Β κατὰ τὰ Η, Κ· καὶ ὃν δὲ ἔχει λόγον ἡ ΓΖ πρὸς ΖΒ ἐχέτω ἡ ΓΛ πρὸς ΛΒ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΛ ἐκβεβλήσθω· τεμεῖ δὴ τὰς τομὰς κατ' ἄλλο καὶ ἄλλο. τεμνέτω κατὰ τὰ Μ, Ν· αἱ ἄρα ἀπὸ τοῦ Ζ ἐπὶ τὰ Μ, Ν ἐφάψονται τῶν τομῶν. καὶ ἔσται ὁμοίως τοῖς πρότερον, διὰ μὲν τὴν ἑτέραν τομὴν, ὡς ἡ ΞΔ πρὸς ΔΖ οὕτως ἡ ΞΚ πρὸς ΚΖ, διὰ δὲ τὴν ἑτέραν, ὡς ἡ ΞΔ πρὸς ΔΖ οὕτως ἡ

ΞΗ

ΞΗ πρὸς ΗΖ, ὅπερ ἀδύνατον· οὐκ ἄρα ἡ ἀντικειμένη συμπεσεῖται τῇ ἀντικειμένῃ.

ΖΗ ad ΗΖ, quod fieri non potest*: opposita igitur sectio alteri oppositarum non occurret.

ΠΡΟΤΑΣΙΣ μζ'.

Ἐὰν ὑπερβολὴ μιᾶς τῶν ἀντικειμένων ἐφαπτομένη καθ' ἕτερον αὐτῇ σημεῖον συμπίπτῃ, ἡ ἀντικειμένη αὐτῇ τῇ ἑτέρᾳ τῶν ἀντικειμένων οὐ συμπεσεῖται κατὰ πλείονα σημεῖα ἢ ἕν.

ΕΣΤΩΣΑΝ ἀντικείμεναι αἱ ΑΒΓ, ΕΖΗ, καὶ ὑπερβολή τις ἡ ΔΑΓ ἐφαπτέσθω μὲν κατὰ τὸ Α, τεμνέτω δὲ κατὰ τὸ Γ, καὶ ἔστω τῇ ΔΑΓ ἀντικειμένη ἡ ΕΖΘ· λέγω ὅτι οὐ συμπεσεῖται τῇ ἑτέρᾳ ἀντικειμένῃ κατὰ πλείονα σημεῖα ἢ ἕν.

Εἰ γὰρ δυνατὸν, συμβαλλέτω κατὰ δύο, τὰ Ε, Ζ, καὶ ἐπεζεύχθω ἡ ΕΖ, καὶ διὰ τοῦ Α ἐφαπτομένη τῶν τομῶν ἤχθω ἡ ΑΚ· ἤτοι δὴ παράλληλοί εἰσιν, ἢ οὔ. ἔστωσαν πρότερον παράλληλοι, καὶ ἤχθω ἡ διχοτομοῦσα διάμετρος τὴν ΕΖ. ἥξει ἄρα διὰ τοῦ Α, καὶ ἔσται διάμετρος τῶν δύο συζυγῶν. ἤχθω διὰ τοῦ Γ παρὰ τὰς ΑΚ, ΕΖ ἡ ΓΛΔΒ· τεμεῖ ἄρα τὰς τομὰς κατ' ἄλλο καὶ ἄλλο σημεῖον· ἔσται δὴ ἐν μὲν τῇ ἑτέρᾳ ἴση ἡ ΓΛ τῇ ΛΔ, ἐν δὲ τῇ λοιπῇ ἡ ΓΛ τῇ ΛΒ. τοῦτο δὲ ἀδύνατον.

Prop. XLVII. *Theor.*

Si hyperbola unam oppositarum sectionum contingens in alio puncto secet; quæ ipsi opponitur sectio alteri oppositarum non occurret præterquam in uno puncto.

SINT oppositæ sectiones ΑΒΓ, ΕΖΗ; & hyperbola quædam ΔΑΓ contingat ΑΒΓ in Α, & in Γ secet; opponaturque ipsi ΔΑΓ sectio ΕΖΘ: dico eam alteri oppositarum non occurrere præterquam in uno puncto.

Si enim fieri potest, occurrat in duobus punctis Ε, Ζ: jungaturque ΕΖ, & per Α ducatur sectiones contingens ΑΚ: vel igitur ΑΚ, ΕΖ parallelæ sunt inter se, vel non. sint primum parallelæ, & ducatur diameter bifariam secans ipsam ΕΖ: quæ [per 34. 2. huj.] per Α igitur transibit; atque erit diameter duarum conjunctarum. ducatur etiam per Γ recta ΓΛΔΒ parallela ipsis ΑΚ, ΕΖ: secabit igitur ea sectiones in alio atque alio puncto: & in altera quidem erit ΓΛ æqualis ipsi ΛΔ, in altera vero ΓΛ æqualis ipsi ΛΒ. hoc vero fieri non potest.



Μὴ ἔστωσαν δὲ παράλληλοι αἱ ΑΚ, ΕΖ, ἀλλὰ συμπιπτέτωσαν κατὰ τὸ Κ, καὶ ἡ ΓΔ παρὰ τὴν ΑΚ ἠγμένη συμπιπτέτω τῇ ΕΖ κατὰ τὸ Ν, αἱ δὲ διάμετροι διχοτομοῦσαι τὴν ΕΖ κατὰ τὸ Μ τεμνέτωσαν τὰς τομὰς κατὰ τὰ Ξ, Ο, καὶ ἐφαπτόμεναι ἤχθωσαν τῶν τομῶν ἀπὸ τῶν Ξ, Ο αἱ ΞΠ, ΟΡ· ἔσται ἄρα ὡς τὸ ἀπὸ ΑΠ πρὸς τὸ ἀπὸ ΠΞ οὕτως τὸ ἀπὸ ΑΡ πρὸς τὸ ἀπὸ ΡΟ, καὶ διὰ τοῦτο ὡς τὸ ὑπὸ ΔΝΓ

Si cylindrus plano per axem ſecetur; ſumatur autem aliquod punctum in ejus ſuperficie, quod non ſit in latere parallelogrammi per axem; & ab ipſo ducatur recta linea parallela rectæ cuipiam in eodem plano exiſtenti in quo cylindri baſis, quæque ad rectos angulos incidit baſi parallelogrammi per axem: cadet ea intra parallelogrammum, & producta uſque ad alteram partem ſuperficiei ab ipſo parallelogrammo bifariam ſecabitur.

SIT cylindrus, cujus baſes Α, Β circuli, & parallelogrammum per axem ΓΔ; ſumatur autem aliquod punctum Ε in ſuperficie cylindri, & ab ipſo ducatur recta linea ΕΖ parallela rectæ cuipiam, quæ perpendicularis ſit ad ΓΑ baſim parallelogrammi per axem: dico rectam ΕΖ intra ΓΔ parallelogrammum cadere; &, ſi ulterius producatur uſque ad alteram partem ſuperficiei, ab ipſo parallelogrammo bifariam ſecari.

τῆ ΓΛ, ΛΔ ἴσον· οὐκ ἄρα κύκλος ἐστὶν ἡ ΓΕΔ τομή. ἐδείχθη δὲ ὅτι οὐδὲ εὐθύγραμμον. ὅπερ ἔδει δεῖξαι. καὶ συναπεδείχθη ὅτι ἡ τὴν ΓΔ ἐν τῇ τομῇ παρὰ τὴν ΖΗ διχοτομοῦσα εὐθεῖα ἴση ἐστὶ τῇ διαμέτρῳ τῆς βάσεως.

Ἀλλὰ δὴ τὸ τέμνον ἐπίπεδον τεμνέτω καὶ τὰς βάσεις, τὴν μὲν Α βάσιν τῇ ΓΕ εὐθείᾳ, τὴν δὲ Β τῇ ΖΗ, καὶ διὰ τοῦ Α ἤχθω κάθετος ἐπὶ τὴν ΓΕ ἡ ΘΑΛ, καὶ διὰ τῆς ΘΑ διαμέτρου καὶ τοῦ ἄξονος ἐκβεβλήσθω ἐπίπεδον, ὃ ποιεῖ τομὴν τὸ ΘΚ παραλληλόγραμμον, τῆς δὲ ΖΓΕΗ τομῆς καὶ τοῦ ΘΚ παραλληλογράμμου κοινὴ τομὴ ἔστω ἡ ΛΜ. ἐπεὶ οὖν τὸ ΖΕ ἐπίπεδον οὔτε διὰ τοῦ ἄξονος ἦκται, οὔτε παραλλήλως τῷ ἄξονι· ἡ ΛΜ ἄρα ἐπ' ἄπειρον ἐκβαλλομένη τεμεῖ τὸν ἄξονα· τεμεῖ ἄρα καὶ τὴν ΘΝ παράλληλον οὖσαν τῷ ἄξονι, ἀμφότερα γὰρ ἐν τῷ ΘΚ εἰσιν ἐπιπέδῳ· τεμνέτω δὴ κατὰ τὸ Ν, καὶ ἐκβεβλήσθω ἐφ' ἑκάτερα ἡ ΘΝ. ἐὰν ἄρα μένοντος τοῦ ἄξονος καὶ τῶν κύκλων, ἡ ΘΝ περιενεχθεῖσα σὺν τῇ διαμέτροις ἀποκατασταθῇ, αὐξήσει τὴν τοῦ ἐξ ἀρχῆς κυλίνδρου ἐπιφάνειαν κατὰ τὸ ὕψος, καὶ προσεκβληθέντος τοῦ ΖΕ ἐπιπέδου, αὐξηθήσεται καὶ τομὴ μέχρι τοῦ Ν. τὸ δ' αὐτὸ ἔσται καὶ ἐπὶ τὰ ΓΛ μέρη· ἡ ΝΗΕΡ ἄρα τομή ἐστι κυλίνδρου, οἵα καὶ ἐν τῷ πρὸ τούτου θεωρήματι· ἡ ΝΗΕΡ ἄρα τομὴ οὔτε κύκλος, οὔτε εὐθύγραμμόν ἐστι· καὶ ἡ ΓΕΗΖ ἄρα τομὴ οὔτε εὐθύγραμμον, οὔτε κύκλος, οὔτε τμῆμα κύκλου, ἀλλ' ἔστιν ἡ τοιαύτη τομὴ κυλίνδρου τομῆς τμῆμα.

ΠΡΟΤΑΣΙΣ ι.

Ἐὰν κύλινδρος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, ληφθῇ δέ τι σημεῖον ἐπὶ τοῦ κυλίνδρου ἐπιφανείας, ὃ μή ἐστιν ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος παραλληλογράμμου, καὶ ἀπ' αὐτοῦ ἀχθῇ τις εὐθεῖα παράλληλος εὐθείᾳ τινὶ, ἥτις, ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσα τῇ βάσει τοῦ κυλίνδρου, πρὸς ὀρθὰς ἐπὶ τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος παραλληλογράμμου· ἐντὸς πεσεῖται τοῦ παραλληλογράμμου, καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας δίχα τμηθήσεται ὑπὸ τοῦ παραλληλογράμμου.

ΕΣΤΩ κύλινδρος, οὗ βάσεις μὲν οἱ Α, Β κύκλοι, τὸ δὲ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΓΔ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς ἐπιφανείας τοῦ κυλίνδρου τὸ Ε, καὶ ἀπὸ τοῦ Ε παράλληλος ἤχθω εὐθείᾳ τινὶ καθέτῳ ἐπὶ τὴν ΓΑ βάσιν τοῦ παραλληλογράμμου, καὶ ἔστω ἡ ΕΖ· λέγω ὅτι ἡ ΕΖ ἐντὸς πεσεῖται τοῦ ΓΔ παραλληλογράμμου, καὶ προσεκβαλλομένη μέχρι τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας δίχα τμηθήσεται ὑπὸ τοῦ παραλληλογράμμου.

Ηχθω

Ἤχθω διὰ τοῦ Ε σημείου παρὰ τὸν ἄξονα ἡ ΘΕΗ εὐθεῖα, τέμνουσα τὴν περιφέρειαν τῆς βάσεως κατὰ τὸ Θ, καὶ διὰ τοῦ Θ ἤχθω ἡ ΘΚ παράλληλος τῇ ἐπὶ τὴν ΓΑ καθέτῳ, ἥτινι παράλληλος ὑπόκειται ἡ ΕΖ· τεμεῖ ἄρα ἡ ΘΚ τὴν ΓΑ καὶ αὐτή. ἤχθω οὖν διὰ τῶν ΗΘ, ΘΚ ἐπίπεδον τέμνον τὸν κύλινδρον, καὶ ποιείτω τὸ ΗΝ παραλληλόγραμμον, καὶ ἐπεζεύχθω ἡ ΚΛ κοινὴ τομὴ τῶν ΓΔ, ΝΗ παραλληλογράμμων. ἐπεὶ τοίνυν αἱ ΕΖ, ΚΘ τῇ αὐτῇ εἰσι παράλληλοι· καὶ ἀλλήλαις ἄρα εἰσὶ παράλληλοι. καί ἐστιν ἡ ΘΚ ἐν τῷ ΚΗ ἐπιπέδῳ· καὶ ἡ ΕΖ ἄρα ἐν τῷ ΚΗ ἐστιν ἐπιπέδῳ· ἐκβαλλομένη ἄρα ἡ ΕΖ πίπτει ἐπὶ τὴν ΛΚ, ἥτις ἐστὶν ἐν τῷ ΓΔ ἐπιπέδῳ· ἡ ΕΖ ἄρα ἐντὸς πίπτει τοῦ ΓΔ παραλληλογράμμου. φανερὸν δὲ ὅτι, κἂν εἰς τὸ ἕτερον μέρος ἐκβληθῇ μέχρι τοῦ Μ, ὅπερ ἐστὶν ἐπὶ τῆς ἐπιφανείας τοῦ κυλίνδρου, δίχα ἔσται τετμημένη ἡ ΕΜ κατὰ τὸ Ζ. ἐπεὶ γὰρ ἡ ΓΑ διάμετρος πρὸς ὀρθάς ἐστι τῇ ΘΚ· ἴση ἄρα ἡ ΘΚ τῇ ΚΝ. καὶ παράλληλοι αἱ ΜΝ, ΛΚ, ΗΘ· ἴση ἄρα ἡ ΜΖ τῇ ΖΕ.

Ducatur enim per E recta ΘΕΗ parallela axi, quæ basis circumferentiam secet in Θ; & per Θ ducatur ΘK parallela perpendiculari ad ΓA, cui etiam parallelam posuimus EZ: ergo & ΘK ipsam ΓA secabit. itaque juxta rectas lineas HΘ, ΘK ducatur planum secans cylindrum, quod faciat sectionem parallelogrammum HN; & jungatur KΛ communis sectio parallelogrammorum ΓΔ, NH.



quoniam igitur rectæ EZ, KΘ eidem sunt parallelæ, etiam inter se parallelæ sunt: atque est ΘK in plano KH, quare & EZ in plano KH erit; adeoque producta conveniet cum ΛK quæ in plano ΓΔ est: recta igitur EZ intra ΓΔ parallelogrammum cadet. perspicuum autem est, si ad alteram partem producatur usque in punctum M, quod est in superficie cylindri, bifariam secari EM in Z. nam cum diameter ΓA perpendicularis sit ad ΘK; erit [per 3.3.] ΘK ipsi KN æqualis. sed parallelæ sunt ipsæ MN, ΛK, HΘ: ergo MZ ipsi ZE æqualis erit.

ΠΡΟΤΑΣΙΣ ια΄.

Ἐὰν κύλινδρος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι μὲν τὸ τῆς βάσεως ἐπίπεδον ἐκτὸς τοῦ κύκλου, ἡ δὲ κοινὴ τομὴ τῶν ἐπιπέδων πρὸς ὀρθὰς ᾖ τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος παραλληλογράμμου, ἢ τῇ ἐπ᾽ εὐθείας αὐτῇ· αἱ ἀγόμεναι εὐθεῖαι ἀπὸ τῆς τομῆς τῆς ἐν τῇ ἐπιφανείᾳ τοῦ κυλίνδρου γινομένης ὑπὸ τοῦ τέμνοντος ἐπιπέδου, παράλληλοι τῇ πρὸς ὀρθὰς τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος παραλληλογράμμου, ἢ τῇ ἐπ᾽ εὐθείας αὐτῇ, ἐπὶ τὴν κοινὴν τομὴν τῶν ἐπιπέδων πεσοῦνται, καὶ προσεκβαλλόμεναι ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσονται ὑπὸ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων· καὶ ἡ πρὸς ὀρθὰς τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος παραλληλογράμμου, ἢ τῇ ἐπ᾽ εὐθείας αὐτῇ, ὀρθοῦ μένοντος τοῦ κυλίνδρου, πρὸς ὀρθὰς ἔσται καὶ τῇ κοινῇ τομῇ τοῦ τε διὰ τοῦ ἄξονος παραλληλογράμμου καὶ τοῦ τέμνοντος ἐπιπέδου. σκαληνοῦ δὲ ὄντος, οὐκέτι· πλὴν ὅταν τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον πρὸς ὀρθὰς ᾖ τῇ βάσει τοῦ κυλίνδρου.

PROP. XI. *Theor.*

Si cylindrus secetur plano per axem, secetur etiam alio plano basis planum extra circulum secante; communis autem planorum sectio perpendicularis sit ad basim parallelogrammi per axem, vel ad eam quæ in directum ipsi constituitur: rectæ lineæ quæ à sectione in superficie cylindri à secante plano factâ ducuntur, parallelæ ei quæ perpendicularis est ad basim parallelogrammi per axem, vel ad eam quæ in directum ipsi constituitur, communi planorum sectioni occurrent, & productæ usque ad alteram sectionis partem, à communi planorum sectione bifariam dividentur; quæ vero perpendicularis est ad basim parallelogrammi per axem, vel ad eam quæ in directum ipsi constituitur, cylindro recto existente, etiam ad communem planorum sectionem, parallelogrammi scilicet per axem & secantis plani, perpendicularis erit. Scaleno autem existente cylindro, non item; præterquam cum parallelogrammum per axem ad ipsam basim cylindri rectum fuerit.

Ἔστω κύλινδρος, οὗ βάσεις μὲν οἱ Α, Β κύκλοι, τὸ δὲ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΓΔ, καὶ τετμήσθω ὁ κύλινδρος, ὡς εἴρηται, ἐπιπέδῳ

SIT cylindrus, cujus bases quidem circuli A, B, parallelogrammum autem per axem ΓΔ; & secetur plano, ut dictum est, quod faciat

ciat sectionem EZHΘ, ita ut planis sectionis EZHΘ & basis AΓ occurrentibus, communis sectio KΛ perpendicularis sit ad ipsam ΓAΛ; & à sectione EZHΘ ducatur recta ZM parallela ipsi KΛ, quæ producta pertingat ad alteram partem superficiei in puncto Θ: dico rectam ZM occurrere ipsi EH, & ipsi MΘ æqualem esse.

Nam quoniam in sectione EZHΘ ducta est ZM parallela ipsi KΛ; intra ΓΔ parallelogrammum cadet. quoniam autem ZM est in plano EZHΘ, atque est EH communis sectio ipsius & parallelogrammi ΓΔ; occurret ZM ipsi EH, & ZM ipsi MΘ æqualis erit: id quod patet ex antecedenti theoremate. Reliquum est ut ostendamus, si cylindrus rectus sit, vel planum ΓΔ rectum super basim cylindri, rectam KΛ ad ipsam EHΛ perpendicularem esse. quoniam enim planum ΓΔ ad planum basis rectum est, & KΛ in basis plano existens perpendicularis est ad ΓAΛ communem planorum sectionem; & ad reliquum ipsius ΓΔ parallelogrammi planum [per 4. defin. 11.] perpendicularis erit.



Quod si planum ΓΔ non sit rectum ad basim, scaleno existente cylindro, KΛ ad ΛE perpendicularis non erit. si enim fieri potest, sit KΛ perpendicularis ad ΛE; est autem & ad ΛΓ perpendicularis: quare [per 4. 11.] & ad planum quod per ipsas transit, hoc est ad planum ΓΔ: planum igitur per KΛ, hoc est planum basis A, ad planum ΓΔ [per 18. 11.] rectum erit, contra hypothesin: ergo KΛ ad ΛE non est perpendicularis.

Ex jam demonstratis itaque constat, rectam EH sectionis EZHΘ diametrum esse; omnes enim, quæ ad ipsam ducuntur parallelas ipsi KΛ, bifariam dividit, quemadmodum ZΘ.

Prop. XII. *Theor.*

Si duæ rectæ lineæ similiter secentur; erit ut quadratum primæ ad quadratum secundæ, ita quod fit sub primæ partibus rectangulum ad rectangulum sub partibus secundæ.

Rectæ namque lineæ AB, ΓΔ similiter secentur in punctis E, Z: dico ut quadratum ex AB ad quadratum ex ΓΔ, ita esse rectangulum AEB ad rectangulum ΓZΔ.



Quoniam enim ut AE ad EB ita ΓZ ad ZΔ; erit componendo & permutando ut AB ad ΓΔ ita EB ad ZΔ. & rursus quoniam ut AE

ποιοῦντι τὴν EZHΘ τομὴν, ὥστε, συμπιπτόντων τοῦτε τῆς EZHΘ τομῆς καὶ τοῦ τῆς AΓ βάσεως ἐπιπέδου, τὴν κοινὴν τομὴν τὴν KΛ πρὸς ὀρθὰς εἶναι τῇ ΓAΛ εὐθείᾳ, καὶ ἀπὸ τῆς EZHΘ τομῆς ἤχθω τις εὐθεῖα παράλληλος τῇ KΛ ἡ ZM, καὶ προσεκβληθεῖσα περατούσθω κατὰ τὸ ἕτερον μέρος τῆς ἐπιφανείας κατὰ τὸ Θ· λέγω ὅτι ἡ ZM πίπτει ἐπὶ τὴν EH, καὶ ὅτι ἴση ἐστὶν ἡ ZM τῇ MΘ.

Επεὶ γὰρ ἐν τῇ EZHΘ τομῇ παράλληλος ἦκται τῇ KΛ ἡ ZM· ἐντὸς ἄρα πίπτει τοῦ ΓΔ παραλληλογράμμου. ἐπεὶ δέ ἐστιν ἡ μὲν ZM εὐθεῖα ἐν τῷ EZHΘ ἐπιπέδῳ, ἡ δὲ EH κοινὴ τομή ἐστιν αὐτοῦ καὶ τοῦ ΓΔ παραλληλογράμμου· ἡ ZM ἄρα ἐπὶ τὴν EH πίπτει. ὅτι δὲ καὶ ἡ ZM τῇ MΘ ἴση ἐστὶ, φανερὸν καὶ αὐτὸ, διὰ τὸ πρὸ τούτου θεώρημα. Λοιπὸν δεῖ δεῖξαι, ὅτι ἡ KΛ, ὀρθοῦ μένοντος τοῦ κυλίνδρου, ἢ τοῦ ΓΔ πρὸς ὀρθὰς ὄντος τῇ βάσει τοῦ κυλίνδρου, πρὸς ὀρθάς ἐστι τῇ EHΛ. ἐπεὶ γὰρ τὸ μὲν ΓΔ ἐπίπεδον πρὸς ὀρθάς ἐστι τῷ τῆς βάσεως ἐπιπέδῳ, τῇ δὲ κοινῇ αὐτῶν τομῇ τῇ ΓAΛ πρὸς ὀρθάς ἐστιν ἡ KΛ, ἐν τῷ τῆς βάσεως ἐπιπέδῳ οὖσα· καὶ τῷ λοιπῷ ἄρα τῷ τοῦ ΓΔ παραλληλογράμμου ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.

Εἰ δὲ τὸ ΓΔ οὐκ ἔστι πρὸς ὀρθὰς τῇ βάσει, σκαληνοῦ δηλαδὴ ὄντος τοῦ κυλίνδρου, οὐκ ἔσται πρὸς ὀρθὰς ἡ KΛ τῇ ΛE. εἰ γὰρ δυνατὸν, ἔστω πρὸς ὀρθὰς ἡ KΛ τῇ ΛE· ἔστι δὴ καὶ τῇ ΛΓ πρὸς ὀρθάς· καὶ τῷ δι᾽ αὐτῶν ἄρα ἐπιπέδῳ, τουτέστι τῷ ΓΔ, πρὸς ὀρθὰς ἔσται ἡ KΛ· καὶ τὸ δι᾽ αὐτῆς ἄρα ἐπίπεδον, τουτέστι τὸ τῆς A βάσεως, πρὸς ὀρθὰς ἔσται τῷ ΓΔ, ὅπερ οὐχ ὑπόκειται· οὐκ ἄρα ἡ KΛ πρὸς ὀρθάς ἐστι τῇ ΛE.

Ἐκ δὴ τῶν δεδειγμένων φανερὸν, ὅτι ἡ EH διάμετρός ἐστι τῆς EZHΘ τομῆς· πάσας γὰρ τὰς παρὰ τὴν KΛ καταγομένας ἐπ᾽ αὐτὴν δίχα τέμνει, ὥσπερ τὴν ZΘ.

ΠΡΟΤΑΣΙΣ ιβ'.

Ἐὰν δύο εὐθεῖαι ὁμοίως τμηθῶσιν· ἔσται ὡς τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας, οὕτως τὸ ὑπὸ τῶν τμημάτων τῆς πρώτης πρὸς τὸ ὑπὸ τῶν τμημάτων τῆς δευτέρας.

Εὐθεῖαι γὰρ αἱ AB, ΓΔ ὁμοίως τετμήσθωσαν κατὰ τὰ E, Z σημεῖα· λέγω ὅτι ὡς τὸ ἀπὸ τῆς AB πρὸς τὸ ἀπὸ τῆς ΓΔ, οὕτως τὸ ὑπὸ τῶν AE, EB πρὸς τὸ ὑπὸ τῶν ΓZ, ZΔ. Επεὶ γὰρ ὡς ἡ AE πρὸς EB οὕτως ἡ ΓZ πρὸς ZΔ, συνθέντι ἄρα καὶ ἐναλλὰξ ὡς ἡ AB πρὸς ΓΔ οὕτως ἡ EB πρὸς ZΔ. καὶ ἐπεὶ ὡς ἡ AE πρὸς EB οὕτως

οὕτως ἡ ΓΖ πρὸς ΖΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΒ πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΒ πρὸς ΖΔ, τουτέστιν ἤπερ ἡ ΑΒ πρὸς ΓΔ. ἀλλὰ καὶ τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΓΔ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς ΓΔ· ὡς ἄρα τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΓΔ οὕτως τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ. ὃ προέκειτο δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιγʹ.

Ἐὰν κύλινδρος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ τῆς βάσεως ἐπίπεδον, ἡ δὲ κοινὴ τομὴ τούτου τε τῆς βάσεως καὶ τοῦ τέμνοντος ἐπιπέδου πρὸς ὀρθὰς ᾖ τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος παραλληλογράμμου, ἢ τῇ ἐπ' εὐθείας αὐτῇ, ἀπὸ δὲ τῆς τομῆς ἀχθῇ τις ἐπὶ τὴν διάμετρον παράλληλος τῇ εἰρημένῃ κοινῇ τομῇ τῶν ἐπιπέδων· ἡ ἀχθεῖσα δυνήσεταί τι χωρίον, πρὸς ὃ τὸ ὑπὸ τῶν τμημάτων τῆς διαμέτρου τῆς τομῆς λόγον ἔχει, ὃν τὸ ἀπὸ τῆς διαμέτρου τῆς τομῆς πρὸς τὸ ἀπὸ τῆς διαμέτρου τῆς βάσεως.

Ἔστω κύλινδρος, οὗ βάσεις μὲν οἱ Α, Β κύκλοι, τὸ δὲ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΓΔ, καὶ τετμήσθω ὁ κύλινδρος ἐπιπέδῳ συμπίπτοντι τῷ τῆς βάσεως ἐπιπέδῳ κατ' εὐθεῖαν ὀρθὴν πρὸς τὴν ΓΑ ἐκβληθεῖσαν, καὶ ἔστω ἡ γινομένη τομὴ ἡ ΕΖΗ, κοινὴ δὲ τομὴ τοῦ παραλληλογράμμου καὶ τοῦ τέμνοντος ἐπιπέδου ἡ ΕΗ, διάμετρος οὖσα τῆς τομῆς, ὡς ἐδείχθη· ληφθέντος δέ τινος σημείου ἐπὶ τῆς τομῆς τοῦ Ζ, κατήχθω ἀπ' αὐτοῦ ἐπὶ τὴν διάμετρον εὐθεῖα παράλληλος τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων ἡ ΖΘ· πίπτει ἄρα ἡ ΖΘ ἐπὶ τὴν ΕΗ, ὡς ἐδείχθη· λέγω δὴ ὅτι τὸ ὑπὸ τῶν ΕΘ, ΘΗ πρὸς τὸ ἀπὸ τῆς ΖΘ λόγον ἔχει, ὃν τὸ ἀπὸ τῆς ΕΗ διαμέτρου πρὸς τὸ ἀπὸ τῆς διαμέτρου τῆς βάσεως.



Ἤχθω διὰ τοῦ Θ παράλληλος τῇ ΓΑ ἡ ΚΘΛ, καὶ διὰ τῶν ΖΘ, ΚΛ εὐθειῶν ἤχθω ἐπίπεδον, τομὴν ποιοῦν τὴν ΚΖΛ. ἐπεὶ οὖν ἡ μὲν ΚΛ τῇ ΓΑ παράλληλος, ἡ δὲ ΖΘ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων, οὔσῃ ἐν τῷ τῆς βάσεως ἐπιπέδῳ· καὶ τὰ δι' αὐτῶν ἄρα ἐπίπεδα παράλληλά ἐστιν· ἡ ΚΖΛ ἄρα τομὴ κύκλος ἐστί. πάλιν ἐπεὶ παράλληλός ἐστιν ἡ μὲν ΚΛ τῇ ΓΑ, ἡ δὲ ΖΘ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων πρὸς ὀρθὰς οὔσῃ πρὸς τὴν ΓΑ· καὶ ἡ ΖΘ ἄρα πρὸς ὀρθάς ἐστι τῇ ΚΛ. καὶ ἔστι κύκλος ὁ ΚΖΛ· τὸ ἄρα ἀπὸ τῆς ΖΘ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΚΘ, ΘΛ. καὶ ἐπεὶ ἡ ΚΕ τῇ ΛΗ παράλληλός ἐστιν· ὡς ἄρα ἡ ΚΘ πρὸς τὴν ΘΛ οὕτως ἡ ΕΘ πρὸς τὴν ΘΗ· τὸ ἄρα ὑπὸ τῶν

ad EB ita ΓZ ad ZΔ; rectangulum AEB ad rectangulum ΓZΔ duplicatam rationem habebit ejus quam habet EB ad ZΔ, hoc est, quam habet AB ad ΓΔ. sed & quadratum ex AB ad quadratum ex ΓΔ duplicatam rationem habet ejus quæ est AB ad ΓΔ: ergo ut quadratum ex AB ad quadratum ex ΓΔ ita rectangulum AEB ad rectangulum ΓZΔ. quod erat demonstrandum.

Prop. XIII. *Theor.*

Si cylindrus plano secetur per axem; & secetur alio plano basis planum secante, ita ut communis sectio basis & secantis plani perpendicularis sit ad basim parallelogrammi per axem, vel ad eam quæ in directum ipsi constituitur; à sectione autem ad diametrum ducatur recta communi planorum sectioni parallela: poterit dicta recta spatium quoddam, ad quod rectangulum sub partibus diametri sectionis contentum eam rationem habet, quam habet quadratum diametri sectionis ad quadratum diametri basis.

Sit cylindrus, cujus bases A, B circuli; & parallelogrammum per axem ΓΔ; secetur autem cylindrus plano occurrenti plano basis secundum rectam lineam, quæ ad ipsam ΓA productam sit perpendicularis; sitque sectio facta EZH; & communis sectio parallelogrammi ΓΔ & secantis plani sit recta EH, quæ diameter est sectionis, ut ostensum est; sumpto deinde in sectione quovis puncto Z, ab eo ad diametrum ducatur recta linea ZΘ, parallela communi planorum sectioni: cadet igitur ZΘ, ex iis quæ [per 11. huj.] demonstrata sunt, in ipsam EH: dico itaque rectangulum EΘH ad quadratum ex ZΘ eam rationem habere quam diametri EH quadratum ad quadratum diametri basis.

Ducatur enim per Θ recta KΘΛ parallela ipsi ΓA; & per ZΘ, KΛ rectas planum ducatur, quod faciat sectionem KZΛ. itaque quoniam recta KΛ parallela est ipsi ΓA, & ZΘ parallela communi planorum sectioni quæ in basis plano existit; igitur [per 15.11.] quæ per ipsas transeunt plana inter se æquidistantia erunt: quare [per 5. huj.] circulus est sectio KZΛ. rursus quoniam KΛ ipsi ΓA est parallela; & ZΘ parallela communi sectioni planorum, quæ perpendicularis est ad ΓA: erit & ZΘ ad KΛ perpendicularis. est autem circulus KZΛ; ergo [per 4.huj.] quadratum ex ZΘ rectangulo KΘΛ æquale erit. & cum parallela sit KE ipsi ΛH, erit ut KΘ ad ΘΛ ita EΘ ad ΘH: quare rectangu-

lum

lum Ε Θ Η simile est rectangulo Κ Θ Λ: & propterea ut rectangulum Ε Θ Η ad ipsum Κ Θ Λ, hoc est ad quadratum ex Ζ Θ, ita [per 12. huj.] quadratum diametri Ε Η ad quadratum ex Κ Λ, hoc est ad quadratum diametri basis.

ΕΘ, ΘΗ ὅμοιόν ἐστι τῷ ὑπὸ ΚΘ, ΘΛ· ὡς ἄρα τὸ ὑπὸ τῶν ΕΘ, ΘΗ πρὸς τὸ ὑπὸ τῶν ΚΘ, ΘΛ, τουτέστι πρὸς τὸ ἀπὸ ΖΘ, οὕτως τὸ ἀπὸ τῆς ΕΗ διαμέτρου πρὸς τὸ ἀπὸ τῆς ΚΛ, τουτέστι πρὸς τὸ ἀπὸ τῆς διαμέτρου τῆς βάσεως.

Prop. XIV. *Theor.*

Recta linea, quæ per punctum quod diametrum sectionis bifariam dividit ordinatim in sectione applicatur, secunda diameter erit.

SIT sectionis Ε Ζ Η diameter Ε Η, quæ bifariam secetur in Θ; & Ζ Θ Μ ordinatim applicetur: dico Ζ Μ secundam diametrum esse sectionis.

Ducatur enim recta Ν Ο Ξ parallela ipsi Ε Η, & ducantur Ν Π, Ξ Ρ ipsi Ζ Μ parallelæ: ergo & Ν Π, Ξ Ρ ordinatim applicatæ sunt. itaque quoniam [per præced. 13. huj.] quadratum ex Ν Π ad rectangulum Ε Π Η eandem habet rationem, quam habet quadratum diametri basis cylindri ad quadratum diametri sectionis, & habet quadratum ex Ξ Ρ ad rectangulum Ε Ρ Η hanc eandem rationem; erit ut quadratum ex Ν Π ad rectangulum Ε Π Η ita quadratum ex Ξ Ρ ad rectangulum Ε Ρ Η, & permutando. est autem quadratum ex Ν Π æquale quadrato ex Ξ Ρ; parallelogrammum enim est Ν Π Ρ Ξ: ergo & rectangulum Ε Π Η æquale est rectangulo Ε Ρ Η. quibus sublatis ab æqualibus quadratis ex Ε Θ, & Θ Η, erit [per 5. 2.] reliquum quadratum ex Π Θ reliquo quadrato ex Θ Ρ æquale: æqualis igitur est Π Θ ipsi Θ Ρ, hoc est Ν Ο ipsi Ο Ξ. Eadem ratione & aliæ omnes ipsi Ε Η parallelæ à Ζ Μ bifariam secabuntur: ergo [ex definit.] Ζ Μ secunda diameter est sectionis.

ΠΡΟΤΑΣΙΣ ιδ΄.

Η διὰ τῆς διχοτομίας τῆς διαμέτρου τῆς τομῆς τεταγμένως ἀγομένη ἐν τῇ τομῇ, δευτέρα διάμετρος ἔσται.

ΕΣΤΩ γὰρ τῆς ΕΖΗ τομῆς διάμετρος ἡ ΕΗ, καὶ δίχα τετμήσθω κατὰ τὸ Θ, καὶ διήχθω ἡ ΖΘΜ τεταγμένως· λέγω ὅτι ἡ ΖΜ δευτέρα διάμετρός ἐστι τῆς τομῆς.

Ηχθω παρὰ μὲν τὴν ΕΗ ἡ ΝΟΞ, παρὰ δὲ τὴν ΖΜ αἱ ΝΠ, ΞΡ· τεταγμέναι ἄρα εἰσὶ καὶ αἱ ΝΠ, ΞΡ. ἐπεὶ οὖν τὸ ἀπὸ τῆς ΝΠ πρὸς τὸ ὑπὸ ΕΠΗ λόγον ἔχει, ὃν τὸ ἀπὸ τῆς διαμέτρου τῆς βάσεως τοῦ κυλίνδρου πρὸς τὸ ἀπὸ τῆς διαμέτρου τῆς τομῆς, ἔχει δὲ καὶ τὸ ἀπὸ τῆς ΞΡ πρὸς τὸ ὑπὸ ΕΡΗ τὸν αὐτὸν λόγον· ὡς ἄρα τὸ ἀπὸ τῆς ΝΠ πρὸς τὸ ὑπὸ ΕΠΗ οὕτως τὸ ἀπὸ ΞΡ πρὸς τὸ ὑπὸ ΕΡΗ, καὶ ἐναλλάξ. ἴσον δὲ τὸ ἀπὸ ΝΠ τῷ ἀπὸ ΞΡ, παραλληλόγραμμον γάρ ἐστι τὸ ΝΠΡΞ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΕΠΗ τῷ ὑπὸ ΕΡΗ. καὶ ἀπ᾽ ἴσων ἀφῄρηται τῶν ἀπὸ ΕΘ, ΘΗ· λοιπὸν ἄρα τὸ ἀπὸ ΠΘ λοιπῷ τῷ ἀπὸ ΘΡ ἴσον ἐστίν· ἴση ἄρα ἡ ΠΘ τῇ ΘΡ, τουτέστιν ἡ ΝΟ τῇ ΟΞ. ὁμοίως δὲ πᾶσαι αἱ παρὰ τὴν ΕΗ δίχα τέμνονται ὑπὸ τῆς ΖΜ· δευτέρα διάμετρος ἄρα ἐστὶν ἡ ΖΜ.

Prop. XV. *Theor.*

Si cylindrus plano secetur basis planum secante; communis autem sectio plani basis & secantis plani perpendicularis sit ad basim parallelogrammi per axem, vel ad eam quæ in directum ipsi constituitur: quæ à sectione ad diametrum ducitur, parallela communi planorum sectioni jam dictæ, poterit spatium quoddam, ad quod rectangulum sub diametri partibus contentum eam rationem habet, quam habet diametri sectionis quadratum ad quadratum secundæ diametri; quæ vero à sectione ad secundam diametrum ducitur parallela diametro, poterit spatium, ad

ΠΡΟΤΑΣΙΣ ιε΄.

Εὰν κύλινδρος ἐπιπέδῳ τμηθῇ τέμνοντι τὸ τῆς βάσεως ἐπίπεδον, ἡ δὲ κοινὴ τομὴ τούτου τῆς βάσεως καὶ τοῦ τέμνοντος ἐπιπέδου πρὸς ὀρθὰς ᾖ τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος παραλληλογράμμου, ἢ τῇ ἐπ᾽ εὐθείας αὐτῇ· ἡ μὲν ἀπὸ τῆς τομῆς ἐπὶ τὴν διάμετρον ἀχθεῖσα παράλληλος τῇ εἰρημένῃ κοινῇ τομῇ τῶν ἐπιπέδων, δυνήσεται χωρίον, πρὸς ὃ τὸ ὑπὸ τῶν τμημάτων τῆς διαμέτρου λόγον ἔχει, ὃν τὸ ἀπὸ τῆς διαμέτρου τῆς τομῆς πρὸς τὸ ἀπὸ τῆς δευτέρας διαμέτρου· ἡ δὲ ἀπὸ τῆς τομῆς ἐπὶ τὴν δευτέραν διάμετρον ἀχθεῖσα παράλληλος τῇ διαμέτρῳ δυνήσεται χωρίον, πρὸς ὃ τὸ

τὸ ὑπὸ τῶν τμημάτων τῆς δευτέρας διαμέτρου λόγον ἔχει, ὃν τὸ ἀπὸ τῆς δευτέρας διαμέτρου πρὸς τὸ ἀπὸ τῆς διαμέτρου.

Ἔστω ὁ κύλινδρος, καὶ κατεσκευάσθω ὡς ἐν τῷ ιγ΄. ἐπεὶ οὖν ἐδείχθη τὸ μὲν ὑπὸ τῶν ΕΘ, ΘΗ πρὸς τὸ ἀπὸ ΖΗ ὡς τὸ ἀπὸ τῆς ΕΗ πρὸς τὸ ἀπὸ τῆς διαμέτρου τῆς βάσεως τῆς διχοτομούσης τὴν ΕΗ τεταγμένως, ὡς ἐδείχθη πρὸς τῷ θ΄. θεωρήματι· ἡ δὲ διχοτομοῦσα τὴν διάμετρον τεταγμένως δευτέρα διάμετρός ἐστιν, ὡς ἐν τῷ πρὸ τούτου· εἴη ἂν ὡς τὸ ἀπὸ τῆς ΕΗ διαμέτρου πρὸς τὸ ἀπὸ τῆς δευτέρας διαμέτρου, οὕτως τὸ ὑπὸ τῶν ΕΘ, ΘΗ πρὸς τὸ ἀπὸ τῆς ΖΘ. ὅπερ ἔδει δεῖξαι.

Ἀλλὰ δὴ ὑποκείσθω τὸ μὲν Θ διχοτομεῖν τὴν ΕΗ διάμετρον, τὴν δὲ ΖΘΦ τεταγμένην εἶναι· δευτέρα ἄρα διάμετρος ἡ ΖΦ. κατήχθω ἐπ' αὐτὴν ἀπὸ τῆς τομῆς ἡ ΜΝ παράλληλος τῇ ΕΗ· λέγω ὅτι τὸ ὑπὸ τῶν ΦΝ, ΝΖ πρὸς τὸ ἀπὸ τῆς ΜΝ λόγον ἔχει, ὃν τὸ ἀπὸ τῆς ΦΖ δευτέρας διαμέτρου πρὸς τὸ ἀπὸ τῆς ΕΗ διαμέτρου τῆς τομῆς. ἤχθω διὰ τῆς ΜΝ ἐπίπεδον παράλληλον τῷ ΓΔ παραλληλογράμμῳ τέμνον τὸν κύλινδρον· ποιήσει δὴ παραλληλόγραμμον τὴν τομήν. ποιείτω τὸ ΡΣ, ἔστωσαν δὲ κοιναὶ τομαὶ αὐτοῦ μὲν καὶ τῶν παραλλήλων κύκλων αἱ ΣΤ, ΞΟ, ΠΡ, αὐτοῦ δὲ καὶ τῆς ΕΖΗ τομῆς κοινὴ τομὴ ἔστω ἡ ΜΝ. ἐπεὶ οὖν παράλληλα ἐπίπεδα τὰ ΓΔ, ΡΣ τέμνεται ὑπὸ τοῦ ΚΖΛ ἐπιπέδου, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσι· παράλληλος ἄρα ἡ ΘΚ τῇ ΝΞ. ἦν δὲ καὶ ἡ ΘΕ τῇ ΜΝ παράλληλος· ἡ ἄρα ὑπὸ ΚΘΕ γωνία τῇ ὑπὸ ΞΝΜ ἴση ἐστί. καὶ ἐπεὶ τὸ ΡΣ παραλληλόγραμμον ἰσογώνιόν ἐστι τῷ ΓΔ παραλληλογράμμῳ, ὡς ἐδείχθη ἐν τῷ γ΄. θεωρήματι· ἡ ἄρα ὑπὸ τῶν ΣΠΡ γωνία τῇ ὑπὸ τῶν ΕΓΑ ἴση ἐστί, τουτέστιν ἡ ὑπὸ ΣΞΝ τῇ ὑπὸ ΕΚΘ· ὅμοια ἄρα ἀλλήλοις τὰ ΕΚΘ, ΜΞΝ τρίγωνα· ὡς ἄρα ἡ ΚΘ πρὸς ΘΕ οὕτως ἡ ΞΝ πρὸς ΝΜ· καὶ ὡς τὸ ἀπὸ τῆς ΚΘ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΘΕ, τουτέστι τὸ ἀπὸ τῆς δευτέρας διαμέτρου τῆς ΦΖ πρὸς τὸ ἀπὸ τῆς ΕΗ διαμέτρου, οὕτως τὸ ἀπὸ τῆς ΞΝ πρὸς τὸ ἀπὸ τῆς ΝΜ. ἀλλὰ τὸ ἀπὸ τῆς ΝΞ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΦΝ, ΝΞ (κύκλος γάρ ἐστιν ὁ ΚΖΛ καὶ ὀρθὴ ἡ ΘΖ ἐπὶ τὰς ΚΘ, ΞΝ) ὡς ἄρα τὸ ἀπὸ τῆς ΦΖ δευτέρας διαμέτρου πρὸς τὸ ἀπὸ τῆς ΕΗ διαμέτρου, οὕτως τὸ ὑπὸ τῶν ΦΝ, ΝΖ πρὸς τὸ ἀπὸ τῆς ΜΝ. ὃ προέκειτο δεῖξαι.

quod rectangulum sub secundæ diametri partibus eam habet rationem, quam quadratum secundæ diametri ad ipsius diametri quadratum.

Sit cylindrus, & construantur omnia sicut in decimo tertio theoremate. quoniam igitur ostensum est, rectangulum ΕΘΗ esse ad quadratum ex ΖΘ sicut quadratum ex ΕΗ ad quadratum diametri basis, hoc est ad quadratum ejus quæ ordinatim applicata bifariam secat ipsam ΕΗ, uti demonstratum est in nono theoremate; ea autem quæ ordinatim applicatur & bifariam diametrum secat, secunda diameter est, ex præcedenti theoremate: ergo ut quadratum diametri ΕΗ ad quadratum secundæ diametri ita rectangulum ΕΘΗ ad quadratum ex ΖΘ. quod erat demonstrandum.



Sed ponatur jam in puncto Θ bifariam secari diametrum ΕΗ, & rectam ΖΘΦ ordinatim applicatam esse; erit igitur ΖΦ secunda diameter. ducatur autem ad ipsam recta ΜΝ parallela ipsi ΕΗ: dico rectangulum ΦΝΖ ad quadratum ex ΜΝ eam rationem habere quam quadratum ex ΦΖ secundâ diametro ad quadratum diametri sectionis ΕΗ. ducatur per rectam ΜΝ planum æquidistans parallelogrammo ΓΔ, quod cylindrum secet: faciet igitur [per 3. huj.] sectionem parallelogrammum. faciat ΡΣ; & communes sectiones ipsius & æquidistantium circulorum sint ΣΤ, ΞΟ, ΠΡ; ipsius vero & plani sectionis ΕΖΗ communis sectio ΜΝ. itaque quoniam æquidistantia plana ΓΔ, ΡΣ secantur à plano ΚΖΛ, communes eorum sectiones parallelæ erunt: parallela est igitur ΘΚ ipsi ΝΞ. erat autem & ΘΕ ipsi ΝΜ parallela: ergo [per 10.11.] angulus ΚΘΕ æqualis est angulo ΞΝΜ. & cum parallelogrammum ΡΣ parallelogrammo ΓΔ æquiangulum sit, id quod demonstravimus in tertio theoremate, angulus ΣΠΡ angulo ΕΓΑ æqualis erit, hoc est ΣΞΝ ipsi ΕΚΘ: similia igitur triangula sunt ΕΚΘ, ΜΞΝ: quare ut ΚΘ ad ΘΕ ita ΞΝ ad ΝΜ, & [per 22. 6.] ut quadratum ex ΚΘ ad quadratum ex ΘΕ, hoc est ut quadratum ex ΦΖ secundâ diametro ad quadratum diametri ΕΗ, ita quadratum ex ΞΝ ad quadratum ex ΝΜ. sed quadratum ex ΝΞ æquale est rectangulo ΦΝΖ, quia ΚΖΛ circulus est & ΘΖ perpendicularis ad ΚΘ, ΞΝ; ut igitur quadratum ex ΦΖ secundâ diametro ad quadratum diametri ΕΗ ita rectangulum ΦΝΖ ad quadratum ex ΜΝ. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ ιϛ΄.

Ἐὰν κυλίνδρου τομῆς συζυγεῖς διάμετροι ὦσι, καὶ ποιηθῇ ὡς ἡ διάμετρος τῆς τομῆς πρὸς τὴν δευ-

Prop. XVI. *Theor.*

Si in cylindri sectione conjugatæ diametri sint; & fiat ut diameter sectionis

ctionis ad secundam diametrum ita secunda diameter ad aliam quampiam: quæ à sectione ad diametrum ordinatim applicata est poterit spatium, quod adjacet tertiæ illi proportionali, latitudinem habens eam quæ inter ordinatim applicatam & sectionem interjicitur, deficiens vero figura simili ei quæ sub diametro ipsâ & tertiâ proportionali continetur.

SIT cylindri sectio, cujus diameter quidem A B, secunda vero diameter Γ Δ, & fiat ut A B ad Γ Δ ita Γ Δ ad A H; apteturque A H ipsi A B ad rectos angulos; & junctâ B H, applicetur E Z ordinatim ad A B; & ducatur Z Θ ipsi A H parallela & Θ K parallela ipsi A Z: dico quadratum ex E Z æquale esse rectangulo A Θ.



Quoniam enim ut quadratum ex A B ad quadratum ex Γ Δ ita recta A B ad ipsam A H, hoc est B Z ad Z Θ; ut autem quadratum ex A B ad quadratum ex Γ Δ ita rectangulum B Z A ad quadratum ex E Z, & ut B Z ad Z Θ ita B Z A rectangulum ad rectangulum Θ Z A, hoc est ad A Θ parallelogrammum: quadratum igitur ex E Z æquale erit rectangulo A Θ, quod quidem adjacet tertiæ proportionali A H, latitudinem habens A Z, & deficiens figura H K Θ ipsi H A B simili. vocetur autem A B transversum figuræ latus, & A H latus rectum.

Ex quibus manifeste constat, cylindri sectionem A B Γ ellipsim esse. quæcunque enim hoc loco demonstrata sunt inesse huic sectioni, omnia similiter & coni ellipsi insunt, ut demonstratum est in elementis conicis, theoremate quinto decimo [libri primi] iis saltem qui ejus theorematis vim rite perceperint: & nos quoque in nostris in idipsum commentariis geometrice demonstravimus *.

Prop. XVII. *Theor.*

Si in cylindri sectione conjugatæ diametri sint; & fiat ut secunda diameter ad diametrum ita diameter ad aliam quampiam: quæ à sectione ad secundam diametrum ordinatim applicatur poterit spatium quod adjacet tertiæ proportionali, latitudinem habens eam quæ inter ordinatim applicatam & sectionem interjicitur, deficiens vero figura simili ei quæ sub secundâ diametro & tertia proportionali inventâ continetur.

τέραν διάμετρον τῆς τομῆς οὕτως ἡ δευτέρα διάμετρος πρὸς ἄλλην τινά· ἥτις ἂν ἀπὸ τῆς τομῆς ἐπὶ τὴν διάμετρον ἀχθῇ τεταγμένως δυνήσεται τὸ παρὰ τὴν τρίτην ἀνάλογον παρακείμενον χωρίον, πλάτος ἔχον τὴν ἀπ' αὐτῆς τεταγμένως ἀχθείσης ἀπολαμβανομένην πρὸς τῇ τομῇ, ἐλλεῖπον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπὸ τῆς διαμέτρου καὶ τῆς τρίτης ἀνάλογον.

ΕΣΤΩ κυλίνδρου τομὴ, ἧς διάμετρος μὲν ἡ Α Β, δευτέρα δὲ διάμετρος ἡ Γ Δ, καὶ γενέσθω ὡς ἡ Α Β πρὸς τὴν Γ Δ οὕτως ἡ Γ Δ πρὸς τὴν Α Η, καὶ κείσθω ἡ Α Η πρὸς ὀρθὰς τῇ Α Β, καὶ ἐπεζεύχθω ἡ Β Η, καὶ ἐπὶ τὴν Α Β ἤχθω τεταγμένως ἡ Ε Ζ, καὶ παρὰ μὲν τὴν Α Η ἡ Ζ Θ, παρὰ δὲ τὴν Α Ζ ἡ Θ Κ· λέγω ὅτι τὸ ἀπὸ τῆς Ε Ζ ἴσον ἐστὶ τῷ Α Θ παραλληλογράμμῳ.

Επεὶ ὡς τὸ ἀπὸ τῆς Α Β πρὸς τὸ ἀπὸ τῆς Γ Δ οὕτως ἡ Α Β πρὸς τὴν Α Η, τουτέστι ἡ Β Ζ πρὸς Ζ Θ· ἀλλ' ὡς μὲν τὸ ἀπὸ τῆς Α Β πρὸς τὸ ἀπὸ τῆς Γ Δ οὕτως τὸ ὑπὸ Ζ Β, Ζ Α πρὸς τὸ ἀπὸ Ζ Θ, ὡς δὲ ἡ Β Ζ πρὸς Ζ Θ οὕτως τὸ ὑπὸ Β Ζ, Ζ Α πρὸς τὸ ὑπὸ Θ Ζ, Ζ Α, τουτέστι τὸ Α Θ παραλληλόγραμμον· τὸ ἄρα ἀπὸ τῆς Ε Ζ ἴσον ἐστὶ τῷ Α Θ, ὃ παράκειται παρὰ τὴν Α Η τρίτην ἀνάλογον, πλάτος ἔχον τὴν Α Ζ, ἐλλεῖπον εἴδει τῷ ὑπὸ Η Κ Θ ὁμοίῳ τῷ ὑπὸ Α Η Β. καλείσθω δὲ ἡ μὲν Α Β πλαγία τοῦ εἴδους πλευρὰ, ἡ δὲ Α Η ὀρθία τοῦ εἴδους πλευρά.

Τούτων οὕτως ἐχόντων, φανερόν ἐστιν ὅτι ἡ Α Β Γ τοῦ κυλίνδρου τομὴ ἔλλειψίς ἐστιν. ὅσα γὰρ ἐνταῦθα τῇ τομῇ ἐδείχθη ὑπάρχοντα, πάντα ὁμοίως καὶ ἐπὶ τοῦ κώνου τῇ ἐλλείψει ὑπῆρχον· ὡς ἐν τοῖς κωνικοῖς δείκνυται, θεωρήματι ιε', τοῖς δυναμένοις λέγειν τὴν ἀκρίβειαν τοῦ θεωρήματος· καὶ ἡμεῖς ἐν τοῖς εἰς αὐτὰ ὑπομνήμασιν γεωμετρικῶς ἀπεδείξαμεν.

ΠΡΟΤΑΣΙΣ ιζ'.

Εὰν ἐν κυλίνδρου τομῇ συζυγεῖς διάμετροι ὦσι, καὶ ποιηθῇ ὡς ἡ δευτέρα διάμετρος πρὸς τὴν διάμετρον οὕτως ἡ διάμετρος πρὸς ἄλλην τινά· ἥτις ἂν ἀπὸ τῆς τομῆς ἐπὶ τὴν δευτέραν διάμετρον ἀχθῇ τεταγμένως, δυνήσεται τὸ παρὰ τὴν τρίτην ἀνάλογον, πλάτος ἔχον τὴν ὑπ' αὐτῆς τεταγμένως ἀχθείσης ἀπολαμβανομένην πρὸς τῇ τομῇ, ἐλλεῖπον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπὸ τῆς δευτέρας διαμέτρου καὶ τῆς πορισθείσης τρίτης ἀνάλογον.

* Vide *Eutocii* Comment. in prop. XVI. lib. primi Conicorum *Apollonii*.

ΕΣΤΩ

ΕΣΤΩ κυλίνδρου τομὴ ἡ ΑΒΓΔ, καὶ γενέσθω ὡς ἡ ΓΔ δευτέρα διάμετρος πρὸς τὴν ΑΒ διάμετρον οὕτως ἡ ΑΒ πρὸς τὴν ΓΗ, καὶ κείσθω ἡ ΓΗ πρὸς ὀρθὰς τῇ ΓΔ, καὶ ἐπεζεύχθω ἡ ΔΗ, καὶ ἐπὶ τὴν ΓΔ κατήχθω τεταγμένως ἡ ΕΖ, καὶ παρὰ μὲν τὴν ΓΗ ἡ ΖΘ, παρὰ δὲ τὴν ΓΔ ἡ ΘΚ· λέγω ὅτι τὸ ἀπὸ τῆς ΕΖ ἴσον ἐστὶ τῷ ΓΘ παραλληλογράμμῳ.

Ἐπεὶ γὰρ ὡς τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΑΒ οὕτως ἡ ΓΔ πρὸς τὴν ΓΗ, τουτέστιν ἡ ΔΖ πρὸς ΖΘ, ἀλλ᾽ ὡς μὲν τὸ ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΑΒ οὕτως τὸ ὑπὸ τῶν ΔΖ, ΖΓ πρὸς τὸ ἀπὸ τῆς ΕΖ, ταῦτα γὰρ ἐδείχθη· ὡς δὲ ἡ ΔΖ πρὸς ΖΘ οὕτως τὸ ὑπὸ ΔΖ, ΖΓ πρὸς τὸ ὑπὸ ΘΖ, ΖΓ, τουτέστι τὸ ΓΘ ὀρθογώνιον· ἴσον ἄρα τὸ ἀπὸ τῆς ΕΖ τῷ ΓΘ, ὃ παραβέβληται παρὰ τὴν τρίτην ἀνάλογον τὴν ΓΗ, πλάτος ἔχον τὴν ΖΓ, ἐλλεῖπον εἴδει τῷ ὑπὸ ΘΚΗ ὁμοίῳ τῷ ὑπὸ ΔΓΗ. ὅπερ ἔδει δεῖξαι.



Ταῦτα σαφέστατα παρακολουθεῖ τῇ ἐλλείψει ἐν τῷ ιε'. θεωρήματι τοῦ πρώτου τῶν κωνικῶν· ἔλλειψις ἄρα ἐστὶν ἡ ΑΒΓΔ τομὴ τοῦ κυλίνδρου.

SIT cylindri sectio ΑΒΓΔ, & fiat ut ΓΔ secunda diameter ad diametrum ΑΒ ita ΑΒ ad ΓΗ; ponaturque ΓΗ ad rectos angulos ipsi ΓΔ, & jungatur ΔΗ; deinde ad ΓΔ ordinatim applicetur ΕΖ, & ducatur ΖΘ quidem ipsi ΓΗ parallela, ΘΚ vero parallela ipsi ΓΔ: dico quadratum ex ΕΖ parallelogrammo ΓΘ æquale esse.

Quoniam enim ut quadratum ex ΓΔ ad quadratum ex ΑΒ, ita recta ΓΔ ad ipsam ΓΗ, hoc est ΔΖ ad ΖΘ; ut autem quadratum ex ΓΔ ad quadratum ex ΑΒ ita rectangulum ΔΖΓ ad quadratum ex ΕΖ, quod [per 15. huj.] demonstratum jam est: ut autem ΔΖ ad ΖΘ ita rectangulum ΔΖΓ ad rectangulum ΘΖΓ, hoc est ad ΓΘ: quadratum igitur ex ΕΖ æquale est rectangulo ΓΘ, quod quidem adjacet tertiæ proportionali ΓΗ, latitudinem habens ΖΓ, deficiens vero figura ΘΚΗ simili ei quæ sub ΔΓΗ continetur. quod erat demonstrandum.

Hæc autem manifestissime conveniunt ellipsi, ut ex quinto decimo theoremate primi Conicorum apparet: unde sequitur sectionem cylindri ΑΒΓΔ necessario ellipsim esse.

ΠΡΟΤΑΣΙΣ ιή.

Ἐὰν ἐν κυλίνδρου τομῇ εὐθεῖαι ἀχθῶσιν ἐπὶ τὴν διάμετρον τεταγμένως· ἔσται τὰ ἀπ᾽ αὐτῶν τετράγωνα πρὸς μὲν τὰ περιεχόμενα χωρία ὑπὸ τῶν ἀπολαμβανομένων ὑπ᾽ αὐτῶν πρὸς τοῖς πέρασι τῆς πλαγίας τοῦ εἴδους πλευρᾶς, ὡς τοῦ εἴδους ἡ ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν· πρὸς ἑαυτὰ δὲ ὡς τὰ περιεχόμενα χωρία ὑπὸ τῶν, ὡς εἴρηται, ἀπολαμβανομένων εὐθειῶν.

ΕΣΤΩ κυλίνδρου τομὴ ἡ ΑΒΓΔ, διάμετρος δὲ αὐτῆς ἡ ΑΔ καὶ πλαγία πλευρὰ τοῦ εἴδους, ὀρθία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΑΗ, καὶ ἐπὶ τὴν ΑΔ τεταγμένως ἤχθωσαν αἱ ΒΕ, ΓΖ· λέγω ὅτι τὸ μὲν ἀπὸ τῆς ΒΕ πρὸς τὸ ὑπὸ τῶν ΑΕ, ΕΔ ἐστὶν ὡς ἡ ΗΑ πρὸς ΑΔ, τὸ δὲ ἀπὸ τῆς ΒΕ πρὸς τὸ ἀπὸ τῆς ΓΖ ἐστὶν ὡς τὸ ὑπὸ ΑΕΔ πρὸς τὸ ὑπὸ ΑΖΔ.

Ἐπεὶ γὰρ ὡς τὸ ἀπὸ τῆς δευτέρας διαμέτρου πρὸς τὸ ἀπὸ τῆς διαμέτρου οὕτως τό τε ἀπὸ τῆς ΒΕ πρὸς τὸ ὑπὸ ΑΕΔ, καὶ ἡ ΑΗ ὀρθία πλευρὰ πρὸς τὴν ΑΔ πλαγίαν· ὡς ἄρα ἡ ὀρθία πρὸς τὴν πλαγίαν οὕτως τὸ ἀπὸ τῆς ΒΕ πρὸς τὸ ὑπὸ τῶν ΑΕΔ. ὁμοίως δὲ καὶ τὸ ἀπὸ τῆς ΓΖ πρὸς τὸ ὑπὸ ΑΖΔ· καὶ ἐναλλὰξ ἄρα ὡς τὸ

PROP. XVIII. *Theor.*

Si in sectione cylindri rectæ lineæ ad diametrum ordinatim applicentur: erunt quadrata earum ad spatia contenta eis quæ inter ipsas & terminos transversi lateris figuræ interjiciuntur, ut rectum figuræ latus ad transversum; inter sese vero ut spatia, quæ rectis modo dicto interceptis continentur.

SIT cylindri sectio ΑΒΓΔ, cujus diameter quidem & transversum figuræ latus ΑΔ, rectum vero latus ΑΗ, & ad ipsam ΑΔ ordinatim applicentur ΒΕ, ΓΖ: dico ut quadratum ex ΒΕ ad rectangulum ΑΕΔ ita esse ΗΑ ad ΑΔ, & quadratum ex ΒΕ ad quadratum ex ΓΖ sicut rectangulum ΑΕΔ ad rectangulum ΑΖΔ.



Quoniam enim ut quadratum secundæ diametri ad diametri quadratum ita est quadratum ex ΒΕ ad rectangulum ΑΕΔ, & ita ΑΗ rectum latus ad transversum ΑΔ: erit ut rectum latus ad transversum ita quadratum ex ΒΕ ad rectangulum ΑΕΔ. similiter autem & quadratum ex ΓΖ ad rectangulum ΑΖΔ: quare & permutando ut quadratum ex ΒΕ ad quadratum ex ΓΖ ita erit rectangulum ΑΕΔ ad rectangulum ΑΖΔ. quod erat demonstrandum. & hæc in ellipsi contingere demonstratum est in Conicis, theoremate vigesimo primo.

ἀπὸ τῆς ΒΕ πρὸς τὸ ἀπὸ τῆς ΓΖ οὕτως τὸ ὑπὸ τῶν ΑΕΔ πρὸς τὸ ὑπὸ τῶν ΑΖΔ. ὃ προέκειτο δεῖξαι. καὶ ταῦτα δέδεικται ἐπὶ τῆς ἐλλείψεως ἐν τοῖς κωνικοῖς θεωρήματι κα΄.



Ex aliis quidem multis sectiones easdem esse ostendere possumus, per eà quæ ipsis communiter accidunt; verum principaliora accidentia fere jam dicta sunt. & cum hucusque progressus fuerim, non ad me attinet, eorum quæ restant singula persequentem, in alienis versari: necesse est enim eum, qui de ellipsi subtiliter disserere velit, in medium afferre quæcunque de ipsa ab *Apollonio Pergæo* conscripta sunt. sed si cui forte lubeat rem ulterius contemplari, licebit hæc comparare cum iis quæ in primo Conicorum libro traduntur; & exinde propositi veritatem confirmare: etenim quæcunque in illis contingunt circa coni sectionem ellipsin vocatam, eadem & circa sectionem cylindri contingere, ex iis quæ hoc loco demonstrata sunt, facile inveniet. quare ab his abstinens, cum lemmatia nonnulla apposuero, quæ sectiones plane easdem esse ostendunt, ad alia me convertam.

Ἔστι μὲν οὖν δι᾽ ἑτέρων πλείστων ἐπιδεῖξαι τὴν ταυτότητα τῶν τομῶν διὰ τῶν κοινῇ συμβαινόντων αὐταῖς· οὐ μὴν ἀλλὰ τά γε ἀρχικώτερα τῶν συμπτωμάτων εἴρηται σχεδόν. ἐπεί τοι μέχρι τοῦδε προαχθείσης τῆς θεωρίας, οὐκ ἐμοὶ ἥκει, τἀντεῦθεν ἐπὶ τῶν λοιπῶν ἕκαστα δείξαντι, τοῖς ἀλλοτρίοις ἐνδιατρίβειν· ἀνάγκη γάρ που λεπτολογοῦντα περὶ ἐλλείψεως ἐπεισκυκλῆσαι καὶ τὰ τῷ Περγαίῳ Ἀπολλωνίῳ τεθεωρημένα περὶ αὐτῆς. ἀλλ᾽ ὅτῳ φίλον δὴ περαιτέρω σκοπεῖν, ταῦτα παραθέντι τοῖς ἐν τῷ πρώτῳ τῶν κωνικῶν εἰρημένοις, ἔξεστι αὐτῷ δι᾽ αὐτοῦ βεβαιῶσαι τὸ προκείμενον· ὅσα γὰρ ἐν ἐκείνοις περὶ τὴν τοῦ κώνου τομὴν συμβαίνοντα, τὴν καλουμένην ἔλλειψιν, τοσαῦτα καὶ περὶ τὴν τοῦ κυλίνδρου τομὴν ἐκ τῶν ἐνταῦθα προδεδειγμένων εὑρήσει συμβαίνοντα. διόπερ τούτου μὲν ἀποστάς, ὀλίγα δὲ ἄττα λημμάτια προσθείς, δι᾽ ὧν καὶ αὐτῶν ἐνδείκνυται πῶς ἡ τῶν τομῶν ταυτότης, ἐπ᾽ ἄλλο τι τρέψομαι.

Prop. XIX. *Theor.*

Itaque dico fieri posse, ut conum simul & cylindrum una eademque ellipsi sectos ostendamus.

ΠΡΟΤΑΣΙΣ ιθ΄.

Λέγω τοίνυν ὅτι δυνατόν ἐστι δεῖξαι κῶνον ὁμοῦ καὶ κύλινδρον μιᾷ καὶ τῇ αὐτῇ τεμνομένους ἐλλείψει.

Consttruatur triangulum scalenum ΑΒΓ super basim ΒΓ, quæ bifariam secetur in Δ; sitque ΑΒ major quam ΑΓ; & ad rectam lineam ΓΑ ad Α punctum constituatur angulus ΓΑΕ, qui vel major sit angulo ΑΒΓ, vel minor; occurrat autem ΑΕ ipsi ΒΓΕ in puncto Ε; & inter ΒΕ, ΕΓ media proportionalis sit ΕΖ; junctaque ΑΖ, ducatur in triangulo recta ΘΗ ipsi ΑΕ parallela; & per puncta Θ, Η ducantur ΘΚ, ΛΗΜ parallelæ ipsi ΑΖ, & compleatur parallelogrammum ΚΜ; deinde, juxta rectam ΒΕ ducto plano ad rectos angulos super planum ΒΑΕ, describatur in eo, circa diametrum quidem ΚΛ, circulus ΚΝΛ, qui cylindri basis erit cujus parallelogrammum per axem est ΚΜ; circa diametrum vero ΒΓ descri-



Ἐκκείσθω τρίγωνον σκαληνὸν τὸ ΑΒΓ ἐπὶ τῆς ΒΓ βάσεως δίχα τετμημένης κατὰ τὸ Δ, καὶ μείζων ἔστω ἡ ΑΒ τῆς ΑΓ, καὶ πρὸς τῇ ΓΑ εὐθείᾳ καὶ τῷ Α σημείῳ συνεστάτω γωνία ἡ ὑπὸ τῶν ΓΑ, ΑΕ, ἢ μείζων ἢ ἐλάττων τῆς ΑΒΓ γωνίας, καὶ συμπιπτέτω ἡ ΑΕ τῇ ΒΓΕ κατὰ τὸ Ε, καὶ τῶν ΒΕ, ΕΓ μέση ἀνάλογον ἔστω ἡ ΕΖ, καὶ ἐπεζεύχθω ἡ ΑΖ, καὶ τῇ ΑΕ παράλληλος ἐν τῷ τριγώνῳ διήχθω ἡ ΘΗ, καὶ διὰ τῶν Θ, Η σημείων τῇ ΑΖ παράλληλοι ἤχθωσαν αἱ ΘΚ, ΛΗΜ, καὶ συμπεπληρώσθω τὸ ΚΜ παραλληλόγραμμον· καὶ διὰ τῆς ΒΕ ἀχθέντος ἐπιπέδου πρὸς ὀρθὰς τῷ ΒΑΕ ἐπιπέδῳ, γεγράφθω ἐν τῷ ἀχθέντι, περὶ μὲν τὴν ΚΛ διάμετρον, ὁ ΚΝΛ κύκλος, βάσις ἐσόμενος κυλίνδρου οὗ τὸ διὰ τοῦ ἄξονος παραλληλόγραμμόν ἐστι τὸ ΚΜ· περὶ δὲ τὴν ΒΓ διάμετρον

διάμετρον ὁ ΒΞΓ κύκλος, βάσις ἐσόμενος κώνου οὗ τὸ διὰ τοῦ ἄξονος τρίγωνόν ἐστι τὸ ΑΒΓ· καὶ τῆς ΘΗ ἐκβληθείσης ἐπὶ τὸ Ο, ἤχθω πρὸς ὀρθὰς τῇ ΒΕ ἡ ΟΠ, ἐν τῷ τῶν κύκλων ἐπιπέδῳ οὖσα, καὶ ἤχθω διὰ τῶν ΟΠ, ΟΘ εὐθειῶν ἐπίπεδον· ποιήσει δὴ τομὴν ἐν τῷ κώνῳ τῷ ἐπὶ τῆς ΒΞΓ βάσεως. ποιείτω τὴν ΘΡΗ· ἡ ΘΗ ἄρα εὐθεῖα διάμετρός ἐστι τῆς τομῆς. τῆς οὖν ΘΗ δίχα τμηθείσης κατὰ τὸ Σ, κατήχθωσαν τεταγμένως ἐπ᾿ αὐτήν, δευτέρα μὲν διάμετρος ἡ ΡΣΤ, τυχοῦσα δὲ ἡ ΥΦ, καὶ γενέσθω ὡς τὸ ἀπὸ τῆς ΘΗ διαμέτρου τῆς ΘΡΗ τομῆς πρὸς τὸ ἀπὸ τῆς ΡΤ δευτέρας διαμέτρου τῆς αὐτῆς τομῆς, οὕτως ἡ ΘΗ πλαγία τοῦ εἴδους πλευρὰ πρὸς τὴν ΘΧ ὀρθίαν.

batur circulus ΒΞΓ, pro base coni cujus triangulum per axem sit ΑΒΓ; &, protractâ ΘΗ ad Ο, ducatur in circulorum plano recta ΟΠ ad rectos angulos ipsi ΒΕ; perque ΟΠ, ΟΘ ducatur planum: faciet igitur sectionem in cono cujus basis circulus ΒΞΓ. sit autem ea sectio ΘΡΗ; recta igitur ΘΗ diameter est sectionis. eâ ideo bifariam divisâ in Σ, ad ipsam ordinatim applicetur secunda diameter ΡΣΤ, & alia quævis ΥΦ; fiatque ut quadratum ex ΘΗ diametro sectionis ΘΡΗ, ad quadratum ex ΡΤ secundâ diametro ejusdem sectionis, ita ΗΘ transversum figuræ latus ad rectum ΘΧ.

Ἐπεὶ οὖν ἡ μὲν ΘΚ τῇ ΑΖ παράλληλός ἐστιν, ἡ δὲ ΘΟ τῇ ΑΕ· ὡς ἄρα τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ἀπὸ τῆς ΕΖ οὕτως τὸ ἀπὸ τῆς ΘΟ πρὸς τὸ ἀπὸ τῆς ΚΟ. ἀλλ᾿ ὡς μὲν τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ὑπὸ τῶν ΒΕ, ΕΓ * οὕτως τὸ ἀπὸ τῆς ΘΗ διαμέτρου τῆς τοῦ κώνου τομῆς πρὸς τὸ ἀπὸ τῆς ΡΤ δευτέρας διαμέτρου τῆς αὐτῆς τομῆς· ὡς δὲ τὸ ἀπὸ τῆς ΘΟ πρὸς τὸ ἀπὸ τῆς ΟΚ οὕτως τὸ ἀπὸ τῆς ΘΗ πρὸς τὸ ἀπὸ τῆς ΚΛ, τουτέστιν οὕτως τὸ ἀπὸ τῆς ΗΘ διαμέτρου τῆς τοῦ κυλίνδρου τομῆς πρὸς τὸ ἀπὸ τῆς δευτέρας διαμέτρου τῆς τοῦ κυλίνδρου τομῆς, ὡς ἐδείχθη πρότερον· ἡ ἄρα δευτέρα διάμετρος τῆς τοῦ κυλίνδρου τομῆς ἴση ἐστὶ τῇ ΡΤ δευτέρᾳ διαμέτρῳ τῆς τοῦ κώνου τομῆς. καὶ ἔστιν ἡ διχοτομία τῆς ΘΗ κατὰ τὸ Σ, καὶ πρὸς ὀρθὰς ἄγεται τῇ ΘΗ δευτέρα διάμετρος τῆς τοῦ κυλίνδρου τομῆς, ὥσπερ καὶ ἡ ΡΤ· ἡ ἄρα ΡΤ δευτέρα διάμετρός ἐστι τοῦ τε κώνου καὶ τῆς τοῦ κυλίνδρου τομῆς. ὁμοίως δὲ ἡ ΘΗ διάμετρός ἐστι τῆς τοῦ κώνου καὶ τῆς τοῦ κυλίνδρου τομῆς· τὸ Ρ ἄρα σημεῖον ἐπὶ τῆς κωνικῆς ἐπιφανείας καὶ ἐπὶ τῆς τοῦ κυλίνδρου ἐπιφανείας ἐστί. πάλιν ἐπεὶ ἐν ταῖς τομαῖς τοῦ τε κώνου καὶ τοῦ κυλίνδρου αἱ αὐταί εἰσι διάμετροι, ἥ τε ΘΗ καὶ ἡ ΡΤ· καὶ ἡ τρίτη ἄρα ἀνάλογον ἡ αὐτή, τουτέστιν ἡ ΘΧ ὀρθία τοῦ εἴδους πλευρά· ἡ ἄρα ΘΧ καὶ ἐπὶ τῆς κυλίνδρου τομῆς ὀρθία ἐστὶ τοῦ εἴδους πλευρά. ἐπεὶ οὖν ὡς ἡ ΘΗ πρὸς τὴν ΘΧ οὕτως τὸ ὑπὸ τῶν ΗΦ, ΦΘ πρὸς τὸ ἀπὸ τῆς ΦΥ· ἐδείχθη δὲ καὶ ἐπὶ τῆς τοῦ κυλίνδρου τομῆς, ὡς ἡ πλαγία τοῦ εἴδους πλευρὰ πρὸς τὴν ὀρθίαν οὕτως τὸ ὑπὸ τῶν τμημάτων τῆς διαμέτρου πρὸς τὸ ἀπὸ τῆς κατηγμένης ἐπ᾿ αὐτὴν τεταγμένως καὶ ποιούσης τὰ τμήματα· καὶ ἐπὶ τῆς τοῦ κυλίνδρου ἄρα τομῆς ὡς ἡ ΘΗ πλαγία τοῦ εἴδους πλευρὰ πρὸς τὴν ΘΧ ὀρθίαν οὕτως τὸ ὑπὸ τῶν ΗΦ, ΦΘ πρὸς τὸ ἀπὸ τῆς ἴσης τῇ ΥΦ καὶ πρὸς ἴσας γωνίας ἀγομένης ἐπὶ τὴν ΘΗ. ἀλλ᾿ ἡ ἴση τῇ ΥΦ καὶ πρὸς ἴσας γωνίας ἐπὶ τὴν αὐτὴν ἀγομένη κατὰ τὸ Φ οὐχ ἑτέρα ἐστὶ τῆς ΥΦ· ἡ ἄρα ΦΥ καὶ ἐν τῇ τοῦ κυλίνδρου ἐστὶ τομῇ· τὸ ἄρα Υ σημεῖον, ἐπὶ τῆς τοῦ κώνου ἐπιφανείας ὄν, καὶ ἐπὶ τοῦ κυλίνδρου ἐστὶν ἐπιφανείας. ὁμοίως δὲ δείκνυται, κἂν ὁσασοῦν ὁμοίως τεταγμένως ἀγάγωμεν· ἡ ΘΡΗ ἄρα γραμμὴ ἐν ταῖς ἐπιφανείαις ἐστὶν ἀμφοτέρων τῶν σχημάτων· ἡ ΘΡΗ ἄρα τομὴ μία καὶ αὐτὴ ἐν ἀμφοτέροις ἐστὶ τοῖς σχήμασι. καὶ ἐπεὶ κατεσκευάσθη ἡ ὑπὸ ΓΑ, ΑΕ γωνία, τουτέστιν ἡ ὑπὸ ΑΗ, ΗΘ, ἤτοι μείζων ἢ ἐλάττων οὖσα

Quoniam igitur ΘΚ quidem ipsi ΑΖ parallela est, ΘΟ vero ipsi ΑΕ: erit ut quadratum ex ΑΕ ad quadratum ex ΕΖ ita quadratum ex ΘΟ ad quadratum ex ΚΟ. sed ut quadratum ex ΑΕ ad rectangulum ΒΕΓ * ita quadratum ex ΘΗ diametro sectionis coni ad quadratum ex ΡΤ secundâ diametro ejusdem sectionis; ut autem quadratum ex ΘΟ ad quadratum ex ΟΚ ita quadratum ex ΘΗ ad quadratum ex ΚΛ, hoc est, ita quadratum ex ΘΗ diametro sectionis cylindri ad quadratum secundæ diametri ejusdem cylindri sectionis, sicut demonstratum est superius: quare secunda diameter sectionis cylindri æqualis est ipsi ΡΤ secundæ diametro sectionis coni. dividiturque ΘΗ bifariam in puncto Σ, & ipsi ad rectos angulos ducitur secunda diameter sectionis cylindri, quemadmodum & ipsa ΡΤ: ergo ΡΤ secunda diameter est sectionis tum coni tum cylindri. similiter & ΘΗ est diameter sectionis coni & cylindri: & propterea punctum Ρ & in coni & in cylindri superficie erit. rursus quoniam in sectionibus coni & cylindri eædem diametri sunt ΘΗ, ΡΤ, tertia etiam proportionalis eadem erit; hoc est ΘΧ rectum latus figuræ sectionis coni: quare ΘΧ & in cylindri sectione rectum est figuræ latus. quoniam igitur ut ΘΗ ad ΘΧ ita rectangulum ΗΦΘ ad quadratum ex ΦΥ; atque ostensum est in cylindri sectione, ut transversum figuræ latus ad rectum ita rectangulum sub diametri partibus contentum ad quadratum ejus quæ ad ipsam ordinatim applicata partes efficit: erit & in cylindri sectione ut ΘΗ transversum figuræ latus ad ΘΧ rectum ita rectangulum ΗΦΘ ad quadratum rectæ ipsi ΥΦ æqualis & sub angulis æqualibus ad ipsam ΘΗ ductæ. sed recta, æqualis ipsi ΥΦ & sub æqualibus angulis cum ipsa ΘΗ ad punctum Φ occurrens, non alia est quam ipsa ΥΦ; ergo ΦΥ & in cylindri sectione erit: ac propterea punctum Υ, in coni superficie existens, in cylindri etiam erit superficie. simili modo demonstratio fiet & in aliis, quæ ad ipsam ordinatim applicabuntur; linea igitur ΘΡΗ in superficiebus utriusque figuræ continetur: quare ΘΡΗ una eademque sectio est in utraque figura. præterea quoniam angulus ΓΑΕ, hoc est, angulus ΑΗΘ, factus est vel major vel minor angulo qui ad Β, se-

* Hoc est ad quadratum ex ΒΖ, per constructionem.

ctio

ctio non erit subcontraria; ideoque sectio ΘΡΗ non est circulus; ellipsis igitur est: quare sectio coni expositi ac cylindri eadem ellipsis erit. quod erat demonstrandum.

τῆς πρὸς τῷ Β· ἡ ἄρα τομὴ οὐκ ἔστιν ὑπεναντία· ἡ ΘΡΗ ἄρα τομὴ οὐκ ἔστι κύκλος· ἔλλειψις ἄρα ἐστὶν· καὶ τοῦ κώνου ἄρα τοῦ ἐκκειμένου καὶ τοῦ κυλίνδρου τομὴ ἡ αὐτὴ ἔλλειψίς ἐστιν. ὅπερ ἔδει δεῖξαι.

Prop. XX. *Probl.*

Cono dato & in eo ellipsi; invenire cylindrum eadem ellipsi sectum, quâ conus sectus est.

SIT datus conus, cujus per axem triangulum sit ΑΒΓ; & data in ipso ellipsis cujus diameter ΖΕ: protrahatur ea ad Δ, & ipsi ΖΔ parallela ducatur ΑΜ occurrens ipsi ΒΔ protractæ ad Μ; interque ΒΜ, ΜΓ media proportionalis sit ΜΗ; &, junctâ ΑΗ, per puncta Ζ, Ε ducantur ΖΘ, ΚΕΛ parallelæ ipsi ΑΗ; & compleatur parallelogrammum ΘΛ. itaque si concipiamus cylindrum, cujus basis quidem sit circulus circa diametrum ΘΚ, parallelogrammum vero per axem ΘΛ: erit & in ipso cylindro sectio, cujus diameter ΖΕ. & simili modo, atque in antecedenti theoremate, demonstrabimus secundam diametrum eandem esse, easdemq; omnes quæ ad diametrum ordinatim applicantur: inventus igitur est cylindrus, quæ secatur eadem ellipsi qua conus datus. quod erat faciendum.



ΠΡΟΤΑΣΙΣ κ′.

Κώνου δοθέντος καὶ ἐλλείψεως ἐν αὐτῷ· εὑρεῖν κύλινδρον τεμνόμενον τῇ αὐτῇ ἐλλείψει τῷ κώνῳ.

ΕΣΤΩ ὁ δοθεὶς κῶνος, οὗ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ, ἡ δὲ δοθεῖσα ἐν αὐτῷ ἔλλειψις ἧς διάμετρος ἡ ΖΕ, ἥτις ἐκβεβλήσθω ἐπὶ τὸ Δ, καὶ παράλληλος ἔστω τῇ ΖΔ ἡ ΑΜ συμπίπτουσα τῇ ΒΔ ἐκβληθείσῃ κατὰ τὸ Μ, καὶ τῶν ΒΜ, ΜΓ μέση ἀνάλογον ἔστω ἡ ΜΗ, καὶ ἐπεζεύχθω ἡ ΑΗ, καὶ διὰ τῶν Ζ καὶ Ε σημείων τῇ ΑΗ παράλληλοι ἤχθωσαν αἱ ΖΘ, ΚΕΛ, καὶ συμπεπληρώσθω τὸ ΘΛ παραλληλόγραμμον. ἐὰν δὴ νοήσωμεν κύλινδρον, οὗ βάσις μὲν ὁ περὶ διάμετρον τὴν ΘΚ κύκλος, τὸ δὲ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΘΛ, ἔσται καὶ ἐν τῷ κυλίνδρῳ τομὴ ἧς διάμετρός ἐστιν ἡ ΖΕ. ὁμοίως δὲ τῷ πρὸ τούτου θεωρήματι δειχθήσεται καὶ ἡ δευτέρα διάμετρος ἡ αὐτὴ οὖσα, καὶ πᾶσαι αἱ τεταγμένως ἀγόμεναι· εὕρηται ἄρα κύλινδρος, ὃς τέμνεται τῇ δοθείσῃ ἐλλείψει τοῦ δοθέντος κώνου. ὅπερ ἔδει ποιῆσαι.

Prop. XXI. *Probl.*

Cylindro dato & in eo ellipsi; invenire conum eadem ellipsi sectum qua cylindrus sectus est.

EXPONATUR seorsum recta linea ΑΒ, & in ea sumatur quodvis punctum Δ, fiatque ut ΑΒ ad ΒΔ ita ΒΔ ad ΒΓ, ut autem

ΠΡΟΤΑΣΙΣ κα′.

Κυλίνδρου δοθέντος καὶ ἐλλείψεως ἐν αὐτῷ· εὑρεῖν κῶνον τεμνόμενον τῇ αὐτῇ ἐλλείψει τῷ κυλίνδρῳ.

ΕΚΚΕΙΣΘΩ ἔξωθεν εὐθεῖά τις ἡ ΑΒ, καὶ τυχὸν σημεῖον ἐπ᾽ αὐτῆς τὸ Δ, καὶ γενέσθω ὡς μὲν ἡ ΑΒ πρὸς τὴν ΒΔ οὕτως ἡ ΒΔ πρὸς τὴν ΒΓ, ὡς δὲ





ΑΒ ad ΒΓ ita ΑΔ ad ΔΕ, & à punctis Ε, Δ, Γ attollantur rectæ lineæ ΕΖ, ΔΗ, ΓΘ, quæ

ἡ ΑΒ πρὸς τὴν ΒΓ οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΕ, καὶ ἀπὸ μὲν τῶν Ε, Δ, Γ σημείων τῇ ΑΒ εὐθείᾳ πρὸς οἵαν δή-

ποτε

τὰς γωνίαν, ἐφεστάτωσαν εὐθεῖαι παράλληλοι ἀλλήλαις αἱ ΕΖ, ΔΗ, ΓΘ, διὰ δὲ τοῦ Γ ἤχθω τις εὐθεῖα τέμνουσα τὰς ΕΖ, ΔΗ ἡ ΓΚ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΚ συμπιπτέτω τῇ ΔΗ κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΗΒ.

Τούτων οὕτως ἰδίᾳ κατασκευασθέντων, ἔστω ὁ δοθεὶς κύλινδρος, οὗ τὸ διὰ τοῦ ἄξονος παραλληλόγραμμόν ἐστι τὸ ΛΜ, τῆς δὲ δοθείσης ἐν αὐτῷ ἐλλείψεως διάμετρος ἔστω ἡ ΝΞ, καὶ τετμήσθω ἡ ΛΞ βάσις τοῦ παραλληλογράμμου ὁμοίως τῇ ΕΓ, ἵν᾽ ἡ ὡς ἡ ΕΔ πρὸς τὴν ΔΓ οὕτως ἡ ΛΟ πρὸς τὴν ΟΞ· ἔτι γενέσθω ὡς μὲν ἡ ΕΓ πρὸς τὴν ΓΒ οὕτως ἡ ΛΞ πρὸς τὴν ΞΠ, ὡς δὲ ἡ ΓΕ πρὸς ΕΑ οὕτως ἡ ΞΛ πρὸς τὴν ΛΡ, καὶ διὰ τοῦ Ο ἤχθω παράλληλος ταῖς τοῦ παραλληλογράμμου πλευραῖς ἡ ΟΣ, ἡ δὲ ἐπιζευχθεῖσα ἡ ΡΝ συμπιπτέτω τῇ ΟΣ κατὰ τὸ Σ, καὶ ἐπεζεύχθωσαν αἱ ΣΠ, ΣΞ. ἐπεὶ οὖν ἡ ΡΠ εὐθεῖα ὁμοίως τῇ ΑΒ τέτμηται, ἔστιν ἄρα καὶ ὡς μὲν ἡ ΡΠ πρὸς τὴν ΠΟ οὕτως ἡ ΟΠ πρὸς τὴν ΠΞ, ὡς δὲ ἡ ΡΠ πρὸς τὴν ΠΞ οὕτως ἡ ΡΟ πρὸς τὴν ΟΛ, τουτέστιν οὕτως ἡ ΡΣ πρὸς τὴν ΣΝ· παράλληλος ἄρα τῇ ΝΞ ἡ ΣΠ. ἐὰν δὴ νοήσωμεν κῶνον, οὗ βάσις ὁ περὶ διάμετρον ΡΞ κύκλος, τὸ δὲ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΣΡΞ, ἔσται καὶ ἐν τῷ κώνῳ τομή, ἧς διάμετρός ἐστιν ἡ ΝΞ. ὁμοίως δὲ τοῖς προδεδειγμένοις δειχθήσεται καὶ ἡ δευτέρα διάμετρος ἡ αὐτὴ οὖσα, καὶ πᾶσαι αἱ τεταγμέναι· τέτμηται ἄρα καὶ ὁ κῶνος τῇ αὐτῇ ἐλλείψει τοῦ δοθέντος κυλίνδρου. ὅπερ ἔδει ποιῆσαι.

cum ipsa AB quemlibet angulum contineant: & sint inter sese parallelæ; deinde per Γ ducatur recta linea ΓK secans ipsas EZ, ΔH; junctaque AK conveniat cum ΔH in puncto H, & jungatur HB. *

His igitur seorsum in hunc modum præparatis, sit datus cylindrus cujus parallelogrammum per axem ΛM, & datæ in eo ellipseos diameter sit NΞ; seceturque ΛΞ basis parallelogrammi in eadem ratione, in qua secta est EΓ, ita ut sit EΔ ad ΔΓ sicut ΛO ad OΞ: rursus fiat ut EΓ ad ΓB ita ΛΞ ad ΞΠ, atque ut ΓE ad EA ita ΞΛ ad ΛP; & per O ducatur OΣ parallela ipsius parallelogrammi lateribus; ductaque PN conveniat cum OΣ in Σ, & jungantur ΣΠ, ΣΞ. quoniam igitur recta linea PΠ similiter secta est atque ipsa AB; erit ut PΠ ad ΠO ita OΠ ad ΠΞ. sed & ut PΠ ad ΠΞ ita PO ad OΛ, hoc est, ita PΣ ad ΣN: parallela est igitur ΣΠ ipsi NΞ. quod si concipiamus conum, cujus quidem basis sit circulus circa diametrum PΞ, triangulum vero per axem ΣPΞ; erit etiam in eo sectio cujus diameter NΞ. eodemque modo quo supra, demonstrabitur & secundam diametrum eandem esse, omnesque ad diametrum ordinatim applicatas easdem: conus igitur sectus est eadem ellipsi qua datus cylindrus. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ κϐ΄.

Κώνου δοθέντος εὑρεῖν κύλινδρον, καὶ τεμεῖν ἀμφοτέρους ἑνὶ ἐπιπέδῳ, διὰ τῆς τομῆς ποιοῦντι ἐν ἑκατέρῳ ὁμοίας ἐλλείψεις.

ΔΕΔΟΣΘΩ κῶνος, οὗ βάσις μὲν ὁ περὶ τὸ Α κέντρον κύκλος, κορυφὴ δὲ τὸ Β σημεῖον, τὸ δὲ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΓΒΔ, πρὸς ὀρθὰς ὂν τῇ βάσει τοῦ κώνου· καὶ ἐκβεβλήσθω ἐφ᾽ ἑκάτερα ἡ ΑΓΕ, ΑΔΖ, καὶ πρὸς τῇ ΔΒ καὶ πρὸς τῷ ἐν αὐτῇ σημείῳ τῷ Β συνεστάτω ἡ ὑπὸ τῶν ΔΒ, ΒΖ γωνία, ἤτοι μείζων οὖσα τῆς ὑπὸ ΒΓΔ ἢ ἐλάσσων· καὶ τῶν ΓΖ, ΖΔ μέση ἀνάλογον εἰλήφθω ἡ ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΒΗ. τοῦ δὲ ζητουμένου κυλίνδρου βάσις ἔστω ἤτοι ὁ Α κύκλος, ἢ καὶ ἄλλος τις ἐν τῷ αὐτῷ ἐπιπέδῳ τῷ Α κύκλῳ, οὐδὲν γὰρ διοίσει. ἔστω δὴ ὁ περὶ τὴν ΕΘ διάμετρον, καὶ διὰ τῶν Ε, Θ σημείων παράλληλοι τῇ ΒΗ εὐθείᾳ ἤχθωσαν αἱ ΕΚ, ΘΛ· ἐν τῷ



PROP. XXII. *Probl.*

Cono dato invenire cylindrum, & utrumque eodem plano secare, ita ut sectiones faciat in utrisque ellipses similes.

SIT conus datus, cujus basis quidem circulus circa centrum A, vertex punctum B, triangulum vero per axem ΓBΔ ad basim coni rectum; producaturque in utramque partem AΓE, AΔZ; ac ad rectam lineam ΔB & ad punctum B constituatur angulus ΔBZ vel major vel minor ipso BΓΔ; atque inter ΓZ, ZΔ media proportionalis sumatur ZH, & jungatur BH; cylindri autem quæsiti basis sit vel circulus A, vel alius aliquis in eodem plano quo circulus A existens; nihil enim differt. itaque sit is circulus circa diametrum EΘ; & per puncta E, Θ ipsi BH parallelæ ducantur EK, ΘΛ: eodem igitur plano sunt in quo triangulum

* *Hoc loco desunt nonnulla in hunc sensum*: Et per jam ostensa, ΓK diameter erit ellipseos, communis nempe sectionis tam coni cujus basis est circulus diametro AΓ ac vertex H, quam cylindri cujus basis est ΓB & planum per axem ZEΓΘ; sive cylindrus rectus fuerit, sive sub quolibet angulo scalenus.

ΓBΔ.

ΓΒΔ. & quoniam ΒΖ secat ΒΗ, si producatur, secabit etiam omnes, quæ ipsi ΒΗ parallelæ sunt, in infinitum productas: ac proinde ipsi ΒΖ parallelæ secabunt eas quæ rectæ ΒΗ parallelæ sunt. ducatur igitur ΜΝ ipsi ΒΖ parallela, quæ producta secet ΘΛ, ΕΚ in punctis Ξ, Ο; ipsi vero ΕΘ parallela ducatur ΚΛ; & circa diametrum ΚΛ describatur circulus æquidistans ei qui est circa ΕΘ: concipietur itaque cylindrus, cujus bases quidem circuli ΕΘ, ΚΛ, parallelogrammum vero per axem ΚΘ, quod ad basim rectum sit. si igitur per Μ ducatur recta ΜΡ ad rectos angulos ipsi ΓΔΖ, quæque sit in eodem plano in quo circulus Α; & per rectas ΜΡ, ΜΟ planum ducatur: faciet illud sectionem in cono quidem ellipsim ΝΣΤ, cujus diameter ΝΤ; in cylindro vero ellipsim ΟΦΞ, cujus diameter ΟΞ: dico ellipsim ΝΣΤ ipsi ΟΦΞ similem esse.



Quoniam enim ΟΜ, ΒΖ parallelæ sunt inter se, itemque parallelæ ΕΚ, ΘΛ, ΒΗ, & recta ΕΖ communiter omnes secat; erit ut ΜΟ ad ΜΕ, hoc est ut ΟΞ ad ΘΕ, ita ΒΖ ad ΖΗ: quare ut quadratum ex ΟΞ ad quadratum ex ΘΕ, ita quadratum ex ΒΖ ad quadratum ex ΖΗ, hoc est ad rectangulum ΓΖΔ [per constructionem.] sed ut quadratum ex ΟΞ ad quadratum ex ΘΕ ita quadratum diametri ΟΞ ad quadratum conjugatæ diametri, videlicet ipsius ΦΧ. ut autem quadratum ex ΒΖ ad rectangulum ΓΖΔ ita [per 15. 1. conic.] quadratum diametri ΝΤ ad quadratum conjugatæ diametri ΣΩ: ergo ut quadratum ex ΟΞ ad quadratum ex ΦΧ ita quadratum ex ΝΤ ad quadratum ex ΣΩ; ac propterea ut ΟΞ ad conjugatam ΦΧ ita ΝΤ ad diametrum conjugatam ΣΩ. at vero diametrum ΟΞ secare ΦΧ ad rectos angulos, itemque ΝΤ similiter secare ΣΩ, manifeste apparet; quia ipsas ΦΧ, ΩΣ, & inter sese & ipsi ΜΡ parallelas, recta linea ΜΟ ad rectos angulos secat: sectio igitur ΟΦΞ similis est sectioni ΝΣΤ. neutra autem earum est circulus, quippe quia sectio subcontraria non sit; angulus enim ΔΒΖ, videlicet ΒΤΝ, non est æqualis angulo ΒΓΔ: quocirca utraque sectionum ΟΦΞ, ΝΣΤ ellipsis est, suntque similes inter sese. quod erat faciendum.

αὐτῷ ἄρα εἰσὶν ἐπιπέδῳ τῷ ΓΒΔ τριγώνῳ. καὶ ἐπεὶ ἡ ΒΖ τέμνει τὴν ΒΗ, ἡ ΒΖ ἄρα ἐκβαλλομένη πάσας τὰς τῇ ΒΗ παραλλήλους ἐπ' ἄπειρον ἐκβαλλομένας τέμνει· καὶ αἱ παράλληλοι οὖν τῇ ΒΖ πάσας τὰς τῇ ΒΗ παραλλήλους τέμνουσιν. ἤχθω τῇ ΒΖ παράλληλος ἡ ΜΝ, καὶ ἐκβληθεῖσα τεμνέτω τὰς ΘΛ, ΕΚ κατὰ τὰ Ξ, Ο σημεῖα, καὶ τῇ ΕΘ παράλληλος ἤχθω ἡ ΚΛ, καὶ περὶ τὴν ΚΛ διάμετρον κύκλος παράλληλος τῷ περὶ τὴν ΕΘ· νοείσθω δὴ κύλινδρος, οὗ βάσεις μὲν οἱ ΕΘ, ΚΛ κύκλοι, τὸ δὲ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΚΘ δηλονότι, καὶ αὐτὸ πρὸς ὀρθὰς ὂν τῇ βάσει. καὶ ἐὰν διὰ τοῦ Μ τῇ ΓΔΖ πρὸς ὀρθὰς ἀγάγωμεν τὴν ΜΡ, ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαν τῷ Α κύκλῳ, καὶ διὰ τῶν ΜΡ, ΜΟ ἐκβάλλωμεν ἐπίπεδον, ποιήσει ἐν μὲν τῷ κώνῳ τὴν ΝΣΤ ἔλλειψιν, ἐν δὲ τῷ κυλίνδρῳ τὴν ΟΦΞ, διάμετροι δὲ τῆς μὲν ἡ ΝΤ, τῆς δὲ ἡ ΟΞ. λέγω δὴ ὅτι ἡ ΝΣΤ ἔλλειψις τῇ ΟΦΞ ἐλλείψει ὁμοία ἐστίν.

Ἐπεὶ γὰρ αἱ ΟΜ, ΒΖ παράλληλοί εἰσιν ἀλλήλαις· ἀλλὰ καὶ αἱ ΕΚ, ΘΛ, ΒΗ παράλληλοι ἀλλήλαις, κοινὴ δὲ ἡ ΕΖ τέμνει· ἔστιν ἄρα ὡς ἡ ΜΟ πρὸς τὴν ΜΕ, τουτέστιν ὡς ἡ ΟΞ πρὸς τὴν ΘΕ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΖΗ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΟΞ πρὸς τὸ ἀπὸ τῆς ΘΕ οὕτως τὸ ἀπὸ τῆς ΒΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ, τουτέστι πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ τῆς ΟΞ πρὸς τὸ ἀπὸ τῆς ΘΕ οὕτως τὸ ἀπὸ τῆς ΟΞ διαμέτρου πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου, φέρε τῆς ΦΧ. ὡς δὲ τὸ ἀπὸ τῆς ΒΖ πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ οὕτως τὸ ἀπὸ τῆς ΝΤ διαμέτρου πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου, φέρε τῆς ΣΩ· ὡς ἄρα τὸ ἀπὸ τῆς ΟΞ πρὸς τὸ ἀπὸ τῆς ΦΧ οὕτως τὸ ἀπὸ τῆς ΝΤ πρὸς τὸ ἀπὸ τῆς ΣΩ· καὶ ὡς ἡ ΟΞ ἄρα πρὸς τὴν ΦΧ συζυγῆ διάμετρον οὕτως καὶ ἡ ΝΤ πρὸς τὴν ΣΩ συζυγῆ διάμετρον. ὅτι δὲ καὶ πρὸς ἴσας γωνίας τέμνουσιν, ἥτε ΟΞ τὴν ΦΧ, καὶ ἡ ΝΤ τὴν ΣΩ, δῆλον· τὰς γὰρ ΦΧ, ΩΣ, παραλλήλους οὔσας ἀλλήλαις τε καὶ τῇ ΜΡ, ἡ ΜΟ τέμνει· ἡ ἄρα ΟΦΞ τομὴ τῇ ΝΣΤ τομῇ ὁμοία ἐστί. καὶ οὐκ ἔστι κύκλος οὐδετέρα αὐτῶν, διὰ τὸ μὴ ὑπεναντίαν εἶναι τὴν τομὴν τῆς ὑπὸ τῶν ΔΒΖ γωνίας, τουτέστι τῆς ὑπὸ τῶν ΒΤΝ, ἀνίσου οὔσης τῇ ὑπὸ τῶν ΒΓ, ΓΔ· ἔλλειψις ἄρα ἐστὶν ἑκατέρα τῶν ΟΦΞ, ΝΣΤ τομῶν, καί εἰσιν ὅμοιαι ἀλλήλαις. ὅπερ ἔδει ποιῆσαι.

Prop. XXIII. *Probl.*

Cylindro dato invenire conum, & utrosque eodem plano secare, ita ut sectiones faciat in utrisque ellipses similes.

ΠΡΟΤΑΣΙΣ κγ'.

Κυλίνδρου δοθέντος εὑρεῖν κῶνον, καὶ τεμεῖν ἀμφοτέρους ἑνὶ ἐπιπέδῳ, ποιοῦντι διὰ τῆς τομῆς ἐν ἑκατέρῳ ὁμοίας ἐλλείψεις.

ΔΕΔΟ-

ΔΕΔΟΣΘΩ κύλινδρος, οὗ βάσις μὲν ὁ Α κύκλος, τὸ δὲ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΒΓ, πρὸς ὀρθὰς ὂν τῇ βάσει, καὶ ἐκβεβλήσθω ἡ ΒΑ· τοῦ δὲ ζητουμένου κώνου βάσις ἔστω ἤτοι ὁ Α κύκλος, ἢ καὶ ἄλλος τις ἐν τῷ αὐτῷ ἐπιπέδῳ τῷ Α, οἷον ὁ περὶ τὴν ΕΖ διάμετρον, ἐφ' ἧς κέντρον τὸ Δ· καὶ ληφθέντος σημείου τυχόντος ἐπὶ τῆς ΖΗ τοῦ Η, εἰλήφθω τῶν ΕΗ, ΗΖ μέση ἀνάλογον ἡ ΘΗ, καὶ κέντρῳ τῷ Η, διαστήματι δὲ ἤτοι μείζονι ἢ ἐλάττονι τοῦ ΗΘ, γεγράφθω ἐν τῷ ΒΓ ἐπιπέδῳ περιφέρεια κύκλου ἡ ΚΛ, καὶ διὰ τοῦ Θ ταῖς πλευραῖς τοῦ ΒΓ παραλληλογράμμου παράλληλος ἤχθω ἡ ΘΜ, καὶ ἐπεζεύχθωσαν αἱ ΜΕ, ΜΖ, ΜΗ, καὶ τῇ ΜΗ παράλληλος ἤχθω τέμνουσα τὸ τρίγωνον καὶ τὸ παραλληλόγραμμον ἡ ΝΞ. ἐὰν δὴ διὰ τῆς ΝΞ διάγωμεν ἐπίπεδον, κατὰ τὸν ἀποδειχθέντα τρόπον, ἔσται ἡ τομὴ ὁμοία ἐν ἑκατέρῳ. δεῖξις δὲ ἡ αὐτὴ τῷ πρὸ τούτου. ὅτι δὲ καὶ ἐλλείψεις αἱ τομαί, καὶ οὐχὶ κύκλοι, δῆλον· τὸ γὰρ ἀπὸ τῆς ΜΗ ἤτοι μεῖζον κατεσκευάσθη ἢ ἔλαττον τοῦ ἀπὸ τῆς ΗΘ, τουτέστι τοῦ ὑπὸ τῶν ΕΗ, ΗΖ.



SIT cylindrus datus, cujus baſis circulus A; & parallelogrammum per axem ΒΓ ſuper baſim rectum; & producatur ΒΑ; coni vero quæſiti baſis ſit vel circulus Α, vel alius aliquis in eodem exiſtens plano, qualis eſt cujus diameter ΕΖ, in qua centrum Δ; & ſumpto quovis puncto Η in recta ΖΗ, inter ΕΗ, ΗΖ media proportionalis capiatur ΘΗ; & centro Η, intervalloque vel majore vel minore quam ſit ΗΘ, deſcribatur in plano ΒΓ circuli circumferentia ΚΛ, perque Θ ducatur ΘΜ parallelogrammi ΒΓ lateribus parallela; & jungantur ΜΕ, ΜΖ, ΜΗ: dein ducatur ΝΞ ipſi ΜΗ parallela, tam triangulum quam parallelogrammum ſecans. itaque ſi per ΝΞ, eodem modo quo ante dictum eſt, planum ducatur, ſectio in utroque ſimilis erit. demonſtratio autem eadem eſt quæ ſupra. verum ſectiones ellipſes eſſe, non circulos, perſpicue conſtat; quadratum enim ex ΜΗ factum eſt vel majus vel minus quadrato ex ΗΘ, hoc eſt rectangulo ΕΗΖ.

ΠΡΟΤΑΣΙΣ κδʹ.

Ἐὰν εὐθεῖα γραμμὴ τμηθῇ κατὰ δύο σημεῖα, τὸ δὲ πρὸς τῷ ἑνὶ πέρατι τῆς εὐθείας τμῆμα μὴ μεῖζον ᾖ τοῦ πρὸς τῷ λοιπῷ πέρατι τμήματος, τῷ δὲ συναμφοτέρου τοῦ τε μέσου τμήματος καὶ τοῦ λοιποῦ τετραγώνῳ ἴσον παρὰ τὸ μὴ μεῖζον τμῆμα παραβληθῇ χωρίον, ὑπερβάλλον εἴδει τετραγώνῳ· ἡ πλευρὰ τοῦ ὑπερβλήματος μείζων μὲν ἔσται τοῦ μέσου τμήματος, ἐλάττων δὲ συναμφοτέρου τοῦ τε μέσου καὶ τοῦ πρὸς τῷ λοιπῷ πέρατι τμήματος.

PROP. XXIV. *Theor.*

Si recta linea ſecetur in duobus punctis, ſegmentum vero quod ad unum rectæ extremum non majus ſit eo quod ad alterum; applicetur autem ad non majus ſegmentum ſpatium æquale quadrato ex ſegmento medio & non minore ſimul ſumpto, excedens figurâ quadratâ: latus exceſſus majus quidem erit medio, minus vero quam medium & quod ad alterum rectæ terminum adjacet ſegmentum ſimul ſumptum.

ΕΣΤΩ εὐθεῖα ἡ ΑΒ, τετμημένη κατὰ τὰ Γ καὶ Δ, ἡ δὲ ΑΓ τῆς ΔΒ μὴ ἔστω μείζων· λέγω δὴ ὅτι ἐὰν τῷ ἀπὸ τῆς ΓΒ τετραγώνῳ ἴσον χωρίον παρὰ τὴν ΑΓ παραβληθῇ, ὑπερβάλλον εἴδει τετραγώνῳ, ἡ πλευρὰ τοῦ ὑπερβλήματος μείζων μὲν ἔσται τῆς ΓΔ, ἐλάττων δὲ τῆς ΓΒ.

Εἰ γὰρ δυνατόν, ποιείσθω πρῶτον ἡ ΓΔ πλευρὰ εἶναι τοῦ ὑπερβλήματος. ἐπεὶ οὖν τὸ παρὰ τὴν ΑΓ παραβαλλόμενον, ὑπερβάλλον τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ, ταὐτόν ἐστι τῷ ὑπὸ τῶν ΑΔΓ· ἔστι δὲ τὸ παρὰ τὴν ΑΓ παραβαλλόμενον, ὑπερβάλλον

SIT recta linea ΑΒ, quæ ſecetur in punctis Γ, Δ; & ſit ΑΓ non major quam ΔΒ: dico ſi ad ΑΓ applicetur ſpatium æquale quadrato ex ΓΒ excedens figurâ quadratâ, latus exceſſûs majus quidem eſſe quam ΓΔ, minus vero quam ΓΒ.

Si enim fieri poteſt, primum ponatur ΓΔ latus eſſe exceſſus. quoniam igitur id quod ad ΑΓ applicatur, excedens quadrato ex ΓΔ, idem eſt ac rectangulum ΑΔΓ, quod quidem æquale eſt quadrato eſt ΓΒ; erit rectangulum

ΑΔΓ

ΑΔΓ quadrato ex ΓΒ æquale. ſed quadratum ex ΓΒ non eſt minus quadrato ex ΑΔ; nam cum ΔΒ non ſit minor quam ΑΓ, neque erit ΓΒ minor quam ipſa ΑΔ: rectangulum igitur ΑΔΓ quadrato ex ΑΔ non eſt minus; quod fieri non poteſt. idem abſurdum ſequeretur, ſi latus exceſſus ponatur minus quam ΓΔ. Sed rurſum ſit ΓΒ exceſsûs latus; erit itaque rectangulum ΑΒΓ quadrato ex ΓΒ æquale: quod impoſſibile eſt. idemque ſequeretur, ſi latus exceſsûs ponatur majus ipſa ΓΒ: latus igitur exceſsûs majus erit quam ΓΔ, & minus quam ΓΒ.

εἴδει τετραγώνῳ, ἴσον τῷ ἀπὸ τῆς ΓΒ τετραγώνῳ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΒ τετραγώνῳ. ἀλλὰ τὸ ἀπὸ τῆς ΓΒ τοῦ ἀπὸ τῆς ΑΔ οὐκ ἔλαττον, οὐ γὰρ ἐλάττων ἡ ΔΒ τῆς ΑΓ, οὐδὲ ἡ ΓΒ τῆς ΑΔ· καὶ τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ τοῦ ἀπὸ τῆς ΑΔ τετραγώνου οὐκ ἔστιν ἔλαττον, ὅπερ ἀδύνατον. τὸ δὲ αὐτὸ δειχθήσεται, εἰ καὶ ἐλάττων τῆς ΓΔ ὑποτεθείη γίνεσθαι ἡ πλευρὰ τοῦ ὑπερβλήματος. ἀλλὰ δὴ πάλιν ἔστω πλευρὰ τοῦ ὑπερβλήματος ἡ ΓΒ· ἔσται ἄρα τῷ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον τὸ ἀπὸ τῆς ΓΒ τετραγώνῳ, ὅπερ ἀδύνατον. τὸ αὐτὸ δὲ συμβήσεται, εἰ καὶ μείζων τῆς ΓΒ ὑποτεθείη γίνεσθαι ἡ πλευρὰ τοῦ ὑπερβλήματος· ἡ ἄρα πλευρὰ τοῦ ὑπερβλήματος μείζων ἔσται τῆς ΓΔ, ἐλάττων δὲ τῆς ΓΒ·

PROP. XXV. *Theor.*

Dato cylindro ellipſi ſecto; conum conſtituere ſuper eandem baſim quam habet cylindrus, eâdemque altitudine, ita ut eodem plano ſectus ſectionem faciat ellipſin cylindri ellipſi ſimilem.

SIT datus cylindrus, cujus baſis quidem circulus circa centrum Α; parallelogrammum vero per axem ΒΓ; & in eo diameter datæ ellipſeos ſit ΕΔ, quæ producta occurrat ipſi ΒΑ in Ζ: perque Γ ducatur ΓΗ ipſi ΔΖ parallela occurrens rectæ ΒΑ in Η; &, protracta recta linea ΖΔ ad Θ, compleatur parallelogrammum ΗΘ.

Quoniam igitur parallelogrammi ΗΘ, latus ΖΗ lateri ΘΓ eſt æquale, latus autem ΘΓ non eſt minus ipſa ΒΚ; neque igitur ΖΗ ipſa ΒΚ minor erit. ſi igitur ad rectam ΒΚ applicetur ſpatium æquale quadrato ex ΚΗ excedens figurâ quadratâ, latus exceſsûs majus erit quam ΚΖ, & minus quam ΚΗ, per ea quæ proxime demonſtrata ſunt. itaque ſit latus exceſsûs ΚΛ, & per Λ ipſi ΗΓ parallela ducatur ΛΜ; junctiſque ΜΒ, ΜΚ, concipiatur conus, cujus vertex punctum Μ & baſis circulus Α; triangulumque per axem ΒΚΜ. ſi igitur intelligamus conum ſectum eodem plano à quo facta eſt ΕΔ diameter ſectionis cylindri; erit etiam in cono ſectio cujus diameter ΝΞ. & quoniam ad rectam ΒΚ applicatum eſt ſpatium æquale quadrato ex ΚΗ excedens quadrato ex ΚΛ; rectangulum ΒΛΚ quadrato ex ΚΗ æquale erit. & ſunt ΔΒ, ΚΓ inter ſe parallelæ, itemque parallelæ ſunt ΔΖ, ΜΛ, ΓΗ: ut igitur ΔΖ ad ΖΒ ita ΓΗ ad



ΠΡΟΤΑΣΙΣ κε΄.

Κυλίνδρου δοθέντος τετμημένου ἐλλείψει· κῶνον συστήσασθαι ἐπὶ τῆς αὐτῆς βάσεως τοῦ κυλίνδρου, ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα, καὶ τῷ αὐτῷ ἐπιπέδῳ τεμνόμενον, καὶ ποιοῦντα ὁμοίαν ἔλλειψιν τῇ τοῦ κυλίνδρου ἐλλείψει.

ΕΣΤΩ ὁ δοθεὶς κύλινδρος, οὗ βάσις μὲν ὁ περὶ τὸ Α κέντρον κύκλος, τὸ δὲ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΒΓ, ἐν ᾧ διάμετρος τῆς δοθείσης ἐλλείψεως ἡ ΕΔ, ἥτις ἐκβληθεῖσα συμπιπτέτω τῇ ΒΑ κατὰ τὸ Ζ, καὶ τῇ ΔΖ διὰ τοῦ Γ παράλληλος ἤχθω ἡ ΓΗ, συμπίπτουσα τῇ ΒΑ κατὰ τὸ Η, καὶ ἐκβληθείσης τῆς ΖΔ ἐπὶ τὸ Θ, συμπεπληρώσθω τὸ ΗΘ παραλληλόγραμμον.

Ἐπεὶ οὖν τοῦ ΗΘ παραλληλογράμμου ἡ ΖΗ πλευρὰ τῇ ΘΓ ἴση ἐστίν, ἡ δὲ ΘΓ τῆς ΒΚ οὐκ ἔστιν ἐλάττων· καὶ ἡ ΖΗ ἄρα τῆς ΒΚ οὐκ ἔστιν ἐλάττων. ἐὰν ἄρα τῷ ἀπὸ τῆς ΚΗ τετραγώνῳ ἴσον παραβάλλωμεν παρὰ τὴν ΒΚ ὑπερβάλλον εἴδει τετραγώνῳ, ἡ πλευρὰ τοῦ ὑπερβλήματος μείζων μὲν ἔσται τῆς ΚΖ, ἐλάττων δὲ τῆς ΚΗ, διὰ τὸ προδειχθέν. ἔστω τοίνυν ἡ ΚΛ πλευρὰ τοῦ ὑπερβλήματος, καὶ διὰ τοῦ Λ παράλληλος ἤχθω τῇ ΗΓ ἡ ΛΜ, καὶ ἐπεζεύχθωσαν αἱ ΜΒ, ΜΚ, καὶ νενοήσθω κῶνος, οὗ κορυφὴ μὲν τὸ Μ σημεῖον, βάσις δὲ ὁ Α κύκλος, τὸ δὲ διὰ τοῦ ἄξονος τρίγωνον δηλονότι τὸ ΒΚΜ. ἐὰν δὴ νοήσωμεν καὶ τὸν κῶνον τετμημένον τῷ ἐπιπέδῳ, ὑφ᾽ οὗ γέγονεν ἡ ΕΔ διάμετρος τῆς τοῦ κυλίνδρου τομῆς· ἔσται καὶ ἐν τῷ κώνῳ τομή, ἧς διάμετρος ἡ ΝΞ. ἐπεὶ οὖν τῷ ἀπὸ τῆς ΚΗ τετραγώνῳ ἴσον παρὰ τὴν ΒΚ παραβέβληται, ὑπερβάλλον τῷ ἀπὸ τῆς ΚΛ τετραγώνῳ· τὸ ἄρα ὑπὸ τῶν ΒΛ, ΛΚ τῷ ἀπὸ τῆς ΚΗ τετραγώνῳ ἴσον ἐστίν. ἐπεὶ οὖν αἱ ΔΒ, ΚΓ παράλληλοί εἰσιν ἀλλήλαις, ἀλλὰ καὶ αἱ ΔΖ, ΜΛ, ΓΗ παράλληλοί εἰσιν ἀλλήλαις· ὡς ἄρα ἡ ΔΖ πρὸς τὴν ΖΒ οὕτως

ἡ ΓΗ

ἡ ΓΗ πρὸς τὴν ΗΚ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΔΖ πρὸς τὸ ἀπὸ τῆς ΖΒ οὕτως τὸ ἀπὸ τῆς ΓΗ πρὸς τὸ ἀπὸ τῆς ΗΚ, τουτέστι τὸ ἀπὸ τῆς ΜΛ πρὸς τὸ ὑπὸ τῶν ΒΛ, ΛΚ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ τῆς ΔΖ πρὸς τὸ ἀπὸ τῆς ΖΒ οὕτως τὸ ἀπὸ τῆς ΕΔ πρὸς τὸ ἀπὸ τῆς ΒΚ, τουτέστι τὸ ἀπὸ ΕΔ τῆς διαμέτρου τῆς τοῦ κυλίνδρου ἐλλείψεως πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου· ὡς δὲ τὸ ἀπὸ ΜΛ πρὸς τὸ ὑπὸ τῶν ΒΛΚ, οὕτως τὸ ἀπὸ ΝΞ τῆς τοῦ κώνου ἐλλείψεως διαμέτρου πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς διαμέτρου τῆς τοῦ κυλίνδρου, ἐλλείψεως πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου οὕτως τὸ ἀπὸ τῆς διαμέτρου τῆς τοῦ κώνου ἐλλείψεως πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου· καὶ ὡς ἄρα ἡ διάμετρος τῆς ἐλλείψεως τοῦ κυλίνδρου πρὸς τὴν συζυγῆ διάμετρον, οὕτως ἡ διάμετρος τῆς τοῦ κώνου ἐλλείψεως πρὸς τὴν συζυγῆ διάμετρον. καί εἰσιν αἱ δεύτεραι διάμετροι πρὸς ἴσας γωνίας ταῖς διαμέτροις, ἀμφότεραι γὰρ παράλληλοί εἰσι ταῖς πρὸς ὀρθὰς τῇ ΒΗ, τῇ ΖΟ καὶ τῇ ΛΠ· ἡ ἄρα τοῦ κώνου ἔλλειψις ὁμοία ἐστὶ τῇ τοῦ κυλίνδρου ἐλλείψει, καὶ γέγονεν ὑπὸ τοῦ αὐτοῦ ἐπιπέδου, καὶ συνέστη ὁ κῶνος ἐπὶ τῆς αὐτῆς βάσεως τῷ κυλίνδρῳ, καὶ ὑπὸ τὸ αὐτὸ ὕψος. ἅπερ ἦν τὰ ἐπιταχθέντα.

HK, & idcirco ut quadratum ex ΔΖ ad quadratum ex ΖΒ ita quadratum ex ΓΗ ad quadratum ex ΗΚ, hoc est quadratum ex ΜΛ ad rectangulum ΒΛΚ. sed ut quadratum ex ΔΖ ad quadratum ex ΖΒ ita quadratum ex ΕΔ ad quadratum ex ΒΚ, hoc est quadratum diametri ellipseos cylindri ΕΔ ad quadratum conjugatæ diametri; & ut quadratum ex ΜΛ ad rectangulum ΒΛΚ, ita quadratum ipsius ΝΞ diametri ellipseos coni ad conjugatæ diametri quadratum: ergo ut quadratum diametri ellipseos cylindri ad quadratum conjugatæ diametri ejus, ita quadratum diametri ellipseos coni ad quadratum conjugatæ diametri ejusdem: ut igitur diameter ellipseos cylindri ad conjugatam diametrum ejus, ita ellipseos coni diameter ad conjugatam ejus diametrum. sunt autem secundæ diametri perpendiculares ad diametros; utræque enim parallelæ sunt rectis ΖΟ, ΛΠ, quæ sunt ad rectos angulos ipsi ΒΗ: quocirca coni ellipsis ellipsi cylindri similis erit, & facta est ab eodem plano; constitutusque est conus super eandem basin & eâdem altitudine. quæ omnia fecisse oportebat.

ΠΡΟΤΑΣΙΣ κϛ'.

Τὸν δοθέντα κύλινδρον ἢ κῶνον σκαληνὸν δυνατόν ἐστιν ἀπὸ τοῦ ἑτέρου μέρους ἀπειραχῶς τεμεῖν δυσὶν ἐπιπέδοις, μὴ παραλλήλως μὲν κειμένοις, ποιοῦσι δὲ ὁμοίας ἐλλείψεις.

Ε ΣΤΩ πρῶτον ὁ δοθεὶς κύλινδρος σκαληνὸς, οὗ τὸ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΑΒ πρὸς ὀρθὰς ὂν τῇ βάσει τοῦ κυλίνδρου, καὶ ὑποκείσθω ἡ πρὸς τὸ Α γωνία ὀξεῖα, καὶ διὰ τοῦ Γ ἤχθω κάθετος ἐπὶ τὴν ΑΔ πλευρὰν ἡ ΓΔ· ἐλαχίστη ἄρα ἐστὶν ἡ ΓΔ πασῶν τῶν ταῖς ΑΔ, ΓΒ παραλλήλοις ἐμπιπτουσῶν. εἰλήφθωσαν ἐφ' ἑκάτερα τοῦ Δ ἴσαι εὐθεῖαι αἱ ΕΔ, ΔΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΓ, ΓΖ· ἴση ἄρα ἡ ΕΓ τῇ ΖΓ. ἐὰν οὖν, κατὰ τὸν παραδεδομένον τρόπον, ἀγάγωμεν διὰ τῶν ΓΕ, ΓΖ ἐπίπεδα, τεμεῖ τὸν κύλινδρον. τεμνέτω καὶ ποιείτω τὰς ΕΗΓ, ΖΘΓ ἐλλείψεις· λέγω δὴ ὅτι ὅμοιαί εἰσιν.



Ἐπεὶ γὰρ ὡς τὸ ἀπὸ τῆς ΕΓ πρὸς τὸ ἀπὸ τῆς ΓΑ, οὕτως τὸ ἀπὸ τῆς ΖΓ πρὸς τὸ ἀπὸ τῆς ΓΑ· ἀλλὰ τὸ μὲν ἀπὸ τῆς ΕΓ πρὸς τὸ ἀπὸ τῆς ΓΑ ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΕΓ διαμέτρου τῆς τομῆς πρὸς τὸ ἀπὸ τῆς ἑαυτῇ συζυγοῦς διαμέτρου, τὸ δὲ ἀπὸ τῆς ΖΓ πρὸς τὸ ἀπὸ τῆς ΑΓ ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΖΓ διαμέτρου τῆς τομῆς πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς ἑαυτῇ διαμέτρου· καὶ ὡς ἄρα ἡ ΕΓ

Prop. XXVI. *Probl.*

Datum cylindrum vel conum scalenum possumus ex eadem parte infinite secare duobus planis, non æquidistanter positis, quæ ellipses similes efficiant.

SIT primum datus cylindrus scalenus, cujus per axem parallelogrammum ΑΒ rectum sit ad basim cylindri; ponaturque angulus ad Α acutus, & per Γ ducatur ΓΔ ad latus ΑΔ perpendicularis: minima igitur est ΓΔ omnium quæ inter parallelas ΑΔ, ΓΒ cadunt. sumantur ex utraque parte puncti Δ rectæ æquales ΕΔ, ΔΖ, & jungantur ΕΓ, ΓΖ: erit igitur ΕΓ ipsi ΓΖ æqualis. si igitur per ΓΕ, ΓΖ, juxta prædictum modum, plana ducantur, secabunt cylindrum. secent itaque & faciant ellipses ΕΗΓ, ΖΘΓ: dico eas inter se similes esse.

Quoniam enim ut quadratum ex ΕΓ ad quadratum ex ΓΑ, ita quadratum ex ΖΓ ad quadratum ex ΓΑ; ratio autem quadrati ex ΕΓ ad quadratum ex ΓΑ ratio est quadrati ex ΕΓ diametri sectionis ad quadratum conjugatæ diametri; & ratio quadrati ex ΖΓ ad quadratum ex ΑΓ ratio est quadrati diametri sectionis ΖΓ ad quadratum conjugatæ ipsi diametri: erit ut ΕΓ diameter ad conjugatam ejus diametrum, ita & diameter ZΓ ad conjugatam ipsi diametrum. sed & ad æquales angulos secantur utræque diametri, ut sæpius ostensum est: ergo similes inter se sunt EHΓ, ZΘΓ ellipses. quod si alias sumpseris æquales rectas ex utraque parte puncti Δ, rursus aliæ duæ ellipses inter se similes constituentur, idque in infinitum. notandum autem est in cylindro ellipses ex eadem parte similes etiam æquales esse; propterea quòd ratio diametrorum ad eandem lineam AΓ necessario eadem sit.

Prop. XXVII. *Probl.*

SED sit datus conus scalenus, cujus per axem triangulum ABΓ ad basim coni rectum, sitque AB major quam AΓ, & circa ipsum circulus describatur; & per A ducatur AΔ parallela ipsi BΓ, quæ circulum secabit; deinde, circumferentiâ ΔA bifariam sectâ in E, sumatur in ipsâ punctum aliquod Z, & ducatur ZH parallela ipsi ΔA; junctisque ZA, HA & productis, occurrat ZA quidem rectæ BΓ in Θ, HA vero eidem in K; adeoque ut AK ad KH ita AΘ ad ΘZ. sed ut AK ad KH ita quadratum ex AK ad rectangulum HKA; & ut AΘ ad ΘZ ita quadratum ex AΘ ad rectangulum AΘZ: ut igitur quadratum ex AK ad rectangulum HKA, hoc est [per 36.3.] ad rectangulum BKΓ, ita quadratum ex AΘ ad rectangulum ZΘA,



hoc est ad rectangulum BΘΓ. itaque si ducantur rectæ lineæ parallelæ, ΛM quidem ipsi AK, ΛN vero ipsi AΘ, & per ipsas plana conum secantia; similes habebuntur ellipses. Quoniam enim ut quadratum ex AK ad rectangulum BKΓ ita est quadratum ex AΘ ad rectangulum BΘΓ; est autem quadratum ex AK ad rectangulum BKΓ sicut quadratum ex ΛM diametro ellipseos ad quadratum conjugatæ diametri ejus; & ut quadratum ex AΘ ad rectangulum BΘΓ ita quadratum ex ΛN diametro ellipseos ad quadratum diametri ipsi conjugatæ: erit igitur ut diameter ΛM ad conjugatam ei diametrum ita diameter ΛN ad diametrum ipsi conjugatam: & idcirco ΛM, ΛN similium ellipsium diametri sunt. quod demonstrandum erat. At si alias rectas ipsi ZH parallelas ducamus, ut ΞO; & à punctis Ξ, O rectas junctas producantes

διάμετρος πρὸς τὴν ἑαυτῆς συζυγῆ διάμετρον, οὕτως καὶ ἡ ZΓ διάμετρος πρὸς τὴν ἑαυτῆς συζυγῆ διάμετρον. ἀλλὰ καὶ πρὸς ἴσας γωνίας τέμνονται ἑκάτεραι αἱ διάμετροι, ὡς ἐδείχθη πολλάκις· ὅμοιαι ἄρα ἀλλήλαις εἰσὶν αἱ EHΓ, ZΘΓ ἐλλείψεις. κἂν ἑτέρας δὲ ἀπολάβῃς ἴσας εὐθείας παρ᾽ ἑκάτερα τοῦ Δ, συστήσονται πάλιν ἕτεραι δύο ἐλλείψεις ὅμοιαι ἀλλήλαις, καὶ τοῦτο ἐπ᾽ ἄπειρον. ἐπισημαντέον δὲ ὅτι ἐπὶ τοῦ κυλίνδρου ἀνάγκη τὰς ἐκ τοῦ αὐτοῦ μέρους ὁμοίας καὶ ἴσας εἶναι, διὰ τὸ λόγον εἶναι τῶν διαμέτρων τὸν αὐτὸν πρὸς τὴν αὐτὴν τὴν AΓ.

ΠΡΟΤΑΣΙΣ κζ΄.

ΕΣΤΩ δὲ νῦν ὁ δοθεὶς κῶνος σκαληνὸς, οὗ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ABΓ πρὸς ὀρθὰς ὂν τῇ βάσει τοῦ κώνου, καὶ ἔστω ἡ AB τῆς AΓ μείζων, καὶ περιγεγράφθω κύκλος, καὶ ἤχθω διὰ τοῦ A τῇ BΓ παράλληλος ἡ AΔ, δηλονότι τέμνουσα τὸν κύκλον, καὶ τῆς ΔA περιφερείας δίχα τμηθείσης κατὰ τὸ E εἰλήφθω τι σημεῖον ἐπὶ τῆς ΔE περιφερείας τὸ Z, καὶ ἤχθω παράλληλος τῇ ΔA ἡ ZH, καὶ ἐπιζευχθεῖσαι ἡ μὲν ZA συμπιπτέτω τῇ BΓ κατὰ τὸ Θ, ἡ δὲ HA κατὰ τὸ K· ὡς ἄρα ἡ AK πρὸς τὴν KH οὕτως ἡ AΘ πρὸς τὴν ΘZ. ἀλλ᾽ ὡς μὲν ἡ AK πρὸς τὴν KH οὕτως τὸ ἀπὸ τῆς AK πρὸς τὸ ὑπὸ τῶν HK, KA, ὡς δὲ ἡ AΘ πρὸς τὴν ΘZ οὕτως τὸ ἀπὸ τῆς AΘ πρὸς τὸ ὑπὸ τῶν AΘ, ΘZ· ὡς ἄρα τὸ ἀπὸ τῆς AK πρὸς τὸ ὑπὸ τῶν HK, KA, τουτέστι πρὸς τὸ ὑπὸ τῶν BK, KΓ, οὕτως τὸ ἀπὸ τῆς AΘ πρὸς τὸ ὑπὸ τῶν ZΘ, ΘA, τουτέστι πρὸς τὸ ὑπὸ τῶν BΘ, ΘΓ. ἐὰν οὖν διάγωμεν εὐθείας παραλλήλους τῇ μὲν AK τὴν ΛM, τῇ δὲ AΘ τὴν ΛN, καὶ δι᾽ αὐτῶν ἀχθέντα ἐπίπεδα τεμῇ τὸν κῶνον, ὁμοίας ἐλλείψεις ποιήσει. ἐπεὶ γὰρ ὡς τὸ ἀπὸ τῆς AK πρὸς τὸ ὑπὸ τῶν BK, KΓ οὕτως τὸ ἀπὸ τῆς AΘ πρὸς τὸ ὑπὸ BΘ, ΘΓ· ἀλλ᾽ ὡς μὲν τὸ ἀπὸ τῆς AK πρὸς τὸ ὑπὸ τῶν BK, KΓ οὕτως τὸ ἀπὸ τῆς ΛM διαμέτρου τῆς ἐλλείψεως πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς ἑαυτῆς διαμέτρου, ὡς δὲ τὸ ἀπὸ τῆς AΘ πρὸς τὸ ὑπὸ τῶν BΘ, ΘΓ οὕτως τὸ ἀπὸ τῆς ΛN διαμέτρου τῆς ἐλλείψεως πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς ἑαυτῆς διαμέτρου· καὶ ὡς ἄρα ἡ ΛM διάμετρος πρὸς τὴν συζυγῆ διάμετρον οὕτως ἡ NΛ διάμετρος πρὸς τὴν συζυγῆ διάμετρον· αἱ ἄρα ΛM, ΛN ὁμοίων ἐλλείψεων εἰσὶ διάμετροι. ὅπερ ἔδει δεῖξαι. κἂν ἑτέρας δὲ τῇ ZH παραλλήλους ἀγάγωμεν, ὡς τὴν ΞO, καὶ ἀπὸ τῶν Ξ καὶ O ἐπὶ τὸ A ἐπιζεύξαντες

ζεύξαντες ἐκβάλλωμεν ἐπὶ τὴν ΒΘ, καὶ τῇ ἐκβληθείσῃ παραλλήλους ἀγάγωμεν ἐν τῷ τριγώνῳ· συστήσονται πάλιν δύο ἐλλείψεις ὅμοιαι ἀλλήλαις, καὶ τοῦτο ἐπ' ἄπειρον. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κη'.

Τὸν δοθέντα κύλινδρον σκαληνὸν ἢ κῶνον δυνατόν ἐστιν ἀπὸ τῶν ἀντικειμένων μερῶν ἀπειραχῶς τέμνειν δυσὶν ἐπιπέδοις, καὶ ποιεῖν ἐλλείψεις ὁμοίας.

ΕΣΤΩ πρῶτον ἐπὶ τοῦ κυλίνδρου δεῖξαι, καὶ κείσθω ἡ αὐτὴ καταγραφὴ τῇ πρότερον, καὶ τῇ ΑΔ ἴση ἔστω ἡ ΔΗ· ἴση ἄρα ἡ ΓΑ τῇ ΗΓ. ἐπεὶ τοίνυν ἡ ἀπὸ τοῦ Α ἐπὶ τὴν ΓΒ ἀγομένη εὐθεῖα μείζων ἐστὶν ἑκατέρας τῶν ΑΓ, ΓΗ, καὶ πασῶν τῶν ἀπὸ τοῦ Γ μεταξὺ τῶν Η, Α σημείων πιπτουσῶν· δῆλον ὡς, ἐὰν ἐκ τῶν ἀντικειμένων μερῶν ἀγάγωμεν δύο εὐθείας ἴσας ἀλλήλαις, ἡ ἀπὸ τοῦ Γ ἀγομένη ὑπερπεσεῖται τὸ Η. ἤχθωσαν οὖν ἐκ τῶν ἀντικειμένων μερῶν αἱ ΑΘ, ΓΚ, ἴσαι οὖσαι ἀλλήλαις, δι' ὧν ἐὰν ἀχθῇ ἐπίπεδα ποιοῦντα ἐλλείψεις, ἔσται ὡς τὸ ἀπὸ τῆς ΘΑ διαμέτρου τῆς ἐλλείψεως πρὸς τὸ ἀπὸ τῆς ΑΓ, τουτέστι πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς ἑαυτῇ διαμέτρου, οὕτως τὸ ἀπὸ τῆς ΚΓ διαμέτρου τῆς ἐλλείψεως πρὸς τὸ ἀπὸ τῆς ΑΓ, τουτέστιν πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου· αἱ ἄρα ΚΓ, ΑΘ διάμετροί εἰσιν ὁμοίων ἐλλείψεων.



ΠΡΟΤΑΣΙΣ κθ'.

ΚΕΙΣΘΩ πάλιν ἡ καταγραφὴ τοῦ κώνου, καὶ, ἐκβληθείσης τῆς ΓΒ ἐπὶ θάτερα, δέον ἔστω ἀπ' ἀμφοτέρων τῶν μερῶν ἀγαγεῖν ἐπίπεδα ποιοῦντα ὁμοίας ἐλλείψεις.

Διήχθω τις εἰς τὸν κύκλον εὐθεῖα παράλληλος τῇ ΒΓ ἡ ΠΡ, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΠ, ΑΡ ἐκβεβλήσθωσαν ἐπὶ Σ, Τ σημεῖα· ὡς ἄρα ἡ ΑΣ πρὸς τὴν ΣΠ, οὕτως ἡ ΑΤ πρὸς τὴν ΤΡ· καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΑΣ πρὸς τὸ ὑπὸ τῶν ΑΣ, ΣΠ, τουτέστι πρὸς τὸ ὑπὸ τῶν ΓΣ, ΣΒ, οὕτως τὸ ἀπὸ τῆς ΑΤ πρὸς τὸ ὑπὸ τῶν ΑΤ, ΤΡ, τουτέστι πρὸς τὸ ὑπὸ τῶν ΒΤ, ΤΓ. ἐὰν ἄρα ταῖς ΣΑ, ΑΤ παραλλήλους εὐθείας ἀγάγωμεν ἐν τῷ τριγώνῳ, ὡς τὰς ΒΥ, ΓΦ, καὶ δι' αὐτῶν ἐπίπεδα ποιοῦντα ἐλλείψεις· ἔσονται, διὰ τὰ πολλάκις εἰρημένα, αἱ ΒΥ, ΓΦ εὐθεῖαι ὁμοίων ἐλλείψεων διάμετροι.



mus ad occursum ipsius ΒΘ; ipsisque parallelas in triangulo ducamus; rursus duæ aliæ ellipses inter se similes formabuntur; atque hoc in infinitum. id quod erat probandum.

PROP. XXVIII. *Probl.*

Datum cylindrum scalenum vel conum possumus ex oppositis partibus infinite secare duobus planis, quæ ellipses similes faciant.

SIT primum cylindrus, ut in superiori figura; & rectæ ΑΔ æqualis ponatur ΔΗ: æqualis igitur est ΑΓ ipsi ΓΗ. & quoniam ea quæ à puncto Α ad ΓΒ ducitur major est alterutra ipsarum ΑΓ, ΓΗ, majorque omnibus quæ à Γ puncto inter puncta Α, Η cadunt; manifestum est, si ex oppositis partibus ducantur duæ rectæ lineæ inter se æquales, ea quæ ducitur à puncto Γ cadet supra Η. itaque ducantur ex oppositis partibus rectæ ΑΘ, ΓΚ æquales inter se, & per ipsas plana ellipses facientia: erit igitur ut quadratum ex ΘΑ diametro ellipseos ad quadratum ex ΑΓ, hoc est ad quadratum conjugatæ diametri, ita quadratum ex ΚΓ diametro ellipseos ad quadratum ex ΑΓ, hoc est ad quadratum diametri ipsi conjugatæ: ergo ΚΓ, ΑΘ ellipsium similium diametri sunt.

PROP. XXIX. *Probl.*

SIT deinde conus, ut supra; &, producta ΓΒ, oporteat ab utraque parte ducere plana quæ ellipses similes faciant.

Ducatur in circulo recta quædam linea ΠΡ, ipsi ΒΓ parallela; & junctæ ΑΠ, ΑΡ ad puncta Σ, Τ producantur: ut igitur ΑΣ ad ΣΠ, ita ΑΤ ad ΤΡ, & ut quadratum ex ΑΣ ad rectangulum ΑΣΠ, hoc est ad rectangulum ΓΣΒ, ita quadratum ex ΑΤ ad rectangulum ΑΤΡ, hoc est ad rectangulum ΒΤΓ. quare si rectas lineas in triangulo duxerimus ipsis ΣΑ, ΑΤ parallelas, ut ΒΥ, ΓΦ; & per eas plana ellipses facientia: erunt ΒΥ, ΓΦ similium ellipsium diametri, per ea quæ superius demonstrata sunt.

PROP.

Prop. XXX. *Theor.*

Ex his manifestum est, conjugationi similium ellipsium, quæ ex eadem parte fit, similem esse conjugationem quandam similium ellipsium ex oppositis partibus; quippe quæ diametros habeat ex contraria parte diametris respondentes.

ΠΡΟΤΑΣΙΣ λ'.

Καὶ φανερὸν ὅτι τῇ ἀπὸ τοῦ αὐτοῦ μέρους τῶν ὁμοίων ἐλλείψεων συζυγίᾳ γίνεταί τις ὁμοία ἀπὸ τῶν ἀντικειμένων μερῶν ὁμοίων ἐλλείψεων συζυγία, ἀντιπεπονθυίας μέντοι τὰς διαμέτρους ἔχουσα ταῖς διαμέτροις.

Si enim in cylindri figura fiat ut quadratum ex ΕΓ vel ΓΖ ad quadratum ex ΓΑ, ita quadratum ex ΓΑ ad quadratum ex ΑΘ vel ΓΚ; erit ut quadratum ex alterutra ipsarum ΕΓ, ΓΖ ad quadratum ex ΓΑ, hoc est ut quadratum diametri similium ellipsium quæ ex eadem parte fiunt, ad quadratum secundæ diametri ipsis conjugatæ, ita quadratum ex ΓΑ ad quadratum ex alterutra ipsarum ΑΘ, ΓΚ, hoc est ita quadratum secundæ diametri similium ellipsium quæ ex oppositis partibus fiunt ad quadratum conjugatæ ipsis diametri: ut igitur unius conjugationis transversa diameter ad secundam diametrum, ita alterius conjugationis secunda diameter ad diametrum ipsius transversam.



Ἐὰν γὰρ ἐπὶ τῆς τοῦ κυλίνδρου καταγραφῆς κατασκευάσωμεν ὡς τὸ ἀπὸ τῆς ΕΓ ἢ τῆς ΓΖ πρὸς τὸ ἀπὸ τῆς ΓΑ, οὕτως τὸ ἀπὸ τῆς ΓΑ πρὸς τὸ ἀπὸ τῆς ΑΘ ἢ τῆς ΓΚ· γενήσεται ὡς τὸ ἀπὸ ἑκατέρας τῶν ΕΓ, ΓΖ πρὸς τὸ ἀπὸ τῆς ΓΑ, τουτέστιν ὡς τὸ ἀπὸ τῆς διαμέτρου τῶν ὁμοίων ἐλλείψεων τῶν ἀπὸ τοῦ αὐτοῦ μέρους ἠγμένων πρὸς τὸ ἀπὸ τῆς δευτέρας συζυγοῦς διαμέτρου, οὕτως τὸ ἀπὸ τῆς ΓΑ πρὸς τὸ ἀπὸ ἑκατέρας τῶν ΑΘ, ΓΚ, τουτέστιν οὕτως τὸ ἀπὸ τῆς δευτέρας διαμέτρου ἀπὸ τῶν ἀντικειμένων ἠγμένων ὁμοίων ἐλλείψεων πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου· ὡς ἄρα τῆς ἑκατέρας συζυγίας ἡ διάμετρος πρὸς τὴν δευτέραν διάμετρον οὕτως τῆς ἑτέρας συζυγίας ἡ δευτέρα διάμετρος πρὸς τὴν διάμετρον.

In cono autem, si rursus fiat ut ΗΑ ad ΑΚ ita ΑΠ ad ΠΣ: erit ut ΑΚ ad ΚΗ ita ΠΣ ad ΣΑ; hoc est ut quadratum ex ΑΚ ad rectangulum ΗΚΑ ita rectangulum ΠΣΑ ad quadratum ex ΑΣ. sed ut quadratum ex ΑΚ ad rectangulum ΗΚΑ, hoc est ad rectangulum ΒΚΓ, ita quadratum diametri duarum similium ellipsium quæ ex eadem parte fiunt, nempe

Ἐπὶ δὲ τοῦ κώνου, ἐὰν πάλιν κατασκευάσωμεν ὡς τὴν ΗΑ πρὸς ΑΚ, οὕτως τὴν ΑΠ πρὸς τὴν ΠΣ· ἔσται ὡς ἡ ΑΚ πρὸς τὴν ΚΗ, οὕτως ἡ ΠΣ πρὸς τὴν ΣΑ, τουτέστιν ὡς τὸ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ τῶν ΗΚ, ΚΑ οὕτως τὸ ὑπὸ τῶν ΠΣ, ΣΑ πρὸς τὸ ἀπὸ τῆς ΑΣ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΑΚ πρὸς τὸ ὑπὸ τῶν ΗΚ, ΚΑ, τουτέστι πρὸς τὸ ὑπὸ τῶν ΒΚ, ΚΓ, οὕτως τὸ ἀπὸ τῆς διαμέτρου τῶν ἀπὸ



quadratum ex ΑΝ vel ΑΜ, ad quadratum secundæ diametri eidem conjugatæ; ut autem rectangulum ΠΣΑ, hoc est ΓΣΒ, ad quadratum ex ΣΑ, ita quadratum secundæ diametri similium ellipsium quæ ex oppositis partibus fiunt ad conjugatæ diametri ΒΤ vel ΓΦ quadratum: ergo ut unius conjugationis diameter ad secundam ejus diametrum, ita alterius conjugationis secunda diameter ad diametrum ipsam.

τοῦ αὐτοῦ μέρους ὁμοίων δύο ἐλλείψεων, ἤτοι τῆς ΛΝ ἢ τῆς ΛΜ, πρὸς τὸ ἀπὸ τῆς δευτέρας συζυγοῦς διαμέτρου· ὡς δὲ τὸ ὑπὸ τῶν ΠΣ, ΣΑ, τουτέστι τὸ ὑπὸ τῶν ΓΣ, ΣΒ, πρὸς τὸ ἀπὸ τῆς ΣΑ, οὕτως τὸ ἀπὸ τῆς δευτέρας διαμέτρου τῶν ἀπὸ τῶν ἀντικειμένων μερῶν ἠγμένων ἐλλείψεων πρὸς τὸ ἀπὸ τῆς συζυγοῦς διαμέτρου τῆς ΒΤ ἢ τῆς ΓΦ· ὡς ἄρα τῆς ἑτέρας συζυγίας ἡ διάμετρος πρὸς τὴν δευτέραν διάμετρον, οὕτως τῆς ἑτέρας συζυγίας ἡ δευτέρα διάμετρος πρὸς τὴν διάμετρον.

Καὶ

Καὶ γέγονε φανερὸν ἐκ τούτων, ὅτι ἐν παντὶ μὲν κυλίνδρῳ καὶ κώνῳ σκαληνῷ συνίστανται δύο συζυγίαι ἐλλείψεων, ὁμοίων μὲν ἀλλήλαις, ἀντιπεπονθυίας δὲ τὰς διαμέτρους ἐχουσῶν, καὶ ὅτι παρὰ τὰς τέσσαρας ταύτας ἄλλη ὁμοία οὐ συνίσταται πλὴν τῶν παραλλήλων αὐταῖς, ἀεὶ γὰρ αἱ παράλληλοι τομαὶ ὁμοίας ποιοῦσιν ἐλλείψεις, ἐὰν ποιῶσι· καὶ ὅτι ἐπὶ μὲν τοῦ κυλίνδρου, ἡ διὰ τῆς ΓΗ ἀγωγῆς τοῦ ἐπιπέδου ὑπεναντία τε ἐστὶ καὶ κύκλον ποιεῖ τὴν τομήν.

Ἐπὶ δὲ τοῦ κώνου, ἐὰν διὰ τοῦ Α τοῦ κύκλου ἐφάπτηταί τις, ὡς ἡ ΑΧ, διὰ τὸ εἶναι τὸ ἀπὸ τῆς ΑΧ τῷ ὑπὸ ΒΧ, ΧΓ ἴσον, ἡ διὰ τῶν τῇ ΑΧ παραλλήλων εὐθειῶν ἐν τῷ τριγώνῳ τῶν ἐπιπέδων ἀγωγὴ ποιήσει κύκλους, ὑπεναντία γάρ ἐστι καὶ αὐτὴ ὡς τῷ προσέχοντι γίνεται καταφανές· καὶ ὅτι τῇ δοθείσῃ ἐλλείψει ἐν κυλίνδρῳ σκαληνῷ καὶ κώνῳ τρεῖς ὁμοίας ἄλλας ἐστὶν εὑρεῖν, μίαν μὲν αὐτῇ δοθείσῃ σύζυγον, δύο δὲ ἑαυταῖς μὲν συζύγους, τῇ δὲ λοιπαῖς ὁμοίας κατὰ ἀντιπεπόνθεσιν τῶν διαμέτρων, ὥστε καὶ τῇ δοθείσῃ δυνατὸν τρεῖς ὁμοίας πορίσασθαι. δεῖ δὲ τὴν δοθεῖσαν μήτε ὑπεναντίαν εἶναι, ταύτῃ γὰρ οὐδεμία συνίσταται ὁμοία πλὴν τῶν

Ex quibus apparet, in omni cylindro & cono ſcaleno conſtitui duas conjugationes ellipſium inter ſe ſimilium, quæ ex contraria parte reſpondentes diametros habent, & præter has quatuor nullam aliam conſtitui ſimilem, niſi ipſis æquidiſtantes; etenim ſectiones æquidiſtantes ſimiles ſemper faciunt ellipſes, ſi modo ellipſes faciant: atque in cylindro patet planum juxta rectam ΓΗ ductum ſectionem facere ſubcontrariam & propterea circulum.

In cono autem, ſi ad punctum A recta circulum contingat, ut AX, & in triangulo ducantur rectæ ipſi AX parallelæ; quoniam quadratum ex AX rectangulo BXΓ eſt æquale, plana per dictas lineas tranſeuntia ſectiones faciunt circulos; etenim hæc ſubcontraria ſectio eſt, quod diligenter intuenti perſpicuum fiet. Præterea datâ ellipſi in cylindro ſcaleno & cono tres aliæ ſimiles inveniri poſſunt, una quidem ipſi datæ conjugata, duæ vero conjugatæ inter ſeſe ac prioribus ſimiles, ſed quæ diametros habeant ex contraria parte diametris reſpondentes. Oportet autem neque datam ſectionem ſubcontrariam eſſe; huic enim nulla





παραλλήλων· μήτε τὴν διάμετρον αὐτῆς παράλληλον εἶναι τῇ διὰ τῶν Ε καὶ Α ἀγομένῃ εὐθείᾳ, ἐν τῇ καταγραφῇ τοῦ κώνου· μονήρης γὰρ καὶ αὐτή, διὰ τὸ τὴν διὰ τοῦ Ε τῇ ΑΔ παράλληλον ἀγομένην ἐφάπτεσθαι τοῦ κύκλου καὶ πίπτειν ἐκτός· ὥστε μὴ εἶναι τῷ Ε σημείῳ σύζυγον, ὡς τῷ Ξ τὸ Ο ἢ τῷ Ζ τὸ Η.

Περὶ μὲν οὖν τοῦ προτεθέντος ἡμῖν προβλήματος ἀπὸ πλειόνων ἀρκείτω καὶ τὰ εἰρημένα. ὥρα δ' ἂν εἴη μετελθεῖν ἐφ' ὅπερ ἀρτίως ἐπηγγείλαμεν· ἀφορμὴ δέ μοι τῆς μελλούσης σκέψεως οὐκ ἄκαιρος, ἔστι δὲ ἥδε. Πείθων ὁ γεωμέτρης, ἐν συγγράμματι ἑαυτοῦ τὰς παραλλήλους ἐξηγούμενος, οἷς μὲν Εὐκλείδης εἶπεν οὐκ ἠρκέσθη, σοφώτερον δὲ δι' ὑποδείγματος αὐτὰς ἐσαφήνισε· φησὶ γὰρ τὰς παραλλήλους εὐθείας εἶναι τοιαύτας οἵας ἐν τοῖς τοίχοις ἢ τῷ ἐδάφει τὰς τῶν κιόνων σκιὰς ὁρῶμεν τελουμένας, ἤτοι ἀπὸ λαμπάδος τινὸς ἀπ' ἀντικρὺ καιομένης ἢ λύχνου. τοῦτο δὲ εἰ καὶ πᾶσι πλεῖστον παρέχει καταγελᾶν, ἀλλὰ ἡμῖν οὐ καταγέλαστον, αἰδοῖ τοῦ γεγραφότος· φίλος γὰρ ἀνήρ. ἀλλὰ σκεπτέον ὅπως τὸ τοιοῦτον ἔχει μαθηματικῶς· οἰκεία δὲ ἡ σκέψις τοῖς ἐνταῦθα προτεθεωρημένοις, δι' αὐτῶν γὰρ ἀποδειχθήσεται τὸ προκείμενον.

ſimilis conſtituitur præter æquidiſtantes: neque ipſius diametrum parallelam eſſe ei quæ per E & A ducitur in figura coni; hæc enim ſolitaria eſt, quia recta per E ducta ipſi AΔ parallela circulum contingit, & cadit extra: nec eſt aliud punctum compar puncto E, quemadmodum eſt O ipſi Ξ & Z ipſi H. *

De propoſito igitur nobis problemate hæc dicta ſufficiant. Tempus eſt ut ad ea aggrediar, quæ modo pollicitus ſum: mihi vero futuræ contemplationis occaſio non intempeſtiva fuit, nempe hæc. *Pitho* geometra, in adverſariis ejus rectas parallelas explicans, non contentus iis quæ ſcripſerat *Euclides*, ſatius duxit eas exemplo declarare: dixit enim lineas parallelas eſſe, quales in parietibus vel pavimento columnarum umbras, à lampade è regione ardente vel lucernâ factas, videmus. quod tametſi omnibus non parvum riſum moverit, mihi tamen ridiculum non videtur, propter meam in auctorem, qui amicus noſter eſt, obſervantiam. ſed videamus quomodo hoc mathematice ſe habeat; talis enim contemplatio hujus loci propria eſt: quippe quòd per ea quæ proxime demonſtrata ſunt propoſitum oſtendi poſſit.

* Sectio hæc, cujus diameter ipſi AE parallela eſt, rationem habet omnium minimam diametri ad latus ejus rectum: ac proinde, ſi proponatur ellipſis, cujus diameter ad latus ejus rectum minorem habet rationem; duæ tantum duci poſſunt rectæ, ſecundum quas deſignata plana ſectiones datæ ſimiles producant.

Prop. XXXI. *Theor.*

Rectæ lineæ, quæ ab eodem puncto cylindricam superficiem ex utraque parte contingunt, in unius parallelogrammi lateribus tactiones faciunt.

SIT cylindrus, cujus bases circuli Α, Β, axis recta linea ΑΒ; & sumatur aliquod punctum Γ extra, à quo ducantur ΓΔ, ΓΕ cylindri superficiem contingentes ex eadem parte in punctis Δ, Ε: dico omnia puncta tactuum Δ, Ε in una recta linea axi parallela reperiri.

Ducatur enim à puncto Γ ad ΑΒ * perpendicularis ΓΖ, & per ΓΖ ducatur planum æquidistans plano circuli Α, quod sectionem faciat in cylindro circulum circa centrum Ζ; ita ut cylindrus constituatur, cujus bases Β, Ζ circuli, axisque recta linea ΒΖ: & per ΓΖ & axem planum ducatur faciens in cylindro parallelogrammum ΗΘ; ipsi vero ΖΓ ad rectos angulos ducatur ΓΚ in plano circuli Ζ, & per ΓΚ & utramque ipsarum ΓΔ, ΓΕ plana ducantur cylindrum secantia, quæ faciant in superficie quidem cylindri curvas ΛΔΜ, ΝΕΞ; in plano vero parallelogrammi rectas lineas ΛΜΓ, ΝΞΓ: diametri igitur sectionum sunt ΛΜ, ΝΞ. ad eas igitur ordinatim applicentur ΔΟ, ΕΠ, & ad alteram partem superficiei ad puncta Ρ, Σ producantur. itaque quoniam recta ΓΔ contingit sectionem ΛΔΜΡ in puncto Δ; & hujusmodi cylindri sectio ostensa est ellipsis, non circulus; ordinatimque applicata est ΔΟ: erit ut ΛΓ ad ΓΜ ita ΛΟ ad ΟΜ, id quod demonstratum est ab *Apollonio* in 36ta primi libri Conicorum: & eadem ratione ut ΝΓ ad ΓΞ ita ΝΠ ad ΠΞ. est autem ΝΗ ipsi ΘΜ parallela; quare ut ΛΓ ad ΓΜ ita ΝΓ ad ΓΞ, & propterea ut ΛΟ ad ΟΜ ita ΝΠ ad ΠΞ: recta igitur puncta Π, Ο connectens est in plano ΗΘ, & utrique ipsarum ΒΑ, ΘΜ parallela.



ΠΡΟΤΑΣΙΣ λα΄.

Αἱ ἀπὸ τοῦ αὐτοῦ σημείου κυλινδρικῆς ἐπιφανείας ἐφαπτόμεναι εὐθεῖαι, κατ᾽ ἀμφότερα τὰ μέρη, πᾶσαι καθ᾽ ἑνὸς παραλληλογράμμου πλευρῶν τὰς ἐπαφὰς ποιοῦνται.

ΕΣΤΩ κύλινδρος, οὗ βάσεις μὲν οἱ Α, Β κύκλοι, ἄξων δὲ ἡ ΑΒ εὐθεῖα, καὶ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Γ, καὶ ἀπὸ τοῦ Γ ἤχθωσαν αἱ ΓΔ, ΓΕ εὐθεῖαι ἐφαπτόμεναι τῆς τοῦ κυλίνδρου ἐπιφανείας, ἐπὶ τὰ αὐτὰ μέρη, κατὰ τὰ Δ, Ε σημεῖα· λέγω ὅτι τὰ Ε, Δ τῶν ἐπαφῶν σημεῖα ἐπὶ μιᾶς εὐθείας ἐστί.

Κατήχθω ἀπὸ τοῦ Γ σημείου ἐπὶ τὴν ΑΒ πρὸς ὀρθὰς ἡ ΓΖ, καὶ διὰ τῆς ΓΖ ἤχθω ἐπίπεδον παράλληλον τῷ τοῦ Α κύκλου ἐπιπέδῳ, καὶ ποιείτω τομὴν ἐν τῷ κυλίνδρῳ τὸν περὶ τὸ Ζ κύκλον, ὥστε κύλινδρον ὑποστῆναι, οὗ βάσεις οἱ Β, Ζ κύκλοι, ἄξων δὲ ἡ ΒΖ εὐθεῖα, καὶ διὰ τῆς ΓΖ καὶ τοῦ ἄξονος ἐκβεβλήσθω ἐπίπεδον, ποιοῦν ἐν τῷ κυλίνδρῳ τὸ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΗΘ· καὶ τῇ ΓΖ πρὸς ὀρθὰς ἤχθω ἡ ΓΚ ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ οὖσα, καὶ διὰ τῆς ΓΚ καὶ ἑκατέρας τῶν ΓΔ, ΓΕ διεκβεβλήσθω ἐπίπεδα τέμνοντα τὸν κύλινδρον, καὶ ποιείτω διὰ τῆς τομῆς, ἐν μὲν τῇ ἐπιφανείᾳ τοῦ κυλίνδρου, τὰς ΛΔΜ, ΝΕΞ γραμμὰς, ἐν δὲ τῷ τοῦ παραλληλογράμμου ἐπιπέδῳ, τὰς ΛΜΓ, ΝΞΓ εὐθείας· διάμετροι ἄρα τῶν τομῶν εἰσιν αἱ ΛΜ, ΝΞ εὐθεῖαι. κατήχθωσαν τοίνυν ἐπὶ τὰς ΛΜ, ΝΞ διαμέτρους αἱ ΔΟ, ΕΠ τεταγμένως, καὶ προσεκβεβλήσθωσαν ἐπὶ θάτερον μέρος τῆς ἐπιφανείας κατὰ τὰ Ρ καὶ Σ. ἐπεὶ οὖν ἐφάπτεται τῆς ΛΔΜΡ γραμμῆς ἡ ΓΔ κατὰ τὸ Δ, καὶ δέδεικται ἡ τοιαύτη τοῦ κυλίνδρου τομὴ ἔλλειψις οὖσα ἀλλ᾽ οὐ κύκλος, καὶ κατῆκται τεταγμένως ἡ ΔΟ· ὡς ἄρα ἡ ΛΓ πρὸς τὴν ΓΜ οὕτως ἡ ΛΟ πρὸς τὴν ΟΜ, ὡς δέδεικται τῷ Ἀπολλωνίῳ ἐν τῷ α΄. τῶν Κωνικῶν τριακοστῷ ἕκτῳ θεωρήματι. καὶ διὰ τὰ αὐτὰ, ὡς ἡ ΝΓ πρὸς τὴν ΓΞ οὕτως ἡ ΝΠ πρὸς τὴν ΠΞ. ἐπεὶ δὲ ἡ ΝΗ τῇ ΘΜ παράλληλός ἐστιν· ὡς ἄρα ἡ ΛΓ πρὸς τὴν ΓΜ οὕτως ἡ ΝΓ πρὸς τὴν ΓΞ· καὶ ὡς ἄρα ἡ ΛΟ πρὸς ΟΜ οὕτως ἡ ΝΠ πρὸς ΠΞ· ἡ ἄρα τὰ Π, Ο σημεῖα ἐπιζευγνύουσα εὐθεῖα ἐν τῷ ΗΘ ἐπιπέδῳ ἐστί, καὶ παράλληλος ἑκατέρᾳ τῶν ΒΑ,

* Hæc demonstratio cylindrum supponit rectum; sed propositio non minus vera est de scaleno, ubicunque situm fuerit punctum Γ: nec modo diverso probabitur, nisi quod angulus ΒΖΓ, jam non sit necessario rectus: oportebit autem planum circuli, cujus centrum Ζ, transire per datum punctum Γ, ita ut basis Α plano æquidistet.

ΘΜ.

ΘΜ. καὶ ἐπεὶ ἑκατέρα τῶν ΔΟ, ΕΠ τῇ ΓΚ παράλληλός ἐστιν, αἱ ΔΟ, ΕΠ ἄρα καὶ ἀλλήλαις εἰσὶ παράλληλοι. ἐὰν δὴ διὰ τῶν ΔΟ, ΕΠ εὐθειῶν ἀχθῇ ἐπίπεδον, τεμεῖ τὸ ΘΗ παραλληλόγραμμον κατὰ τὴν ΟΠ γραμμήν, καὶ ἔσται τὸ ΠΕΔΟ ἐπίπεδον παράλληλον ἐπιπέδῳ τινὶ τῶν διὰ τῆς ΒΑ ἀγομένων καὶ τεμνόντων τὸ ΗΘ· τὸ ἄρα ΠΕΔΟ ἐπίπεδον τομὴν ποιήσει ἐν τῷ κυλίνδρῳ παραλληλόγραμμον, ὡς ἐδείχθη ἐν θεωρήματι τρίτῳ. καὶ ἔστιν ἡ ΕΔ γραμμὴ κοινὴ τομὴ τοῦ ΠΕΔΟ ἐπιπέδου καὶ τῆς τοῦ κυλίνδρου ἐπιφανείας· ἡ ΕΔ ἄρα εὐθειά ἐστι καὶ πλευρὰ τοῦ παραλληλογράμμου. ὁμοίως δὴ δείκνυται καὶ ἐπὶ πασῶν τῶν ἐφαπτομένων· καὶ ὅτι πάλιν ἐπὶ θάτερα μέρη αἱ ἁφαὶ κατὰ τὰ Ρ καὶ Σ γίνονται, καί εἰσιν ἐπὶ μιᾶς εὐθείας παραλλήλου τῇ ΕΔ· πᾶσαι ἄρα αἱ ἐφαπτόμεναι καθ' ἑνὸς παραλληλογράμμου πλευρῶν τὰς ἁφὰς ποιοῦνται. ὃ προέκειτο δεῖξαι.

& quoniam ΔΟ, ΕΠ parallelæ sunt ipsi ΓΚ, etiam inter se parallelæ erunt: quare si per eas planum ducatur, secabit parallelogrammum ΘΗ secundum rectam lineam ΟΠ, atque erit planum ΠΕΔΟ æquidistans plano alicui eorum quæ per axem ΒΑ ducta secant parallelogrammum ΗΘ: planum igitur ΠΕΔΟ sectionem facit in cylindro parallelogrammum, ut ostensum est in theoremate tertio; & recta ΕΔ est communis sectio ipsius & superficiei cylindri: quare ΕΔ recta linea est & parallelogrammi latus. pari modo etiam in cæteris contingentibus idem demonstrabitur; fientque rursus tactus ex altera parte in punctis Ρ, Σ, quæ sunt in una recta ipsi ΕΔ parallelâ: omnes igitur rectæ cylindrum contingentes in unius parallelogrammi lateribus tactiones faciunt. quod demonstrandum proponebatur.

ΠΡΟΤΑΣΙΣ λβ'.

ΤΟΥΤΟΥ δειχθέντος, ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, καὶ παρὰ τὴν ΑΒ αὐτοῦ βάσιν ἤχθωσαν αἱ ΕΖ, ΗΘ, καὶ εἰλήφθω τι σημεῖον τὸ Κ, μὴ ὂν ἐν τῷ τοῦ παραλληλογράμμου ἐπιπέδῳ, καὶ ἐπιζευχθεῖσαι αἱ ΚΕ, ΚΖ, ΚΗ, ΚΘ καὶ ἐκβληθεῖσαι προσπιπτέτωσαν ἐπιπέδῳ τινὶ παραλλήλῳ ὄντι τῷ ΑΒΓΔ κατὰ τὰ Λ, Μ, Ν, Ξ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΛΝ, ΜΞ· λέγω ὅτι ἡ ΜΞ τῇ ΛΝ παράλληλός ἐστι.

Prop. XXXII. *Theor.*

HOC demonstrato, sit parallelogrammum ΑΒΓΔ, & ejus basi ΑΒ parallelæ ducantur ΕΖ, ΗΘ; sumpto autem aliquo puncto Κ non existente in plano parallelogrammi, jungantur ΚΕ, ΚΖ, ΚΗ, ΚΘ, quæ productæ occurrant plano cuipiam æquidistanti ipsi ΑΒΓΔ in punctis Λ, Μ, Ν, Ξ, & jungantur ΛΝ, ΜΞ: dico rectam ΜΞ ipsi ΛΝ parallelam esse.



Τὸ γὰρ διὰ τῶν ΚΛ, ΕΖ εὐθειῶν ἐκβαλλόμενον ἐπίπεδον τεμεῖ καὶ τὸ ΛΜΝΞ ἐπίπεδον, καὶ ποιήσει ἐν αὐτῷ κοινὴν τομὴν ΛΜ παράλληλον οὖσαν τῇ ΕΖ· ὁμοίως δὴ καὶ τὸ διὰ τῶν ΚΝ, ΗΘ εὐθειῶν ἐπίπεδον ποιήσει παράλληλον τὴν ΝΞ τῇ ΗΘ. ἐπεὶ οὖν τὸ ΛΚΝ τρίγωνον τέμνεται ὑπὸ παραλλήλων ἐπιπέδων τῶν ΑΒΓΔ, ΛΜΞΝ, αἱ ἄρα κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσιν ἀλλήλαις, τουτέστιν ἡ ΝΛ τῇ ΗΕ. διὰ τὰ αὐτὰ δὲ καὶ ἡ ΞΜ τῇ ΘΖ παράλληλος· ὡς ἄρα ἡ ΕΚ πρὸς τὴν ΚΛ οὕτως ἡ ΗΚ πρὸς τὴν ΚΝ, καὶ ὡς ἡ ΗΚ πρὸς τὴν ΚΝ οὕτως ἡ ΗΘ πρὸς τὴν ΝΞ. ὡς δὲ ἡ ΕΚ πρὸς ΚΛ οὕτως ἡ ΕΖ πρὸς ΛΜ· καὶ ὡς ἄρα ἡ ΕΖ πρὸς τὴν ΛΜ οὕτως ἡ ΗΘ πρὸς τὴν ΝΞ, καὶ ἐναλλάξ. καὶ ἔστιν ἴση ἡ ΕΖ τῇ ΗΘ· ἴση ἄρα καὶ ἡ ΛΜ τῇ ΝΞ. εἰσὶ δὲ καὶ παράλληλοι· παράλληλος ἄρα καὶ ἡ ΜΞ εὐθεῖα τῇ ΛΝ.

Planum enim per rectas ΚΛ, ΕΖ ductum secabit etiam planum ΛΜΝΞ, & in eo communem sectionem faciet rectam lineam ΛΜ ipsi ΕΖ parallelam: similiter & planum per ΚΝ, ΗΘ ductum faciet ΝΞ parallelam ipsi ΗΘ. quoniam igitur ΛΚΝ triangulum ab æquidistantibus planis ΑΒΓΔ, ΛΜΞΝ secatur, communes ipsorum sectiones ΝΛ, ΗΕ [per 16. 11.] inter se parallelæ sunt. & eadem ratione parallelæ sunt rectæ ΞΜ, ΘΖ: quare ut ΕΚ ad ΚΛ ita ΗΚ ad ΚΝ, & ut ΗΚ ad ΚΝ ita ΗΘ ad ΝΞ. sed ut ΕΚ ad ΚΛ ita ΕΖ ad ΛΜ; ut igitur ΕΖ ad ΛΜ ita ΗΘ ad ΝΞ, & permutando. est autem ΕΖ æqualis ipsi ΗΘ; ergo & ΛΜ ipsi ΝΞ. & sunt inter se parallelæ; recta igitur ΜΞ [per 33. 1.] ipsi ΛΝ parallela est.

Ἐὰν δὴ τὸ μὲν Κ σημεῖον ὑποθώμεθα εἶναι τὸ φωτίζον, τὸ δὲ ΑΓ παραλληλόγραμμον τὸ ἐπιπροσθοῦν ταῖς ἀκτῖσιν, εἴτε καθ' αὑτὸ εἴη, εἴτε ἐν κυλίνδρῳ· συμβήσεται τὰς ἀπὸ τοῦ Κ φωτίζοντος ἀκτῖνας ἐκβαλλομένας ὁρίζεσθαι τῇ τε ΝΛ καὶ τῇ ΜΞ εὐθείᾳ, καὶ τὸ μεταξὺ τῶν ΝΛ, ΜΞ παραλλήλων ἐσκιασμένον

Si igitur ponamus punctum Κ esse corpus illuminans, & ΑΓ parallelogrammum quod ejus radiis opponatur, sive per se sive in cylindro: accidet ut radii, qui ab ipso Κ producuntur, terminentur rectis lineis ΝΛ, ΜΞ; & quod intra parallelas ΝΛ, ΜΞ continetur umbrosum

sum

sum sit. demonstratum quidem est rectam ΔΑ ipsi ΓΒ, & ΝΑ ipsi ΞΜ parallelam esse. verum non ita apparebunt; nam intervallorum ΑΜ, ΝΞ quod propius visui est illud majus apparet. hæc autem ex Opticis desumpsimus. quoniam autem in promptu est & de cono simile quid comminisci, propterea quod ellipsis communis sit & cono & cylindro; ac jam dictum est de cylindro: age nunc & de cono dicamus.

ἔσται. ὅτι μὲν οὖν παράλληλος καὶ ἡ ΔΑ τῇ ΓΒ καὶ ἡ ΝΛ τῇ ΞΜ, δέδεικται. οὐ μὴν καὶ οὕτω φανεῖται· τῶν γὰρ ΛΜ, ΝΞ διαστάσεων ἡ ἐγγύτερον τῆς ὄψεως μείζων φαίνεται. ταῦτα δὲ παρειλήφαμεν ἐκ τῶν ὀπτικῶν. ἐπειδὴ δὲ παρακείμενόν ἐστι καὶ περὶ τοῦ κώνου θεωρῆσαι τὸ ὅμοιον, διὰ τὸ κοινὸν εἶναι τὴν ἔλλειψιν τοῦ τε κώνου καὶ τοῦ κυλίνδρου, εἴρηται δὲ περὶ τοῦ κυλίνδρου· φέρε καὶ περὶ τοῦ κώνου σκεψώμεθα.

Prop. XXXIII. *Theor.*

Si extra triangulum punctum aliquod sumatur, & ab eo ducatur quædam recta linea triangulum secans; à vertice autem ad basim alia recta agatur, quæ ita ductam secet, ut quam rationem habet tota ad partem extra triangulum assumptam, eandem habeat major portio ejus quæ intra triangulum continetur ad minorem parti exteriori adjacentem: quælibet recta linea, quæ ex eodem puncto ducta triangulum secat, ab ea quæ à vertice ad basim ducitur in eadem proportione secatur. quod si rectæ ab eo puncto ad triangulum ductæ secentur in eadem proportione; recta linea, quæ intra triangulum ipsas secat, per trianguli verticem necessario transibit.

ΠΡΟΤΑΣΙΣ λγ'.

Ἐὰν τριγώνου ληφθῇ σημεῖον ἐκτὸς, καὶ ἀπ' αὐτοῦ ἀχθῇ τις εὐθεῖα τέμνουσα τὸ τρίγωνον, ἀπὸ δὲ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν ἀχθῇ τις ἑτέρα εὐθεῖα τέμνουσα τὴν διηγμένην οὕτως, ὥστε εἶναι ὡς ὅλη ἡ διηγμένη πρὸς τὴν ἐκτὸς τοῦ τριγώνου, οὕτως τὸ ἐντὸς ἀπειλημμένης τὸ μεῖζον τμῆμα πρὸς τὸ ἔλασσον πρὸς τῷ ἐκτὸς τοῦ τριγώνου κείμενον· ἥτις ἂν ἀπὸ τοῦ ληφθέντος σημείου ἀχθῇ εὐθεῖα τέμνουσα τὸ τρίγωνον, ἀνάλογον τέτμηται ὑπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν εὐθείας. κἂν πᾶσαι αἱ οὕτως ἠγμέναι ἀπὸ τοῦ αὐτοῦ σημείου ἀνάλογον τμηθῶσιν, ἡ τέμνουσα αὐτὰς εὐθεῖα, ἐν τῷ τριγώνῳ ἀγομένη, διὰ τῆς κορυφῆς τοῦ τριγώνου ἐλεύσεται.

SUMATUR enim aliquod punctum Δ extra triangulum ΑΒΓ, à quo ducatur recta linea ΔΕΖ triangulum secans; & à vertice Α ad basim ducatur ΑΗΘ, quæ ita secet ΖΔ, ut ΖΔ ad ΔΕ eandem rationem habeat quam ΖΗ ad ΗΕ; deinde ducatur alia recta ΔΚΛΜ: dico ut ΜΔ ad ΔΚ ita esse ΜΛ ad ΛΚ.

ΤΡΙΓΩΝΟΥ γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ διήχθω εὐθεῖα τέμνουσα τὸ τρίγωνον ἡ ΔΕΖ, ἀπὸ δὲ τῆς Α κορυφῆς ἐπὶ τὴν βάσιν ἀχθήτω ἡ ΑΗΘ τέμνουσα τὴν ΖΔ, ὥστε εἶναι ὡς τὴν ΖΔ πρὸς τὴν ΔΕ οὕτως τὴν ΖΗ πρὸς τὴν ΗΕ, καὶ διήχθω τις ἑτέρα εὐθεῖα ἡ ΔΚΛΜ· λέγω ὅτι ὡς ἡ ΜΔ πρὸς τὴν ΔΚ οὕτως ἡ ΜΛ πρὸς τὴν ΛΚ.



Per puncta enim Ε, Κ ducantur rectæ ΕΝ, ΚΞ ipsi ΑΒ parallelæ; & per Ε, Ζ ducantur ΕΟ, ΖΠΡ parallelæ ipsi ΜΔ. quoniam igitur in triangulo ΑΜΚ ducta est ΕΝ ipsi ΑΜ parallela, erit ut ΝΕ ad ΕΚ ita ΜΑ ad ΑΚ, hoc est ΖΑ ad ΑΡ. rursus quoniam ΖΑ pa-

Ἤχθωσαν διὰ μὲν τῶν Ε, Κ σημείων τῇ ΑΒ παράλληλοι αἱ ΕΝ, ΚΞ, διὰ δὲ τῶν Ε, Ζ τῇ ΜΔ παράλληλοι αἱ ΕΟ, ΖΠΡ. ἐπεὶ οὖν τοῦ ΑΜΚ τριγώνου παρὰ τὴν ΑΜ πλευράν ἐστιν ἡ ΕΝ· ὡς ἄρα ἡ ΝΕ πρὸς τὴν ΕΚ οὕτως ἡ ΜΑ πρὸς τὴν ΑΚ, τουτέστιν οὕτως ἡ ΖΑ πρὸς τὴν ΑΡ. πάλιν ἐπεὶ ἡ ΖΑ τῇ

ΚΞ παράλληλός ἐστιν· ἔστιν ἄρα ὡς ἡ ΕΚ πρὸς τὴν ΚΞ οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΖ. ἐπεὶ οὖν ὡς μὲν ἡ ΝΕ πρὸς τὴν ΕΚ οὕτως ἡ ΖΑ πρὸς τὴν ΑΡ, ὡς δὲ ἡ ΕΚ πρὸς τὴν ΚΞ οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΖ· δι' ἴσου ἄρα ἐν τεταραγμένῃ ἀναλογίᾳ ὡς ἡ ΕΝ πρὸς τὴν ΚΞ οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΡ, τουτέστιν ἡ ΕΟ πρὸς τὴν ΠΡ. ἐπεὶ οὖν ὁ τῆς ΜΔ πρὸς τὴν ΔΚ λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΖΔ πρὸς τὴν ΔΞ λόγῳ, ὁ δὲ τῆς ΖΔ πρὸς τὴν ΔΞ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΖΔ πρὸς τὴν ΕΔ καὶ τοῦ τῆς ΕΔ πρὸς ΔΞ· καὶ ὁ τῆς ΜΔ πρὸς ΔΚ λόγος ἄρα σύγκειται ἔκ τε τοῦ τῆς ΖΔ πρὸς τὴν ΕΔ καὶ τοῦ τῆς ΕΔ πρὸς τὴν ΔΞ. ἀλλ' ὁ μὲν τῆς ΖΔ πρὸς τὴν ΕΔ λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΖΗ πρὸς τὴν ΗΕ, διὰ τὴν ὑπόθεσιν, ὁ δὲ τῆς ΕΔ πρὸς τὴν ΔΞ, τουτέστιν ὁ τῆς ΕΝ πρὸς τὴν ΞΚ, ὁ αὐτὸς ἐδείχθη τῷ τῆς ΟΕ πρὸς τὴν ΠΡ· ὁ ἄρα τῆς ΜΔ πρὸς τὴν ΔΚ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΖΗ πρὸς τὴν ΗΕ λόγου καὶ τοῦ τῆς ΟΕ πρὸς τὴν ΠΡ. πάλιν ἐπεὶ ὁ τῆς ΜΛ πρὸς τὴν ΛΚ λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΖΠ πρὸς τὴν ΠΡ, ὁ δὲ τῆς ΖΠ πρὸς τὴν ΠΡ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΖΠ πρὸς τὴν ΟΕ λόγου, τουτέστι τοῦ τῆς ΖΗ πρὸς τὴν ΗΕ, καὶ τοῦ τῆς ΟΕ πρὸς τὴν ΠΡ· καὶ ὁ τῆς ΜΛ ἄρα πρὸς τὴν ΛΚ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΗΖ πρὸς τὴν ΗΕ λόγου καὶ τοῦ τῆς ΟΕ πρὸς τὴν ΠΡ. ἐδείχθη δὲ καὶ ὁ τῆς ΜΔ πρὸς τὴν ΔΚ λόγος ἐκ τῶν αὐτῶν συγκείμενος· ὡς ἄρα ἡ ΜΔ πρὸς τὴν ΔΚ οὕτως ἡ ΜΛ πρὸς τὴν ΛΚ. ὁμοίως δὲ δειχθήσεται, κἂν ἄλλαι διαχθῶσιν ἀπὸ τοῦ Δ· πᾶσαι γὰρ ὑπὸ τῆς ΑΘ διαιρεθήσονται τὸν εἰρημένον τρόπον. ὅπερ ἔδει δεῖξαι.

Κἂν αἱ ἀπὸ τοῦ Δ διαχθεῖσαι ἀνάλογον ὦσι τετμημέναι, ἵν' ᾖ ὡς μὲν ἡ ΖΔ πρὸς τὴν ΔΕ οὕτως ἡ ΖΗ πρὸς τὴν ΗΕ, ὡς δὲ ἡ ΜΔ πρὸς τὴν ΔΚ οὕτως ἡ ΜΛ πρὸς τὴν ΛΚ· ἡ τὰς ἐν τῷ τριγώνῳ ἀπειλημμένας εὐθείας, οἷον τὰς ΖΕ, ΜΚ, ἀνάλογον τέμνουσα εὐθεῖα διαγομένη διὰ τῆς κορυφῆς ἥξει τοῦ τριγώνου.

Εἰ γὰρ δυνατόν, πιπτέτω ἐκτὸς κατὰ τὸ Φ σημεῖον, καὶ διήχθω ἡ ΑΗΨ εὐθεῖα. ἐπεὶ οὖν, κατὰ τὸ προδειχθέν, εὐθεῖά τις ἀπὸ τῆς κορυφῆς ἡ ΑΨ ἀγομένη τέμνει τὴν ΖΔ εὐθεῖαν, ὥστε εἶναι ὡς τὴν ΖΔ πρὸς τὴν ΔΕ οὕτως τὴν ΖΗ πρὸς τὴν ΗΕ· καὶ τὴν ΜΔ ἄρα ἀνάλογον τεμεῖ· ὡς ἄρα ἡ ΜΔ πρὸς τὴν ΔΚ οὕτως ἡ ΜΨ πρὸς τὴν ΨΚ, ὅπερ ἀδύνατον· ὑπόκειται γὰρ ὡς ἡ ΜΔ πρὸς τὴν ΔΚ οὕτως ἡ ΜΛ πρὸς τὴν ΛΚ· ἡ ἄρα ΛΗ ἐκβαλλομένη οὐχ ἥξει δι' ἄλλου σημείου πλὴν τοῦ Α. ὅπερ ἔδει δεῖξαι.



rallela est ipsi KΞ; ut igitur EK ad KΞ ita est EA ad AZ; quoniam ideo ut NE ad EK ita ZA ad AP, & ut EK ad KΞ ita EA ad AZ: erit ex æquali in perturbata ratione, ut EN ad KΞ ita EA ad AP, hoc est ita EO ad ΠP. quoniam igitur ratio MΔ ad ΔK eadem est quæ ZΔ ad ΔΞ, ratio autem ZΔ ad ΔΞ componitur ex ratione ZΔ ad EΔ & EΔ ad ΔΞ: erit ratio MΔ ad ΔK ex eisdem rationibus composita. sed ratio ZΔ ad EΔ eadem est quæ ratio ZH ad HE, ex hypothesi; & ratio EΔ ad ΔΞ, hoc est EN ad ΞK, ostensa est eadem quæ est OE ad ΠP: ergo ratio MΔ ad ΔK componitur ex ratione ZH ad HE & ratione OE ad ΠP. rursus quoniam ratio MΛ ad ΛK eadem est quæ ratio ZΠ ad ΠP, & ratio ZΠ ad ΠP componitur ex ratione ZΠ ad OE, hoc est ZH ad HE, & ratione OE ad ΠP: ratio igitur MΛ ad ΛK composita est ex ratione HZ ad HE & ratione OE ad ΠP. sed ratio MΔ ad ΔK componitur ex eisdem rationibus, ut jam ostensum est: ergo ut MΔ ad ΔK ita MΛ ad ΛK. pari modo & de aliis, quæ à puncto Δ ductæ fuerint, demonstrabitur: omnes enim à recta AΘ in eadem, quam diximus, proportione secabuntur [Harmonica nempe.] quod erat demonstrandum.

Quod si à puncto Δ ductæ lineæ in eadem proportione secentur, ita ut quam rationem habet ZΔ ad ΔE eandem habeat ZH ad HE; & rursus quam habet MΔ ad ΔK eandem habeat MΛ ad ΛK: recta linea, proportionaliter secans eas quæ intra triangulum continentur, nempe rectas ZE, MK, per verticem trianguli necessario transibit.

Si enim fieri potest, transeat extra verticem per punctum Φ; & ducatur recta linea AHΨ. quoniam igitur, ex iis quæ proxime demonstrata sunt, recta quædam AΨ à vertice ducta secat ZΔ, ita ut quam rationem habet ZΔ ad ΔE eandem habeat ZH ad HE; etiam ipsam MΔ in eadem proportione secabit: eritque ut MΔ ad ΔK ita MΨ ad ΨK, quod est absurdum; posuimus enim MΔ ad ΔK sicut MΛ ad ΛK: quare AH producta non transibit per aliud punctum quam per verticem trianguli. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λδʹ.

Αἱ ἀπὸ τοῦ αὐτοῦ σημείου κωνικῆς ἐπιφανείας ἐφαπτόμεναι εὐθεῖαι κατ' ἀμφότερα τὰ μέρη, πα-

Prop. XXXIV. *Theor.*

Omnes rectæ lineæ, quæ ab eodem puncto conicam superficiem ex utra-

que parte contingunt, in unius trianguli lateribus tactiones faciunt.

SIT conus, cujus basis quidem circulus circa centrum A, vertex punctum B, axis autem recta linea AB; & sumpto aliquo puncto Γ extra conum, ab eo ducantur ΓΔ, ΓE rectæ lineæ, conicam superficiem ex eadem parte contingentes: dico omnia puncta tactionum E, Δ in eadem recta linea esse.

Ducatur à puncto Γ ad AB * perpendicularis ΓZ; & per ΓZ ducatur planum æquidistans plano circuli A, quod sectionem in cono faciat circulum circa centrum Z, ita ut conus constituatur, cujus basis circulus Z, & axis ZB. rursus per ΓZ & axem aliud planum ducatur, faciens in cono triangulum BHΘ; & ipsi ΓZ ad rectos angulos agatur ΓK, quæ in circuli Z plano existat; deinde per ΓK & utramque ipsarum ΓΔ, ΓE ducantur plana conum secantia, quæ faciant in coni quidem superficie sectiones ΛΔM, NEΞ, in plano autem trianguli BHΘ rectas lineas ΛΓ, NΓ: diametri igitur sectionum ΛΔM, NEΞ sunt rectæ ΛM, NΞ. itaque ad diametros ΛM, NΞ ordinatim applicentur ΔO, EΠ; quæ ad alteram partem superficiei ad puncta P, Σ producantur. quoniam igitur recta linea ΓΔ contingit sectionem ΛΔM in puncto Δ, & ΔO ordinatim applicata est; erit [per 36. 1.] ut ΛΓ ad ΓM ita ΛO ad OM. eadem quoque ratione ut NΓ ad ΓΞ ita erit NΠ ad ΠΞ: ergo, per proxime demonstrata, recta linea quæ connectit puncta O, Π, si producatur, per verticem transibit. ducatur igitur OΠB. & quoniam EΣ, ΔP ipsi ΓK sunt parallelæ; etiam inter se parallelæ & in eodem plano erunt: itaque planum juxta rectas BΠO & EΣ, ΔP ductum sectionem faciet in coni superficie triangulum: adeoque puncta E, Δ, quæ sunt in superficie coni, erunt etiam in latere trianguli secantis triangulum BHΘ secundum rectam lineam BΠO. simili modo demonstrabitur idem evenire in quibusvis aliis, uti & in contingentibus ad puncta P, Σ. omnes igitur rectæ lineæ, quæ à puncto Γ ductæ conicam



σαι καθ' ἑνὸς τριγώνου πλευρῶν τὰς ἐπαφὰς ποιοῦνται.

ΕΣΤΩ κῶνος, οὗ βάσις μὲν ὁ περὶ τὸ A κέντρον κύκλος, κορυφὴ δὲ τὸ B σημεῖον, ἄξων δὲ ἡ AB εὐθεῖα, σημείου δέ τινος τοῦ Γ ληφθέντος ἐκτὸς τοῦ κώνου, ἤχθωσαν ἀπὸ τοῦ Γ αἱ ΓΔ, ΓE εὐθεῖαι, ἐφαπτόμεναι τῆς τοῦ κώνου ἐπιφανείας ἐπὶ τὰ αὐτὰ μέρη· λέγω ὅτι τὰ E, Δ σημεῖα τῶν ἐπαφῶν ἐπὶ μιᾶς εὐθείας ἐστί.

Κατήχθω ἀπὸ τοῦ Γ σημείου ἐπὶ τὴν AB πρὸς ὀρθὰς ἡ ΓZ, καὶ διὰ τῆς ΓZ ἤχθω ἐπίπεδον παράλληλον τῷ τοῦ A κύκλου ἐπιπέδῳ, καὶ ποιείτω τομὴν ἐν τῷ κώνῳ τὸν περὶ τὸ Z κέντρον κύκλον, ὥστε κῶνον ὑποστῆναι, οὗ βάσις μὲν ὁ Z κύκλος, ἄξων δὲ ὁ ZB· καὶ διὰ τῆς ΓZ καὶ τοῦ ἄξονος ἐκβεβλήσθω ἐπίπεδον ποιοῦν ἐν τῷ κώνῳ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ BHΘ, καὶ τῇ ΓZ πρὸς ὀρθὰς ἤχθω ἡ ΓK, ἐν τῷ τοῦ Z κύκλου ἐπιπέδῳ οὖσα· καὶ διὰ τῆς ΓK καὶ ἑκατέρας τῶν ΓΔ, ΓE ἤχθω ἐπίπεδα τέμνοντα τὸν κῶνον, καὶ ποιείτω διὰ τῆς τομῆς, ἐν μὲν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὰς ΛΔM, NEΞ γραμμάς, ἐν δὲ τῷ τοῦ BHΘ τριγώνου ἐπιπέδῳ τὰς ΛΓ, NΓ εὐθείας· διάμετροι ἄρα τῶν ΛΔM, NEΞ τομῶν εἰσιν αἱ ΛM, NΞ εὐθεῖαι. ἤχθωσαν τοίνυν ἐπὶ τὰς ΛM, NΞ διαμέτρους αἱ ΔO, EΠ τεταγμένως, καὶ προσεκβεβλήσθωσαν ἐπὶ θάτερον μέρος τῆς ἐπιφανείας κατὰ τὰ P καὶ Σ. ἐπεὶ οὖν ἡ ΓΔ εὐθεῖα τῆς ΛΔM γραμμῆς ἐφάπτεται κατὰ τὸ Δ σημεῖον, καὶ κατῆκται τεταγμένως ἡ ΔO· ὡς ἄρα ἡ ΛΓ πρὸς τὴν ΓM οὕτως ἡ ΛO πρὸς τὴν OM· καὶ διὰ τὰ αὐτὰ ὡς ἡ NΓ πρὸς τὴν ΓΞ οὕτως ἡ NΠ πρὸς τὴν ΠΞ· ἡ ἄρα τὰ O καὶ Π ἐπιζευγνύουσα εὐθεῖα ἐκβαλλομένη ἥξει διὰ τῆς κορυφῆς, διὰ τὸ πρὸ τούτου. διήχθω τοίνυν ἡ OΠB. καὶ ἐπεὶ ἑκατέρα τῶν EΣ, ΔP τῇ ΓK ἐστὶ παράλληλος· αἱ ἄρα ΔP, EΣ παράλληλοί τε εἰσὶν ἀλλήλαις καὶ ἐν ἑνί εἰσιν ἐπιπέδῳ. τὸ οὖν διὰ τῆς BΠO καὶ τῶν EΣ, ΔP ἐπίπεδον ἐκβαλλόμενον τὴν τομὴν ποιήσει τρίγωνον ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ· τὰ ἄρα E καὶ Δ σημεῖα, ἐν τῇ ἐπιφανείᾳ ὄντα τοῦ κώνου, ἐπὶ πλευρᾶς ἐστι τριγώνου τοῦ τέμνοντος τὸ BHΘ τρίγωνον κατὰ τὴν BΠO εὐθεῖαν. ὁμοίως δέδεικται ἐπὶ τῶν ἐφαπτομένων πασῶν, καὶ ἐπὶ τῶν κατὰ τὰ P καὶ Σ ἐφαπτομένων, τὸ αὐτὸ συμβαῖνον· πᾶσαι ἄρα αἱ ἀπὸ τοῦ Γ ἐφαπτόμεναι τῆς κω-

* Supponit hic conum rectum esse, sed eâdem fere demonstratione res in cono scaleno comprobari potest, uti diximus in nota ad vigesimam nonam propositionem de Cylindro.

νικῆς

νικῆς ἐπιφανείας καθ' ἑνὸς τριγώνου πλευρῶν ἅπτουσιν. ὅπερ ἔδει δεῖξαι.

superficiem contingunt, in unius trianguli lateribus tactus faciunt. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λε΄.

ΤΟΥΤΟΥ δὴ δειχθέντος, ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ παρὰ τὴν ΒΓ βάσιν αἱ ΔΕ, ΖΗ, καὶ εἰλήφθω τι σημεῖον τὸ Θ, μὴ ὂν ἐν τῷ τοῦ τριγώνου ἐπιπέδῳ, καὶ ἐπιζευχθεῖσαι αἱ ΘΔ, ΘΖ, ΘΗ, ΘΕ ἐκβληθεῖσαι προσαπτέτωσαν ἐπιπέδῳ τινὶ, παραλλήλῳ ὄντι τῷ ΑΒΓ ἐπιπέδῳ, κατὰ τὰ Κ, Λ, Μ, Ν σημεῖα· τὸ δὴ διὰ τῶν ΕΔ, ΚΘ εὐθειῶν ἐπίπεδον ἐκβαλλόμενον τεμεῖ τὸ ΚΛΜΝ ἐπίπεδον, καὶ ποιήσει ἐν αὐτῷ κοινὴν τομὴν τὴν ΚΝ εὐθεῖαν, παράλληλον οὖσαν τῇ ΕΔ. ὁμοίως δὴ καὶ τὸ διὰ τῶν ΖΗ, ΛΘ ἐπίπεδον ἐκβαλλόμενον ποιήσει παράλληλον τῇ ΖΗ τὴν ΛΜ. ἐπεὶ οὖν τὸ ΚΘΛ ἐπίπεδον τέμνεται ὑπὸ παραλλήλων ἐπιπέδων τῶν ΑΒΓ, ΚΛΜΝ, αἱ κοιναὶ αὐτῶν τομαὶ αἱ ΚΛ, ΔΖ παράλληλοί εἰσιν ἀλλήλαις. διὰ ταῦτα δὲ καὶ ἡ ΝΜ τῇ ΗΕ παράλληλός ἐστιν· ἐκβληθεῖσαι ἄρα αἱ ΚΛ, ΜΝ συμπεσοῦνται κατὰ τὸ Ξ. ἐπεὶ οὖν δύο αἱ ΚΞ, ΞΝ δυσὶ ταῖς ΔΑ, ΑΕ παράλληλοί εἰσιν· ἴση ἄρα ἡ πρὸς τὸ Ξ γωνία τῇ πρὸς τὸ Α. πάλιν ἐπεὶ δύο αἱ ΞΚ, ΚΝ δυσὶ ταῖς ΑΔ, ΔΕ παράλληλοί εἰσιν· ἡ ἄρα ὑπὸ τῶν ΞΚ, ΚΝ γωνία τῇ ὑπὸ ΑΔ, ΔΕ ἴση· τὰ ἄρα ΞΚΝ, ΑΒΓ τρίγωνα ὅμοιά ἐστιν ἀλλήλοις.



Ἐὰν οὖν πάλιν τὸ μὲν Θ σημεῖον ὑποθώμεθα τὸ φωτίζον εἶναι, τὸ δὲ ΑΒΓ τρίγωνον τὸ ἐπιπροσθοῦν ταῖς ἀκτῖσιν, εἴτε καθ' αὑτὸ ὂν τὸ τρίγωνον εἴτε ἐν κώνῳ, συμβήσεται τὰς ἀπὸ τοῦ Θ φερομένας ἀκτῖνας, ἐκπιπτούσας διὰ τοῦ ΑΒΓ τριγώνου, ποιεῖν τὸ ΚΝΞ τρίγωνον τῆς σκιᾶς, ὅμοιον ὂν τῷ ΑΒΓ. ταῦτα εἰ καὶ ὀπτικῆς θεωρίας ἔχεται, καὶ δοκεῖ διὰ τοῦτο τῆς παρούσης πραγματείας ἀλλότρια εἶναι· ἀλλ' οὖν ἐκεῖνό γε φανερὸν γέγονεν, ὅτι, ἄνευ τῶν περὶ τῆς τοῦ κυλίνδρου καὶ τῆς τοῦ κώνου τομῆς ἐνταῦθα δειχθέντων, τῆς ἐλλείψεως λέγω καὶ τῶν ἁπτομένων αὐτῆς εὐθειῶν, ἀδύνατον ἦν κατασκευάσαι τὸ τοιοῦτον πρόβλημα. ὥστε οὐκ ἀλόγως, ἀλλὰ διὰ τὴν χρείαν, ἐπεισῆλθεν ὁ περὶ τούτων λόγος.

Prop. XXXV. *Theor.*

HOC igitur demonstrato, sit triangulum ΑΒΓ, cujus basi ΒΓ parallelæ ducantur ΔΕ, ΖΗ; & sumpto aliquo puncto Θ, quod non sit in trianguli plano, jungantur ΘΔ, ΘΖ, ΘΗ, ΘΕ; quæ productæ occurrant plano alicui, quod plano ΑΒΓ æquidistet, in punctis Κ, Λ, Μ, Ν: planum igitur per rectas ΕΔ, ΚΘ ductum secabit etiam planum ΚΛΜΝ, & in eo communem sectionem faciet rectam lineam ΚΝ ipsi ΔΕ parallelam. eodem modo & planum ductum per ipsas ΖΗ, ΛΘ faciet rectam lineam ΛΜ parallelam ipsi ΖΗ. quoniam igitur planum ΚΘΛ æquidistantibus planis ΑΒΓ, ΚΛΜΝ secatur, communes ipsorum sectiones ΚΛ, ΔΖ parallelæ erunt. eadem ratione parallelæ sunt rectæ ΜΝ, ΗΕ: ergo ΚΛ, ΜΝ productæ convenient inter se. conveniant in Ξ; & cum duæ rectæ ΚΞ, ΞΝ duabus ΔΑ, ΑΕ parallelæ sint; erit angulus ad Ξ angulo ad Α æqualis. rursus cum duæ ΞΚ, ΚΝ duabus ΑΔ, ΔΕ parallelæ sunt, erit angulus ΞΚΝ angulo ΑΔΕ æqualis; triangula igitur ΞΚΝ, ΑΒΓ inter se similia erunt.

Quod si punctum Θ fingamus esse corpus illuminans, & triangulum ΑΒΓ ejus radiis oppositum, sive per se sive in cono, eveniet ut radii, qui ab ipso Θ emittuntur juxta triangulum ΑΒΓ, faciant triangulum umbræ ΚΝΞ ipsi ΑΒΓ simile. etsi enim hæc ad Opticam contemplationem pertineant, & ob id à proposita tractatione aliena videantur, tamen perspicue constat, absque iis quæ hoc loco de coni & cylindri sectione, hoc est de ellipsi & rectis lineis eam contingentibus, demonstrata sunt, problema hujusmodi absolvi non posse: quare non temere, sed necessario de his sermonem instituimus.

ΣΕΡΗ-

ΣΕΡΗΝΟΥ
ΑΝΤΙΝΣΕΩΣ ΦΙΛΟΣΟΦΟΥ
ΠΕΡΙ
ΚΩΝΟΥ ΤΟΜΗΣ.

SERENI
ANTISSENSIS PHILOSOPHI
DE
SECTIONE CONI
LIBER.

CUM ea sectio, præstantissime *Cyre*, quæ in Conis per verticem fit, in eorum quidem superficiebus triangula efficiat, variamque & perpulchram præbeat contemplationem; à nullo autem eorum qui nos præcesserunt, quod sciam, pertractata sit: non malè me facturum existimavi, si locum hunc inexplicatum non relinquerem, sed perscriberem de his quæcunque ipse cogitatione complectebar. Propemodum quidem hæc omnia, quæque profundiore geometriâ indigere videntur, me hoc libro comprehendisse arbitror: neque mirum alicui videri debeat, si nonnulla quæ dici debuerant prætermiserim, utpote qui primus ad hanc contemplationem sim aggressus. Quamobrem par est, ut vel tu, in eorundem studium incumbens, vel posteriorum aliquis, qui in hæc inciderit, nostro exemplo ductus, à nobis omissa supplenda curaret. Quædam autem sunt quæ consultò præterierim, vel quod manifesta essent, vel quod ab aliis tractata. Siquidem in omni cono sectionem triangulum esse, si per

ΤΗΣ ἐν τοῖς κώνοις τομῆς, ἄριστε Κῦρε, ὅταν διὰ τῆς κορυφῆς αὐτῶν γίνηται, τρίγωνα μὲν ὑφισταμένης ἐν τοῖς κώνοις, ποικίλην δὲ καὶ γλαφυρὰν θεωρίαν ἐχούσης, καὶ μηδενὶ τῶν πρὸ ἡμῶν, ὅσα γε μὲ εἰδέναι, πραγματευθείσης· ἔδοξέ μοι μὴ καλῶς ἔχειν ἀνεξέργαστον ἀφεῖναι τὸν τόπον τοῦτον, εἰπεῖν δὲ περὶ αὐτῶν ὅσα γε εἰς ἐμὴν ἀφίκετο κατάληψιν. σχεδὸν μὲν οὖν τάγε πλείω, καὶ βαθυτέρας δοκοῦντα δεῖσθαι γεωμετρίας, ἠξιώθη λόγου τετυχηκέναι παρ' ἡμῶν. οὐκ ἂν δὲ θαυμάσαιτό τις, εἰ καί τι τῶν ὀφειλόντων λεχθῆναι παρεῖται ἀρρηθέν, ἅτε πρῶτος ἐγχειρήσας τῇ τούτων θεωρίᾳ. ὥστε εἰκὸς ἢ σὲ καθιέντα εἰς τὴν αὐτὴν σκέψιν, ἢ τῶν ὕστερον ἐντευξομένων τινὰ, ὁρμώμενον ἐντεῦθεν, τὸ παροφθὲν ἡμῖν προσθεῖναι. ἔστι δὲ ἃ καὶ ἑκόντες παραλελοίπαμεν, ἢ διὰ τὸ σαφὲς, ἢ διὰ τὸ ἄλλοις δεδεῖχθαι. αὐτίκα τὸ μὲν ἐν παντὶ κώνῳ τρίγωνον εἶναι τομὴν, εἰ διὰ τῆς κορυφῆς

τμηθείη,

τμηθείη, διὰ τὸ δεδεῖχθαι ἄλλοις ὡς οὕτως ἔχει, ἡμεῖς παραλιμπάνομεν, ἵνα μηδὲν ἀλλότριοι τοῖς ὑφ' ἡμῶν εὑρεθεῖσι συντεταγμένον ᾖ. τὰ δ' ἐπιπολαιότερα καὶ τοῖς πολλοῖς εὔληπτα γράφειν οὐκ ἠξιώσαμεν, ἵνα μὴ τῶν ἐντυγχανόντων τὴν προσοχὴν τῆς διανοίας ἐκλύσωμεν. ἴωμεν δὴ ἐπὶ τὴν προκειμένην ἀπόδειξιν.

verticem secetur, cum ab aliis demonstratum sit, nos omisimus, ne aliena nostris inventis insererentur. Quæ vero magis obvia sunt, & facillime intelligi possunt, non existimavi me scribere oportere, ne legentium animos parum attentos redderem. igitur ad rem propositam accedamus.

ΠΡΟΤΑΣΙΣ α'.

Ἐὰν τεσσάρων εὐθειῶν ἡ πρώτη πρὸς τὴν δευτέραν μείζονα λόγον ἔχῃ, ἤπερ ἡ τρίτη πρὸς τὴν τετάρτην· τὸ ὑπὸ πρώτης καὶ τετάρτης μεῖζόν ἐστι τοῦ ὑπὸ δευτέρας καὶ τρίτης.

ΕΥΘΕΙΑ γὰρ ἡ Α πρὸς τὴν Β μείζονα λόγον ἐχέτω, ἤπερ ἡ Γ πρὸς τὴν Δ Ε· λέγω ὅτι τὸ ὑπὸ τῶν Α, Δ Ε μεῖζόν ἐστι τοῦ ὑπὸ τῶν Β, Γ.

Ἐπεὶ ἡ Α πρὸς Β μείζονα λόγον ἔχει ἤπερ ἡ Γ πρὸς τὴν Δ Ε, ἔστω ὡς ἡ Α πρὸς Β οὕτως ἡ Γ πρὸς τὴν Δ Ζ· τὸ ἄρα ὑπὸ τῶν Α, Δ Ζ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν Β, Γ. μεῖζον δὲ τὸ ὑπὸ Α, Δ Ε τοῦ ὑπὸ Α, Δ Ζ· καὶ τοῦ ὑπὸ τῶν Β, Γ ἄρα μεῖζόν ἐστι τὸ ὑπὸ Α, Δ Ε.

Prop. I. *Theor.*

Si prima quatuor rectarum ad secundam majorem rationem habeat quam tertia ad quartam: rectangulum contentum sub prima & quarta majus est eo quod sub secunda & tertia continetur.

HABEAT recta A ad rectam B majorem rationem quam Γ ad ΔE: dico rectangulum sub A & ΔE rectangulo sub B & Γ majus esse.



Quoniam enim A ad B majorem rationem habet quam Γ ad ΔE; fiat ut A ad B ita Γ ad ΔZ: rectangulum igitur sub A & ΔZ æquale rectangulo sub B & Γ. majus autem est quod fit sub A & ΔE eo quod sub A & ΔZ; ergo rectangulum sub A & ΔE rectangulo sub B & Γ majus erit.

ΠΡΟΤΑΣΙΣ β'.

Ἐὰν τριγώνου ὀρθογωνίου ἀπὸ τῆς ἑτέρας τῶν γωνιῶν ἐπὶ μίαν τῶν περὶ τὴν ὀρθὴν ἀχθῇ εὐθεῖα· ἡ ἀχθεῖσα πρὸς τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς πρὸς τῇ καθέτῳ μείζονα λόγον ἔχει, ἤπερ ἡ ἐξ ἀρχῆς ὑποτείνουσα τὴν ὀρθὴν πρὸς τὴν τμηθεῖσαν πλευρὰν ὑπὸ τῆς ἀχθείσης.

ΤΡΙΓΩΝΟΥ γὰρ ὀρθογωνίου τοῦ Α Β Γ, ὀρθὴν ἔχοντος τὴν Α γωνίαν, ἀπὸ μιᾶς τῶν γωνιῶν τῆς Γ ἐπὶ τὴν Α Β ἤχθω τις εὐθεῖα ἡ Γ Δ· λέγω ὅτι ἡ Γ Δ πρὸς Δ Α μείζονα λόγον ἔχει ἤπερ ἡ Γ Β πρὸς Β Α.



Ἤχθω παρὰ τὴν Γ Β ἡ Δ Ε. ἐπεὶ οὖν ὀρθή ἐστιν ἡ ὑπὸ Δ Α Γ, ἀμβλεῖα ἄρα ἡ ὑπὸ Δ Ε Γ· μείζων ἄρα ἡ Δ Γ τῆς Δ Ε· ἡ ἄρα Γ Δ πρὸς Δ Α μείζονα λόγον ἔχει ἤπερ ἡ Ε Δ πρὸς Δ Α, τουτέστιν ἤπερ ἡ Γ Β πρὸς Β Α.

Prop. II. *Theor.*

Si in triangulo orthogonio ab altero angulorum ad unum latus quod est circa angulum rectum recta ducatur: ducta illa habebit ad eam quæ inter ipsam & perpendicularem interjicitur majorem rationem, quam quæ à principio subtenditur recto angulo ad jam dictum latus.

SIT triangulum orthogonium ABΓ, rectum habens angulum ad A; & ab uno angulorum, videlicet à Γ, ad AB ducatur recta ΓΔ: dico ΓΔ ad ΔA majorem rationem habere quam ΓB ad BA.

Ducatur enim recta ΔE ipsi ΓB parallela. & quoniam rectus est angulus ΔAΓ, angulus ΔEΓ obtusus erit: major igitur est ΔΓ quam ΔE; & idcirco ΓΔ ad ΔA majorem rationem habet quam EΔ ad ΔA, hoc est quam ΓB ad BA.

ΠΡΟΤΑΣΙΣ γ'.

Ἐὰν κῶνος ὀρθὸς διὰ τῆς κορυφῆς ἐπιπέδοις τμηθῇ· τῶν γινομένων ἐν ταῖς τομαῖς τριγώνων τὰ ἴσας ἔχοντα βάσεις ἀλλήλοις ἐστὶν ἴσα.

Prop. III. *Theor.*

Si conus rectus planis per verticem secetur; triangula illa, quæ in sectionibus fiunt & æquales habent bases, inter se æqualia erunt.

SIT conus rectus, cujus vertex punctum A, & basis circulus circa centrum B. cono itaque planis per verticem secto, generentur triangula ΑΓΔ, ΑΕΖ, æquales bases habentia ΓΔ, ΕΖ (triangula enim ex his sectionibus fieri alibi [per 3. 1. conic.] ostensum est.) dico triangula ΑΓΔ, ΑΕΖ æqualia esse.



Nam cum bases sint æquales, itemque æquales inter se ΑΓ, ΑΔ, ΑΕ, ΑΖ; erit triangulum triangulo quoque æquale.

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος· καὶ δὲ κώνου διὰ τῆς κορυφῆς τμηθέντος ἐπιπέδοις, γεννήσθω τὰ ὑπὸ τῆς τομῆς γινόμενα τρίγωνα. (ὅτι γὰρ τρίγωνα ποιοῦσιν αἱ τοιαῦται τομαὶ ἐν ἄλλοις δείκνυται) γεννήσθω δὴ τὰ ΑΓΔ, ΑΕΖ, ἴσας ἔχοντα τὰς ΓΔ, ΕΖ βάσεις· λέγω ὅτι τὰ ΑΓΔ ΑΕΖ τρίγωνα ἴσα ἀλλήλοις ἐστίν.

Ἐπεὶ γὰρ αἵ τε βάσεις ἴσαι ἀλλήλαις, ἴσαι δὲ καὶ αἱ ΑΓ, ΑΔ, ΑΕ, ΑΖ· καὶ τὸ τρίγωνον ἄρα τῷ τριγώνῳ ἴσον.

PROP. IV. *Theor.*

In conis rectis similia triangula inter se æqualia sunt.

SIT enim in proposita figura ΑΓΔ triangulum triangulo ΑΕΖ simile: dico & æquale esse. quoniam enim ut ΑΓ ad ΓΔ ita ΑΕ ad ΕΖ; erit permutando ut ΓΑ ad ΑΕ ita ΓΔ ad ΕΖ. & sunt ΓΑ, ΑΕ æquales; ergo & æquales sunt ΓΔ, ΕΖ. triangula vero æqualium basium, quæ in conis rectis fiunt, inter se [per 3. huj.] sunt æqualia: ergo & triangula ΑΓΔ, ΑΕΖ æqualia erunt.

ΠΡΟΤΑΣΙΣ δ'.

Ἐν τοῖς ὀρθοῖς κώνοις τὰ ὅμοια τρίγωνα ἴσα ἀλλήλοις ἐστίν.

ΕΣΤΩ γὰρ ἐπὶ τῆς προκειμένης καταγραφῆς τὸ ΑΓΔ τρίγωνον τῷ ΑΕΖ ὅμοιον· λέγω ὅτι καὶ ἴσα ἐστίν. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΓ πρὸς ΓΔ οὕτως ἡ ΑΕ πρὸς ΕΖ, καὶ ἐναλλὰξ ἄρα. καί εἰσιν ἴσαι αἱ ΓΑ, ΑΕ· ἴσαι ἄρα καὶ αἱ ΓΔ, ΕΖ. τὰ δὲ ἐπὶ ἴσων βάσεων τρίγωνα ἐν τοῖς ὀρθοῖς κώνοις ἴσα ἐστίν· ἴσα ἄρα τὰ ΑΓΔ, ΑΕΖ τρίγωνα.

PROP. V. *Theor.*

Si conus rectus planis per verticem secetur, & per axem & extra axem; sitque axis non minor semidiametro basis: eorum quæ fiunt triangulorum maximum est illud quod per axem transit.

SIT conus, cujus vertex A, basis circulus circa B centrum, & axis AB; cono itaque per verticem secto, fiant triangula, per axem quidem ΑΓΔ, extra axem vero ΑΕΖ; ponaturque ΕΖ ipsi ΓΔ parallela; axis autem AB non minor sit ipsa ΒΓ: dico ΑΓΔ triangulum triangulo ΑΕΖ majus esse.



Jungatur ΒΕ, & ab ipso B ad ΕΖ perpendicularis ducatur ΒΗ: ergo [per 3. 3.] ΕΖ bifariam dividetur in H; & juncta ΑΗ perpendicularis erit ad ΕΖ; triangulum enim ΕΑΖ æquicrure est, quoniam igitur AB non est minor semidiametro ΒΕ, & est ΕΗ minor quam ΒΕ; erit AB ipsa ΕΗ major. itaque abscindatur ΒΘ æqualis ipsi ΕΗ, & jungatur ΗΘ: quoniam igitur ΕΗ ipsi ΒΘ est æqualis, communis autem est ΒΗ; ergo

ΠΡΟΤΑΣΙΣ ε'.

Ἐὰν κῶνος ὀρθὸς ἐπιπέδοις τμηθῇ διὰ τῆς κορυφῆς, τοῖς μὲν διὰ τοῦ ἄξονος, τοῖς δὲ ἐκτὸς τοῦ ἄξονος, ὁ δὲ ἄξων τοῦ κώνου μὴ ἐλάττων ᾖ τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως· τῶν γινομένων ἐν τῷ κώνῳ τριγώνων μέγιστον ἔσται τὸ διὰ τοῦ ἄξονος.

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, ἄξων δὲ ὁ ΑΒ· τμηθέντος δὲ τοῦ κώνου διὰ τῆς κορυφῆς, γεννήσθω τρίγωνα, διὰ μὲν τοῦ ἄξονος τὸ ΑΓΔ, ἐκτὸς δὲ τοῦ ἄξονος τὸ ΑΕΖ, καὶ κείσθω παράλληλος ἡ ΕΖ τῇ ΓΔ, ὁ δὲ ἄξων, τουτέστιν ἡ ΑΒ εὐθεῖα, μὴ ἐλάττων ἔστω τῆς ΒΓ· λέγω ὅτι τὸ ΑΓΔ τρίγωνον μεῖζόν ἐστι τοῦ ΑΒΖ τριγώνου.

Ἐπεζεύχθω ἡ ΒΕ, καὶ ἀπὸ τοῦ Β κάθετος ἤχθω ἐπὶ τὴν ΕΖ ἡ ΒΗ· δίχα ἄρα τέτμηται ἡ ΕΖ κατὰ τὸ Η. ἐπεζεύχθω ἡ ΑΗ· ἡ ΑΗ ἄρα κάθετός ἐστιν ἐπὶ τὴν ΕΖ, ἰσοσκελὲς γὰρ τὸ ΕΑΖ. ἐπεὶ οὖν ἡ ΑΒ οὐκ ἔστιν ἐλάττων τῆς ἐκ τοῦ κέντρου τῆς ΒΕ, ἐλάττων δὲ ἡ ΕΗ τῆς ΒΕ· ἡ ἄρα ΑΒ μείζων ἐστὶ τῆς ΕΗ. ἀφῃρήσθω τοίνυν τῇ ΕΗ ἴση ἡ ΒΘ, καὶ ἐπεζεύχθω ἡ ΘΗ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΕΗ τῇ ΒΘ, κοινὴ δὲ ἡ ΒΗ· δύο ἄρα

ἄρα δυσὶν ἴσαι, καὶ γωνία ἡ ὑπὸ ΕΗΒ τῇ ὑπὸ ΗΒΘ ἴση, ὀρθὴ γὰρ ἑκατέρα· καὶ βάσις ἄρα ἡ ΕΒ τῇ ΘΗ ἴση ἐστὶ, καὶ ὅμοια τὰ τρίγωνα· ὡς ἄρα ἡ ΒΕ πρὸς ΕΗ οὕτως ἡ ΗΘ πρὸς ΘΒ. ἡ δὲ ΗΘ πρὸς ΘΒ μείζονα λόγον ἔχει ἤπερ ἡ ΗΑ πρὸς ΑΒ, ὡς προεδείχθη, ὀρθογώνιον γὰρ τὸ ΑΒΗ· καὶ ἡ ΒΕ ἄρα πρὸς ΕΗ, τουτέστιν ἡ ΓΒ πρὸς ΕΗ, τουτέστι ἡ ΓΔ πρὸς ΕΖ, μείζονα λόγον ἔχει ἤπερ ἡ ΗΑ πρὸς ΑΒ· τὸ ἄρα ὑπὸ τῶν ΓΔ, ΒΑ μεῖζόν ἐστι τοῦ ὑπὸ τῶν ΕΖ, ΗΑ, διὰ τὸ πρῶτον λημμάτιον. ἀλλὰ τοῦ μὲν ὑπὸ ΓΔ, ΒΑ ἥμισύ ἐστι τὸ ΑΓΔ τρίγωνον, τοῦ δὲ ὑπὸ ΕΖ, ΗΑ ἥμισυ τὸ ΕΑΖ τρίγωνον· καὶ τὸ ΑΓΔ ἄρα τρίγωνον τοῦ ΑΕΖ μεῖζόν ἐστι· καὶ πάντων ἄρα τῶν ἴσας βάσεις ἐχόντων τῇ ΕΖ, καὶ διὰ τοῦτο ἴσων ὄντων, μεῖζόν ἐστι τὸ ΑΓΔ. ὁμοίως δὲ δείξομεν καὶ ἐπὶ τῶν ἄλλων τομῶν τῶν ἐκτὸς τοῦ ἄξονος· μέγιστον ἄρα τὸ διὰ τοῦ ἄξονος τρίγωνον.

ΠΡΟΤΑΣΙΣ ς'.

Ἐστι τὸ αὐτὸ ἄλλως καὶ καθολικώτερον δεῖξαι, ὅτι καὶ ἁπλῶς τῶν τριγώνων τὸ μείζονα βάσιν ἔχον μεῖζόν ἐστι.

Τμηθέντος γὰρ τοῦ κώνου, γενέσθω τὰ ΑΓΔ, ΑΖΔ, ὥστε τὰς ΓΔ, ΖΔ βάσεις συμβάλλειν ἀλλήλαις κατὰ τὸ Δ πέρας, καὶ ἔστω μείζων τῆς ΖΔ ἡ ΓΔ, εἴτε διὰ τοῦ κέντρου οὖσα, εἴτε μή· λέγω ὅτι τὸ ΑΓΔ τοῦ ΑΖΔ μεῖζόν ἐστιν.



Ἤχθωσαν ἐπὶ τὰς ΖΔ, ΓΔ κάθετοι αἱ ΑΒ, ΑΗ, ἐπὶ δὲ τὴν ΑΔ ἡ ΒΘ. ἐπεὶ οὖν ἡ ΓΔ τῆς ΖΔ μείζων ἐστὶ, καὶ ἡ ἡμίσεια ἄρα ἡ ΒΔ τῆς ΔΗ μείζων· τὸ ἀπὸ ΒΔ ἄρα τοῦ ἀπὸ ΔΗ μεῖζόν ἐστι· καὶ λοιπὸν ἄρα τὸ ἀπὸ ΒΑ λοιποῦ τοῦ ἀπὸ ΑΗ ἔλαττόν ἐστι· τὸ ἄρα ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΒΔ ἐλάττονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΑΗ πρὸς τὸ ἀπὸ ΗΔ. ἀλλ' ὡς τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΒΔ οὕτως ἡ ΑΘ πρὸς ΘΔ· καὶ ἡ ΑΘ ἄρα πρὸς ΘΔ ἐλάττονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΑΗ πρὸς τὸ ἀπὸ ΗΔ. γενέσθω ὡς τὸ ἀπὸ ΑΗ πρὸς τὸ ἀπὸ ΗΔ οὕτως ἡ ΑΚ πρὸς ΚΔ, καὶ ἐπεζεύχθω ἡ ΗΚ· κάθετος ἄρα ἐστὶ καὶ ΗΚ ἐπὶ τὴν ΑΔ, ὡς δειχθήσεται.

Καὶ ἐπεὶ ὑπόκειται ἡ ΑΒ τῆς ΒΔ οὐκ ἐλάττων, ἤτοι μείζων ἔσται ἡ ΑΒ τῆς ΒΔ, ἢ ἴση. ἔστω πρότερον μείζων· μείζων ἄρα καὶ ἡ ΑΘ τῆς ΘΔ. τετμήσθω ἡ ΑΔ δίχα κατὰ τὸ Λ. ἐπεὶ οὖν τὸ μὲν ὑπὸ ΑΘ, ΘΔ τοῦ ἀπὸ ΑΛ ἔλαττόν ἐστι τῷ ἀπὸ ΛΘ, τὸ δὲ ὑπὸ ΑΚ, ΚΔ τοῦ ἀπὸ ΑΛ ἔλαττόν ἐστι τῷ ἀπὸ ΛΚ, καὶ ἔστι μεῖζον τὸ ἀπὸ ΛΚ τοῦ ἀπὸ ΛΘ· μεῖζον ἄρα τὸ ὑπὸ ΑΘ, ΘΔ, τουτέστι τὸ ἀπὸ ΒΘ, τοῦ ἀπὸ ΑΚ, ΚΔ, τουτέστι τοῦ ἀπὸ ΗΚ· ἡ ΘΒ ἄρα μείζων τῆς ΗΚ. καὶ εἰσιν αἱ

duæ ΘΒ, ΒΗ duabus ΕΗ, ΗΒ æquales sunt, & angulus ΕΗΒ æqualis angulo ΗΒΘ, nam uterque rectus: basis igitur ΕΒ basi ΘΗ est æqualis, & triangulum triangulo simile: quare ut ΒΕ ad ΕΗ ita ΗΘ ad ΘΒ. sed ΗΘ ad ΘΒ majorem rationem habet quam ΗΑ ad ΑΒ, ut proxime [per 2.huj.] demonstravimus; orthogonium enim triangulum est ΑΒΗ: ergo ΒΕ ad ΕΗ, hoc est ΓΒ ad ΕΗ, hoc est ΓΔ ad ΕΖ, majorem rationem habet quam ΗΑ ad ΑΒ: rectangulum igitur quod fit sub ΓΔ, ΒΑ majus est eo quod sub ΕΖ, ΗΑ, per primum theorema. sed rectanguli quidem sub ΓΔ, ΒΑ dimidium est ΑΓΔ triangulum; rectanguli vero sub ΕΖ, ΗΑ dimidium est triangulum ΕΑΖ: quare triangulum ΑΓΔ majus est triangulo ΑΕΖ, & majus aliis omnibus quæ bases habent æquales basi ΕΖ, ac proinde inter se æqualia sunt. pari modo demonstrabitur, & in aliis sectionibus quæ extra axem fiunt: triangulum igitur per axem omnium maximum erit.

Prop. VI. *Theor.*

Licet idem aliter & universalius demonstrare, quòd simpliciter in his triangulis, quod majorem basim habet illud majus est.

Secto namque cono, fiant triangula ΑΓΔ, ΑΖΔ, ita ut bases ΓΔ, ΖΔ inter se ad terminum Δ conveniant; & sit ΓΔ major ipsa ΖΔ, sive per centrum transeat, sive non: dico triangulum ΑΓΔ majus esse triangulo ΑΖΔ.

Ducantur enim ad ΖΔ, ΓΔ perpendiculares ΑΒ, ΑΗ; & ad ΑΔ ducatur ΒΘ perpendicularis. itaque quoniam ΓΔ major est ipsa ΖΔ; erit ejus dimidia ΒΔ major quam ΔΗ: ergo quadratum ex ΒΔ quadrato ex ΔΗ majus erit; & propterea reliquum quadratum ex ΒΑ minus quadrato ex ΑΗ: quadratum igitur ex ΑΒ ad quadratum ex ΒΔ minorem rationem habet quam quadratum ex ΑΗ ad quadratum ex ΗΔ. sed ut quadratum ex ΑΒ ad quadratum ex ΒΔ ita est ΑΘ ad ΘΔ: ergo ΑΘ ad ΘΔ minorem habet rationem quam quadratum ex ΑΗ ad quadratum ex ΗΔ. fiat ut quadratum ex ΑΗ ad quadratum ex ΗΔ ita ΑΚ ad ΚΔ, & jungatur ΗΚ; quæ ad ΑΔ perpendicularis erit, uti mox demonstrabitur.

Quoniam igitur ponimus ΑΒ non minorem ipsâ ΒΔ, erit ΑΒ vel major quam ΒΔ, vel ipsi æqualis. sit primum major; ergo ΑΘ major est quam ΘΔ. secetur ΑΔ bifariam in Λ. & quoniam [per 5. 2.] rectangulum ΑΘΔ minus est quam quadratum ex ΑΛ quadrato ex ΛΘ; rectangulum vero ΑΚΔ minus quam quadratum ex ΑΛ quadrato ex ΛΚ, & majus est quadratum ex ΛΚ quadrato ex ΛΘ; erit rectangulum ΑΘΔ, hoc est quadratum ex ΒΘ, majus rectangulo ΑΚΔ, hoc est quadrato ex ΗΚ: recta igitur ΘΒ major est

est recta HK. suntque BΘ, HK altitudines triangulorum ABΔ, AHΔ: quare triangulum ABΔ majus est triangulo AHΔ, ut & eorundem dupla, videlicet triangulum AΓΔ majus triangulo AZΔ. sed ipsi AZΔ æquale est aliud omne basim habens ipsi ZΔ æqualem: triangulum igitur AΓΔ majus est quolibet triangulo, cujus basis est æqualis ipsi ZΔ.



Quod si AB sit æqualis ipsi BΔ, erit & AΘ ipsi ΘΔ æqualis: & similiter rectangulum AΘΔ, hoc est quadratum ex BΘ, majus erit rectangulo AKΔ, hoc est quadrato ex HK: propterea que recta BΘ major quam HK, & triangulum ABΔ triangulo AHΔ majus. eodem modo demonstrabitur etiam, si alias bases duxerimus: quare triangulum majorem habens basim triangulo minorem habente majus erit.

At vero rectam HK ad AΔ perpendicularem esse, hoc modo ostendetur.

Sit triangulum orthogonium AHΔ rectum habens angulum ad H, & à puncto H ad basim ducatur HK, ita ut quam rationem habet quadratum ex AH ad quadratum ex HΔ eandem habeat recta AK ad KΔ: dico HK ad AΔ perpendicularem esse.



Si enim non ita sit, sit HΛ perpendicularis: ut igitur quadratum ex HA ad quadratum ex HΔ ita AΛ ad ΛΔ. erat autem ut quadratum ex AH ad quadratum ex HΔ ita AK ad KΔ; quare ut AΛ ad ΛΔ ita erit AK ad KΔ, quod est absurdum: igitur HΛ non est perpendicularis. similiter ostendemus neque aliam ullam perpendicularem esse præter ipsam HK: ergo HK ad AΔ perpendicularis erit.

Prop. VII. *Theor.*

Si in cono recto triangulum per axem majus sit quovis triangulo extra axem constituto: axis coni non minor erit semidiametro.

SIT conus cujus vertex quidem A punctum, axis recta AB; basis autem circulus circa centrum B; & triangulum per axem AΓΔ, quod majus sit omni triangulo extra axem in cono constituto: dico rectam AB semidiametro basis non minorem esse.



Si enim fieri potest, sit minor: & ducatur in circulo recta BE ad ΓΔ perpendicularis. quoniam igitur angulus ABE rectus est, recta quæ puncta A, E conjungit, major est semidiametro BE: quare si à puncto A in angulo ABE aptetur recta linea ipsi semidiametro æqualis, inter puncta B & E

ΒΘ, ΗΚ ὕψη τῶν ΑΒΔ, ΑΗΔ τριγώνων· μεῖζον ἄρα τὸ ΑΒΔ τοῦ ΑΗΔ, ὥστε καὶ τὰ διπλάσια· τὸ ἄρα ΑΓΔ τοῦ ΑΔΖ· μεῖζόν ἐστιν. ἀλλὰ τῷ ΑΖΔ ἴσον ἕκαστον οὗ ἡ βάσις ἴση ἐστὶ τῇ ΖΔ· τὸ ἄρα ΑΓΔ παντὸς τριγώνου μεῖζόν ἐστιν, οὗ ἡ βάσις ἴση ἐστὶ τῇ ΖΔ.

Εἰ δὲ ἡ ΑΒ τῇ ΒΔ ἴση, ἴση ἄρα καὶ ἡ ΑΘ τῇ ΘΔ· ὁμοίως ἄρα τὸ ὑπὸ ΑΘ, ΘΔ, τουτέστι τὸ ἀπὸ ΒΘ, μεῖζόν ἐστι τοῦ ὑπὸ ΑΚ, ΚΔ, τουτέστι τοῦ ἀπὸ ΗΚ· ἡ ἄρα ΒΘ μείζων ἐστὶ τῆς ΗΚ, καὶ τὸ ΑΒΔ τρίγωνον τοῦ ΑΗΔ τριγώνου μεῖζον. ὁμοίως δὲ δειχθήσεται, κἂν ἄλλας βάσεις διαγάγωμεν· ὥστε τὸ οὕτως ἔχον μείζονα βάσιν τρίγωνον μεῖζόν ἐστι τοῦ ἔχοντος ἐλάσσονα.

Ὅτι δὲ ἡ ΗΚ κάθετός ἐστιν ἐπὶ τὴν ΑΔ, δείκνυται οὕτως.

Τριγώνου γὰρ ὀρθογωνίου τοῦ ΑΗΔ, ὀρθὴν ἔχοντος τὴν πρὸς τὸ Η γωνίαν, διῃρήσθω ἡ ΑΔ βάσις ὑπὸ τῆς ΗΚ, ὥστε εἶναι ὡς τὸ ἀπὸ ΑΗ πρὸς τὸ ἀπὸ ΗΔ οὕτως ἡ ΑΚ πρὸς ΚΔ· λέγω ὅτι κάθετός ἐστιν ἡ ΗΚ ἐπὶ τὴν ΑΔ.

Εἰ γὰρ μή, ἔστω ἡ ΗΛ κάθετος· ὡς ἄρα τὸ ἀπὸ ΗΑ πρὸς τὸ ἀπὸ ΗΔ οὕτως ἡ ΑΛ πρὸς τὴν ΛΔ. ἦν δὲ ὡς τὸ ἀπὸ ΑΗ πρὸς τὸ ἀπὸ ΗΔ οὕτως ἡ ΑΚ πρὸς ΚΔ· ἔσται ἄρα ὡς ἡ ΑΛ πρὸς ΛΔ οὕτως ἡ ΑΚ πρὸς ΚΔ, ὅπερ ἄτοπον· οὐκ ἄρα κάθετός ἐστιν ἡ ΗΛ. ὁμοίως δὲ δείκνυται ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΗΚ· ἡ ἄρα ΗΚ κάθετός ἐστιν ἐπὶ τὴν ΑΔ.

ΠΡΟΤΑΣΙΣ ζ'.

Ἐὰν ἐν κώνῳ ὀρθῷ τὸ διὰ τοῦ ἄξονος τρίγωνον μέγιστον ᾖ πάντων τῶν ἐκτὸς τοῦ ἄξονος συνισταμένων τριγώνων· ὁ ἄξων τοῦ κώνου οὐκ ἐλάσσων ἔσται τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως.

ΕΣΤΩ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α, ἄξων δὲ ἡ ΑΒ εὐθεῖα, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, τὸ δὲ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΓΔ, μέγιστον ὂν πάντων τῶν ἐν τῷ κώνῳ συνισταμένων τριγώνων ἐκτὸς ἄξονος· λέγω ὅτι ἡ ΑΒ οὐκ ἔστιν ἐλάττων τῆς ἐκ τοῦ κέντρου.

Εἰ γὰρ δυνατὸν ἔστω ἐλάττων, καὶ ἤχθω ἐν τῷ κύκλῳ πρὸς ὀρθὰς τῇ ΓΔ ἡ ΒΕ. καὶ ἐπεὶ ἡ ὑπὸ ΑΒΕ γωνία ὀρθή ἐστιν, ἡ ἄρα τὰ Α, Ε σημεῖα ἐπιζευγνύουσα εὐθεῖα μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τῆς ΒΕ· ἐὰν ἄρα ἴση τῇ ἐκ τοῦ κέντρου ἀπὸ τοῦ Α ὑπὸ τὴν ΑΒΕ γωνίαν ἐναρμοσθῇ, μεταξὺ πεσεῖται τῶν Β καὶ Ε σημείων.

μείων. ἐναρμόσθω ἡ ΑΖ ἴση τῇ ἐκ τοῦ κέντρου, καὶ διὰ τοῦ Ζ παρὰ τὴν ΓΔ ἤχθω ἡ ΗΘ, καὶ ἐπεζεύχθω ἡ ΒΗ· γενήσεται δή, ὡς ἐν τῷ ε΄. θεωρήματι ἐδείχθη, τὰ ΑΒΖ, ΗΒΖ τρίγωνα ὅμοια· καὶ ἴσαι αἱ ὁμόλογοι πλευραί· ὡς ἄρα ἡ ΖΑ πρὸς ΑΒ οὕτως ἡ ΒΗ πρὸς ΗΖ, τουτέστιν ἡ ΓΒ πρὸς ΗΖ· τὸ ἄρα ὑπὸ ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΖ, ΖΗ, τουτέστιν τὸ διὰ τοῦ ἄξονος τρίγωνον ἴσον ἐστὶ τῷ ΑΗΘ τριγώνῳ, ὅπερ ἀδύνατον· ὑπόκειται γὰρ τὸ ΑΓΔ μέγιστον εἶναι. οὐκ ἄρα ἡ ΑΒ ἐλάσσων ἐστὶ τῆς ἐκ τοῦ κέντρου.

ΠΡΟΤΑΣΙΣ η΄.

Κῶνον ὀρθόν, οὗ ὁ ἄξων οὐκ ἔστιν ἐλάττων τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως, τεμεῖν διὰ τῆς κορυφῆς ἐπιπέδῳ ποιοῦντι τρίγωνον, λόγον ἔχον δεδομένον πρὸς τὸ διὰ τοῦ ἄξονος τρίγωνον. δεῖ δὲ τὸν δεδομένον λόγον ἐλάττονος εἶναι πρὸς μεῖζον.

ΕΣΤΩ κορυφὴ μὲν τοῦ κώνου τὸ Α, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, τὸ δὲ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΓΔ, ἐν ᾧ κάθετος ἡ ΑΒ ἐστί· δεῖ δὴ τὸν κῶνον τεμεῖν τριγώνῳ, ὃ λόγον ἕξει πρὸς τὸ ΑΓΔ τὸν ἐπιταχθέντα. ἐπιτετάχθω δὲ ὁ τῆς Κ ἐλάττονος πρὸς μείζονα τὴν Λ λόγος.

Ἐπεὶ οὖν τὸ ΑΒΔ ὀρθογώνιόν ἐστι, γεγράφθω περὶ αὐτὸ ἡμικύκλιον, καὶ ἀπὸ τοῦ Β κάθετος ἤχθω ἡ ΒΕ, καὶ ὡς ἡ Κ πρὸς Λ οὕτως ἔστω ἡ ΖΕ πρὸς ΕΒ, καὶ διὰ τοῦ Ζ παράλληλος ἤχθω τῇ ΕΔ ἡ ΖΗ, διὰ δὲ τοῦ Η τῇ ΖΕ παράλληλος ἡ ΗΘ· ἴση ἄρα ἡ ΖΕ τῇ ΗΘ. ἐπεὶ οὖν ὡς ἡ Κ πρὸς Λ οὕτως ἡ ΖΕ πρὸς ΕΒ, τουτέστιν ἡ ΘΗ πρὸς ΒΕ, ὡς δὲ ἡ ΘΗ πρὸς ΒΕ οὕτως τὸ ὑπὸ ΗΘ, ΑΔ πρὸς τὸ ὑπὸ ΒΕ, ΑΔ, ὡς δὲ τὸ ὑπὸ ΗΘ, ΑΔ πρὸς τὸ ὑπὸ ΒΕ, ΑΔ οὕτως τὰ ἡμίση, τουτέστι τὸ ΑΗΔ τρίγωνον πρὸς τὸ ΑΒΔ· ὡς ἄρα ἡ Κ πρὸς Λ οὕτως τὸ ΑΗΔ τρίγωνον πρὸς τὸ ΑΒΔ· τὸ ΑΗΔ ἄρα πρὸς τὸ ΑΒΔ ἐν τῷ δοθέντι λόγῳ ἐστίν. ἐὰν οὖν ἐν τῇ βάσει τοῦ κώνου ἐναρμόσωμεν διπλῆν τῆς ΗΔ, καὶ διὰ τῆς ἐναρμοσθείσης καὶ τῆς κορυφῆς τοῦ κώνου ἐπίπεδον ἐκβάλλωμεν, ποιήσει τρίγωνον ἐν τῷ κώνῳ διπλάσιον τοῦ ΑΗΔ· ἕξει ἄρα τὸ συνιστάμενον τρίγωνον πρὸς τὸ ΑΓΔ λόγον, ὃν τὸ ΑΗΔ ἔχει πρὸς τὸ ΑΒΔ, τουτέστιν ὃν ἡ Κ πρὸς Λ.

ΠΡΟΤΑΣΙΣ θ΄.

Ἐὰν κῶνος ὀρθὸς διὰ τῆς κορυφῆς ἐπιπέδοις τμηθῇ, τῷ μὲν διὰ τοῦ ἄξονος, τοῖς δὲ ἐκτὸς τοῦ ἄξονος, τῶν δὲ γινομένων τριγώνων ἐκτὸς τοῦ ἄξονος ἓν ὁποιοῦν ἴσον ἔσται τῷ διὰ τοῦ ἄξονος τριγώνῳ· ὁ τοῦ κώνου ἄξων ἐλάττων ἔσται τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως.

cadet. itaque aptetur, sitque ΑΖ; perque Ζ ducatur ΗΘ ipsi ΓΔ parallela, & jungatur ΒΗ: fient igitur triangula ΑΒΖ, ΗΒΖ similia, ut in quinto theoremate demonstratum est, & latera homologa inter se æqualia erunt; ut igitur ΖΑ ad ΑΒ ita ΒΗ ad ΗΖ, hoc est ΓΒ ad ΗΖ: quare [per 16. 6.] rectangulum ΑΒΓ æquale est rectangulo ΑΖΗ, hoc est triangulum per axem æquale erit triangulo ΑΗΘ, quod fieri non potest; posuimus enim triangulum ΑΓΔ maximum esse. igitur ΑΒ non minor est semidiametro basis.

PROP. VIII. *Probl.*

Conum rectum, cujus axis non sit minor semidiametro basis, plano per verticem ducto ita secare, ut faciat triangulum quod ad triangulum per axem rationem habeat datam. oportet autem datam rationem esse minoris ad majus.

SIT coni vertex Α, basis circulus circa Β centrum, & triangulum per axem ΑΓΔ, in quo sit ΑΒ perpendicularis; & oporteat conum secare triangulo, quod ad triangulum ΑΓΔ rationem datam habeat. sit autem data ratio ea quæ est Κ minoris ad Λ majorem.



Quoniam igitur triangulum ΑΒΔ rectangulum est, describatur circa ipsum semicirculus; atque à puncto Β ducatur ΒΕ perpendicularis; & quam rationem habet Κ ad Λ eandem habeat ΖΕ ad ΕΒ; deinde per Ζ ducatur ΖΗ ipsi ΕΔ parallela, & per Η ipsa ΗΘ parallela ipsi ΖΕ: & erit ΖΕ æqualis ipsi ΗΘ. itaque quoniam ut Κ ad Λ ita ΖΕ ad ΕΒ, hoc est ΘΗ ad ΒΕ; ut autem ΘΗ ad ΒΕ ita est rectangulum sub ΗΘ & ΑΔ ad rectangulum sub ΒΕ & ΑΔ; & ut rectangulum sub ΗΘ & ΑΔ ad rectangulum sub ΒΕ & ΑΔ ita eorundem dimidia, videlicet triangulum ΑΗΔ ad triangulum ΑΒΔ; erit itaque ut Κ ad Λ ita ΑΗΔ triangulum ad triangulum ΑΒΔ: quare triangulum ΑΗΔ ad ipsum ΑΒΔ est in data ratione. si igitur in basi coni aptabimus rectam duplam ipsius ΗΔ, perque ipsam & verticem planum ducemus; faciet id in cono triangulum ipsius ΑΗΔ duplum: quod quidem ad triangulum ΑΓΔ eandem rationem habebit quam ΑΗΔ triangulum ad triangulum ΑΒΔ, hoc est quam Κ habet ad Λ.

PROP. IX. *Theor.*

Si conus rectus planis per verticem secetur, & per axem & extra axem; triangulorum autem, quæ fiunt extra axem, unum aliquod æquale sit triangulo per axem: axis coni semidiametro basis minor erit.

Secto enim cono fiant triangula, per axem quidem ΑΓΔ, extra axem vero ΑΕΖ, quod triangulo ΑΓΔ sit æquale; sitque ΕΖ ipsi ΓΔ parallela, & ducantur ΑΒ, ΑΗ perpendiculares, & jungantur ΒΕ, ΒΗ: dico axem ΑΒ semidiametro ΒΔ minorem esse.

Quoniam enim ΑΕΖ triangulum æquale est triangulo ΑΓΔ; & eorundem dupla æqualia erunt, videlicet rectangulum sub ΕΖ & ΗΑ æquale rectangulo sub ΓΔ & ΒΑ: ergo [per 14.6.] ut ΓΔ ad ΕΖ, hoc est ΓΒ ad ΕΗ [sive ΒΕ ad ΕΗ] ita ΗΑ ad ΑΒ. quoniam igitur duo triangula ΒΕΗ, ΗΑΒ unum angulum ΕΗΒ uni angulo ΑΒΗ æqualem habent; (est enim uterque rectus) circa alios autem angulos latera sunt proportionalia, estque reliquorum ΕΒΗ, ΑΗΒ uterque recto minor; triangula inter se similia erunt: ut igitur ΕΗ ad ΗΒ ita ΑΒ ad ΗΒ; quare ΑΒ ipsi ΕΗ est æqualis. sed ΕΗ minor est semidiametro ΒΕ; ergo ΑΒ coni axis semidiametro minor erit. quod erat demonstrandum.



Τμηθέντος γὰρ τριγώνου, γενέσθω τρίγωνα, διὰ μὲν τοῦ ἄξονος τὸ ΑΓΔ, ἐκτὸς δὲ τὸ ΑΕΖ, ἴσον ὂν τῷ ΑΓΔ, ἔστω δὲ παράλληλος ἡ ΕΖ τῇ ΓΔ, καὶ κάθετοι αἱ ΑΒ, ΑΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΕ, ΒΗ· λέγω δὴ ὅτι ἡ ΑΒ ὁ ἄξων ἐλάσσων ἐστὶ τῆς ΒΔ τῆς ἐκ τοῦ κέντρου.

Ἐπεὶ οὖν τὸ ΑΕΖ τρίγωνον ἴσον ἐστὶ τῷ ΑΓΔ, καὶ τὰ διπλάσια ἄρα ἴσα, τουτέστι τὸ ὑπὸ τῶν ΕΖ, ΗΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΔ, ΒΑ· ὡς ἄρα ἡ ΓΔ πρὸς ΕΖ, τουτέστιν ἡ ΓΒ πρὸς ΕΗ, οὕτως ἡ ΗΑ πρὸς ΑΒ. ἐπεὶ οὖν δύο τρίγωνα τὰ ΒΕΗ, ΗΑΒ μίαν γωνίαν τὴν ὑπὸ ΕΗΒ μιᾷ γωνίᾳ τῇ ὑπὸ ΑΒΗ ἴσην ἔχει, (ὀρθὴ γὰρ ἑκατέρα) περὶ δὲ ἄλλας γωνίας τὰς ΒΕΗ, ΗΑΒ τὰς πλευρὰς ἀνάλογον, ἑκατέρα δὲ τῶν λοιπῶν τῶν ὑπὸ ΕΒΗ, ΑΗΒ ἐλάττων ἐστὶν ὀρθῆς· ὅμοια ἄρα ἐστὶ τὰ τρίγωνα· ὡς ἄρα ἡ ΕΗ πρὸς ΗΒ οὕτως ἡ ΑΒ πρὸς ΗΒ· ἴση ἄρα ἡ ΑΒ τῇ ΕΗ. ἐλάττων δὲ ἡ ΕΗ τῆς ἐκ τοῦ κέντρου τῆς ΒΕ· καὶ ἡ ΑΒ ἄρα, ἄξων οὖσα τοῦ κώνου, ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου. ὃ προέκειτο δεῖξαι.

Corollarium.

Quod autem demonstratum est in lineis parallelis ΓΔ, ΕΖ; constabit etiam si non fuerint parallelæ: quippe cum [per 3.huj.] ostensum sit triangula bases æquales habentia inter se æqualia esse.

Πόρισμα.

Ἐπεὶ τοίνυν ἐδείχθη ἐπὶ παραλλήλων τῶν ΓΔ, ΕΖ, φανερὸν ὡς, κἂν μὴ παράλληλοι ὦσιν, οὐδὲν διοίσει· ἐδείχθη γὰρ ὡς τὰ ἴσας ἔχοντα βάσεις τρίγωνα ἴσα ἐστί.

Prop. X. *Theor.*

Iisdem manentibus, demonstrandum est, si rursus planum ducatur conum per verticem secans, faciensque in basi rectam lineam, cujus magnitudo media sit inter bases æqualium triangulorum; triangulum illud utrisque triangulis æqualibus majus esse.

Sit, ut in antecedenti figura, triangulum per axem ΑΓΔ æquale triangulo basim habenti ΕΖ; & ducatur quælibet recta linea ΚΜ, cujus magnitudo sit inter ΓΔ, ΕΖ; ponatur autem utrique earum parallela, & per ipsam & verticem planum ducatur: dico triangulum ΑΚΜ utroque ipsorum ΑΓΔ, ΑΕΖ majus esse.

Secetur enim rursus ΚΜ bifariam in Λ, & jungantur ΑΛ, ΒΚ, ΒΛ. itaque quoniam ΑΓΔ triangulum æquale est triangulo ΑΕΖ: erit ΑΒ ipsi ΕΗ, hoc est dimidiæ ipsius ΕΖ, æqualis, ut proxime demonstratum fuit. sed ΚΛ est major quam ΕΗ: ergo & ΚΛ ipsa ΑΒ major erit. ponatur ΒΝ æqualis ipsi ΚΛ,

ΠΡΟΤΑΣΙΣ ί.

Τῶν αὐτῶν ὄντων, δεικτέον ὅτι ἐὰν διαχθῇ πάλιν ἐπίπεδον τέμνον τὸν κῶνον διὰ τῆς κορυφῆς, καὶ ποιῇ ἐν τῇ βάσει εὐθεῖαν τῷ μεγέθει μεταξὺ τῶν βάσεων τῶν ἴσων τριγώνων· ἐκεῖνο τὸ τρίγωνον μεῖζον ἔσται ἑκατέρου τῶν ἴσων τριγώνων.



Ἔστω γὰρ, ἐπὶ τῆς ὁμοίας καταγραφῆς, τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΓΔ ἴσον τῷ βάσιν ἔχοντι τὴν ΕΖ, καὶ διήχθω τυχοῦσα ἡ ΚΜ μεγέθει μεταξὺ τῶν ΓΔ, ΕΖ, καὶ ἑκατέρᾳ αὐτῶν κείσθω παράλληλος, καὶ διήχθω τὸ ἐπίπεδον· λέγω δὴ ὅτι τὸ ΑΚΜ τρίγωνον μεῖζόν ἐστιν ἑκατέρου τῶν ΑΓΔ, ΑΕΖ.

Τετμήσθω γὰρ πάλιν δίχα ἡ ΚΜ τῷ Λ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΛ, ΒΚ, ΒΛ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΑΓΔ τρίγωνον τῷ ΑΕΖ τριγώνῳ, ἡ ἄρα ΑΒ τῇ ΕΗ τῇ ἡμισείᾳ τῆς ΕΖ ἴση ἐστὶν, ὡς ἐν τῷ πρὸ τούτου συναπεδείχθη. μείζων δὲ ἡ ΚΛ τῆς ΕΗ· καὶ τῆς ΑΒ ἄρα μείζων ἐστὶν ἡ ΚΛ. κείσθω οὖν τῇ ΚΛ ἴση ἡ

ΒΝ

ΒΝ, καὶ ἐπεζεύχθω ἡ ΛΝ· διὰ τὰ αὐτὰ δὴ τοῖς προειρημένοις ἔσται τὸ ΒΚΛ τρίγωνον τῷ ΛΝΒ τριγώνῳ ἴσον τε καὶ ὅμοιον· ὡς ἄρα ἡ ΒΚ πρὸς ΚΛ, τουτέστιν ὡς ἡ ΓΒ πρὸς ΚΛ, τουτέστιν ἡ ΓΔ πρὸς ΚΜ, οὕτως ἡ ΛΝ πρὸς ΝΒ. ἡ δὲ ΛΝ πρὸς ΝΒ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΛΑ πρὸς ΑΒ· τὸ ἄρα ὑπὸ τῶν ΓΔ, ΒΑ ἔλασσόν ἐστι τοῦ ὑπὸ τῶν ΚΜ, ΛΑ, τουτέστι τὸ ΑΓΔ τρίγωνον ἔλαττόν ἐστι τοῦ ΑΚΜ τριγώνου· μεῖζον ἄρα τὸ ΑΚΜ τοῦ ΑΓΔ καὶ τοῦ ΑΕΖ τριγώνου.

Πόρισμα.

Τὸ αὐτὸ δὴ δείκνυται καὶ ἐπὶ πάντων τριγώνων, ὧν ἡ βάσις μεγέθει μεταξύ ἐστι τῆς ΓΔ καὶ ΕΖ· οὐδὲν γὰρ διοίσει κἂν μὴ παράλληλοι ὦσιν αἱ βάσεις, ὡς καὶ πρότερον ἐδείχθη.

& jungatur ΛΝ, ac eadem ratione qua ſupra, demonſtrabimus triangulum ΒΚΛ æquale & ſimile triangulo ΛΝΒ: quare ut ΒΚ ad ΚΛ, hoc eſt ut ΓΒ ad ΚΛ, hoc eſt ΓΔ ad ΚΜ, ita ΛΝ ad ΝΒ. ſed ΛΝ ad ΝΒ minorem rationem habet quam ΛΑ ad ΑΒ; & propterea rectangulum ſub ΓΔ & ΒΑ minus eſt rectangulo ſub ΚΜ & ΛΑ, hoc eſt triangulum ΑΓΔ minus triangulo ΑΚΜ: triangulum igitur ΑΚΜ & triangulo ΑΓΔ & triangulo ΑΕΖ majus erit.

Corollarium.

Idem demonſtrabitur etiam in omnibus triangulis, quorum baſes magnitudine inter ΓΔ, ΒΖ intermediæ ſint, nihil enim differt ſi baſes non ſint parallelæ, ut ſupra demonſtratum fuit.

ΠΡΟΤΑΣΙΣ ιά.

Δοθέντα κῶνον ὀρθόν, οὗ ὁ ἄξων ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως, τεμεῖν διὰ τῆς κορυφῆς, ὥστε τὸ γινόμενον τρίγωνον ἴσον εἶναι τῷ διὰ τοῦ ἄξονος τριγώνῳ.

ΕΣΤΩ ὁ δοθεὶς κῶνος, οὗ ἄξων μὲν ὁ ΑΒ, τὸ δὲ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΓΔ· καὶ δέον ἔστω τεμεῖν τὸν κῶνον ἐπιπέδῳ, ποιοῦντι τρίγωνον ἐν τῷ κώνῳ ἴσον τῷ ΑΓΔ.

Ἤχθω τῇ ΓΔ ἐν τῷ κύκλῳ πρὸς ὀρθὰς διὰ τοῦ κέντρου ἡ ΕΒΖ. καὶ ἐπεὶ ἡ ΑΒ ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, ἐνηρμόσθω ἡ ΑΗ, ὑποτείνουσα μὲν τὴν ὑπὸ ΑΒΖ γωνίαν, ἴση δὲ οὖσα τῇ ἐκ τοῦ κέντρου, (τοῦτο δὲ ῥᾴδιον ποιῆσαι) καὶ διὰ τοῦ Η παράλληλος τῇ ΓΔ ἤχθω ἡ ΘΗΚ· ἡ ΘΗΚ ἄρα κατὰ τὸ Η δίχα τέτμηται καὶ πρὸς ὀρθὰς τῇ ΕΒΖ. διεκβεβλήσθω τὸ διὰ τῶν ΘΚ, ΗΑ ἐπίπεδον, ποιοῦν τὸ ΑΘΚ τρίγωνον· λέγω ὅτι ἴσον ἐστὶ τῷ ΑΓΔ.

Ἐπεζεύχθω ἡ ΒΘ. καὶ ἐπεὶ ἴση ἡ ΑΗ τῇ ΒΘ, ὡς ἄρα ἡ ΑΗ πρὸς ΗΒ οὕτως ἡ ΘΒ πρὸς ΗΒ. ἐπεὶ οὖν δύο τρίγωνα τὰ ΒΘΗ, ΗΑΒ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχει (ὀρθαὶ γὰρ αἱ ὑπὸ ΘΗΒ, ΑΒΗ) παρὰ δὲ ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, τάς τε λοιπὰς ὀρθῆς ἐλάσσονας· ὅμοια ἄρα τὰ ΒΘΗ, ΗΑΒ τρίγωνα· ὡς ἄρα ἡ ΒΘ πρὸς ΘΗ, τουτέστιν ὡς ἡ ΓΔ πρὸς ΘΚ, οὕτως ἡ ΗΑ πρὸς ΑΒ· τὸ ἄρα ὑπὸ ΓΔ, ΒΑ ἴσον τῷ ὑπὸ ΘΚ, ΗΑ, καὶ τὰ ἡμίσεα· τὸ ΑΓΔ τρίγωνον ἄρα ἴσον ἐστὶ τῷ ΑΘΚ τριγώνῳ. ὅπερ ἔδει ποιῆσαι.

Prop. XI. *Probl.*

Datum conum rectum, cujus axis ſit minor ſemidiametro baſis, plano per verticem ita ſecare, ut faciat triangulum æquale ei quod per axem conſtituitur.

SIT datus conus rectus, cujus axis quidem ΑΒ; triangulum vero per axem ΑΓΔ: & oporteat eum plano per verticem ita ſecare, ut faciat triangulum triangulo ΑΓΔ æquale.



Ducatur in circulo per centrum recta ΕΒΖ ad rectos angulos ipſi ΓΔ. & quoniam ΑΒ minor eſt ſemidiametro baſis, aptetur ΑΗ ſubtendens angulum ΑΒΖ, quæ ſemidiametro ſit æqualis (quod quidem facile effici poteſt) deinde per Η ducatur ΘΗΚ ipſi ΓΔ parallela: ergo [per 3. 3.] ΘΗΚ ad Η bifariam ſecatur & ad ΕΒΖ eſt perpendicularis. ducatur juxta rectas ΘΚ, ΗΑ planum triangulum ΑΘΚ efficiens: dico ΑΘΚ triangulo ΑΓΔ æquale eſſe.

Jungatur enim ΒΘ, & quoniam ΑΗ eſt æqualis ipſi ΒΘ, erit ut ΑΗ ad ΗΒ ita ΘΒ ad ΒΗ: quod cum duo triangula ΒΘΗ, ΗΑΒ unum angulum uni angulo æqualem habeant (ſunt enim ΘΗΒ, ΑΒΗ utrique recti) & circa alios angulos latera proportionalia ſint, reliquorum vero uterquo recto minor; erunt ΒΘΗ, ΗΑΒ triangula inter ſe ſimilia: quare ut ΒΘ ad ΘΗ, hoc eſt ΓΔ ad ΘΚ, ita ΗΑ ad ΑΒ: & idcirco rectangulum quod fit ſub ΓΔ & ΒΑ æquale eſt rectangulo ſub ΘΚ & ΗΑ; proinde eorum dimidia, videlicet triangulum ΑΓΔ æquale erit triangulo ΑΘΚ. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιβ΄.

Ἐὰν κῶνος ὀρθὸς διὰ τῆς κορυφῆς ἐπιπέδοις τμηθῇ, τῶν δὲ γινομένων ἐν τῷ κώνῳ τριγώνων τινὸς ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἴση ᾖ τῇ ἡμι-

Prop. XII. *Theor.*

Si conus rectus planis per verticem ſecetur, & in uno triangulorum ſectione factorum recta à vertice ad baſim perpendicularis ducta æqualis ſit dimidiæ

dimidiæ basis: erit illud triangulum majus omnibus triangulis dissimilibus in cono constitutis.

SIT in cono recto triangulum ΑΓΔ, quod perpendicularem ΑΒ æqualem habeat ipsi ΒΔ dimidiæ ΓΔ basis: dico ΑΓΔ triangulum majus esse omnibus triangulis dissimilibus quæ in cono constituuntur.

Sumatur enim aliud quodvis triangulum ΑΕΖ ipsi dissimile, in quo sit perpendicularis ΑΗ; & à puncto quidem Β ad ΑΔ perpendicularis ducatur ΒΘ; à puncto autem Η ad ΑΖ itidem ducatur perpendicularis ΗΚ. quoniam igitur triangulum ΑΓΔ dissimile est triangulo ΑΕΖ, & ΑΒΔ ipsi ΑΗΖ dissimile erit. sunt autem orthogonia, & æquicrure est ΑΒΔ: ergo ΑΗΖ non est æquicrure; & quadratum quidem ex ΑΒ æquale est quadrato ex ΒΔ, quadratum vero ex ΑΗ quadrato ex ΗΖ non est æquale. ut autem quadratum ex ΑΒ ad quadratum ex ΒΔ ita recta ΑΘ ad ΘΔ; & ut quadratum ex ΑΗ ad quadratum ex ΗΖ ita ΑΚ ad ΚΖ: recta igitur ΑΔ in partes æquales dividitur, ΑΖ vero in partes inæquales. itaque quoniam id quod sub æqualibus partibus continetur majus est contento sub partibus inæqualibus; erit ΑΘΔ rectangulum majus rectangulo ΑΚΖ. sed rectangulo ΑΘΔ æquale est quadratum ex ΒΘ; & rectangulo ΑΚΖ æquale quadratum ex ΗΚ: quadratum igitur ex ΒΘ quadrato ex ΗΚ majus erit; idcircoque linea ΒΘ major quam ΗΚ. ut autem ΒΘ ad ΗΚ ita rectangulum sub ΒΘ, ΑΔ ad rectangulum sub ΗΚ, ΑΖ; & ita dimidium ad dimidium, hoc est triangulum ΑΒΔ ad triangulum ΑΗΖ: majus igitur est ΑΒΔ triangulum triangulo ΑΗΖ, & eorundem dupla, videlicet triangulum ΑΓΔ majus triangulo ΑΕΖ. similiter ostendetur ΑΓΔ majus esse omnibus triangulis ipsi dissimilibus. quod erat demonstrandum.



Prop. XIII. *Probl.*

Datum conum rectum, cujus axis sit minor semidiametro basis, plano per verticem ita secare, ut faciat triangulum majus omnibus triangulis dissimilibus in cono constitutis.

SIT datus conus rectus, cujus vertex quidem Α punctum; basis circulus circa centrum Β, axis vero ΑΒ minor semidiametro basis: & oporteat conum juxta præscriptum secare.

Ducatur planum per axem quod faciat triangulum ΑΓΔ, & erit ΑΒ perpendicularis & minor quam ΒΔ. deinde in plano circuli ducatur ΒΕ ad rectos angulos ipsi ΓΒ; & quo quadratum ex ΔΒ superat quadratum ex ΒΑ, ejus dimidium sit quadratum ex ΒΗ; perque

σείᾳ τῆς βάσεως· τοῦτο μεῖζον ἔσται πάντων τῶν ἀνομοίων ἐν τῷ κώνῳ τριγώνων.

ΕΝ γὰρ κώνῳ ὀρθῷ τρίγωνον ἔστω τὸ ΑΓΔ, ἔχον τὴν ΑΒ κάθετον ἴσην τῇ ΒΔ, ἡμισείᾳ οὔσῃ τῆς ΓΔ βάσεως· λέγω ὅτι τὸ ΑΓΔ τρίγωνον μεῖζόν ἐστι πάντων τῶν ἀνομοίων ἐν τῷ κώνῳ συνισταμένων τριγώνων.

Εἰλήφθω γὰρ ἄλλο τυχὸν τρίγωνον ἀνόμοιον αὐτῷ τῷ ΑΕΖ, ἐν ᾧ κάθετος ἡ ΑΗ· καὶ ἀπὸ μὲν τοῦ Β ἐπὶ τὴν ΑΔ κάθετος ἤχθω ἡ ΒΘ, ἀπὸ δὲ τοῦ Η ἐπὶ τὴν ΑΖ κάθετος ἤχθω ἡ ΗΚ. ἐπεὶ οὖν ἀνόμοιόν ἐστι τὸ ΑΓΔ τῷ ΑΕΖ, ἀνόμοιον ἄρα καὶ τὸ ΑΒΔ τῷ ΑΗΖ. καὶ ἔστιν ὀρθογώνια, καὶ ἰσόσκελες τὸ ΑΒΔ· τὸ ΑΗΖ ἄρα ἀνισοσκελές· καὶ τὸ μὲν ἄρα ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΒΔ, τὸ δὲ ἀπὸ τῆς ΑΗ τῷ ἀπὸ τῆς ΗΖ ἄνισον. ἀλλ' ὡς μὲν τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΔ οὕτως ἡ ΑΘ πρὸς ΘΔ, ὡς δὲ τὸ ἀπὸ ΑΗ πρὸς τὸ ἀπὸ ΗΖ οὕτως ἡ ΑΚ πρὸς ΚΖ· ἡ μὲν ἄρα ΑΔ εἰς ἴσα τέτμηται, ἡ δὲ ΑΖ εἰς ἄνισα. ἐπεὶ οὖν αἱ ΔΑ, ΑΖ ἴσαι εἰσὶ, καὶ ἡ μὲν εἰς ἴσα διῄρηται, ἡ δὲ εἰς ἄνισα, τὸ ὑπὸ τῶν ἴσων τμημάτων τοῦ ὑπὸ τῶν ἀνίσων μεῖζόν ἐστι· τὸ ἄρα ὑπὸ ΑΘΔ μεῖζόν ἐστι τοῦ ὑπὸ ΑΚΖ. ἀλλὰ τῷ μὲν ὑπὸ ΑΘΔ ἴσον ἐστὶ τὸ ἀπὸ ΒΘ, τὸ δὲ ὑπὸ ΑΚΖ ἴσον τῷ ἀπὸ ΗΚ· μεῖζον ἄρα τὸ ἀπὸ ΒΘ τοῦ ἀπὸ ΗΚ· μείζων ἄρα καὶ ἡ ΒΘ τῆς ΗΚ. ὡς δὲ ἡ ΒΘ πρὸς ΗΚ οὕτως τό τε ὑπὸ ΒΘ, ΑΔ πρὸς τὸ ὑπὸ ΗΚ, ΑΖ, καὶ τὸ ἥμισυ πρὸς τὸ ἥμισυ, τουτέστι τὸ ΑΒΔ τρίγωνον πρὸς τὸ ΑΗΖ· μεῖζον ἄρα τὸ ΑΒΔ τοῦ ΑΗΖ, καὶ τὰ διπλάσια τὸ ΑΓΔ τοῦ ΑΕΖ. ὁμοίως δὴ δείκνυται ὅτι πάντων τῶν ἀνομοίων μεῖζόν ἐστι τὸ ΑΓΔ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ ιγ'.

Τὸν δοθέντα κῶνον ὀρθὸν, οὗ ὁ ἄξων ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως, τεμεῖν διὰ τῆς κορυφῆς ἐπιπέδῳ, ὥστε τὸ γινόμενον τρίγωνον μεῖζον εἶναι πάντων τῶν ἀνομοίων αὐτῷ ἐν τῷ κώνῳ γινομένων τριγώνων.

ΕΣΤΩ ὁ δοθεὶς κῶνος ὀρθὸς, οὗ κορυφὴ μὲν τὸ Α, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, ἄξων δὲ ὁ ΑΒ, ἐλάττων ὢν τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως· καὶ δέον ἔστω τεμεῖν τὸν κῶνον ὡς προστέτακται.

Ηχθω τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον, ποιοῦν τὸ ΑΓΔ τρίγωνον· ἡ ΑΒ ἄρα κάθετος ἐλάττων ἐστὶ τῆς ΒΔ. ἤχθω ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ τῇ ΓΒ πρὸς ὀρθὰς ἡ ΒΕ· καὶ ᾧ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΔΒ τοῦ ἀπὸ τῆς ΒΑ, τούτου ἥμισυ ἔστω τὸ ἀπὸ τῆς ΒΗ· καὶ διὰ τοῦ Η παράλ-

Η παράλληλος ἤχθω τῇ ΓΔ ἡ ΖΗΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΒΘ.

Ἐπεὶ οὖν τὸ ἀπὸ ΒΔ, τουτέστι τὸ ἀπὸ ΒΘ, τοῦ ἀπὸ ΒΑ μεῖζόν ἐστι δυσὶ τοῖς ἀπὸ ΒΗ, τὸ δὲ ἀπὸ ΑΗ τοῦ ἀπὸ ΑΒ μεῖζόν ἐστιν ἑνὶ τῷ ἀπὸ ΒΗ· τὸ ἄρα ἀπὸ ΒΘ τοῦ ἀπὸ ΑΗ μεῖζόν ἐστι τῷ ἀπὸ ΒΗ. ἔστι δὲ καὶ τοῦ ἀπὸ ΗΘ τῷ ἀπὸ ΒΗ μεῖζον τὸ ἀπὸ ΒΘ· ἑκατέρου ἄρα τῶν ἀπὸ ΑΗ, ΗΘ τῷ αὐτῷ ὑπερέχει τὸ ἀπὸ ΒΘ· ἴσον ἄρα τὸ ἀπὸ ΑΗ τῷ ἀπὸ ΗΘ, καὶ ἡ ΑΗ τῇ ΗΘ ἴση. καί ἐστι καὶ ἡ ΖΗ τῇ ΗΘ ἴση· ἡ ἄρα ΑΗ ἴση ἐστὶ τῇ ἡμισείᾳ τῆς ΖΘ· ἐὰν ἄρα διὰ τῶν ΖΘ, ΗΑ διεκβάλλωμεν ἐπίπεδον, ἔσται τρίγωνον ἐν τῷ κώνῳ. γεγονέτω τὸ ΑΖΘ. ἐπεὶ οὖν τρίγωνόν ἐστιν ἐν κώνῳ τὸ ΑΖΘ, οὗ ἡ ἀπὸ τῆς κορυφῆς κάθετος ἡ ΑΗ ἴση ἐστὶ τῇ ἡμισείᾳ τῆς βάσεως· τὸ ΑΖΘ ἄρα μεῖζόν ἐστι πάντων τῶν ἐν τῷ κώνῳ γινομένων τριγώνων ἀνομοίων αὐτῷ. ὅπερ ἔδει ποιῆσαι.

H ducatur ΖΗΘ parallela ipsi ΓΔ; & jungantur ΑΗ, ΒΘ.



Quoniam quadratum ex ΒΔ, hoc est ex ΒΘ, superat quadratum ex ΒΑ duobus quadratis ex ΒΗ, quadratum autem ex ΑΗ superat quadratum ex ΑΒ uno quadrato ex ΒΗ: ergo quadratum ex ΒΘ superat quadratum ex ΑΗ ipsius ΒΗ quadrato. sed quadratum ex ΒΘ superat quadratum ex ΗΘ quadrato ex ΒΗ; quadratum igitur ex ΒΘ utrumque quadratum ex ΑΗ & ex ΗΘ eodem quadrato superat: adeoque quadratum ex ΑΗ æquale est quadrato ex ΗΘ, & recta ΑΗ rectæ ΗΘ æqualis. est autem & ΖΗ æqualis ipsi ΗΘ; quare ΑΗ æqualis est dimidiæ ipsius ΖΘ: si igitur per ΖΘ, ΗΑ planum ducatur, fiet in cono triangulum, quod sit ΑΖΘ. itaque quoniam triangulum ΑΖΘ est in cono, à cujus vertice ducta perpendicularis ΑΗ æqualis est dimidiæ basi: erit [per 12. huj.] ΑΖΘ triangulum majus omnibus triangulis dissimilibus in ipso cono constitutis. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιδ'.

Τὸν δοθέντα κῶνον διὰ τοῦ ἄξονος ἐπιπέδῳ τεμεῖν πρὸς ὀρθὰς τῇ βάσει.

ΕΣΤΩ ὁ δοθεὶς κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, ἄξων δὲ ὁ ΑΒ· καὶ δέον ἔστω τὸν κῶνον τεμεῖν διὰ τῆς ΑΒ πρὸς ὀρθὰς τῇ βάσει.

Εἰ μὲν οὖν ὀρθός ἐστιν ὁ κῶνος, δῆλον ὅτι ἡ τε ΑΒ πρὸς ὀρθάς ἐστι τῇ βάσει, καὶ πάντα τὰ διὰ τῆς ΑΒ ἐπίπεδα ἐκβαλλόμενα πρὸς ὀρθάς ἐστι τῇ βάσει· ὥστε τὸ ΑΓΔ τρίγωνον, διὰ τῆς ΑΒ ὄν, πρὸς ὀρθάς ἐστι τῇ βάσει.

Ἀλλὰ δὴ σκαληνὸς ἔστω ὁ κῶνος· ἡ ἄρα ΑΒ οὐκ ἔστι πρὸς ὀρθὰς τῇ βάσει. πιπτέτω τοίνυν ἡ ἀπὸ τῆς Α κορυφῆς κάθετος ἐπὶ τὸ τῆς βάσεως ἐπίπεδον, κατὰ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΒΕ, καὶ διεκβεβλήσθω τὸ τοῦ ΑΒΕ τριγώνου ἐπίπεδον, ποιοῦν ἐν τῷ κώνῳ τὸ ΑΓΔ τρίγωνον· λέγω ὅτι τὸ ΑΓΔ πρὸς ὀρθάς ἐστι τῇ τοῦ κώνου βάσει. ἐπεὶ γὰρ ἡ ΑΕ κάθετός ἐστιν ἐπὶ τὸ τῆς βάσεως ἐπίπεδον· καὶ πάντα ἄρα τὰ διὰ τῆς ΑΕ ἐπίπεδα ἐκβαλλόμενα πρὸς ὀρθάς ἐστι τῷ τῆς βάσεως ἐπιπέδῳ· καὶ τὸ ΑΓΔ ἄρα τρίγωνον πρὸς ὀρθάς ἐστι τῷ τῆς βάσεως ἐπιπέδῳ. ὅπερ ἔδει ποιῆσαι.

PROP. XIV. *Probl.*

Datum conum plano per axem ad rectos angulos ipsi basi secare.

SIT datus conus, cujus vertex A punctum, basis circulus circa centrum B; axis vero AB: & oporteat conum secare secundum rectam AB ad rectos angulos ipsi basi.



Si igitur conus sit rectus, perspicuum est rectam AB ad basim perpendicularem esse; & ob id [per 18. 11.] omnia quæ per ipsam transeunt plana ad rectos angulos erunt: quare & triangulum ΑΓΔ per lineam AB ductum ad rectos angulos erit ipsi basi.

Sed sit conus scalenus: ergo AB non est ad basim perpendicularis. cadat à vertice A perpendicularis ad basis planum in puncto E; & juncta BE, producatur trianguli ABE planum, quod in cono sectionem faciat triangulum ΑΓΔ: dico ΑΓΔ triangulum ad rectos angulos esse basi coni. quoniam enim AE perpendicularis est ad basis planum; & omnia quæ per ipsam AE transeunt plana eidem ad rectos angulos erunt: ergo & triangulum ΑΓΔ ad rectos angulos erit plano basis. quod erat faciendum.

ΠΡΟΤΑΣΙΣ ιε'.

Ἐὰν κῶνος σκαληνὸς διὰ τοῦ ἄξονος ἐπιπέδῳ τμηθῇ πρὸς ὀρθὰς τῇ βάσει· τὸ γινόμενον τρίγω-

PROP. XV. *Theor.*

Si conus scalenus plano per axem secetur ad rectos angulos ipsi basi: tri-

angulum in cono factum scalenum erit, cujus latus majus maxima erit linearum omnium, quæ à vertice coni ad basis circumferentiam ducuntur; & minus latus linearum omnium similiter ductarum minima erit; è reliquis vero, quæ maximæ propinquior est major erit quam quæ ab ipsâ remotior.

SIT conus scalenus, cujus vertex A punctum, basis circulus ΓΕΔ, & axis ΑΒ; cono autem secto per axem ad rectos angulos ipsi ΓΕΔ circulo, fiat triangulum ΑΓΔ; & axis ad partes Δ vergat. cum igitur conus scalenus sit, non erit ΑΒ perpendicularis ad circulum ΓΕΔ. ducatur ΑΘ ad ipsum perpendicularis, quæ proinde erit in plano trianguli ΑΓΔ, & in rectam ΓΒΔ productam cadet. itaque quoniam major est ΓΘ quam ΘΔ, & quadratum ex ΓΘ quadrato ex ΘΔ erit majus. commune apponatur quadratum ex ΘΑ: quadrata igitur ex ΓΘ, ΘΑ majora sunt quadratis ΔΘ, ΘΑ, hoc est quadratum ex ΓΑ majus quadrato ex ΑΔ: ergo recta ΑΓ major ipsa ΑΔ.

νον ἔσται σκαληνόν, τοῦ ἡ μὲν μείζων πλευρὰ μεγίστη ἔσται πασῶν τῶν ἀπὸ τῆς κορυφῆς τοῦ κώνου πρὸς τὴν περιφέρειαν τῆς βάσεως ἀγομένων εὐθειῶν, ἡ δὲ ἐλάττων πλευρὰ ἐλαχίστη πασῶν τῶν ὁμοίως ἀγομένων εὐθειῶν, τῶν δὲ ἄλλων εὐθειῶν ἡ τῇ μεγίστῃ ἔγγιον τῆς ἀπώτερον ἔσται μείζων.

ΕΣΤΩ κῶνος σκαληνὸς, οὗ κορυφὴ μὲν τὸ Α, βάσις δὲ ὁ ΓΕΔ κύκλος, ἄξων δὲ ὁ ΑΒ· τοῦ δὲ κώνου τμηθέντος διὰ τοῦ ἄξονος πρὸς ὀρθὰς τῷ ΓΕΔ κύκλῳ, τὸ γινόμενον τρίγωνον ἔστω τὸ ΑΓΔ, προσνευέτω δὲ ὁ ἄξων ἐπὶ τὸ Δ μέρος. ἐπεὶ οὖν, σκαληνοῦ ὄντος τοῦ κώνου, οὐκ ἔστιν ἡ ΑΒ πρὸς ὀρθὰς τῷ ΓΕΔ κύκλῳ, ἔστω πρὸς ὀρθὰς αὐτῷ ἡ ΑΘ· ἡ ΑΘ ἄρα ἐν τῷ τοῦ ΑΓΔ ἐστὶν ἐπιπέδῳ, καὶ πεσεῖται ἐπὶ ΓΒΔ ἐκβληθεῖσαν. ἐπεὶ οὖν μείζων ἡ ΓΘ τῆς ΘΔ, καὶ τὸ ἀπὸ ΓΘ ἄρα τοῦ ἀπὸ ΘΔ μεῖζον. κοινὸν προσκείσθω τὸ ἀπὸ ΘΑ· τὰ ἄρα ἀπὸ ΓΘ, ΘΑ τῶν ἀπὸ ΔΘ, ΘΑ μείζονά ἐστι, τουτέστι τὸ ἀπὸ ΓΑ μεῖζόν ἐστι τοῦ ἀπὸ ΑΔ· μείζων ἄρα ἡ ΑΓ τῆς ΑΔ.





Dico ΑΓ maximam esse rectarum omnium quæ à vertice ad basis circumferentiam ducuntur; ΑΔ vero minimam.

Ducantur enim ΘΕ, ΘΖ, ΘΗ, & jungantur ΑΕ, ΑΖ, ΑΗ. itaque quoniam [per 7 & 8.3.] ΓΘ maxima est ex iis quæ à Θ in circumferentiam cadunt; erit quadratum ex ΘΓ majus quadratis ex ΘΕ, ΘΖ, ΘΗ, ΘΔ. commune apponatur quadratum ex ΘΑ; quadrata igitur ex utrisque ΓΘ, ΘΑ facta majora sunt eis quæ fiunt ex ΕΘ, ΘΑ; ΖΘ, ΘΑ; ΔΘ, ΘΑ; hoc est quadratum ex ΑΓ majus est quolibet è quadratis ex ΑΕ, ΑΖ, ΑΗ, ΑΔ: adeoque recta ΑΓ major est qualibet rectarum ΑΕ, ΑΖ, ΑΗ, ΑΔ. similiter demonstrabitur etiam quavis alia majorem esse: igitur ΑΓ, uti diximus, maxima est omnium rectarum, quæ in ipso cono ducuntur. eadem ratione demonstrabitur rectam ΑΔ minimam esse. è cæteris vero ΑΕ major est quam ΑΖ, & ΑΖ major quam ΑΗ; & quæ propinquior est ipsi ΑΓ semper major est quam quæ ab eadem magis distat. quod erat demonstrandum.

Λέγω δὴ ὅτι ἡ ΑΓ καὶ πασῶν ἁπλῶς μεγίστη ἐστὶ τῶν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν περιφέρειαν τῆς βάσεως ἀγομένων εὐθειῶν, ἡ δὲ ΑΔ ἐλαχίστη.

Ηχθωσαν γὰρ αἱ ΘΕ, ΘΖ, ΘΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΕ, ΑΖ, ΑΗ. ἐπεὶ οὖν ἡ ΓΘ μεγίστη ἐστὶ πασῶν τῶν ἀπὸ τοῦ Θ ἐπὶ τὴν περιφέρειαν προσπιπτουσῶν· καὶ τὸ ἀπὸ τῆς ΘΓ ἄρα μέγιστόν ἐστι τῶν ἀπὸ ΘΕ, ΘΖ, ΘΗ, ΘΔ. κοινὸν προσκείσθω τὸ ἀπὸ ΘΑ· συναμφότερον ἄρα τὸ ἀπὸ τῶν ΓΘ, ΘΑ μεῖζόν ἐστιν ἑκάστου συναμφοτέρου τοῦ ἀπὸ τῶν ΕΘ, ΘΑ· ΖΘ, ΘΑ· ΔΘ, ΘΑ, τουτέστι τὸ ἀπὸ ΑΓ ἑκάστου τῶν ἀπὸ ΑΕ, ΑΖ, ΑΗ, ΑΔ· καὶ ἡ ΑΓ ἄρα μείζων ἐστὶν ἑκάστης τῶν ΑΕ, ΑΖ, ΑΗ, ΑΔ. ὁμοίως δειχθήσεται ὅτι καὶ τῶν ἄλλων· μεγίστη ἄρα ἡ ΑΓ πασῶν τῶν ὡς εἴρηται ἀγομένων εὐθειῶν ἐν τῷ κώνῳ. διὰ τὰ αὐτὰ δείκνυται ὅτι καὶ ἡ μὲν ΑΔ ἐλαχίστη· τῶν δὲ ἄλλων ἡ μὲν ΑΕ τῆς ΑΖ μείζων, ἡ δὲ ΑΖ τῆς ΑΗ, καὶ ἀεὶ ἡ ἔγγιον τῇ ΑΓ τῆς ἀπώτερόν ἐστι μείζων. ὅπερ ἔδει δεῖξαι.

Prop. XVI. *Theor.*

Si in triangulo recta linea ducatur à vertice ad punctum quod basim bi-

ΠΡΟΤΑΣΙΣ ιϛ΄.

Ἐὰν τριγώνου ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως εὐθεῖα ἀχθῇ· τὰ ἀπὸ τῶν

πλευρῶν

πλευρῶν τετράγωνα ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν τμημάτων τῆς βάσεως, καὶ τῷ δὶς ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν εὐθείας.

ΕΣΤΩ τρίγωνον τὸ ΑΒΓ, οὗ δίχα τετμήσθω ἡ βάσις κατὰ τὸ Δ, καὶ διήχθω ἡ ΑΔ· λέγω ὅτι τὰ ἀπὸ ΑΒ, ΑΓ τετράγωνα ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΒΔ, ΔΓ καὶ τῷ δὶς ἀπὸ τῆς ΑΔ.

Εἰ μὲν οὖν ἰσοσκελές ἐστι τὸ ΑΒΓ τρίγωνον, φανερὰ ἡ δεῖξις, διὰ τὸ ἑκατέραν τῶν πρὸς τῷ Δ γίνεσθαι ὀρθήν. ἀλλὰ δὴ ἔστω ἡ ΒΑ μείζων· μείζων ἄρα καὶ ἡ ὑπὸ ΒΔΑ γωνία τῆς ὑπὸ ΑΔΓ. ἐκβεβλήσθω ἡ ΑΔ, καὶ κατήχθωσαν ἐπ' αὐτὴν κάθετοι αἱ ΒΕ, ΓΖ· ὅμοια ἄρα ἐστὶ τὰ ΕΒΔ, ΓΖΔ ὀρθογώνια, διὰ τὸ παραλλήλους εἶναι τὰς ΒΕ, ΖΓ· ὡς ἄρα ἡ ΒΔ πρὸς ΔΓ οὕτως ἡ ΕΔ πρὸς ΔΖ. ἴση δὲ ἡ ΒΔ τῇ ΓΔ· ἴση ἄρα καὶ ἡ ΕΔ τῇ ΔΖ, καὶ τὸ ὑπὸ ΑΔ, ΔΕ τῷ ὑπὸ ΑΔ, ΔΖ, καὶ τὸ δὶς ὑπὸ ΑΔ, ΔΕ τῷ δὶς ὑπὸ ΑΔ, ΔΖ. ἐπεὶ οὖν τὸ μὲν ἀπὸ τῆς ΑΒ τῶν ἀπὸ ΑΔ, ΔΒ μεῖζόν ἐστι τῷ δὶς ὑπὸ ΑΔ, ΔΕ, τουτέστι τῷ δὶς ὑπὸ ΑΔ, ΔΖ, τὸ δὲ ἀπὸ ΑΓ τῶν ἀπὸ ΑΔ, ΔΓ ἔλαττόν ἐστι τῷ αὐτῷ δὶς ὑπὸ ΑΔ, ΔΖ· τὰ ἄρα ἀπὸ ΒΑ, ΑΓ ἴσα ἐστὶ τοῖς ἀπὸ ΒΔ, ΔΓ καὶ τῷ δὶς ἀπὸ τῆς ΑΔ. ὅπερ ἔδει δεῖξαι.

fariam dividit: quadrata è lateribus facta æqualia erunt quadratis quæ fiunt ex basis partibus, una cum duplo quadrati ejus quæ à vertice ad basim ducta est.

SIT triangulum ΑΒΓ, cujus basis secetur bifariam in Δ; & ducatur ΑΔ: dico quadrata ex ΑΒ, ΑΓ quadratis ex ΒΔ, ΔΓ una cum duplo quadrati ex ΑΔ æqualia esse.

Si enim æquicrure sit ΑΒΓ triangulum, demonstratio manifesta erit, propterea quod uterque angulorum qui ad Δ est rectus. sed sit ΒΑ major quam ΑΓ: ergo ΒΔΑ angulus major est angulo ΑΔΓ. producatur ΑΔ, & ad ipsam perpendiculares ducantur ΒΕ, ΓΖ. similia igitur sunt triangula orthogonia ΕΒΔ, ΓΖΔ, propter parallelas ΒΕ, ΖΓ: quare ut ΒΔ ad ΔΓ ita ΕΔ ad ΔΖ. æqualis autem est ΒΔ ipsi ΓΔ: ergo & ΕΔ æqualis est ipsi ΔΖ, & rectangulum ΑΔΕ rectangulo ΑΔΖ æquale; & duplum rectanguli ΑΔΕ duplo rectanguli ΑΔΖ. itaque quoniam [per 12. 2.] quadratum ex ΑΒ majus est quadratis ex ΑΔ, ΔΒ duplo rectanguli ΑΔΕ, hoc est duplo rectanguli ΑΔΖ; quadratum vero ex ΑΓ [per 13. 2.] minus est quadratis ex ΑΔ, ΔΓ duplo rectanguli ΑΔΖ: erunt quadrata ex ΒΑ & ΑΓ simul æqualia quadratis ex ΒΔ, ΔΓ una cum duplo quadrati ex ΑΔ. quod erat demonstrandum.



ΠΡΟΤΑΣΙΣ ιζ.

Ἐὰν τεσσάρων εὐθειῶν ἡ πρώτη πρὸς τὴν δευτέραν μείζονα λόγον ἔχῃ ἤπερ ἡ τρίτη πρὸς τὴν τετάρτην· καὶ τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας μείζονα λόγον ἕξει ἤπερ τὸ ἀπὸ τῆς τρίτης πρὸς τὸ ἀπὸ τῆς τετάρτης. κἂν τὸ ἀπὸ τῆς πρώτης πρὸς τὸ ἀπὸ τῆς δευτέρας μείζονα λόγον ἔχῃ ἤπερ τὸ ἀπὸ τῆς τρίτης πρὸς τὸ ἀπὸ τῆς τετάρτης· ἡ πρώτη πρὸς τὴν δευτέραν μείζονα λόγον ἔχει ἤπερ ἡ τρίτη πρὸς τὴν τετάρτην.

ΕΣΤΩΣΑΝ εὐθεῖαι αἱ Α, Β, Γ, Δ, ἐχέτω δὲ ἡ Α πρὸς τὴν Β μείζονα λόγον ἤπερ ἡ Γ πρὸς τὴν Δ· λέγω ὅτι καὶ τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ.

Ἐπεὶ γὰρ ὁ τῆς Α πρὸς τὴν Β λόγος μείζων ἐστὶ τοῦ τῆς Γ πρὸς τὴν Δ, καὶ ὁ τοῦ μείζονος ἄρα διπλάσιος μείζων

Prop. XVII. *Theor.*

Si prima quatuor rectarum ad secundam majorem rationem habeat quam tertia ad quartam; etiam quadratum primæ ad quadratum secundæ majorem habebit rationem quam tertiæ quadratum ad quadratum quartæ. quòd si quadratum primæ ad quadratum secundæ majorem rationem habeat quam tertiæ quadratum ad quadratum quartæ; prima quoque ad secundam majorem rationem habebit quam tertia ad quartam.

SINT quatuor rectæ lineæ Α, Β, Γ, Δ; & habeat Α ad Β majorem rationem quam Γ ad Δ: dico quadratum ipsius Α ad quadratum ex Β majorem habere rationem quam quadratum ex Γ ad quadratum ex Δ.

Etenim cum ratio Α ad Β major sit quam habet Γ ad Δ; erit dupla majoris rationis major quam dupla

dupla minoris. est autem [per 20.6.] rationis majoris A ad B dupla ratio quadrati ex A ad quadratum ex B; & rationis minoris Γ ad Δ dupla est ratio quadrati ex Γ ad quadratum ex Δ: ergo ratio quadrati ex A ad quadratum ex B major est ratione quadrati ex Γ ad quadratum ex Δ. Rursus quadratum ex A ad quadratum ex B majorem rationem habeat quam quadratum ex Γ ad quadratum ex Δ: dico A ad B majorem rationem habere quam Γ ad Δ. nam cum ratio quadrati ex A ad quadratum ex B major sit quam quadrati ex Γ ad quadratum ex Δ, erit majoris rationis dimidia major quam dimidia minoris. sed rationis quidem majoris quadrati ex A ad quadratum ex B dimidia est ratio A ad B; rationis vero minoris quadrati ex Γ ad quadratum ex Δ dimidia est ratio Γ ad Δ: ratio igitur A ad B major est quam Γ ad Δ. quod erat demonstrandum.



ἐστὶ τοῦ ἐλάττονος διπλασίου. ἔστι δὲ τοῦ μὲν τῆς A πρὸς τὴν B λόγου μείζονος ὄντος διπλάσιος ὁ τοῦ ἀπὸ τῆς A πρὸς τὸ ἀπὸ τῆς B λόγος· τοῦ δὲ τῆς Γ πρὸς τὴν Δ λόγου ἐλάττονος ὄντος διπλάσιος ὁ τοῦ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ λόγος· καὶ ὁ τοῦ ἀπὸ τῆς A ἄρα πρὸς τὸ ἀπὸ τῆς B λόγος μείζων ἐστὶ τοῦ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ. Πάλιν δὲ τὸ ἀπὸ τῆς A πρὸς τὸ ἀπὸ τῆς B μείζονα λόγον ἐχέτω ἤπερ τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ· λέγω ὅτι ἡ A πρὸς τὴν B μείζονα λόγον ἔχει ἤπερ ἡ Γ πρὸς τὴν Δ. ἐπεὶ γὰρ ὁ τοῦ ἀπὸ τῆς A πρὸς τὸ ἀπὸ τῆς B λόγος μείζων ἐστὶ τοῦ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ λόγου, καὶ ὁ τοῦ μείζονος ἄρα ἡμίσους τοῦ ἐλάττονος ἡμίσεως μείζων ἐστίν. ἔστι δὲ τοῦ ἀπὸ τῆς A πρὸς τὸ ἀπὸ τῆς B λόγου μείζονος ὄντος ἡμίσυς ὁ τῆς A πρὸς τὴν B, τοῦ δὲ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ ἐλάττονος ὄντος ἡμίσυς ὁ τῆς Γ πρὸς τὴν Δ· καὶ ὁ τῆς A ἄρα πρὸς τὴν B λόγος μείζων ἐστὶ τοῦ τῆς Γ πρὸς τὴν Δ. ὅ.ἔ.δ.

Prop. XVIII. *Theor.*

Si duæ magnitudines æquales dissimiliter dividantur; & alterius partium major ad minorem rationem majorem habeat quam partium alterius major ad minorem, vel æqualis ad æqualem: prius dictarum partium major omnium maxima, minor vero omnium minima erit.

Sint duæ magnitudines æquales AB, ΓΔ, dividaturque AB in E & ΓΔ in Z; & sit AE major quam EB; & ΓZ non minor quam ZΔ, ita ut AE ad EB majorem rationem habeat quam ΓZ ad ZΔ: dico magnitudinum AE, EB, ΓZ, ZΔ maximam quidem esse AE, minimam vero EB.

Quoniam enim AE ad EB majorem rationem habet quam ΓZ ad ZΔ; componendo AB ad BE majorem habebit quam ΓΔ ad ΔZ; permutandoque AB ad ΓΔ majorem quam EB ad ZΔ. est autem AB ipsi ΓΔ æqualis; minor igitur est EB quam ZΔ. estque ZΔ non major quam ΓZ; quare est EB quam ΓZ minor. sed & erat minor quam AE; ergo EB minima erit. rursus quoniam AB est æqualis ipsi ΓΔ, quarum pars EB minor est parte ΔZ; erit reliqua EA major quam reliqua ΓZ. & ΓZ non est minor quam ZΔ: quare AE major est quam ZΔ. erat autem & major quam EB; adeoque AE omnium maxima erit, uti EB minima.



ΠΡΟΤΑΣΙΣ ιη΄.

Ἐὰν δύο μεγέθη ἴσα ἀνομοίως διαιρεθῇ, τὸ δὲ τοῦ ἑτέρου τμημάτων τὸ μεῖζον πρὸς τὸ ἔλαττον μείζονα λόγον ἔχῃ ἤπερ τοῦ λοιποῦ τὸ μεῖζον πρὸς τὸ ἔλαττον, ἢ τὸ ἴσον πρὸς τὸ ἴσον· τῶν προειρημένων τμημάτων τὸ μὲν μεῖζον μέγιστον ἔσται τῶν τεσσάρων τμημάτων, τὸ δὲ ἔλασσον ἐλάχιστον τῶν τεσσάρων.

Ἔστω δύο μεγέθη ἴσα τὰ AB, ΓΔ, καὶ διῃρήσθω τὸ μὲν AB τῷ E, τὸ δὲ ΓΔ τῷ Z, ἔστω δὲ τὸ μὲν AE τοῦ EB μεῖζον, τὸ δὲ ΓZ τοῦ ZΔ μὴ ἔλαττον, ὥστε τὸ AE πρὸς EB μείζονα λόγον ἔχειν ἤπερ τὸ ΓZ πρὸς τὸ ZΔ· λέγω ὅτι τῶν AE, EB, ΓZ, ZΔ, μεγεθῶν μέγιστον μέν ἐστι τὸ AE, ἐλάχιστον δὲ τὸ EB.

Ἐπεὶ οὖν τὸ AE πρὸς EB μείζονα λόγον ἔχει ἤπερ τὸ ΓZ πρὸς ZΔ, καὶ συνθέντι ἄρα τὸ AB πρὸς BE μείζονα λόγον ἔχει ἤπερ τὸ ΓΔ πρὸς ΔZ, καὶ ἐναλλὰξ τὸ AB πρὸς ΓΔ μείζονα λόγον ἔχει ἤπερ τὸ EB πρὸς ZΔ. καί ἐστιν ἴσον τὸ AB τῷ ΓΔ· ἔλαττον ἄρα τὸ EB τοῦ ZΔ. τὸ δὲ ZΔ τοῦ ΓZ οὐ μεῖζον· καὶ τοῦ ΓZ ἄρα ἔλασσόν ἐστι τὸ EB. ἦν δὲ καὶ τοῦ AE ἔλαττον· ἐλάχιστον ἄρα τὸ EB. πάλιν ἐπεὶ τὸ AB τῷ ΓΔ ἴσον, ὧν τὸ EB τοῦ ΔZ ἔλαττον· λοιπὸν ἄρα τὸ EA λοιποῦ τοῦ ΓZ μεῖζον. τὸ δὲ ΓZ τοῦ ZΔ οὐκ ἔλαττόν ἐστι· καὶ τοῦ ZΔ ἄρα μεῖζόν ἐστι τὸ AE. ἦν δὲ καὶ τοῦ EB μεῖζον. μέγιστον ἄρα ἐστὶ τὸ AE, τὸ δὲ EB ἐλάχιστον.

Prop. XIX. *Theor.*

Si duo triangula bases æquales habeant, itemque rectas quæ à vertice ad pun-

ΠΡΟΤΑΣΙΣ ιθ΄.

Ἐὰν δύο τρίγωνα τάς τε βάσεις ἴσας ἔχῃ, ἔχῃ δὲ καὶ τὰς ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βά-

σεως

σεως ἠγμένας εὐθείας ἴσας, τοῦ δὲ ἑτέρου ἡ μείζων πλευρὰ πρὸς τὴν ἐλάττονα μείζονα λόγον ἔχῃ ἤπερ ἡ τοῦ λοιποῦ μείζων πρὸς τὴν ἐλάττονα, ἢ ἡ ἴση πρὸς τὴν ἴσην· οὗ ἡ μείζων πλευρὰ πρὸς τὴν ἐλάττονα μείζονα λόγον ἔχει ἐκεῖνο ἔλαττόν ἐστιν.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἴσας ἔχοντα τὰς ΒΓ, ΕΖ βάσεις, ὧν ἑκατέρα τετμήσθω δίχα κατὰ τὰ Η καὶ Θ σημεῖα, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΗ, ΔΘ ἴσαι ἔστωσαν· ἔστω δὲ ἡ μὲν ΕΔ τῆς ΔΖ μείζων, ἡ δὲ ΒΑ τῆς ΑΓ μὴ ἐλάττων, ὥστε τὴν ΕΔ πρὸς ΔΖ μείζονα λόγον ἔχειν ἤπερ τὴν ΒΑ πρὸς ΑΓ· λέγω ὅτι τὸ ΔΕΖ τρίγωνον ἔλαττόν ἐστι τοῦ ΑΒΓ.

Ἐπεὶ γὰρ αἱ ΒΓ, ΕΖ ἴσαι τέ εἰσι καὶ εἰς ἴσα διῄρηνται, ἔστι δὲ καὶ ἡ ΑΗ τῇ ΔΘ ἴση· καὶ τὰ ἀπ' αὐτῶν ἄρα ἴσα ἐστί· τὰ ἄρα ἀπὸ ΒΗ, ΗΓ μετὰ τοῦ δὶς ἀπὸ ΑΗ τοῖς ἀπὸ ΕΘ, ΘΖ μετὰ τοῦ δὶς ἀπὸ ΘΔ ἴσα ἐστίν. ἀλλὰ τοῖς μὲν ἀπὸ ΒΗ, ΗΓ μετὰ τοῦ δὶς ἀπὸ ΑΗ ἴσα ἐστὶ τὰ ἀπὸ ΒΑ, ΑΓ, (τοῦτο γὰρ ἐδείχθη) τοῖς δὲ ἀπὸ ΕΘ, ΘΖ μετὰ τοῦ δὶς ἀπὸ ΘΔ ἴσα ἐστὶ τὰ ἀπὸ ΕΔ, ΔΖ· καὶ συναμφότερον ἄρα τὸ ἀπὸ τῶν ΒΑ, ΑΓ συναμφοτέρῳ τῷ ἀπὸ τῶν ΕΔ, ΔΖ ἴσον ἐστί. καὶ ἐπεὶ ἡ ΕΔ πρὸς ΔΖ μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΑ πρὸς ΑΓ· καὶ τὸ ἄρα ἀπὸ τῆς ΕΔ πρὸς τὸ ἀπὸ τῆς ΔΖ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΓ. ἐπεὶ οὖν δύο ἴσων μεγεθῶν, τοῦτε συναμφοτέρου ἀπὸ τῶν ΒΑ, ΑΓ καὶ τοῦ συναμφοτέρου ἀπὸ τῶν ΕΔ, ΔΖ, τὸ μεῖζον τμῆμα πρὸς τὸ ἔλαττον, τουτέστι τὸ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΖ, μείζονα λόγον ἔχει ἤπερ τὸ τοῦ λοιποῦ τμῆμα πρὸς τὸ λοιπὸν τμῆμα, τουτέστι τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΓ· τὸ μὲν ἄρα ἀπὸ ΕΔ, μέγιστον ὄν, μεῖζόν ἐστιν ἑκατέρου τῶν ἀπὸ ΒΑ, ΑΓ. τὸ δὲ ἀπὸ ΔΖ, ἐλάχιστον ὄν, ἔλαττόν ἐστιν ἑκατέρου τῶν ἀπὸ ΒΑ, ΑΓ, διὰ τοῦ πρὸ τούτου θεωρήματος· καὶ ἡ μὲν ΕΔ ἄρα ἑκατέρας τῶν ΒΑ, ΑΓ μείζων ἐστίν. ἡ δὲ ΔΖ ἑκατέρας τῶν ΒΑ, ΑΓ ἐλάττων· ὁ ἄρα κέντρῳ μὲν τῷ Β διαστήματι δὲ τῷ ἴσῳ τῇ ΕΔ γραφόμενος κύκλος ὑπερπεσεῖται τὴν ΒΑ. γεγράφθω ὁ ΚΛ, καὶ ὁ κέντρῳ μὲν τῷ Γ διαστήματι δὲ τῷ ἴσῳ τῇ ΔΖ γραφόμενος κύκλος τεμεῖ τὴν ΑΓ. γεγράφθω ὁ ΜΝ· τέμνουσι δὴ ἀλλήλους οἱ ΚΛ, ΜΝ κύκλοι, ὡς δειχθήσεται. τεμνέτωσαν ἀλλήλους κατὰ τὸ Ξ, καὶ ἐπεζεύχθωσαν αἱ ΞΑ, ΞΒ, ΞΗ, ΞΓ· ἡ μὲν ἄρα ΒΞ τῇ ΕΔ ἐστὶν ἴση, καὶ ἡ ΞΓ τῇ ΔΖ. ἦν δὲ καὶ ἡ ΒΓ τῇ ΕΖ ἴση· καὶ ὅλον ἄρα τὸ ΒΞΓ τρίγωνον τῷ ΕΔΖ ἴσον ἐστίν· ὥστε ἴση καὶ ἡ ΞΗ τῇ ΔΘ, τουτέστι τῇ ΑΗ· ὀξεῖα



ctum quo bisecatur basis ducuntur; alterius autem majus latus ad minus majorem rationem habeat quam reliqui majus latus ad minus, vel æquale ad æquale: triangulum illud, cujus majus latus ad minus majorem habet rationem, altero minus erit.

Sint duo triangula ΑΒΓ, ΔΕΖ bases ΒΓ, ΕΖ æquales habentia; quarum utraque bifariam secetur in punctis Η, Θ; ductæque ΑΗ, ΔΘ inter se æquales sint; & sit ΕΔ major quam ΔΖ; ΒΑ vero non minor quam ΑΓ, ita ut ΕΔ ad ΔΖ majorem rationem habeat quam ΒΑ ad ΑΓ: dico triangulum ΔΕΖ minus esse triangulo ΑΒΓ.

Quoniam enim ΒΓ, ΕΖ & æquales sunt & in partes æquales dividuntur; suntque æquales ΑΗ, ΔΘ; erunt & quæ ex ipsis fiunt quadrata æqualia: quadrata igitur ex ΒΗ, ΗΓ una cum duplo quadrati ex ΑΗ æqualia sunt quadratis ex ΕΘ, ΘΖ una cum duplo quadrati ex ΘΔ. sed quadratis ex ΒΗ, ΗΓ una cum duplo quadrati ex ΑΗ æqualia sunt quadrata ex ΒΑ, ΑΓ, ut [per 16. huj.] ostensum est; & quadratis ex ΕΘ, ΘΖ una cum duplo quadrati ex ΘΔ æqualia sunt quadrata ex ΕΔ, ΔΖ: utraque igitur quadrata ex ΒΑ, ΑΓ utrisque quadratis ex ΕΔ, ΔΖ æqualia erunt. & quoniam ΕΔ ad ΔΖ majorem rationem habet quam ΒΑ ad ΑΓ; habebit quadratum ex ΕΔ ad quadratum ex ΔΖ [per 17. huj.] majorem rationem quam quadratum ex ΒΑ ad quadratum ex ΑΓ. igitur cum duarum magnitudinum æqualium, videlicet ejus quæ constat quadratis ex ΒΑ, ΑΓ & ejus quæ quadratis ex ΕΔ, ΔΖ, major pars ad minorem, videlicet quadratum ex ΕΔ ad quadratum ex ΔΖ, majorem rationem habeat quam reliqua pars ad reliquam, videlicet quam quadratum ex ΒΑ ad quadratum ex ΑΓ; erit quadratum ex ΕΔ, quod [per 18. huj.] est maximum, utroque quadrato ex ΒΑ vel ex ΑΓ majus. quadratum vero ex ΔΖ minimum erit, & utroque quadrato ex ΒΑ vel ex ΑΓ minus, per antecedens theorema: quare recta ΕΔ major est utrâque ipsarum ΒΑ, ΑΓ; & ΔΖ utrâque minor: circulus igitur, qui centro Β & intervallo ipsi ΕΔ æquali describitur, videlicet ΚΛ, transibit ultra rectam ΒΑ; & circulus centro Γ intervalloque æquali ipsi ΔΖ descriptus, hoc est ΜΝ, secabit ipsam ΑΓ: qui quidem duo circuli ΚΛ, ΜΝ sese invicem secabunt, ut mox demonstrabitur. secent autem sese in puncto Ξ; & jungantur ΞΑ, ΞΒ, ΞΗ, ΞΓ: est igitur ΒΞ ipsi ΕΔ æqualis, & ΞΓ æqualis ipsi ΔΖ. eratque ΒΓ æqualis ipsi ΕΖ; quare totum triangulum ΒΞΓ triangulo ΕΔΖ est æquale; ac propterea ΞΗ æqualis ipsi ΔΘ, hoc est ipsi ΑΗ: unde

 consequitur

consequitur angulum Ξ A H acutum esse. & quoniam B A non est minor quam A Γ, angulus A H B [per 25.1.] angulo A H Γ non erit minor: angulus igitur A H Γ non est major recto. erat autem Ξ A H angulus recto minor; ergo anguli A H Γ, Ξ A H duobus rectis minores sunt, ac proinde recta A Ξ ipsi H Γ non est parallela. ducatur per A ipsi B Γ parallela recta A Π; & protrahatur B Ξ ad Π, jungaturque Γ Π: triangulum igitur A B Γ [per 38.1.] triangulo B Π Γ est æquale; & idcirco B A Γ majus est ipso B Ξ Γ, hoc est triangulo E Δ Z. quod erat demonstrandum.





Circulos autem K Λ, M N sese invicem secare, hoc modo demonstrabitur.

Sit enim lateri majori E Δ æqualis B A P; ac ponatur Γ Z ipsi Δ Z æqualis, in directum ipsi B Γ: tota igitur B Σ æqualis est utrisque E Z, Z Δ. & quoniam E Z, Z Δ simul excedunt ipsam E Δ, erit & B Σ ipsâ E Δ major: itaque circulus centro B & intervallo B P descriptus ipsam Γ Σ secabit. secet ad T, ac intra circulum ducatur recta quædam Γ A major quam Γ Σ sive Δ Z; itaque circulus centro Γ & intervallo Γ Σ descriptus occurret ipsi A Γ. occurrat ad O: circulus igitur, per puncta Σ, O transiens, per circumferentiam P T transibit necessario; atque adeo circuli K Λ, M N sese invicem secabunt.



Prop. XX. *Theor.*

Si duo triangula, quorum latera inæqualia, bases æquales habeant, itemque rectas quæ à vertice ad punctum quo bisecatur basis ducuntur: minoris trianguli majus latus ad minus majorem rationem habebit quam majoris trianguli majus latus ad minus.

Sint triangula A B Γ, E Z H, bases A Γ, E H æquales habentia, quæ bifariam secentur in punctis Δ, Θ; & sint æquales B Δ, Z Θ; sit autem majus triangulum E Z H; & sit A B major quam B Γ, itemque E Z quam Z H major: dico A B ad B Γ majorem habere rationem quam E Z ad Z H.



Si enim non ita sit, vel eandem rationem habebit, vel minorem. sit primum, si fieri potest,

ἄρα ἡ ὑπὸ Ξ A H γωνία. καὶ ἐπεὶ ἡ B A τῆς A Γ οὐκ ἔστιν ἐλάττων· καὶ ἡ ὑπὸ A H B ἄρα γωνία τῆς ὑπὸ A H Γ οὐκ ἔστιν ἐλάττων· ἡ ἄρα ὑπὸ A H Γ οὐ μείζων ἐστὶν ὀρθῆς. ἦν δὲ ἡ Ξ A H ὀρθῆς ἐλάσσων· αἱ ἄρα ὑπὸ A H Γ, Ξ A H δύο ὀρθῶν ἐλάττονές εἰσιν· οὐκ ἄρα ἡ A Ξ τῇ H Γ παράλληλός ἐστιν. ἤχθω δὴ διὰ τοῦ A τῇ B Γ παράλληλος ἡ A Π, καὶ ἐκβεβλήσθω ἡ B Ξ Π, καὶ ἐπεζεύχθω ἡ Γ Π· τὸ ἄρα A B Γ τρίγωνον ἴσον ἐστὶ τῷ B Π Γ τριγώνῳ· καὶ τὸ ἄρα B A Γ μεῖζόν ἐστι τοῦ B Ξ Γ, τουτέστι τοῦ E Δ Z τριγώνου. ὅπερ ἔδει δεῖξαι.

Ὅτι δὲ τέμνουσιν ἀλλήλους οἱ K Λ, M N κύκλοι, δεικτέον οὕτως.

Ἔστω γὰρ τῇ μὲν μείζονι πλευρᾷ τῇ E Δ ἴση ἡ B A P, τῇ δὲ Δ Z ἴση ἡ Γ Σ, ἐπ' εὐθείας οὖσα τῇ B Γ· ὅλη ἄρα ἡ B Σ ἴση ἐστὶ συναμφοτέρῳ τῇ E Z, Z Δ. ἐπεὶ οὖν συναμφότερος ἡ E Z, Z Δ τῆς E Δ μείζων ἐστί· καὶ ἡ B Σ ἄρα τῆς E Δ μείζων ἐστίν· ὁ ἄρα κέντρῳ τῷ B διαστήματι δὲ τῷ B P γραφόμενος κύκλος τεμεῖ τὴν Γ Σ. τεμνέτω κατὰ τὸ T, καὶ ἤχθω ἐντὸς τοῦ κύκλου εὐθεῖά τις ἡ Γ A μείζων τῆς Γ Σ, τουτέστι τῆς Δ Z· ὁ ἄρα κέντρῳ τῷ Γ διαστήματι δὲ τῷ Γ Σ γραφόμενος κύκλος τεμεῖ τὴν A Γ. τεμνέτω κατὰ τὸ O· ἥξει ἄρα ὁ διὰ τῶν Σ, O κύκλος καὶ διὰ τῆς P T περιφερείας· τέμνουσιν ἄρα ἀλλήλους καὶ οἱ K Λ, M N κύκλοι.

ΠΡΟΤΑΣΙΣ κʹ.

Ἐὰν δύο τρίγωνα ἀνισοσκελῆ τάς τε βάσεις ἴσας ἔχῃ, ἔχῃ δὲ καὶ τὰς ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως ἠγμένας εὐθείας ἴσας· τοῦ ἐλάττονος ἡ μείζων πλευρὰ πρὸς τὴν ἐλάττονα μείζονα λόγον ἔχει ἤπερ ἡ τοῦ μείζονος μείζων πλευρὰ πρὸς τὴν ἐλάττονα.

Ἔστω τρίγωνα τὰ A B Γ, E Z H ἴσας ἔχοντα τάς τε A Γ, E H βάσεις, δίχα τετμημένας κατὰ τὰ Δ καὶ Θ σημεῖα, ἴσαι δὲ ἔστωσαν καὶ αἱ B Δ, Z Θ καὶ μεῖζον τὸ E Z H τρίγωνον, ἔστω δὲ ἡ μὲν A B τῆς B Γ μείζων, ἡ δὲ E Z τῆς Z H· λέγω ὅτι ἡ A B πρὸς B Γ μείζονα λόγον ἔχει ἤπερ ἡ E Z πρὸς Z H.



Εἰ γὰρ μή, ἤτοι τὸν αὐτὸν ἢ ἐλάττονα ἕξει. ἔστω οὖν πρότερον, εἰ δυνατόν, ὡς ἡ A B πρὸς B Γ οὕτως ἡ

E Z

ΕΖ πρὸς ΖΗ· ὡς ἄρα τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΒΓ οὕτως τὸ ἀπὸ ΕΖ πρὸς τὸ ἀπὸ ΖΗ· καὶ συνθέντι ἄρα καὶ ἐναλλὰξ ὡς συναμφότερον τὸ ἀπὸ ΑΒ μετὰ τοῦ ἀπὸ ΒΓ πρὸς συναμφότερον τὸ ἀπὸ ΕΖ μετὰ τοῦ ἀπὸ ΖΗ οὕτω τὸ ἀπὸ ΒΓ πρὸς τὸ ἀπὸ ΖΗ. ἀλλὰ συναμφότερον τὸ ἀπὸ ΑΒ μετὰ τοῦ ἀπὸ ΒΓ συναμφοτέρῳ τῷ ἀπὸ ΕΖ μετὰ τοῦ ἀπὸ ΖΗ ἴσον· καὶ τὸ ἀπὸ ΒΓ ἄρα τῷ ἀπὸ ΖΗ ἴσον. ὥστε καὶ λοιπὸν τὸ ἀπὸ ΑΒ λοιπῷ τῷ ἀπὸ ΕΖ ἴσον. ἴση ἄρα ἡ μὲν ΑΒ τῇ ΕΖ, ἡ δὲ ΒΓ τῇ ΖΗ. ἀλλὰ καὶ αἱ βάσεις ἴσαι· πάντα ἄρα πᾶσιν ἴσα· ἴσον ἄρα τὸ ΑΒΓ τρίγωνον τῷ ΕΖΗ, ὅπερ ἄτοπον, ἦν γὰρ ἔλαττον τὸ ΑΒΓ· οὐκ ἄρα ἡ ΑΒ πρὸς ΒΓ λόγον ἔχει ὃν ἡ ΕΖ πρὸς ΖΗ.

Ἀλλ᾽, εἰ δυνατὸν, ἐχέτω ἡ ΑΒ πρὸς ΒΓ ἐλάττονα λόγον ἤπερ ἡ ΕΖ πρὸς ΖΗ. ἡ ΕΖ ἄρα πρὸς ΖΗ μείζονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς ΒΓ· τὸ ἄρα ΕΖΗ τρίγωνον ἔλαττόν ἐστι τοῦ ΑΒΓ, διὰ τὰ δειχθέντα· ὅπερ ἄτοπον. ὑπέκειτο γὰρ μεῖζον. οὐκ ἄρα ἡ ΑΒ πρὸς ΒΓ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς ΖΗ. ἐδείχθη δὲ ὅτι οὐδὲ τὸν αὐτόν· ἡ ΑΒ ἄρα πρὸς ΒΓ μείζονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς ΖΗ.

ut AB ad ΒΓ ita EZ ad ZH; ergo ut quadratum ex AB ad quadratum ex ΒΓ ita quadratum ex EZ ad quadratum ex ZH; & componendo permutandoque ut quadrata ex AB, ΒΓ simul ad quadrata ex EZ, ZH simul ita quadratum ex ΒΓ ad quadratum ex ZH. sed quadrata ex AB, ΒΓ simul [per 16. huj.] quadratis ex EZ, ZH sunt æqualia: ergo & quadratum ex ΒΓ æquale est quadrato ex ZH: & idcirco reliquum quadratum ex AB reliquo ex EZ æquale erit: est igitur AB æqualis ipsi EZ, & ΒΓ ipsi ZH. sed & bases sunt æquales: ergo triangulum ΑΒΓ æquale est triangulo EZH, quod est absurdum; erat enim triangulum ΑΒΓ minus: igitur AB ad ΒΓ rationem non habet eandem quam EZ ad ZH.

Sed rursus, si fieri potest, AB ad ΒΓ minorem rationem habeat quam EZ ad ZH; habebit igitur EZ ad ZH majorem rationem quam AB ad ΒΓ: quare triangulum EZH minus erit triangulo ΑΒΓ, ex proxime [ad 19. huj.] demonstratis, quod est absurdum; ponebatur enim majus: ergo AB ad ΒΓ minorem rationem non habet quam EZ ad ZH. demonstratum autem est neque eandem habere; restat igitur ut AB ad ΒΓ majorem habeat rationem quam EZ ad ZH.

ΠΡΟΤΑΣΙΣ κα΄.

Τὸν δοθέντα κῶνον σκαληνὸν τεμεῖν διὰ τῆς κορυφῆς ἐπιπέδῳ ποιοῦντι ἐν κώνῳ τρίγωνον ἰσοσκελές.

ΕΣΤΩ ὁ δοθεὶς κῶνος σκαληνὸς, οὗ ἄξων μὲν ὁ ΑΒ, βάσις δὲ ὁ ΓΕΔ κύκλος· καὶ δέον ἔστω τεμεῖν αὐτὸν ὡς ἐπιτέτακται. τετμήσθω πρῶτον διὰ τοῦ ἄξονος τῷ ΑΓΔ ἐπιπέδῳ, πρὸς ὀρθὰς ὄντι τῷ ΓΕΔ κύκλῳ, καὶ ἤχθω ἡ ΑΗ κάθετος, ἥτις πίπτει ἐπὶ τὴν ΓΔ βάσιν τοῦ ΑΓΔ τριγώνου, καὶ τῇ ΓΔ πρὸς ὀρθὰς ἤχθω ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ ἡ ΕΖ, καὶ διὰ τῆς ΕΖ καὶ τῆς Α κορυφῆς ἐκβεβλήσθω ἐπίπεδον ποιοῦν τὸ ΑΕΖ τρίγωνον· λέγω ὅτι τὸ ΑΕΖ τρίγωνον ἰσοσκελές ἐστιν.

Ἐπεζεύχθωσαν αἱ ΕΗ, ΖΗ. ἐπεὶ οὖν ἡ ΓΔ τὴν ΕΖ πρὸς ὀρθὰς τέμνουσα δίχα αὐτὴν τέμνει· ἴση ἄρα ἡ ΕΗ τῇ ΖΗ. καὶ κοινὴ ἡ ΑΗ, καὶ ὀρθὴ ἑκατέρα τῶν ὑπὸ ΑΗΕ, ΑΗΖ γωνιῶν· καὶ ἡ ΕΑ ἄρα τῇ ΑΖ ἴση ἐστίν· ἰσοσκελὲς ἄρα τὸ ΑΕΖ τρίγωνον. ἐκ δὴ τούτου φανερόν ἐστιν, ὅτι πάντα τὰ συνιστάμενα τρίγωνα, τὰς βάσεις ἔχοντα πρὸς ὀρθὰς τῇ ΓΔ, ἰσοσκελῆ ἐστιν.

Ἔτι δεικτέον ὅτι ἐὰν τὰ γινόμενα τρίγωνα τὰς βάσεις μὴ πρὸς ὀρθὰς ἔχῃ τῇ ΓΔ, οὐκ ἔσται ἰσοσκελῆ.

Ὑποκείσθω γὰρ, ἐπὶ τῆς αὐτῆς καταγραφῆς, ἡ ΕΖ μὴ πρὸς ὀρθὰς τῇ ΓΔ· αἱ ΕΗ, ΖΗ ἄρα ἄνισοί εἰσι. κοινὴ δὲ ἡ ΑΗ καὶ πρὸς ὀρθὰς αὐταῖς· καὶ αἱ ἄρα ΕΑ, ΑΖ ἄνισοί εἰσι· τὸ ΕΑΖ ἄρα τρίγωνον οὐκ ἔστιν ἰσοσκελές.

Prop. XXI. *Probl.*

Datum conum scalenum plano per verticem ita secare, ut in cono triangulum æquicrure fiat.

SIT datus conus scalenus, cujus axis AB, & basis ΓΕΔ circulus: oporteatque eum modo jam dicto secare. secetur primo [per 14. huj.] per axem plano ΑΓΔ ad rectos angulos ipsi circulo ΓΕΔ, & ducatur perpendicularis AH, quæ cadet in rectam ΓΔ trianguli ΑΓΔ basim; ipsi vero ΓΔ ad rectos angulos agatur EZ in circuli plano; perque EZ & verticem A planum ducatur, quod faciat triangulum AEZ: dico triangulum AEZ æquicrure esse.



Jungantur enim EH, ZH. & quoniam ΓΔ ipsam EZ secans ad rectos angulos [per 3.3.] bifariam secat; erit EH æqualis ipsi HZ. communis autem est AH, & uterque angulorum AHE, AHZ rectus: ergo EA est æqualis ipsi AZ, & idcirco triangulum AEZ est æquicrure. unde constat omnia triangula, quæ bases habent ad rectos angulos ipsi ΓΔ, æquicrura esse.

Demonstrandum etiam est ea triangula, quæ bases habent non ad rectos angulos ipsi ΓΔ, non esse æquicrura.

Ponatur enim EZ, in eadem figura, non esse ad rectos angulos ipsi ΓΔ: & erunt EH, ZH inæquales. communis autem est AH & ad ipsas perpendicularis: ergo EA, AZ inæquales sunt, & triangulum EAZ non est æquicrure.

Prop.

Prop. XXII. *Theor.*

Triangulorum, quæ in cono ſcaleno per axem ſecto fiunt, maximum eſt æquicrure; & minimum, quod eſt ad rectos angulos baſi coni: reliquorum vero maximo propinquius majus eſt eo quod plus diſtat ab eodem.

IN cono enim ſcaleno triangula per axem AB conſtituantur, æquicrure quidem ΑΓΔ, rectum vero ad baſis planum AEZ: dico triangulorum omnium quæ per axem tranſeunt, ΑΓΔ maximum eſſe, & AEZ minimum.

Sit enim aliud triangulum per axem AHΘ. & quoniam conus ſcalenus eſt, vergat axis AB ad partes Z; ergo [per 15.huj.] recta AE maxima eſt omnium quæ à puncto A ad baſis circumferentiam ducuntur, & AZ minima: adeoque EA major eſt quam AH, & ZA minor quam AΘ. itaque cum duo triangula AEZ, AHΘ baſes EZ, HΘ æquales habeant, & eandem rectam AB quæ à vertice ad punctum baſim bifariam ſecans ducitur, habeatque EA ad AZ majorem rationem quam HA ad AΘ: erit [per 19. huj.] AEZ triangulum minus triangulo AHΘ. ſimili modo demonſtrabitur minus eſſe omnibus aliis triangulis per axem: ergo AEZ minimum eſt omnium triangulorum quæ per axem tranſeunt. rurſus in triangulis AHΘ, ΑΓΔ, & baſes æquales ſunt, & eadem eſt quæ ducitur à vertice ad punctum baſim bifariam ſecans; habetque HA ad AΘ majorem rationem quam ΓA ad AΔ, ſunt enim ΓA, AΔ æquales: ergo triangulum HAΘ [per 19. huj.] minus eſt triangulo ΓAΔ. ſimiliter demonſtrabitur omnia triangula per axem ducta triangulo ΓAΔ minora eſſe; triangulum igitur ΑΓΔ maximum eſt omnium triangulorum quæ per axem tranſeunt, ſicut AEZ minimum. quod erat demonſtrandum. eodem modo demonſtrabitur maximo propinquius majus eſſe eo quod plus diſtat.



ΠΡΟΤΑΣΙΣ κβ'.

Ἐν κώνῳ σκαληνῷ τῶν διὰ τοῦ ἄξονος συνισταμένων τριγώνων μέγιστον μὲν ἔσται τὸ ἰσοσκελές, ἐλάχιστον δὲ τὸ πρὸς ὀρθὰς τῇ βάσει τοῦ κώνου· τῶν δὲ λοιπῶν τὸ τοῦ μεγίστου ἔγγιον μεῖζόν ἐστι τοῦ ἀπώτερον.

Ἐν γὰρ κώνῳ σκαληνῷ διὰ τοῦ ΑΒ ἄξονος ἔστω τρίγωνα, ἰσοσκελὲς μὲν τὸ ΑΓΔ, ὀρθὸν δὲ πρὸς τὸ τῆς βάσεως ἐπίπεδον τὸ ΑΕΖ· λέγω ὅτι πάντων τῶν διὰ τοῦ ἄξονος τριγώνων μέγιστον μέν ἐστι τὸ ΑΓΔ, ἐλάχιστον δὲ τὸ ΑΕΖ.

Ἔστω γὰρ διὰ τοῦ ἄξονος ἠγμένον ἄλλο τρίγωνον τὸ ΑΗΘ. καὶ ἐπεὶ σκαληνὸς ὁ κῶνος, κεκλίσθω ὁ ΑΒ ἄξων ἐπὶ τὰ τοῦ Ζ μέρη· μεγίστη μὲν ἄρα ἡ ΑΕ πλευρὰ πασῶν τῶν ἀπὸ τοῦ Α ἐπὶ τὴν περιφέρειαν ἀγομένων εὐθειῶν, ἐλαχίστη δὲ ἡ ΑΖ· ἡ μὲν ἄρα ΕΑ τῆς ΑΗ μείζων ἐστίν, ἡ δὲ ΖΑ τῆς ΑΘ ἐλάττων. ἐπεὶ οὖν δύο τρίγωνα τὰ ΑΕΖ, ΑΗΘ ἴσας ἔχει βάσεις τὰς ΕΖ, ΗΘ, καὶ τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως τὴν αὐτὴν τὴν ΑΒ, καὶ μείζονα λόγον ἔχει ἡ ΕΑ πρὸς ΑΖ ἤπερ ἡ ΗΑ πρὸς ΑΘ· ἔλαττον ἄρα ἐστὶ τὸ ΑΕΖ τοῦ ΑΗΘ. ὁμοίως δὴ δείκνυται ὅτι καὶ πάντων τῶν διὰ τοῦ ἄξονος τριγώνων· ἐλάχιστον ἄρα τὸ ΑΕΖ πάντων τῶν διὰ τοῦ ἄξονος τριγώνων. πάλιν ἐπεὶ τῶν ΑΗΘ, ΑΓΔ τριγώνων αἵτε βάσεις ἴσαι, καὶ ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως ἡ αὐτή, καὶ ἔχει ἡ ΗΑ πρὸς ΑΘ μείζονα λόγον ἤπερ ἡ ΓΑ πρὸς ΑΔ, ἴσαι γὰρ αἱ ΓΑ, ΑΔ· τὸ ΗΑΘ ἄρα τρίγωνον ἔλαττόν ἐστι τοῦ ΓΑΔ τριγώνου. ὁμοίως δὴ δείκνυται ὅτι καὶ πάντα τὰ διὰ τοῦ ἄξονος τρίγωνα τοῦ ΓΑΔ ἐλάττονά ἐστι· μέγιστον ἄρα πάντων τῶν διὰ τοῦ ἄξονος τριγώνων τὸ ΑΓΔ, ἐλάχιστον δὲ τὸ ΑΕΖ. ὅπερ ἔδει δεῖξαι. ὁμοίως δὴ δείκνυται ὅτι καὶ τὸ τοῦ μεγίστου ἔγγιον μεῖζόν ἐστι τοῦ ἀπώτερον.

Prop. XXIII. *Probl.*

In dato cono ſcaleno à vertice ad circumferentiam baſis rectam ducere, ad quam maxima rationem datam habeat: oportet autem datam rationem eſſe majoris ad minus, & minorem eſſe ea quam habet maxima rectarum in cono ductarum ad minimam.

SIT conus datus baſim habens BΘΓ circulum, cujus diameter BΓ, verticem vero punctum

ΠΡΟΤΑΣΙΣ κγ'.

Ἐν τῷ δοθέντι κώνῳ σκαληνῷ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν περιφέρειαν τῆς βάσεως εὐθεῖαν ἀγαγεῖν, πρὸς ἣν ἡ μεγίστη λόγον ἕξει δοθέντα· δεῖ δὲ τὸν δοθέντα λόγον μείζονος μὲν εἶναι πρὸς ἐλάττονα, ἐλάττονα δὲ εἶναι τοῦ ὃν ἔχει ἡ μεγίστη τῶν ἐν τῷ κώνῳ πρὸς τὴν ἐλαχίστην.

ΔΕΔΟΣΘΩ κῶνος, οὗ βάσις ὁ ΒΘΓ κύκλος καὶ διάμετρος τοῦ κύκλου ἡ ΒΓ, κορυφὴ δὲ τὸ Α σημεῖον,

σημεῖον, πρὸς ὀρθὰς δὲ τῷ ΒΓ τὸ ΑΒΓ τρίγωνον· μεγίστη μὲν ἄρα ἡ ΒΑ τῶν ἀπὸ τῆς κορυφῆς τοῦ κώνου εὐθειῶν, ἐλαχίστη δὲ ἡ ΑΓ. ἐπιτετάχθω δὴ ἀπὸ τοῦ Α ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου ἀγαγεῖν εὐθεῖαν, πρὸς ἣν ἡ ΒΑ λόγον ἕξει ὃν ἔχει ἡ Δ εὐθεῖα μείζων οὖσα πρὸς τὴν Ε ἐλάττονα. ἐχέτω δὲ ἡ Δ πρὸς Ε λόγον ἐλάττονα τοῦ ὃν ἔχει ἡ ΒΑ πρὸς ΑΓ.

Κατήχθω ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΖ, καὶ ἐκβεβλήσθω ἡ ΒΖΗ, καὶ ὡς ἡ Δ πρὸς Ε οὕτως ἐχέτω ἡ ΒΑ πρὸς ἄλλην τινὰ, ἐχέτω δὲ πρὸς τὴν ΑΗ, ἥτις ἐνηρμόσθω ὑπὸ τὴν ΑΖΗ γωνίαν· ἡ ΒΑ ἄρα πρὸς ΑΗ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς ΑΓ· μείζων ἄρα ἡ ΗΑ τῆς ΑΓ καὶ ἡ ΗΖ τῆς ΖΓ. ἐπεὶ οὖν ὡς τὸ ἀπὸ τῆς Δ πρὸς τὸ ἀπὸ τῆς Ε οὕτως τὸ ἀπὸ τῆς



ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΗ, μεῖζον δὲ τὸ ἀπὸ τῆς Δ τοῦ ἀπὸ τῆς Ε· μεῖζον ἄρα τὸ ἀπὸ τῆς ΒΑ τοῦ ἀπὸ τῆς ΑΗ, τουτέστι τὰ ἀπὸ τῶν ΒΖ, ΖΑ τῶν ἀπὸ τῶν ΑΖ, ΖΗ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΑΖ· λοιπὸν ἄρα τὸ ἀπὸ ΒΖ τοῦ ἀπὸ ΖΗ μεῖζον, καὶ ἡ ΒΖ τῆς ΖΗ. ἦν δὲ καὶ ἡ ΓΖ τῆς ΖΗ ἐλάττων· ἡ ἄρα ΖΗ τῆς μὲν ΖΓ μείζων ἐστὶ, τῆς δὲ ΖΒ ἐλάττων. ἐνηρμόσθω τοίνυν τῷ κύκλῳ τῇ ΖΗ ἴση ἡ ΖΘ, καὶ ἐπεζεύχθω ἡ ΑΘ. ἐπεὶ οὖν ἡ ΘΖ τῇ ΖΗ ἴση, κοινὴ δὲ ἡ ΖΑ, καὶ πρὸς ὀρθὰς ἑκατέρα αὐτῶν· καὶ βάσις ἄρα ἡ ΘΑ τῇ ΑΗ ἴση ἐστίν. ἐπεὶ οὖν ὡς ἡ Δ πρὸς Ε οὕτως ἡ ΒΑ πρὸς ΑΗ, τουτέστιν ἡ ΒΑ πρὸς ΑΘ, ἡ δὲ Δ πρὸς Ε ἐν τῷ δοθέντι λόγῳ ἐστί· καὶ ἡ ΒΑ ἄρα πρὸς ΑΘ ἐν τῷ δοθέντι λόγῳ ἐστίν· ἡ ΑΘ ἄρα διῆκται, πρὸς ἣν ἡ ΒΑ λόγον ἔχει τὸν ἐπιταχθέντα. ὅπερ ἔδει ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ κδ'.

Τριγώνου δοθέντος σκαληνοῦ, καὶ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως ἠγμένης εὐθείας, ἄλλο μεῖζον τρίγωνον συστήσασθαι, ὥστε ἴσην μὲν ἔχειν τὴν βάσιν καὶ τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως τῇ τοῦ δοθέντος τριγώνου, λόγον δὲ ἔχειν πρὸς τὸ δοθὲν τρίγωνον ὃν εὐθεῖά τις μείζων πρὸς ἐλάττονα· δεῖ δὲ τὰς τοιαύτας εὐθείας λόγον ἔχειν πρὸς ἀλλήλας μὴ μείζονα τοῦ

A, & triangulum per axem ABΓ ad rectos angulos ipsi BΓ circulo: ergo BA rectarum quæ à vertice coni ducuntur maxima est, & AΓ minima. itaque oporteat à puncto A ad circumferentiam circuli ducere rectam, ad quam ipsa BA rationem habeat eandem quam habet recta linea Δ major ad E minorem. habeat autem Δ ad E minorem rationem quam BA ad AΓ.

Ducatur à puncto A ad EΓ perpendicularis AZ, producaturque BZH, & ut Δ ad E ita sit BA ad aliam quampiam AH, quæ coaptetur sub angulo AZH: ergo BA ad AH minorem rationem habet quam AB ad AΓ; & propterea HA major est quam AΓ, & HZ major quam ZΓ. quoniam igitur ut quadratum ex Δ ad quadratum ex E ita quadratum ex BA ad quadratum ex



AH, quadratum autem ex Δ majus est quadrato ex E: quare quadratum ex BA quadrato ex AH majus; hoc est quadrata ex BZ, ZA simul majora sunt quadratis ex AZ, ZH simul. commune auferatur quadratum ex AZ; ergo reliquum quadratum ex BZ majus est quadrato ex ZH: & ideo erit BZ ipsa ZH major. erat autem ΓZ minor quam ZH: quare ZH major est quam ZΓ, & minor quam ZB. coaptetur igitur in circulo recta ZΘ ipsi ZH æqualis; & jungatur AΘ, itaque quoniam ΘZ ipsi ZH est æqualis, communis autem ZA, & utrique ipsarum ad rectos angulos: erit basis ΘA æqualis basi AH. sed ut Δ ad E ita est BA ad AH, hoc est BA ad AΘ; estque Δ ad E in data ratione: ergo & BA ad AΘ in data ratione erit: ducta igitur est AΘ, ad quam ipsa BA rationem habet datam. quod erat faciendum.

Prop. XXIV. *Probl.*

Dato triangulo scaleno, datâque eâ quæ à vertice ducta basim ejus bifariam secat; super eandem basim, ac eâdem à vertice ad bisectionem basis distantiâ, aliud majus triangulum construere, quod ad datum triangulum datam habeat rationem majoris ad minus: oportet autem rationem illam datam non majorem esse eâ quam habet ducta de vertice ad bisectionem basis dati trianguli ad cathetum de vertice ejusdem ad basim demissam.

SIT datum triangulum scalenum ΑΒΓ, cujus latus ΑΒ majus sit latere ΑΓ, & basis ΒΓ bifariam in Δ secetur, ducaturque ΑΔ; sit autem ΕΔ perpendicularis ad ΒΓ, & æqualis ipsi ΔΑ; & sit ΑΖ ad eandem ΒΓ perpendicularis: oporteatque aliud triangulum construere triangulo ΑΒΓ majus, quod habeat ductam à vertice ad punctum basim bifariam secans utrique ipsarum ΔΕ, ΔΑ æqualem, quodque ad triangulum ΑΒΓ rationem eandem habeat quam Θ major ad Η minorem. habeat autem Θ ad Η non majorem rationem quam ΔΑ ad ΑΖ.

Itaque centro Δ & intervallo ΔΑ circulus ΕΑ describatur, qui per Ε transibit. & quoniam ratio Θ ad Η non major est ratione ΔΑ vel ΔΕ ad ΑΖ; erit vel eadem, vel minor. sit primum eadem, & jungantur ΕΒ, ΕΓ. quoniam est ut Θ ad Η ita ΕΔ ad ΑΖ, & ut ΕΔ ad ΑΖ ita rectangulum sub ΕΔ,ΒΓ ad rectangulum sub ΑΖ, ΒΓ; [ergo ut Θ ad Η ita rectangulum sub ΕΔ, ΒΓ ad rectangulum sub ΑΖ,ΒΓ.] rectanguli autem sub ΕΔ, ΒΓ dimidium est triangulum ΕΒΓ, & rectanguli sub ΑΖ,ΒΓ dimidium est triangulum ΑΒΓ: triangulum igitur ΒΕΓ ad triangulum ΒΑΓ eam rationem habet quam Θ ad Η, hoc est datam.



Habeat deinde Θ ad Η minorem rationem quam habet ΕΔ ad ΑΖ; & fiat ut Θ ad Η ita ΚΔ ad ΑΖ, perque Κ ducatur ΚΛ ipsi ΓΔ parallela, & jungantur ΛΒ, ΛΓ. quoniam itaque ut Θ est ad Η ita ΚΔ ad ΑΖ; ut autem ΚΔ ad ΑΖ ita ΒΛΓ triangulum ad triangulum ΒΑΓ: triangulum igitur ΒΛΓ ad triangulum ΒΑΓ datam habet rationem, videlicet quam habet Θ ad Η; estque ΛΔ ipsi ΔΑ æqualis. quod erat faciendum.

PROP. XXV. *Probl.*

Datum conum scalenum secare per axem plano faciente in eo triangulum, ad minimum triangulorum per axem ductorum rationem datam habens: oportet autem datam rationem esse majoris ad minus, neque majorem eâ quam maximum triangulorum per axem habet ad minimum.

SIT datus conus scalenus, cujus axis ΑΒ, basis circulus circa Β centrum, minimum vero triangulorum per axem ΑΓΔ; & opor-

ὃν ἔχει ἡ ἀπὸ τῆς κορυφῆς τοῦ δοθέντος τριγώνου ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως ἠγμένη πρὸς τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν πίπτουσαν κάθετον.

ΕΣΤΩ τρίγωνον δοθὲν τὸ ΑΒΓ σκαληνὸν, μείζονα ἔχον τὴν ΑΒ τῆς ΑΓ, ἡ δὲ ΒΓ βάσις τετμήσθω δίχα κατὰ τὸ Δ, καὶ διήχθω ἡ ΑΔ, καὶ ἡ μὲν ΕΔ πρὸς ὀρθὰς ἔστω τῇ ΒΓ ἴση οὖσα τῇ ΔΑ, ἡ δὲ ΑΖ κάθετος ἐπὶ τὴν ΒΓ· καὶ δέον ἔστω ἄλλο τρίγωνον μεῖζον τοῦ ΑΒΓ συστήσασθαι, τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν τῆς βάσεως ἴσην ἔχον ἑκατέρᾳ τῶν ΔΕ, ΔΑ, καὶ προσέτι λόγον ἔχον πρὸς τὸ ΑΒΓ ὃν ἡ Θ πρὸς Η μείζων πρὸς ἐλάττονα. ἐχέτω δὲ ἡ Θ πρὸς Η λόγον μὴ μείζονα ἤπερ ἡ ΔΑ πρὸς ΑΖ.

Κέντρῳ τῷ Δ, διαστήματι δὲ τῷ ΔΑ, γεγράφθω κύκλος· ἥξει δὴ καὶ διὰ τοῦ Ε, ἔστω δὲ ὅδε ὁ ΕΑ. ἐπεὶ οὖν ὁ τῆς Θ πρὸς Η λόγος οὐ μείζων ἐστὶ τοῦ τῆς ΔΑ ἤτοι τῆς ΔΕ πρὸς ΑΖ, ἤτοι ὁ αὐτός ἐστιν ἢ ἐλάττων. ἔστω πρότερον ὁ αὐτὸς, καὶ ἐπεζεύχθωσαν αἱ ΕΒ, ΕΓ. ἐπεὶ οὖν ὡς ἡ Θ πρὸς τὴν Η οὕτως ἡ ΕΔ πρὸς ΑΖ, ὡς δὲ ἡ ΕΔ πρὸς ΑΖ οὕτως τὸ ὑπὸ ΕΔ, ΒΓ πρὸς τὸ ὑπὸ ΑΖ, ΒΓ, ἀλλὰ τοῦ μὲν ὑπὸ ΕΔ, ΒΓ ἥμισύ ἐστι τὸ ΕΒΓ τρίγωνον, τοῦ δὲ ὑπὸ ΑΖ, ΒΓ ἥμισύ ἐστι τὸ ΑΒΓ τρίγωνον· καὶ τὸ ΒΕΓ ἄρα πρὸς τὸ ΒΑΓ λόγον ἔχει ὃν ἡ Θ πρὸς Η, τουτέστι τὸν ἐπιταχθέντα.

Ἀλλὰ δὲ ἐχέτω ἡ Θ πρὸς τὴν Η ἐλάττονα λόγον ἤπερ ἡ ΕΔ πρὸς ΑΖ, γενέσθω δὲ ὡς ἡ Θ πρὸς Η οὕτως ἡ ΚΔ πρὸς ΑΖ, καὶ διὰ τοῦ Κ τῇ ΓΔ παράλληλος ἤχθω ἡ ΚΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΛΒ, ΛΓ. ἐπεὶ οὖν ὡς ἡ Θ πρὸς τὴν Η οὕτως ἡ ΚΔ πρὸς ΑΖ, ὡς δὲ ἡ ΚΔ πρὸς ΑΖ οὕτως τὸ ΒΛΓ τρίγωνον πρὸς τὸ ΒΑΓ τρίγωνον· τὸ ἄρα ΒΛΓ πρὸς τὸ ΒΑΓ τὸν ἐπιταχθέντα ἔχει λόγον τὸν τῆς Θ πρὸς Η, ἔχει δὲ καὶ τὴν ΛΔ ἴσην τῇ ΔΑ. ὃ προσετέτακται ποιῆσαι.

ΠΡΟΤΑΣΙΣ κε'.

Τὸν δοθέντα κῶνον σκαληνὸν τεμεῖν διὰ τοῦ ἄξονος ἐπιπέδῳ ποιοῦντι τρίγωνον ἐν τῷ κώνῳ, ὃ τὸν δοθέντα λόγον ἕξει πρὸς τὸ ἐλάχιστον τῶν διὰ τοῦ ἄξονος τριγώνων· δεῖ δὲ δοθέντα λόγον, μείζονος ὄντα πρὸς ἔλαττον, μὴ μείζονα εἶναι τοῦ ὃν ἔχει τὸ μέγιστον τρίγωνον τῶν διὰ τοῦ ἄξονος πρὸς ἐλάχιστον.

ΕΣΤΩ ὁ δοθεὶς κῶνος σκαληνὸς, οὗ ὁ ἄξων ὁ ΑΒ, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, τὸ δὲ ἐλάχιστον τῶν διὰ τοῦ ἄξονος τριγώνων τὸ ΑΓΔ· καὶ δέον ἐστι διὰ τοῦ ΑΒ ἄξονος ἀγομένων [illegible] τριγώνων, ὃ λόγον ἔχει πρὸς τὸ ΑΓΔ τρίγωνον, ὃν ἡ Ε πρὸς τὴν Ζ, μὴ μείζονα δὲ ἤπερ τὸ μέγιστον τῶν διὰ τοῦ ἄξονος τριγώνων πρὸς τὸ ἐλάχιστον τὸ ΑΓΔ. εἰ μὲν οὖν ἡ Ε πρὸς τὴν Ζ λόγον ἔχει ὃν τὸ μέγιστον τῶν διὰ τοῦ ἄξονος τριγώνων πρὸς τὸ ἐλάχιστον, διὰ τοῦ Β πρὸς ὀρθὰς τῇ ΓΔ ἀγαγόντες εὐθεῖαν ἐν τῷ κύκλῳ, καὶ διὰ τῆς ἀχθείσης καὶ τοῦ ἄξονος ἐκβαλόντες ἐπίπεδον, ἕξομεν τρίγωνον ἰσοσκελὲς, ὃ μέγιστόν ἐστι τῶν διὰ τοῦ ἄξονος, (τοῦτο γὰρ ἐδείχθη) καὶ ἔχει πρὸς τὸ ΑΓΔ λόγον τὸν τῆς Ε πρὸς τὴν Ζ, τουτέστι τὸν ἐπιταχθέντα.

Ἐχέτω δὲ νῦν ἡ Ε πρὸς Ζ ἐλάττονα λόγον ἤπερ τὸ μέγιστον τῶν διὰ τοῦ ἄξονος τρίγωνον πρὸς τὸ ἐλάχιστον, καὶ κείσθω ἐκτὸς εὐθεῖα ἡ ΗΘ ἴση οὖσα τῇ ΓΔ, καὶ ἀπ' αὐτῆς τὸ ΚΗΘ τρίγωνον, ὅμοιον ὂν τῷ ΑΓΔ, ὥστε καὶ τὴν ΚΗ τῇ ΑΓ ἴσην εἶναι, καὶ πάντα ἴσα, καὶ ἐπὶ τῆς ΗΘ συνιστάσθω τρίγωνον, ἴσην ἔχον τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν διχοτομίαν





τῆς βάσεως τῇ ΚΛ, καὶ λόγον ἔχον πρὸς τὸ ΚΗΘ ὃν ἡ Ε πρὸς Ζ. τὸ δὲ συνιστάμενον τρίγωνον τὴν κορυφὴν ἕξει ἐπὶ τὰ τοῦ Η μέρη, ὡς δειχθήσεται. ἔστω δὴ τὸ ΜΗΘ, ὥστε τὴν ΜΗ πλευρὰν τῆς ΜΘ μείζονα εἶναι. ἐπεὶ οὖν ἡ ΜΛ τῇ ΛΚ ἴση, κοινὴ δὲ ἡ ΛΗ, μείζων δὲ ἡ ὑπὸ ΚΛΗ γωνία τῆς ὑπὸ ΜΛΗ· μείζων ἄρα ἡ ΚΗ τῆς ΜΗ. ἡ δὲ ΚΗ τῇ ΓΑ ἴση· καὶ ἡ ΓΑ ἄρα τῆς ΜΗ μείζων ἐστί. πάλιν ἐπεὶ ἡ ΚΘ, τουτέστιν ἡ ΑΔ, τῆς ΜΘ ἐλάττων ἐστὶν, ἡ δὲ ΜΘ τῆς ΜΗ ἐλάττων· ἡ ἄρα ΑΔ τῆς ΜΗ ἐστὶν ἐλάττων. ἐπεὶ οὖν ἡ ΜΗ τῆς μὲν μεγίστης τῶν ἐν τῷ κώνῳ τῆς ΑΓ ἐλάττων ἐστί, τῆς δὲ ἐλαχίστης τῆς ΔΑ μείζων· δυνατὸν ἄρα εὐθεῖαν ἴσην τῇ ΜΗ ἀπὸ τῆς Α κορυφῆς ἐπὶ τὴν περιφέρειαν τῆς βάσεως ἀγαγεῖν, ὡς ἤδη μεμαθήκαμεν. ἤχθω δὴ καὶ ἔστω ἡ ΑΝ, καὶ ἐπεζεύχθω ἡ ΝΒΞ, καὶ ἡ ΑΞ. ἐπεὶ οὖν ἴση ἡ μὲν ΑΝ τῇ ΜΗ, ἡ δὲ ΝΒ τῇ ΗΛ, ἡ δὲ ΒΑ τῇ ΛΜ· ὅλον ἄρα τὸ ΑΝΒ τρίγωνον τῷ ΜΗΛ ἴσον ἐστί, καὶ ἡ ὑπὸ ΑΒΝ γωνία τῇ ὑπὸ ΜΛΗ ἴση· καὶ ἡ ὑπὸ ΑΒΞ ἄρα τῇ ὑπὸ ΜΛΘ. πάλιν ἐπεὶ ἴση ἡ μὲν ΑΒ τῇ ΛΜ, ἡ δὲ ΒΞ τῇ ΛΘ, ἀλλὰ καὶ ἡ ὑπὸ ΑΒΞ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΜΛΘ· ἴση ἄρα ἡ ΑΞ τῇ ΜΘ. ἦν δὲ καὶ ἡ ΑΝ τῇ ΜΗ, καὶ ἡ ΝΞ βάσις τῇ ΗΘ·

tur, quæ [illegible] AZ [illegible] secans, [illegible] AΓΔ rationem quidem [illegible] E majorem ad Z [illegible] quam [illegible] habet ad minimum AΓΔ. [illegible] E ad Z rationem habeat eandem quam [illegible] triangulorum per axem ad minimum, [illegible] per B rectam lineam in circulo [illegible] ad angulos ipsi ΓΔ, & secundum [illegible] planum producentes, habebimus triangulum [illegible] æquicrure, quod maximum est [illegible] transeuntium, ut [per 22. hujus] demonstratum fuit; habebitque ad triangulum AΓΔ rationem eandem quam E ad Z, [illegible].

Sed habeat nunc E ad Z rationem minorem quam maximum triangulorum per axem ad minimum; & describatur seorsum recta linea HΘ æqualis ipsi ΓΔ, & super eam triangulum KHΘ triangulo AΓΔ simile, ita ut KH sit æqualis ipsi AΓ, & aliæ aliis itidem æquales; postea super rectam HΘ construatur [per præcedentem] triangulum, habens eam quæ à vertice ad punctum basim bifariam secans ducitur ipsi KΛ æqualem; habensque ad triangulum KHΘ rationem eandem quam E ad Z. erit autem constructi trianguli vertex ad partes H, ut mox demonstrabitur. sit autem illud triangulum MHΘ, ita ut latus MH sit majus ipso MΘ. quoniam igitur MΛ est æqualis ipsi ΛK, & ΛH communis, angulus autem KΛH major angulo MΛH; erit KH major ipsa MH. & est KH æqualis ipsi ΓA; ergo ΓA quam MH major erit. rursus quoniam KΘ, hoc est AΔ, minor est quam MΘ, itemque MΘ minor quam MH, erit AΔ ipsa MH minor. itaque cum MH sit minor quam AΓ maxima earum quæ in cono ducuntur, & major quam ΔA earundem minima; fieri potest ut à vertice A ad basis circumferentiam ducatur recta æqualis ipsi MH, quemadmodum antea [ad 23. hujus] didicimus. ducatur ergo & sit AN, junganturque NBΞ, AΞ. & quoniam AN est æqualis ipsi MH, & NB ipsi HΛ, & BA ipsi ΛM; erit totum ANB triangulum triangulo MHΛ æquale, angulusque ABN æqualis angulo MΛH: quare & ABΞ angulus ipsi MΛΘ æqualis. rursus quoniam AB est æqualis ipsi ΛM, & BΞ ipsi ΛΘ, angulusque ABΞ angulo MΛΘ: erit & AΞ æqualis ipsi MΘ. sed AN æqualis erat ipsi MH, & basis NΞ basi HΘ: triangulum igitur

tur

tur ΑΝΞ est æquale triangulo ΗΜΘ. sed triangulum ΗΜΘ ad triangulum ΗΚΘ, hoc est ad ipsum ΓΑΔ, eandem habet rationem quam Ε ad Ζ: ergo & triangulum ΑΝΞ ad triangulum ΑΓΔ rationem habet eandem quam Ε ad Ζ: factum est igitur ΑΝΞ triangulum per axem, quemadmodum proponebatur.

Quod si quis dicat triangulum majus triangulo ΗΚΘ, super ipsam ΗΘ descriptum, ad partes Θ verticem habere, absurdum sequetur. sit enim ita, si fieri potest. & quoniam æquales sunt ΚΛ, ΜΛ, communis autem ΛΗ, atque ΜΛΗ angulus major est angulo ΚΛΗ: igitur ΜΗ major est quam ΚΗ. eadem ratione demonstrabitur ΚΘ major quam ΘΜ. & cum ΜΗ sit major quam ΗΚ, & ΜΘ minor quam ΘΚ; habebit ΜΗ ad ΗΚ majorem rationem quam ΜΘ ad ΘΚ, permutandoque ΗΜ ad ΜΘ majorem quam ΗΚ ad ΚΘ: triangulum igitur ΗΜΘ [per 19. huj.] triangulo ΗΚΘ est minus, quod fieri non potest; (supponebatur enim majus) quare triangulum ΗΜΘ non ad partes Θ, sed ad eas ad quas est Η, verticem habebit.



τὸ ἄρα ΑΝΞ τρίγωνον ἴσον ἐστὶ τῷ ΗΜΘ. ἀλλὰ τὸ ΗΜΘ πρὸς τὸ ΗΚΘ, τουτέστι πρὸς τὸ ΓΑΔ, λόγον ἔχει τὸν τῆς Ε πρὸς τὴν Ζ· καὶ τὸ ΑΝΞ ἄρα πρὸς τὸ ΑΓΔ λόγον ἔχει ὃν ἡ Ε πρὸς τὴν Ζ· ἦκται ἄρα διὰ τοῦ ἄξονος τὸ ΑΝΞ τρίγωνον, ὡς ἐπετάχθη.

Εἰ δέ τις λέγοι ὅτι τὸ συνιστάμενον ἐπὶ τῆς ΗΘ τρίγωνον, μεῖζον ὑπάρχον τοῦ ΗΚΘ, ἐπὶ τὰ τοῦ Θ μέρη τὴν κορυφὴν ἕξει, συμβήσεται ἀδύνατον. ἔστω γάρ, εἰ δυνατόν, οὕτως. ἐπεὶ οὖν ἴσαι αἱ ΚΛ, ΜΛ, κοινὴ δὲ ἡ ΛΗ, ἡ δὲ ὑπὸ ΜΛΗ γωνία μείζων τῆς ὑπὸ ΚΛΗ· μείζων ἄρα ἡ ΜΗ τῆς ΚΗ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΚΘ τῆς ΘΜ μείζων. ἐπεὶ οὖν ἡ μὲν ΜΗ τῆς ΗΚ μείζων ἐστίν, ἡ δὲ ΜΘ τῆς ΘΚ ἐλάττων· ἡ ἄρα ΜΗ πρὸς ΗΚ μείζονα λόγον ἔχει ἤπερ ἡ ΜΘ πρὸς ΘΚ· καὶ ἐναλλὰξ ἄρα ἡ ΗΜ πρὸς ΜΘ μείζονα λόγον ἔχει ἤπερ ἡ ΗΚ πρὸς ΚΘ· ἔλαττον ἄρα ἐστὶ τὸ ΗΜΘ τοῦ ΗΚΘ, ὅπερ ἀδύνατον· (ὑπέκειτο γὰρ μεῖζον) οὐκ ἄρα ἐπὶ τὰ Θ μέρη τὴν κορυφὴν ἕξει τὸ τρίγωνον· ἐπὶ τὰ τοῦ Η ἄρα μέρη ἕξει.

Prop. XXVI. *Theor.*

Si conus scalenus plano per axem secetur ad rectos angulos ipsi basi, & ea quæ à vertice facti trianguli ad basim perpendicularis ducitur non minor sit basis semidiametro: erit triangulum, quod ad rectos angulos est basi, majus quolibet alio extra axem in cono constituto, basimque habente basi dicti trianguli parallelam.

Conus enim, cujus vertex Α, basis autem circulus circa Β centrum, secetur plano per axem quod faciat ΑΓΔ triangulum, ad rectos angulos basi coni; quæ vero à puncto Α ad ΓΔ perpendicularis ducitur non sit minor semidiametro basis: dico triangulum ΑΓΔ maximum esse è triangulis in cono constitutis ac bases habentibus ipsi ΓΔ parallelas.



Ducatur enim in circulo recta ΕΖ parallela ipsi ΓΔ, super quam triangulum ΑΕΖ describatur; in plano autem trianguli ΑΓΔ, & ad rectos angulos ipsi ΓΔ, erigatur ΒΗ, & ducatur ΑΗ eidem ΓΔ parallela: erit igitur ΒΗ æqualis ei quæ à puncto Α ad ΓΔ perpendicularis cadit. itaque junctis ΗΓ, ΗΔ, ΗΒ, ΗΖ, concipiatur conus cujus vertex Η, axis ΗΒ, & basis circulus circa

ΠΡΟΤΑΣΙΣ κϛʹ.

Ἐὰν κώνος σκαληνὸς διὰ τοῦ ἄξονος ἐπιπέδῳ τμηθῇ πρὸς ὀρθὰς τῇ βάσει, ἡ δὲ γινομένου τριγώνου ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος μὴ ἐλάττων ᾖ τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως· τὸ πρὸς ὀρθὰς τῇ βάσει τρίγωνον μέγιστον ἔσται πάντων τῶν ἐκτὸς τοῦ ἄξονος ἐν τῷ κώνῳ συνισταμένων τριγώνων, καὶ παραλλήλους βάσεις ἐχόντων τῇ τοῦ πρὸς ὀρθὰς τριγώνου.

Κώνος γάρ, οὗ κορυφὴ μὲν τὸ Α, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, τετμήσθω διὰ τοῦ ἄξονος ἐπιπέδῳ ποιοῦντι τὸ ΑΓΔ τρίγωνον, πρὸς ὀρθὰς τῇ βάσει τοῦ κώνου, ἡ δὲ ἀπὸ τοῦ Α ἐπὶ τὴν ΓΔ κάθετος μὴ ἐλάττων ἔστω τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως· λέγω ὅτι τὸ ΑΓΔ τρίγωνον μέγιστόν ἐστι πάντων τῶν ἐν τῷ κώνῳ συνισταμένων τριγώνων, βάσεις ἐχόντων παραλλήλους τῇ ΓΔ.

Διήχθω γὰρ ἐν τῷ κύκλῳ παράλληλος τῇ ΓΔ ἡ ΕΖ, ἐφ' ἧς τὸ ΑΕΖ τρίγωνον, ἐν δὲ τῷ τοῦ ΑΓΔ τριγώνου ἐπιπέδῳ πρὸς ὀρθὰς ἀνεστάτω τῇ ΓΔ ἡ ΒΗ, καὶ τῇ ΓΔ παράλληλος ἡ ΑΗ· ἡ ΒΗ ἄρα ἴση ἐστὶ τῇ ἀπὸ τοῦ Α ἐπὶ τὴν ΓΔ καθέτῳ. ἐπεζεύχθωσαν αἱ ΗΓ, ΗΔ, ΗΕ, ΗΖ· νοηθήσεται δὴ κῶνος, οὗ κορυφὴ μὲν τὸ Η, ἄξων δὲ ἡ ΗΒ, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον

Β κέντρον κύκλος, ἐν ᾧ τρίγωνα, διὰ μὲν τοῦ ἄξονος τὸ ΗΓΔ, ἐκτὸς δὲ τοῦ ἄξονος τὸ ΗΕΖ. ἐπεὶ οὖν ἡ ΒΗ οὐκ ἐλάσσων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, διὰ τὰ προδεδειγμένα ἄρα τὸ ΗΓΔ μεῖζόν ἐστι τοῦ ΗΕΖ, καὶ πάντων τῶν ἐν τῷ κώνῳ τριγώνων βάσεις ἐχόντων παραλλήλους τῇ ΓΔ. ἀλλὰ τὸ μὲν ΗΓΔ τῷ ΑΓΔ ἴσον ἐστὶν (ἐπί τε γὰρ τῆς αὐτῆς βάσεως καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις) τὸ δὲ ΗΕΖ τῷ ΑΕΖ ἴσον· τὸ ἄρα ΑΓΔ τοῦ ΑΕΖ μεῖζόν ἐστιν. ὁμοίως δὴ δείκνυται ὅτι καὶ πάντων τῶν παραλλήλους βάσεις ἐχόντων τῇ ΓΔ· τὸ ΑΓΔ ἄρα μέγιστόν ἐστι πάντων τῶν παραλλήλους βάσεις ἐχόντων τῇ ΓΔ. ὅπερ ἔδει δεῖξαι.

ΠΡΟΤΑΣΙΣ κζ'.

Ἐὰν ᾖ ἡ ἀπὸ τοῦ Α κάθετος ἐπὶ τὴν ΓΔ ἐλάττων ἢ τῆς ἐκ τοῦ κέντρου, τὸ ΑΓΔ οὐκ ἔσται μέγιστον τῶν τὰς παραλλήλους τῇ ΓΔ βάσεις ἐχόντων τριγώνων. ἡ δὲ αὐτὴ δεῖξις καὶ καταγραφή.



Ἐπεὶ γὰρ ἡ ΗΒ ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, τὸ ἄρα ΗΓΔ οὐκ ἔσται μέγιστον τῶν παραλλήλους αὐτῷ βάσεις ἐχόντων. ἐδείχθη γὰρ καὶ μείζονα αὐτοῦ συνιστάμενα, καὶ ἐλάττονα, καὶ ἴσα. εἰ μὲν οὖν ἔλαττον τὸ ΗΓΔ τοῦ ΗΕΖ, ἔλαττον ἔσται καὶ τὸ ΑΓΔ τοῦ ΑΕΖ· εἰ δὲ μεῖζον τὸ ΗΓΔ τοῦ ΗΕΖ, μεῖζον καὶ τὸ ΑΓΔ τοῦ ΑΕΖ· εἰ δὲ ἴσον καὶ ἴσον ὁμοίως.

ΠΡΟΤΑΣΙΣ κη'.

Ἐὰν ἐν σκαληνῷ κώνῳ τμηθέντι διὰ τῆς κορυφῆς ἐπιπέδοις, ἐπὶ παραλλήλων βάσεων ἰσοσκελῆ τρίγωνα συστῇ, ὁ δὲ ἄξων τοῦ κώνου μὴ ἐλάττων ᾖ τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως· τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς μέγιστον ἔσται πάντων τῶν ἰσοσκελῶν τῶν συνισταμένων ἐφ' ὃ μέρος προσνεύει ὁ ἄξων.

Ἔστω κῶνος, οὗ ἄξων μὲν ὁ ΑΒ, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, τοῦ δὲ πρὸς ὀρθὰς τῷ κύκλῳ τριγώνου διὰ τοῦ ἄξονος ἠγμένου βάσις ἔστω ἡ ΓΒΔ, καὶ ἡ ὑπὸ ΑΒΔ γωνία ἐλάττων ἔστω ὀρθῆς, ὥστε τὴν ΑΒ ἐπὶ τὰ Δ μέρη προσνεύειν, καὶ ἔστω ἡ ΑΒ μὴ ἐλάττων τῆς ἐκ τοῦ κέντρου· λέγω ὅτι τὸ διὰ τῆς ΑΒ ἰσοσκελὲς μέγιστόν ἐστι τῶν γινομένων ἰσοσκελῶν τριγώνων, τῶν μεταξὺ τῶν Β, Δ σημείων τὰς βάσεις ἐχόντων.



Εἰλήφθω ἐπὶ τῆς ΒΔ τυχὸν σημεῖον τὸ Ε, καὶ τῇ ΓΔ πρὸς ὀρθὰς ἤχθωσαν ἐν τῷ κύκλῳ αἱ ΒΖ, ΕΗ, καὶ ἐπεζεύχθω ἡ ΑΕ· ἡ δὴ ΒΑ τῆς ΑΕ ἤτοι ἐλάττων

B centrum descriptus; atque in eo intelligantur triangula per axem quidem ΗΓΔ, extra axem vero ΗΕΖ. quoniam igitur ΒΗ non est minor semidiametro basis; triangulum ΗΓΔ, ex jam demonstratis [ad 5. huj.] majus erit triangulo ΗΕΖ, majusque omnibus triangulis in cono constitutis, basesque habentibus ipsi ΓΔ parallelas. sed triangulum ΗΓΔ æquale est triangulo ΑΓΔ, (quod sit super eandem basim & inter easdem parallelas) triangulumque ΗΕΖ æquale est triangulo ΑΕΖ: ergo triangulum ΑΓΔ triangulo ΑΕΖ est majus. similiter etiam majus demonstrabitur quibusvis aliis quæ bases habent parallelas ipsi ΓΔ: triangulum igitur ΑΓΔ omnium ejusmodi triangulorum maximum est. quod erat demonstrandum.

Prop. XXVII. *Theor.*

At si perpendicularis à puncto Α ad ΓΔ ducta minor fuerit semidiametro basis; triangulum ΑΓΔ non erit maximum omnium bases ipsi ΓΔ parallelas habentium. demonstratio autem & figura eadem est.

Quoniam enim ΗΒ minor est semidiametro basis; triangulum ΗΓΔ non erit maximum omnium quæ bases habent ipsi parallelas; si quidem uti demonstravimus, [ad 10. huj.] & eo majora triangula, & minora, & æqualia constitui possunt. quod si triangulum ΗΓΔ minus sit triangulo ΗΕΖ, & ΑΓΔ triangulum triangulo ΑΕΖ minus erit; & si majus, majus; & si æquale similiter æquale erit.

Prop. XXVIII. *Theor.*

Si in cono scaleno planis per verticem secto, super bases parallelas triangula æquicrura fiant, sitque axis coni non minor semidiametro basis: triangulum æquicrure per axem transiens majus erit quovis æquicruri ad eam partem ad quam axis inclinat constituti.

Sit conus cujus axis ΑΒ, basis circulus circa Β centrum, basis vero trianguli per axem constituti ad rectos angulos ipsi circulo sit ΓΒΔ; & angulus ΑΒΔ minor sit angulo recto, ita ut ΑΒ ad partes Δ inclinet; sitque ΑΒ non minor semidiametro basis: dico triangulum æquicrure per ΑΒ transiens majus esse æquicruribus omnibus inter puncta Β, Δ bases habentibus.

Sumatur enim utcunque in recta ΒΔ punctum Ε, & ipsi ΓΔ ad rectos angulos ducantur in circulo ΒΖ, ΕΗ, & jungatur ΑΕ. itaque ΒΑ vel minor

 est

est quam A E, vel non minor. ponatur primum B A non minor quam A E. igitur quoniam B A non minor est quam AE,& EH est minor quam BZ; ergo AB ad AE majorem rationem habet quam EH ad BZ: & idcirco [per 1. huj.] ABZ rectangulum majus est rectangulo AEH. sed rectangulo ABZ æquale est triangulum basim habens duplam ipsius BZ & altitudinem AB, hoc est triangulum æquicrure per axem; rectangulo autem AEH est æquale triangulum cujus basis dupla est EH & altitudo AE: ergo triangulum æquicrure per axem majus est æquicruri per AE constituto. similiter quoque triangulum per axem triangulis omnibus, quæ inter puncta B, Δ bases habent, majus esse demonstrabitur.



Sed jam sit BA minor quam AE. & quoniam angulus ABE minor est recto, ducatur in plano trianguli ABE recta BΘ perpendicularis ipsi ΓΔ, ipsique EH sit æqualis, & jungantur ΘE, BH. cum igitur angulus ABE angulo AEB sit major, erit angulus AEB minor recto. rectus autem est ΘBE: ergo rectæ ΘB, AE productæ inter se convenient. conveniant ad punctum K: & per Θ ducatur ΘΛ ipsi KE parallela. itaque quoniam ΘB est æqualis ipsi EH, communis autem BE, & angulos æquales continent, videlicet rectos; erit BH ipsi ΘE æqualis. rursus quoniam rectus est angulus ΘBΛ, recta ΘE major erit quam ΘΛ; adeoque BΘ ad ΘE minorem rationem habebit quam eadem BΘ ad ΘΛ. ut autem BΘ ad ΘΛ ita BK ad KE; quare BΘ ad ΘE minorem habet rationem quam BK ad KE. sed BK ad KE habet minorem quam BA ad AE, ut in 29no theoremate ostendetur; igitur BΘ ad ΘE multo minorem habebit rationem quam BA ad AE: ergo BA ad AE majorem rationem habet quam BΘ ad ΘE, hoc est quam EH ad HB sive ad BZ. quoniam vero BA ad AE majorem habet rationem quam EH ad BZ,erit rectangulum ABZ majus rectangulo AEH. sed rectangulo ABZ æquale est triangulum æquicrure per axem, & rectangulo AEH æquale est triangulum æquicrure per AE, cujus basis sit dupla ipsius EH: majus igitur est triangulum æquicrure per axem triangulo æquicruri per AE transeunte. eadem ratione demonstrabitur majus aliis omnibus, quorum bases inter puncta B, Δ habentur. quod erat demonstrandum.



ἐστὶν, ἢ οὐκ ἔστιν ἐλάττων. ὑποκείσθω δὲ μὴ εἶναι ἐλάττων ἡ BA τῆς AE. ἐπεὶ οὖν ἡ BA τῆς AE οὐκ ἐλάττων, ἐλάττων δὲ ἡ EH τῆς BZ· ἡ AB ἄρα πρὸς AE μείζονα λόγον ἔχει ἤπερ ἡ EH πρὸς BZ· τὸ ἄρα ὑπὸ AB, BZ μεῖζόν ἐστι τοῦ ὑπὸ AE,EH. ἀλλὰ τῷ μὲν ὑπὸ AB,BZ ἴσον ἐστὶ τὸ τρίγωνον τὸ βάσιν ἔχον τὴν διπλῆν τῆς BZ, ὕψος δὲ τὴν AB, τουτέστι τὸ διὰ τοῦ ἄξονος ἰσοσκελές, τῷ δὲ ὑπὸ AE,EH ἴσον ἐστὶ τὸ τρίγωνον τὸ βάσιν μὲν ἔχον τὴν διπλῆν τῆς EH, ὕψος δὲ τὴν AE· τὸ ἄρα διὰ τοῦ ἄξονος ἰσοσκελὲς μεῖζόν ἐστι τοῦ διὰ τῆς AE ἰσοσκελοῦς. ὁμοίως δὴ δείκνυται ὅτι καὶ πάντων τῶν μεταξὺ τῶν B, Δ τὰς βάσεις ἐχόντων μέγιστόν ἐστι τὸ διὰ τοῦ ἄξονος.

Ἀλλὰ δὴ ἔστω ἡ BA τῆς AE ἐλάττων. καὶ ἐπεὶ ἡ ὑπὸ ABE γωνία ἐλάττων ἐστὶν ὀρθῆς, ἤχθω ἐν τῷ τοῦ ABE τριγώνου ἐπιπέδῳ τῇ ΓΔ πρὸς ὀρθὰς ἡ BΘ, ἴση οὖσα τῇ EH, καὶ ἐπεζεύχθωσαν αἱ ΘE. BH. καὶ ἐπεὶ ἡ ὑπὸ ABE γωνία τῆς ὑπὸ AEB μείζων ἐστὶν, ἡ ἄρα ὑπὸ AEB ἐλάττων ἐστὶν ὀρθῆς. ὀρθὴ δὲ ἡ ὑπὸ ΘBE· αἱ ἄρα ΘB, AE εὐθεῖαι ἐκβαλλόμεναι συμπεσοῦσι. συμπιπτέτωσαν κατὰ τὸ K, καὶ ἤχθω διὰ τοῦ Θ τῇ KE παράλληλος ἡ ΘΛ. ἐπεὶ οὖν ἴση ἡ ΘB τῇ EH, κοινὴ δὲ ἡ BE, καὶ περιέχουσιν ἴσας γωνίας, ὀρθαὶ γάρ· ἴση ἄρα καὶ ἡ BH τῇ ΘE. καὶ ἐπεὶ ὀρθὴ ἡ ὑπὸ ΘBΛ, μείζων ἄρα ἡ ΘE τῆς ΘΛ· ἡ BΘ ἄρα πρὸς ΘE ἐλάττονα λόγον ἔχει ἤπερ ἡ BΘ πρὸς ΘΛ. ἀλλ' ὡς ἡ BΘ πρὸς ΘΛ οὕτως ἡ BK πρὸς KE· ἡ ἄρα BΘ πρὸς ΘE ἐλάττονα λόγον ἔχει ἤπερ ἡ BK πρὸς KE. ἡ δὲ BK πρὸς KE ἐλάττονα λόγον ἔχει ἤπερ ἡ BA πρὸς AE, ὡς ἐν τῷ ἑξῆς δείκνυται· πολλῷ ἄρα ἡ BΘ πρὸς ΘE ἐλάττονα λόγον ἔχει ἤπερ ἡ BA πρὸς AE· ἡ ἄρα BA πρὸς AE μείζονα λόγον ἔχει ἤπερ ἡ BΘ πρὸς ΘE, τουτέστιν ἤπερ ἡ EH πρὸς HB, τουτέστι πρὸς BZ. ἐπεὶ οὖν ἡ BA πρὸς AE μείζονα λόγον ἔχει ἤπερ ἡ EH πρὸς BZ, τὸ ἄρα ὑπὸ AB, BZ μεῖζόν ἐστι τοῦ ὑπὸ AE, EH. ἀλλὰ τῷ μὲν ὑπὸ AB,BZ ἴσον ἐστὶ τὸ διὰ τοῦ ἄξονος ἰσοσκελές, τῷ δὲ ὑπὸ AE, EH ἴσον ἐστὶ τὸ διὰ τῆς AE καὶ τῆς διπλῆς τῆς EH ἰσοσκελές· μεῖζον ἄρα τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς τοῦ διὰ τῆς AE ἰσοσκελοῦς. ὁμοίως δὴ δείκνυται ὅτι καὶ τῶν ὧν αἱ βάσεις μεταξὺ τῶν B,Δ σημείων. ὃ προέκειτο δεῖξαι.

Prop. XXIX. *Theor.*

Si in triangulo orthogonio ab angulo recto ad hypotenusam recta quædam

ΠΡΟΤΑΣΙΣ κθ'.

Ἐὰν ὀρθογωνίου τριγώνου ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν ὑποτείνουσαν ἀχθῇ τις εὐθεῖα· ἡ ἀχθεῖσα

ἀχθεῖσα πρὸς τὴν ἀπολαμβανομένην ὑπὸ τῆς ἀχθείσης καὶ μιᾶς τῶν περιεχουσῶν τὴν ὀρθὴν, μείζονα λόγον ἕξει ἤπερ ἡ λοιπὴ τῶν περὶ τὴν ὀρθὴν πρὸς τὴν ὑποτείνουσαν.

ducatur; habebit ducta ad eam hypotenusæ partem, quæ inter ipsam & alteram continentium angulum rectum interjicitur, majorem rationem quam reliqua rectum angulum continentium ad totam hypotenusam.

ΕΣΤΩ τρίγωνον τὸ ΑΒΓ, ὀρθὴν ἔχον τὴν πρὸς τὸ Β γωνίαν, ἀφ' ἧς ἐπὶ τὴν ΑΓ βάσιν ἤχθω ἡ ΒΔ· λέγω ὅτι ἡ ΒΔ πρὸς ΔΓ μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΑ πρὸς ΑΓ.



Ηχθω διὰ τοῦ Δ παρὰ τὴν ΑΒ ἡ ΔΕ. ἐπεὶ οὖν ὀρθαί εἰσι αἱ πρὸς τὸ Ε γωνίαι, μείζων ἄρα ἡ ΒΔ τῆς ΔΕ· ἡ ἄρα ΒΔ πρὸς ΔΓ μείζονα λόγον ἔχει ἤπερ ἡ ΕΔ πρὸς ΔΓ. ὡς δὲ ἡ ΕΔ πρὸς ΔΓ οὕτως ἡ ΒΑ πρὸς ΑΓ· ἡ ΒΔ ἄρα πρὸς ΔΓ μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΑ πρὸς ΑΓ· ὥστε φανερὸν ὅτι καὶ ἡ ΒΑ πρὸς ΑΓ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς ΔΓ. ὃ ἐχρησίμευεν ἡμῖν εἰς τὸ πρὸ τούτου.

SIT triangulum ΑΒΓ rectum habens angulum ad Β, à quo ad basim ΑΓ ducatur recta aliqua ΒΔ: dico ΒΔ ad ΔΓ majorem rationem habere quam ΒΑ ad ΑΓ.

Ducatur enim per Δ recta ΔΕ ipsi ΑΒ parallela. & quoniam recti anguli sunt ad Ε, major erit ΒΔ quam ΔΕ: ergo ΒΔ ad ΔΓ majorem habet rationem quam ΕΔ ad ΔΓ. sed ut ΕΔ ad ΔΓ ita ΒΑ ad ΑΓ: majorem igitur rationem habebit ΒΔ ad ΔΓ quam ΒΑ ad ΑΓ; ac proinde ΒΑ ad ΑΓ minorem habet rationem quam ΒΔ ad ΔΓ. id quod ad antecedens usurpavimus.

ΠΡΟΤΑΣΙΣ λ'.

Εὰν ἐν κώνῳ σκαληνῷ τμηθέντι διὰ τῆς κορυφῆς ἐπιπέδοις τισὶν, ἐπὶ παραλλήλων βάσεων ἰσοσκελῆ τρίγωνα συστῇ, ἐφ' ὃ μέρος προσνεύει ὁ ἄξων, τῶν δὲ γινομένων ἰσοσκελῶν ἕν ὁτιοῦν ἴσον ᾖ τῷ διὰ τοῦ ἄξονος ἰσοσκελεῖ· ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν τοῦ τριγώνου κάθετος μείζων ἐστὶ τοῦ ἄξονος.

Prop. XXX. *Theor.*

Si, cono scaleno planis per verticem secto, super bases parallelas æquicrura triangula habeantur, ad eam partem ad quam axis inclinat, & dictorum triangulorum unum aliquod æquale sit triangulo æquicruri per axem: recta linea, quæ à vertice ad basim trianguli perpendicularis ducitur, ipso axe major erit.

ΕΣΤΩ σκαληνὸς κῶνος, οὗ κορυφὴ τὸ Α, ἄξων δὲ ὁ ΑΒ προσνεύων ἐπὶ τὰ τοῦ Δ μέρη, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, τοῦ δὲ πρὸς ὀρθὰς τῷ κύκλῳ διὰ τοῦ ἄξονος τριγώνου βάσις ἔστω ἡ ΓΒΔ, καὶ ἤχθωσαν τῇ ΓΔ πρὸς ὀρθὰς ἐν τῷ κύκλῳ αἱ ΒΖ, ΕΗ, καὶ ἐπεζεύχθω ἡ ΑΕ, καὶ ὑποκείσθω τὸ διὰ τῶν ΑΕ, ΕΗ ἰσοσκελὲς ἴσον εἶναι τῷ διὰ τῶν ΑΒ, ΒΖ, τουτέστι τῷ διὰ τοῦ ἄξονος ἰσοσκελεῖ· λέγω ὅτι ἡ ΑΕ μείζων ἐστὶ τῆς ΑΒ.



Επεὶ τὸ διὰ τῶν ΑΕ, ΕΗ ἰσοσκελὲς ἴσον ἐστὶ τῷ διὰ τῶν ΑΒ, ΒΖ, καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΗ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΑΒ, ΒΖ· ὡς ἄρα ἡ ΒΖ πρὸς ΕΗ οὕτως ἡ ΕΑ πρὸς ΑΒ. μείζων δὲ ἡ ΒΖ τῆς ΕΗ· μείζων ἄρα καὶ ἡ ΕΑ τῆς ΑΒ.

SIT conus scalenus cujus vertex Α, axis ΑΒ ad partes Δ inclinans, & basis circulus circa centrum Β; basis autem trianguli per axem ad rectos angulos circulo sit ΓΒΔ, & ad ipsam ΓΔ perpendiculares ΒΖ, ΕΗ in circulo ducantur, jungaturque ΑΕ; & ponatur triangulum æquicrure per ΑΕ, ΕΗ transiens æquale esse triangulo per ΑΒ, ΒΖ, hoc est triangulo æquicruri per axem: dico ΑΕ majorem esse ipsa ΑΒ.

Quoniam enim triangulum æquicrure per ΑΕ, ΕΗ æquale est triangulo per ΑΒ, ΒΖ; erit rectangulum ΑΕΗ æquale rectangulo ΑΒΖ: ut igitur [per 14. 6.] ΒΖ ad ΕΗ ita ΕΑ ad ΑΒ. sed ΒΖ est major quam ΕΗ; ergo & ΕΑ quam ΑΒ major erit.

ΠΡΟΤΑΣΙΣ λα'.

Εὰν ἐν κώνῳ σκαληνῷ τμηθέντι διὰ τῆς κορυφῆς ἐπιπέδοις τισὶν, ἐπὶ παραλλήλων βάσεων ἰσο-

Prop. XXXI. *Theor.*

Si, cono scaleno per verticem planis secto, super bases parallelas æquicrura

crura triangula constituantur, ad eam partem ad quam axis inclinat, & dictorum triangulorum unum aliquod æquale sit triangulo æquicruri per axem: axis coni semidiametro basis minor erit.

SIT conus scalenus cujus vertex A, axis AB ad partes Δ inclinans, & basis circulus circa B centrum; basis vero trianguli per axem ad rectos angulos circulo sit ΓBΔ, & ad ipsam ΓΔ perpendiculares in circulo ducantur BZ, EH, jungaturque AE; & ponatur triangulo per AB & duplam ipsius BZ transeunti, hoc est triangulo æquicruri per axem, æquale triangulum æquicrure per AE & duplam ipsius EH ductum: dico axem AB semidiametro basis minorem esse.

Quoniam enim angulus ABE minor est recto, ducatur in plano trianguli ABE recta BΘ ad rectos angulos ipsi ΓΔ: & quoniam EA major est quam AB, uti in antecedente demonstratum est, angulus BEA minor erit recto. rectus autem est ΘBE: ergo ΘB, EA productæ inter se convenient. conveniant in Θ. cum igitur triangulum æquicrure per axem sit æquale rectangulo ABZ, triangulum vero æquicrure per AE & duplam ipsius EH æquale sit rectangulo AEH; & sint triangula æquicrura inter se æqualia; erit rectangulum ABZ rectangulo AEH æquale: adeoque ut BA ad AE ita HE ad ZB, hoc est ad HB. sed BA ad AE majorem habet rationem quam BΘ ad ΘE, per vigesimam nonam hujus: ergo ut BA ad AE ita BΘ ad minorem quam ΘE, ad majorem vero quam ΘB. fit ut BA ad AE ita BΘ ad ΘK; & coaptetur ΘK sub angulo ΘBE; & per E ducatur EΛ parallela ipsi KΘ, conveniensque cum BΘ in Λ. itaque quoniam BA est ad AE sicut BΘ ad ΘK, hoc est BΛ ad AE; ut autem BA ad AE ita EH ad HB; erit ut BΛ ad ΛE ita EH ad HB. quoniam igitur duo triangula ΛBE, HEB unum angulum uni angulo æqualem habent, nempe rectum; circa alios autem angulos qui ad Λ, H latera habent proportionalia; & reliquorum angulorum uterque est acutus: ergo [per 7. 6.] triangula ΛBE, HEB inter se similia sunt, & erit ut ΛB ad BE ita HE ad EB: quare ΛB ipsi HE est æqualis. minor autem est EH semidiametro basis; quare & BΛ semidiametro basis minor erit. & quoniam [per 21. 1.] utræque EΛ, ΛB simul majores sunt utrisque EA, AB simul; atque est ut EΛ ad ΛB ita EA ad AB: componendo igitur ut utræque EΛ, ΛB simul ad BΛ ita utræque EA, AB simul ad BA, permutandoque. sed majores sunt utræque EΛ, ΛB utrisque EA, AB: quare & ΛB major erit quam BA. ostensa



σκελῆ τρίγωνα συστῇ, ἐφ' ὃ μέρος προσνεύει ὁ ἄξων, τῶν δὲ γινομένων ἰσοσκελῶν ἕν ὁτιοῦν ἴσον ᾖ τῷ διὰ τοῦ ἄξονος ἰσοσκελεῖ· ὁ ἄξων τοῦ κώνου ἐλάσσων ἔσται τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως.

ΕΣΤΩ κῶνος σκαληνὸς, οὗ κορυφὴ μὲν τὸ A, ἄξων δὲ ὁ AB νεύων ἐπὶ τὰ τοῦ Δ μέρη, βάσις δὲ ὁ περὶ τὸ B κέντρον κύκλος, τοῦ δὲ πρὸς ὀρθὰς τῷ κύκλῳ διὰ τοῦ ἄξονος ἀγομένου τριγώνου βάσις ἔστω ἡ ΓBΔ, τῇ δὲ ΓΔ πρὸς ὀρθὰς ἤχθωσαν ἐν τῷ κύκλῳ αἱ BZ, EH, καὶ ἐπεζεύχθω ἡ AE, καὶ ὑποκείσθω τῷ διὰ τῆς AB καὶ τῆς διπλῆς τῆς BZ ἀγομένῳ τριγώνῳ, τουτέστι τῷ διὰ τοῦ ἄξονος ἰσοσκελεῖ, τὸ διὰ τῆς EA καὶ τῆς διπλῆς τῆς EH ἀγόμενον ἰσοσκελὲς ἴσον εἶναι· λέγω ὅτι ὁ BA ἄξων ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου.

Ἐπεὶ ἡ ὑπὸ ABE γωνία ἐλάττων ἐστὶν ὀρθῆς, ἤχθω ἐν τῷ τοῦ ABE ἐπιπέδῳ τῇ ΓΔ πρὸς ὀρθὰς ἡ BΘ. καὶ ἐπεὶ μείζων ἡ EA τῆς AB, διὰ τὸ πρὸ τούτου· ἡ ἄρα ὑπὸ BEA γωνία ἐλάττων ἐστὶν ὀρθῆς. ὀρθὴ δὲ ἡ ὑπὸ ΘBE· αἱ ἄρα ΘB, EA εὐθεῖαι ἐκβαλλόμεναι συμπεσοῦνται. συμπιπτέτωσαν κατὰ τὸ Θ. ἐπεὶ οὖν τὸ μὲν διὰ τοῦ ἄξονος ἴσον ἐστὶ τῷ ὑπὸ AB, BZ, τὸ δὲ διὰ τῆς AE καὶ τῆς διπλῆς τῆς EH ἰσοσκελὲς ἴσον ἐστὶ τῷ ὑπὸ AE, EH, καὶ ἔστιν ἴσα ἀλλήλοις τὰ ἰσοσκελῆ· καὶ τὸ ὑπὸ AB, BZ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ AE, EH· ὡς ἄρα ἡ BA πρὸς AE οὕτως ἡ HE πρὸς ZB, τουτέστι πρὸς HB. ἐπεὶ οὖν ἡ BA πρὸς AE μείζονα λόγον ἔχει ἤπερ ἡ BΘ πρὸς ΘE, διὰ τὸ κθ'. θεώρημα· ὡς ἄρα ἡ BA πρὸς AE οὕτως ἡ BΘ πρὸς ἐλάττονα μὲν τινα τῆς ΘE, μείζονα δὲ τῆς ΘB. ἔστω δὴ ὡς ἡ BA πρὸς AE οὕτως ἡ BΘ πρὸς ΘK, καὶ ἐνηρμόσθω ἡ ΘK ὑπὸ τὴν ΘBE γωνίαν, καὶ διὰ τοῦ E παρὰ τὴν KΘ ἤχθω ἡ EΛ συμπίπτουσα τῇ BΘ κατὰ τὸ Λ. ἐπεὶ οὖν ὡς ἡ BA πρὸς AE οὕτως ἡ BΘ πρὸς ΘK, τουτέστιν ἡ BΛ πρὸς AE, ἦν δὲ ὡς ἡ BA πρὸς AE οὕτως ἡ EH πρὸς HB· καὶ ὡς ἄρα ἡ BΛ πρὸς ΛE οὕτως ἡ EH πρὸς HB. ἐπεὶ οὖν δύο τρίγωνα τὰ ΛBE, HEB μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσον ἔχει, (ὀρθογώνια γάρ) περὶ δὲ τὰς ἄλλας γωνίας τὰς Λ, H τὰς πλευρὰς ἀνάλογον, καὶ τῶν λοιπῶν γωνιῶν ἑκατέρα ὀξεῖα· ὅμοια ἄρα ἐστὶ τὰ ΛBE, HEB τρίγωνα· ὡς ἄρα ἡ ΛB πρὸς BE οὕτως HE πρὸς EB· ἴση ἄρα ἡ ΛB τῇ HE. ἐλάττων δὲ ἡ EH τῆς ἐκ τοῦ κέντρου· ἐλάττων ἄρα ἡ ΛB τῆς ἐκ τοῦ κέντρου. καὶ ἐπεὶ συναμφότερος ἡ EΛ, ΛB συναμφοτέρου τῆς EA, AB μείζων ἐστὶ, καὶ ἔστιν ὡς ἡ EΛ πρὸς ΛB οὕτως ἡ EA πρὸς AB· καὶ συνθέντι ἄρα ὡς συναμφότερος ἡ EΛ, ΛB πρὸς BΛ οὕτως συναμφότερος ἡ EA, AB πρὸς BA, καὶ ἐναλλάξ. μείζων δὲ συναμφότερος ἡ EΛ, ΛB συναμφοτέρου τῆς EA, AB· μείζων ἄρα καὶ ἡ ΛB τῆς BA. ἐδείχθη

χθη δὲ ἡ ΛΒ ἐλάττων τῆς ἐκ τοῦ κέντρου· πολλῷ ἄρα ἡ ΒΑ ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου. ὅπερ ἔδει δεῖξαι.

est autem ΛΒ minor semidiametro basis; quare & ΒΑ semidiametro basis multo minor erit. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λβ'.

Ἐὰν ἐν κώνῳ σκαληνῷ τμηθέντι διὰ τῆς κορυφῆς ἐπιπέδοις τισὶν, ἐπὶ παραλλήλων βάσεων ἰσοσκελῆ τρίγωνα συστῇ, ἀφ' οὗ μέρους ἀπονεύει ὁ ἄξων· τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς τῶν συστάντων ἰσοσκελῶν οὐκ ἔσται πάντων ἐλάχιστον.

Prop. XXXII. *Theor.*

Si, cono scaleno planis per verticem secto, super bases parallelas triangula æquicrura constituantur, ad eam partem à qua axis declinat: triangulum æquicrure per axem transiens non erit omnium ejusmodi æquicrurum triangulorum minimum.

Ἔστω κῶνος σκαληνὸς, οὗ κορυφὴ μὲν τὸ Α, ἄξων δὲ ὁ ΑΒ, τοῦ δὲ διὰ τοῦ ἄξονος πρὸς ὀρθὰς τῷ κύκλῳ ἐπιπέδου καὶ τοῦ κύκλου κοινὴ τομὴ ἡ ΓΒΔ διάμετρος, ἐλάττων δὲ ἔστω ἡ ὑπὸ ΑΒΔ γωνία ὀρθῆς· λέγω ὅτι τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς τῶν συνισταμένων ἰσοσκελῶν, τὰς βάσεις ἐχόντων μεταξὺ τῶν Γ, Β σημείων, οὐ πάντων ἐλάχιστόν ἐστιν.

Ἐπεζεύχθω γὰρ ἡ ΑΓ, καὶ ἐν τῷ ΑΒΓ τριγώνῳ πρὸς ὀρθὰς ἤχθω τῇ ΓΔ ἡ ΒΕ. καὶ ἐπεὶ ἡ ΓΕ μείζων ἐστὶ τῆς ΓΒ τῆς ἐκ τοῦ κέντρου, ἔστω ἡ ΕΖ ἴση τῇ ἐκ τοῦ κέντρου, καὶ παρὰ τὴν ΕΒ ἤχθω ἡ ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΑΜΗ, καὶ παρὰ τὴν ΖΕ ἤχθω ἡ ΗΘ· παραλληλόγραμμον ἄρα τὸ ΖΘ, ἴση γάρ ἡ ΖΕ τῇ ΗΘ· ἡ ἄρα ΗΘ τῇ ἐκ τοῦ κέντρου ἐστὶν ἴση. ἤχθωσαν δὴ πάλιν ἐν τῷ τοῦ κύκλου ἐπιπέδῳ τῇ ΓΔ πρὸς ὀρθὰς αἱ ΚΒ, ΗΛ, καὶ ἐπεζεύχθω ἡ ΒΛ. ἐπεὶ οὖν δύο ὀρθογώνια τὰ ΘΗΒ, ΛΒΗ ἴσας ἔχει γωνίας τὰς ὀρθὰς, περὶ δὲ ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, καὶ τὰ λοιπὰ τῆς προτάσεως· ὅμοια ἄρα ἐστὶ τὰ τρίγωνα· ὡς ἄρα ἡ ΗΘ πρὸς ΘΒ οὕτως ἡ ΒΛ πρὸς ΛΗ. ἐπεὶ οὖν ἡ ΗΘ πρὸς ΘΒ μείζονα λόγον ἔχει ἤπερ ΗΜ πρὸς ΜΒ, ἡ δὲ ΗΜ πρὸς ΜΒ μείζονα λόγον ἔχει ἤπερ ἡ ΗΑ πρὸς ΑΒ· ἡ ἄρα ΗΘ πρὸς ΘΒ μείζονα λόγον ἔχει ἤπερ ἡ ΗΑ πρὸς ΑΒ. ἀλλ' ὡς ἡ ΗΘ πρὸς ΘΒ οὕτως ἡ ΒΛ, τουτέστιν ἡ ΒΚ, πρὸς ΛΗ· ἡ ἄρα ΒΚ πρὸς ΛΗ μείζονα λόγον ἔχει ἤπερ ἡ ΗΑ πρὸς ΑΒ· τὸ ἄρα ὑπὸ ΑΒ, ΒΚ μεῖζόν ἐστι τῷ ὑπὸ ΑΗ, ΗΛ, τουτέστι τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς μεῖζόν ἐστι τοῦ διὰ τῆς ΑΗ ἰσοσκελοῦς, οὗ βάσις ἐστὶν ἡ διπλῆ τῆς ΛΗ. οὐκ ἄρα τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς ἐλάχιστόν ἐστι πάντων τῶν μεταξὺ τῶν Β, Γ σημείων τὰς βάσεις ἐχόντων ἰσοσκελῶν.

Sit conus scalenus cujus vertex Α, axis ΑΒ, [basis circulus circa Β centrum] plani vero per axem ad rectos angulos circulo ducti & ipsius circuli communis sectio sit diameter ΓΒΔ; sitque ΑΒΔ angulus recto minor: dico triangulum æquicrure per axem transiens non esse minus omni triangulo æquicruri inter puncta Γ, Β basin habente.

Jungatur enim ΑΓ; & in triangulo ΑΒΓ ad rectos angulos ipsi ΓΔ ducatur ΒΕ. quoniam itaque ΓΕ major est semidiametro basis ΓΒ, capiatur ΕΖ æqualis semidiametro, & ducatur ΖΗ ipsi ΕΒ parallela; jungaturque ΑΜΗ, & ducatur ΗΘ parallela ipsi ΖΕ: ΖΘ itaque parallelogrammum est, propterea quod ΖΕ ipsi ΗΘ est æqualis; est igitur ΗΘ æqualis semidiametro basis. denique in circuli plano ducantur ΚΒ, ΗΛ ad rectos angulos ipsi ΓΔ, & jungatur ΒΛ. quoniam igitur duo triangula orthogonia ΘΗΒ, ΛΒΗ æquales habent rectos angulos, & circa alios angulos latera proportionalia, & reliquorum uterque est acutus; erunt [per 7. 6.] ea triangula inter se similia: & ideo ut ΗΘ ad ΘΒ ita ΒΛ ad ΛΗ. habet autem ΗΘ ad ΘΒ [per 2. huj.] majorem rationem quam ΗΜ ad ΜΒ; & ΗΜ ad ΜΒ item majorem quam ΗΑ ad ΑΒ: ergo ΗΘ ad ΘΒ majorem rationem habebit quam ΗΑ ad ΑΒ. sed ut ΗΘ ad ΘΒ, ita ΒΛ sive ΒΚ ad ΛΗ: quapropter ΒΚ ad ΛΗ majorem habet rationem quam ΗΑ ad ΑΒ: rectangulum igitur ΑΒΚ [per 1. huj.] majus est rectangulo ΑΗΛ, hoc est triangulum æquicrure per axem majus triangulo æquicruri per ΑΗ, cujus basis est ipsius ΛΗ dupla: quare triangulum æquicrure per axem non minus est omni ejusmodi triangulo inter puncta Β, Γ basin habente.



ΠΡΟΤΑΣΙΣ λγ'.

Ἐὰν ἐπὶ τῆς αὐτῆς βάσεως δύο τρίγωνα συστῇ, καὶ τοῦ μὲν ἑτέρου ἡ πλευρὰ πρὸς ὀρθὰς ᾖ τῇ βάσει, τοῦ δὲ ἑτέρου πρὸς ἀμβλεῖαν, τὸ δὲ τοῦ ἀμβλυγω-

Prop. XXXIII. *Theor.*

Si super eandem basin duo triangula constituantur, & unius quidem latus sit ad rectos angulos basi, alterius vero ad angulos obtusos, sitque

 amblygonii

amblygonii trianguli altitudo non minor altitudine orthogonii: angulus qui ad orthogonii verticem angulo qui ad verticem amblygonii major erit.

CONSTITUANTUR super basin A B triangula A Γ B, A Δ B, angulusque A B Γ sit rectus, & A B Δ obtusus; recta vero, quæ à puncto Δ ad A B basim perpendicularis ducitur, videlicet Δ Z, non minor sit perpendiculari Γ B: dico angulum A Γ B angulo A Δ B majorem esse.



Quoniam enim parallelæ sunt B Γ, Δ Z, & ad rectos angulos ipsi A B Z, non minor autem Δ Z quam Γ B; erit A Γ Δ angulus non minor recto: quare [per 19. 1.] A Δ major erit quam A Γ. & cum triangulum A B Γ orthogonium sit, in semicirculo continetur [per 31. 3.] cujus diameter est A Γ: ergo descriptus circa ipsam semicirculus rectam A Δ secabit. secet in E, & jungatur E B: erit igitur angulus A E B [per 21. 3.] æqualis angulo A Γ B. sed angulus A E B [per 16. 1.] est major ipso A Δ B: ergo A Γ B angulus angulo A Δ B major erit.

PROP. XXXIV. *Theor.*

Iisdem positis, si trianguli orthogonii angulus ad verticem non major sit eo qui continetur sub recta vertices triangulorum conjungente & latere amblygonii quod obtusum angulum cum basi efficit: ea quæ in triangulo orthogonio subtendit angulum rectum ad eam quæ est ad rectos angulos basi minorem habet rationem quã quæ subtendit angulum obtusum in amblygonio ad eam quæ cum basi facit angulum obtusum.

DESCRIBANTUR triangula, & sit A Γ B angulus non major angulo Γ Δ B: dico A Γ ad Γ B minorem habere rationem quam A Δ ad Δ B.



Quoniam enim angulus A Γ B major est angulo A Δ B (ut [in anteced.] ostensum fuit) & angulus Γ A B major angulo Δ A B, constituatur ipsi quidem angulo A Γ B æqualis angulus A Δ H, angulo autem Γ A B æqualis Δ A H: erunt itaque triangula A Γ B, A Δ H æquiangula & similia: quare ut Δ A ad A Γ ita H A ad A B; & continent æquales angulos: junctâ igitur B H, triangulum Δ A Γ [per 6. 6.] triangulo H A B simile erit, & angulus A Γ Δ angulo A B H æqualis. quo-

✱

νίου ὕψος μὴ ἔλαττον ᾖ τοῦ ὀρθογωνίου ὕψους· ἡ πρὸς τῇ κορυφῇ γωνία τοῦ ὀρθογωνίου μείζων ἔσται τῆς πρὸς τῇ κορυφῇ τοῦ ἀμβλυγωνίου.

ΣΥΝΕΣΤΑΤΩ ἐπὶ τῆς A B τὰ A Γ B, A Δ B τρίγωνα, καὶ ἡ μὲν ὑπὸ A B Γ ἔστω ὀρθὴ, ἡ δὲ ὑπὸ A B Δ ἀμβλεῖα, ἡ δὲ ἀπὸ τοῦ Δ κάθετος ἐπὶ τὴν A B ἡ Δ Z μὴ ἐλάττων ἔστω τῆς Γ B καθέτου· λέγω ὅτι μείζων ἐστὶν ἡ ὑπὸ A Γ B τῆς ὑπὸ A Δ B γωνίας.

Ἐπεὶ παράλληλοι μέν αἱ B Γ, Δ Z, καὶ πρὸς ὀρθὰς τῇ A B Z, οὐκ ἐλάττων δὲ ἡ Δ Z τῆς Γ B· ἡ ἄρα ὑπὸ A Γ Δ γωνία οὐκ ἐλάττων ἐστὶν ὀρθῆς· μείζων ἄρα ἡ A Δ τῆς A Γ. καὶ ἐπεὶ τὸ A B Γ ὀρθογώνιόν ἐστιν, ἐν ἡμικυκλίῳ ἄρα ἐστὶν οὗ διάμετρος ἡ A Γ· περιγραφθὲν ἄρα τὸ ἡμικύκλιον τεμεῖ τὴν A Δ. τεμνέτω δὴ κατὰ τὸ E, καὶ ἐπεζεύχθω ἡ E B· ἴση ἄρα ἡ ὑπὸ A E B τῇ ὑπὸ A Γ B. ἀλλὰ ἡ ὑπὸ A E B μείζων ἐστὶ τῆς ὑπὸ A Δ B· καὶ ἡ ὑπὸ A Γ B ἄρα μείζων ἐστὶ τῆς ὑπὸ A Δ B.

ΠΡΟΤΑΣΙΣ λδʹ.

Τῶν αὐτῶν ὄντων, ἐὰν τοῦ ὀρθογωνίου ἡ πρὸς τῇ κορυφῇ γωνία μὴ μείζων ᾖ τῆς περιεχομένης γωνίας ὑπό τε τῆς τὰς κορυφὰς τῶν τριγώνων ἐπιζευγνυούσης καὶ τῆς πρὸς ἀμβλεῖαν τῇ βάσει· ἡ τὴν ὀρθὴν ὑποτείνουσα τοῦ ὀρθογωνίου πλευρὰ πρὸς τὴν πρὸς ὀρθὰς τῇ βάσει ἐλάττονα λόγον ἔχει ἤπερ τοῦ ἀμβλυγωνίου ἡ τὴν ἀμβλεῖαν ὑποτείνουσα πρὸς τὴν πρὸς ἀμβλεῖαν τῇ βάσει.

ΚΑΤΑΓΕΓΡΑΦΘΩ τὰ αὐτὰ τρίγωνα, καὶ ἔστω ἡ ὑπὸ A Γ B μὴ μείζων τῆς ὑπὸ Γ Δ B· λέγω ὅτι ἡ A Γ πρὸς Γ B ἐλάττονα λόγον ἔχει ἤπερ ἡ A Δ πρὸς Δ B.

Ἐπεὶ μείζων ἐστὶν ἡ μὲν ὑπὸ A Γ B τῆς ὑπὸ A Δ B, ὡς ἐδείχθη, ἡ δὲ ὑπὸ Γ A B τῆς ὑπὸ Δ A B, συνεστάτω τῇ μὲν ὑπὸ A Γ B ἴση ἡ ὑπὸ A Δ H, τῇ δὲ ὑπὸ Γ A B ἡ ὑπὸ Δ A H· ἰσογώνια ἄρα ἐστὶ τὰ A Γ B, A Δ H τρίγωνα καὶ ὅμοια· ὡς ἄρα ἡ Δ A πρὸς A Γ οὕτως ἡ H A πρὸς A B, καὶ περιέχουσιν ἴσας γωνίας· ὅμοιον ἄρα τὸ Δ A Γ τρίγωνον τῷ H A B τριγώνῳ, ἐπιζευχθείσης τῆς B H· ἡ ἄρα ὑπὸ A Γ Δ γωνία τῇ ὑπὸ A B H ἴση ἐστίν. ἐπεὶ

οὖν

οὖν ἡ ΔΖ τῆς ΓΒ οὐκ ἔστιν ἐλάττων, ἤτοι ἴση ἐστὶν ἢ μείζων. ἔστω πρότερον ἴση· ὀρθογώνιον ἄρα ἐστὶ παραλληλόγραμμον τὸ ΓΖ· ἡ ἄρα ὑπὸ ΔΓΒ μετὰ τῶν ὑπὸ ΓΒΔ, ΔΒΖ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἀλλὰ τῆς ὑπὸ ΓΔΒ, τουτέστι τῆς ὑπὸ ΔΒΖ, οὐ μείζων ἐστὶν ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΔΓΒ μετὰ τῶν ὑπὸ ΓΒΔ, ΑΓΒ οὐ μείζονές εἰσι δυεῖν ὀρθῶν, ὅ ἐστιν αἱ ὑπὸ ΑΓΔ, ΓΒΔ οὐ μείζονές εἰσι δυεῖν ὀρθῶν. ἀλλὰ τῇ ὑπὸ ΑΓΔ ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΗ· αἱ ἄρα ὑπὸ ΑΒΗ, ΓΒΔ οὐ μείζονές εἰσι δυεῖν ὀρθῶν. προσκείσθω ἡ ὑπὸ ΑΒΓ ὀρθή· αἱ ἄρα ὑπὸ ΑΒΗ, ΑΒΔ οὐ μείζονές εἰσι τριῶν ὀρθῶν· λοιπὴ ἄρα εἰς τέσσαρας ὀρθὰς ἡ ὑπὸ ΔΒΗ οὐκ ἐλάσσων ἐστὶ μιᾶς ὀρθῆς· μείζων ἄρα ἡ ΔΗ τῆς ΔΒ· ἡ ἄρα ΑΔ πρὸς ΔΗ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΑΔ πρὸς ΔΒ. ἀλλ' ὡς ἡ ΑΔ πρὸς ΔΗ οὕτως ἡ ΑΓ πρὸς ΓΒ· καὶ ἡ ἄρα ΑΓ πρὸς ΓΒ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΑΔ πρὸς ΔΒ.

Ἀλλὰ δὴ ἔστω ἡ ΔΖ τῆς ΓΒ μείζων· ἀμβλεῖα ἄρα ἡ ὑπὸ ΔΓΒ. ἤχθω τῇ ΓΔ παράλληλος ἡ ΒΕ. καὶ κατὰ τὰ αὐτά, ἐπεὶ ἡ ὑπὸ ΔΓΒ μετὰ τῶν ὑπὸ ΓΒΔ, ΔΒΕ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἀλλὰ τῆς ὑπὸ ΔΒΕ, τουτέστι τῆς ὑπὸ ΓΔΒ, οὐ μείζων ἐστὶν ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΓΒΔ, τουτέστιν αἱ ὑπὸ ΑΒΗ, ΓΒΔ, οὐ μείζονές εἰσι δυεῖν ὀρθῶν· αἱ ἄρα ὑπὸ ΑΒΔ, ΑΒΗ οὐ μείζονές εἰσι τριῶν ὀρθῶν· ἡ ἄρα ὑπὸ ΔΒΗ οὐκ ἐλάττων ὀρθῆς ἐστι· μείζων ἄρα ἡ ΗΔ τῆς ΔΒ· ἡ ΑΔ ἄρα πρὸς ΔΗ, τουτέστιν ἡ ΑΓ πρὸς ΓΒ, ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΑΔ πρὸς ΔΒ. ὅπερ ἔδει δεῖξαι.

niam igitur ΔZ non est minor ipsâ ΓB, vel æqualis erit vel major. sit primum æqualis: ergo ΓZ parallelogrammum est rectangulum: & propterea angulus ΔΓB una cum angulis ΓBΔ, ΔBZ [per 32. 1.] est æqualis duobus rectis. sed [ex hypothesi] angulo ΓΔB, hoc est ΔBZ, non major est angulus AΓB: ergo angulus ΔΓB una cum angulis ΓBΔ, AΓB, videlicet anguli AΓΔ, ΓBΔ, non sunt duobus rectis majores. angulo autem AΓΔ æqualis est angulus ABH: anguli igitur ABH, ΓBΔ non sunt majores duobus rectis. apponatur angulus ABΓ rectus; quare anguli ABH, ABΔ non sunt majores tribus rectis: & idcirco angulus ΔBH, reliquus ex quatuor rectis, non erit recto minor: major igitur ΔH quam ΔB; adeoque AΔ ad ΔH minorem habet rationem quam AΔ ad ΔB. sed ut AΔ ad ΔH ita AΓ ad ΓB; ergo AΓ ad ΓB minorem rationem habebit quam AΔ ad ΔB.



Sed sit ΔZ major quam ΓB: ergo ΔΓB angulus est obtusus. itaque ducatur BE ipsi ΓΔ parallela. & quoniam angulus ΔΓB una cum angulis ΓBΔ, ΔBE est æqualis duobus rectis; angulo autem ΔBE, hoc est ΓΔB, non major est angulus AΓB: erunt, eadem ratione qua supra, anguli AΓΔ, ΓBΔ, hoc est ABH, ΓBΔ, non majores duobus rectis; adeoque ABΔ, ABH non sunt majores tribus rectis; proinde ΔBH non est recto minor: HΔ igitur major est quam ΔB, & idcirco AΔ ad ΔH, hoc est AΓ ad ΓB, minorem habet rationem quam AΔ ad ΔB. quod erat demonstrandum.

ΠΡΟΤΑΣΙΣ λε΄.

Τῶν αὐτῶν ὄντων τῶν ἄλλων, ἐὰν τοῦ ὀρθογωνίου ἡ τὴν ὀρθὴν ὑποτείνουσα πρὸς τὴν πρὸς ὀρθὰς τῇ βάσει μείζονα λόγον ἔχῃ ἤπερ τοῦ ἀμβλυγωνίου ἡ τὴν ἀμβλεῖαν ὑποτείνουσα πρὸς τὴν πρὸς ἀμβλεῖαν τῇ βάσει· ἡ πρὸς τῇ κορυφῇ τοῦ ὀρθογωνίου γωνία μείζων ἐστὶ τῆς περιεχομένης γωνίας ὑπό τε τῆς τὰς κορυφὰς τῶν τριγώνων ἐπιζευγνυούσης καὶ τῆς πρὸς ἀμβλεῖαν τῇ βάσει.

Prop. XXXV. *Theor.*

Cæteris manentibus, si in triangulo orthogonio, quæ subtenditur angulo recto ad eam quæ est ad rectos angulos basi majorem rationem habeat, quam quæ subtenditur angulo obtuso in amblygonio ad eam quæ est ad angulum obtusum: angulus ad verticem orthogonii major est angulo sub rectâ vertices triangulorum jungente & eâ quæ cum basi est ad angulum obtusum.

Κείσθω ἡ αὐτὴ καταγραφή, τῶν αὐτῶν κατεσκευασμένων. ἐπεὶ οὖν ἡ ΑΓ πρὸς ΓΒ μείζονα λόγον ἔχει ἤπερ ἡ ΑΔ πρὸς ΔΒ, ὡς δὲ ἡ ΑΓ πρὸς ΓΒ οὕτως ἡ ΑΔ πρὸς ΔΗ· καὶ ἡ ἄρα ΑΔ πρὸς ΔΗ μείζονα λόγον ἔχει ἤπερ ἡ ΑΔ πρὸς ΔΒ· ἐλάττων ἄρα ἡ ΗΔ τῆς ΔΒ· ἡ ἄρα ὑπὸ ΔΗΒ γωνία ἐλάττων ἐστὶν ὀρθῆς μιᾶς· λοι-



Ponatur eadem figura, iisdem constructis. quoniam itaque AΓ ad ΓB majorem rationem habet quam AΔ ad ΔB; ut autem AΓ ad ΓB ita AΔ ad ΔH; habebit AΔ ad ΔH majorem rationem quam AΔ ad ΔB; & ob id minor erit HΔ quam ΔB: angulus igitur ΔBH minor erit recto: quare reliqui ABΔ, ABH tribus

bus rectis sunt majores. sed angulus ABH æqualis est angulo ΑΓΔ: ergo anguli ΑΓΔ, ΑΒΔ majores sunt tribus rectis. auferatur angulus rectus ΑΒΓ, & erunt anguli ΑΓΔ, ΓΒΔ duobus rectis majores. quoniam igitur angulus ΒΓΔ una cum angulis ΑΓΒ, ΓΒΔ est major duobus rectis; una vero cum ipsis ΓΔΒ, ΓΒΔ est duobus rectis æqualis: sequitur angulum ΑΓΒ angulo ΓΔΒ majorem esse.



Prop. XXXVI. *Theor.*

Si, cono scaleno per verticem planis secto, super bases parallelas triangula æquicrura constituantur, ad eam partem à qua axis declinat: triangulum æquicrure per axem transiens omnium ejusmodi triangulorum neque maximum, neque minimum erit.

SIT conus, cujus axis AB, & basis circulus circa B centrum; plani vero per axem ad rectos angulos circulo, & ipsius circuli communis sectio sit ΓΒΔ; sitque angulus ΑΒΔ recto minor: dico triangulum æquicrure per axem triangulorum omnium æquicrurum, quæ bases habent inter puncta, Γ, B, neque maximum esse, neque minimum.

Vel enim axis est minor basis semidiametro, vel major, vel ipsi æqualis. sit primum minor. & quoniam AB minor est semidiametro basis, aptetur AE æqualis semidiametro; perque puncta B & E ducantur in circulo EZ, BH ad rectos angulos ipsi ΓΔ: & angulo AEB æqualis fiat angulus ΕΒΘ, & jungatur ΘΕ. quoniam igitur utraque AE, ΒΘ æqualis est semidiametro, communis autem BE, & continent æquales angulos; reliqua quoque [per 6. 6.] erunt æqualia & triangula inter se similia; quapropter ut EA ad AB ita ΒΘ ad ΘΕ. & quoniam [per 7. 3.] ZE major est quam ΕΘ, æquales autem BH, ΒΘ; habebit ΒΘ ad ΘΕ majorem rationem quam BH ad ZE. sed ut ΒΘ ad ΘΕ ita EA ad AB: quapropter EA ad AB majorem rationem habet quam BH ad EZ; & idcirco [per 1. huj.] rectangulum AEZ majus est rectangulo ABH, hoc est triangulum æquicrure per AE, cujus basis est dupla ipsius EZ, majus est triangulo æquicruri per axem: triangulum igitur æquicrure per axem non est omnium ejusmodi triangulorum maximum. sed ostensum est universim, in trigesimâ secundâ hujus, non minimum esse; quare neque maximum omnium, neque minimum est.



ποιὴ ἄρα αἱ ὑπὸ ΑΒΔ, ΑΒΗ μείζονές εἰσι τριῶν ὀρθῶν. ἀλλ' ἡ ὑπὸ ΑΒΗ ἴση τῇ ὑπὸ ΑΓΔ· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΒΔ μείζονές εἰσι τριῶν ὀρθῶν. ἀφῃρήσθω ἡ ὑπὸ ΑΒΓ ὀρθή· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΓΒΔ δυεῖν ὀρθῶν μείζονές εἰσι. ἐπεὶ οὖν ἡ ὑπὸ ΒΓΔ μετὰ μὲν τῶν ὑπὸ ΑΓΒ, ΓΒΔ δυεῖν ὀρθῶν εἰσι μείζους, μετὰ δὲ τῶν ὑπὸ ΓΔΒ, ΓΒΔ, δυσὶν ὀρθαῖς ἴσαι· μείζων ἄρα ἡ ὑπὸ ΑΓΒ τῆς ὑπὸ ΓΔΒ.

ΠΡΟΤΑΣΙΣ λϛ'.

Ἐὰν ἐν κώνῳ σκαληνῷ τμηθέντι διὰ τῆς κορυφῆς ἐπιπέδοις τισὶν, ἐπὶ παραλλήλων βάσεων ἰσοσκελῆ τρίγωνα συστῇ, ἀφ' οὗ μέρους ἀπονεύει ὁ ἄξων· τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς τῶν, ὡς εἴρηται, συνισταμένων ἰσοσκελῶν οὔτε μέγιστον ἔσται πάντων, οὔτε ἐλάχιστον.

ΕΣΤΩ κῶνος, οὗ ἄξων ὁ ΑΒ, βάσις δὲ ὁ περὶ τὸ Β κέντρον κύκλος, τοῦ δὲ διὰ τοῦ ἄξονος πρὸς ὀρθὰς γωνίας τῷ κύκλῳ ἐπιπέδου καὶ τοῦ κύκλου κοινὴ τομὴ ἡ ΓΒΔ, ἡ δὲ ὑπὸ ΑΒΔ ἐλάττων ἔστω ὀρθῆς· λέγω ὅτι τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς τῶν συνισταμένων ἰσοσκελῶν, τὰς βάσεις ἐχόντων μεταξὺ τῶν Γ, Β σημείων, οὔτε μέγιστόν ἐστι πάντων, οὔτε ἐλάχιστον.

Ὁ δὲ ἄξων ἤτοι ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τῆς βάσεως, ἢ ἴσος αὐτῇ, ἢ μείζων. ἔστω πρῶτον ἐλάττων. ἐπεὶ οὖν ἡ ΑΒ ἐλάσσων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, ἐνηρμόσθω ἴση τῇ ἐκ τοῦ κέντρου ἡ ΑΕ, καὶ διὰ τῶν Β καὶ Ε σημείων τῇ ΓΔ πρὸς ὀρθὰς ἤχθωσαν ἐν τῷ κύκλῳ αἱ ΕΖ, ΒΗ, καὶ τῇ ὑπὸ ΑΕΒ ἴση συνεστάτω ἡ ΕΒΘ, καὶ ἐπεζεύχθω ἡ ΘΕ. ἐπεὶ οὖν ἑκατέρα τῶν ΑΕ, ΒΘ ἴση ἐστὶ τῇ ἐκ τοῦ κέντρου, κοινὴ δὲ ἡ ΒΕ, καὶ περιέχουσιν ἴσας γωνίας· καὶ τὰ λοιπὰ ἄρα τοῖς λοιποῖς ἴσα· ὅμοια ἄρα τὰ τρίγωνα· ὡς ἄρα ἡ ΕΑ πρὸς ΑΒ οὕτως ἡ ΒΘ πρὸς ΘΕ. ἐπεὶ δὲ μείζων ἡ ΖΕ τῆς ΕΘ, ἴσαι δὲ αἱ ΒΗ, ΒΘ· ἡ ἄρα ΒΘ πρὸς ΘΕ μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΗ πρὸς ΖΕ. ἀλλ' ὡς ἡ ΒΘ πρὸς ΘΕ οὕτως ἡ ΕΑ πρὸς ΑΒ· ἡ ἄρα ΕΑ πρὸς ΑΒ μείζονα λόγον ἔχει ἤπερ ἡ ΒΗ πρὸς ΕΖ· τὸ ἄρα ὑπὸ ΑΕ, ΕΖ μεῖζόν ἐστι τοῦ ὑπὸ ΑΒ, ΒΗ, τουτέστι τὸ διὰ τῆς ΑΕ ἰσοσκελὲς, οὗ βάσις ἐστὶν ἡ διπλῆ τῆς ΕΖ, τοῦ διὰ τοῦ ἄξονος ἰσοσκελοῦς μεῖζόν ἐστι· τὸ ἄρα διὰ τοῦ ἄξονος ἰσοσκελὲς οὐ πάντων μέγιστόν ἐστι τῶν, ὡς εἴρηται, συνισταμένων τριγώνων. ἐδείχθη δὲ (ἐν τῷ τριακοστῷ δευτέρῳ) καθόλου, ὅτι οὐδὲ ἐλάχιστον· οὔτε ἄρα μέγιστόν ἐστι πάντων, οὔτε ἐλάχιστον.

ΠΡΟΤΑΣΙΣ λζ'.

Ἀλλὰ δὴ ἔστω ὁ ΑΒ ἄξων ἴσος τῇ ἐκ τοῦ κέντρου, ἡ δὲ ὑπὸ ΑΒΔ γωνία, ἐλάττων οὖσα ὀρθῆς, ἤτοι ἐλάττων ἐστὶν ἡμισείας ὀρθῆς ἢ οὔ. ἔστω πρότερον οὐκ ἐλάττων ἡμισείας, καὶ διὰ τοῦ Α, ἐν τῷ ὀρθῷ πρὸς τὸν κύκλον ἐπιπέδῳ, παράλληλος ἤχθω τῇ ΓΒ ἡ ΑΕ, καὶ πρὸς ὀρθὰς ἡ ΒΕ, τῇ δὲ ΑΒ παράλληλος ἡ ΕΖ, καὶ ἐπεζεύχθω ἡ ΖΑ, ἐν δὲ τῷ κύκλῳ τῇ ΓΔ πρὸς ὀρθὰς ἤχθωσαν αἱ ΒΘ, ΖΗ, καὶ ἐπεζεύχθω ἡ ΒΗ. Ἐπεὶ οὖν ἡ ὑπὸ ΑΒΔ οὐκ ἐλάττων ἐστὶν ἡμισείας ὀρθῆς, καὶ ἡ ὑπὸ ΒΑΕ ἄρα οὐκ ἐλάττων ἐστὶν ἡμισείας· ἡ ἄρα ὑπὸ ΕΒΑ, τουτέστιν ἡ ὑπὸ ΖΕΒ, οὐ μείζων ἐστὶν ἡμισείας ὀρθῆς· ἡ ἄρα ὑπὸ ΖΕΒ οὐ μείζων ἐστὶ τῆς ὑπὸ ΕΑΒ. ἐπεὶ οὖν δύο τρίγωνα τὰ ΖΕΒ, ΖΑΒ ἐπὶ μιᾶς βάσεως συνέστηκε, καὶ ἡ ἀπὸ τοῦ Α κάθετος ἐπὶ τὴν ΓΔ ἀγομένη, ὡς ἡ ΑΚ, οὐκ ἔστιν ἐλάττων τῆς ΕΒ, ἡ δὲ ὑπὸ ΖΕΒ τοῦ ὀρθογωνίου γωνία οὐ μείζων ἐστὶ τῆς ὑπὸ ΕΑΒ· ἡ ἄρα ΖΕ πρὸς ΕΒ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΖΑ πρὸς ΑΒ, διὰ τὸ τριακοστὸν τέταρτον θεώρημα. ὡς δὲ ἡ ΖΕ πρὸς ΕΒ οὕτως ἡ ΒΗ, τουτέστιν ἡ ΒΘ, πρὸς ΖΗ· (ἴση γὰρ ἡ ΒΕ τῇ ΖΗ καὶ ἡ ΕΖ τῇ ἐκ τοῦ κέντρου) καὶ ἡ ΒΘ ἄρα πρὸς ΖΗ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΖΑ πρὸς ΑΒ· τὸ ἄρα ὑπὸ ΑΒ, ΒΘ ἔλαττόν ἐστι τοῦ ὑπὸ ΑΖ, ΖΗ, τουτέστι τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς ἔλαττόν ἐστι τοῦ διὰ τῆς ΑΖ ἰσοσκελοῦς· οὐκ ἄρα τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς μέγιστόν ἐστι πάντων τῶν, ὡς εἴρηται, συνισταμένων ἰσοσκελῶν.



Ἀλλὰ δὴ ἔστω ἡ ὑπὸ ΑΒΔ ἐλάττων ἡμισείας ὀρθῆς, καὶ ἐκβεβλήσθω ἡ ΑΒ ἐπὶ τὸ Ε, καὶ κείσθω ἡ ΒΕ ἴση τῇ ἡμισείᾳ τῆς ἐκ τοῦ κέντρου, καὶ ἐν τῷ ὀρθῷ πρὸς τὸν κύκλον ἐπιπέδῳ (ἐν ᾧ καὶ ἡ ΑΕ) τῇ ΑΕ πρὸς ὀρθὰς ἤχθω ἡ ΕΖ, τῇ δὲ ΓΔ πρὸς ὀρθὰς ἡ ΒΗ, καὶ ὑποτεινέτω τὴν ὑπὸ ΖΒΗ γωνίαν ἡ ΖΗ εὐθεῖα, ἴση οὖσα τῇ ἐκ τοῦ κέντρου, καὶ ἐπεζεύχθω ἡ ΖΑ. Ἐπεὶ οὖν ἡ ὑπὸ ΑΒΔ, τουτέστιν ἡ ὑπὸ ΖΒΕ, ἐλάττων ἐστὶν ὀρθῆς ἡμισείας, ὀρθὴ δὲ ἡ πρὸς τῷ Ε· ἡ ἄρα ΒΕ τῆς ΕΖ μείζων. καὶ ἐπεὶ τὸ ἀπὸ ΖΒ ἴσον ἐστὶ τοῖς ἀπὸ ΖΕ, ΕΒ, ὧν μεῖζον τὸ ἀπὸ ΕΒ τοῦ ἀπὸ ΖΕ· τὸ ἄρα ἀπὸ ΖΒ ἔλαττόν ἐστι ἢ διπλάσιον τοῦ ἀπὸ ΒΕ· τὸ ἄρα ἀπὸ ΖΗ μεῖζον ἢ διπλάσιόν ἐστι τοῦ ἀπὸ ΖΒ· λοιποῦ ἄρα τοῦ ἀπὸ ΒΗ ἔλαττον ἢ διπλάσιόν ἐστι τὸ ἀπὸ ΖΗ. καὶ ἐπεὶ ἡ ΕΒ ἡμίσειά ἐστι τῆς ἐκ τοῦ κέντρου, τὸ ἄρα δὶς ὑπὸ ΑΒ, ΒΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΑ. ἐπεὶ οὖν τὸ ἀπὸ ΖΑ ἴσον ἐστὶ τοῖς ἀπὸ ΑΒ, ΒΖ καὶ τῷ δὶς ὑπὸ ΑΒ, ΒΕ, ἀλλὰ τὸ δὶς ὑπὸ ΑΒ, ΒΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΑΒ· τὸ ἄρα ἀπὸ ΖΑ ἴσον ἐστὶ τῷ τε δὶς ἀπὸ ΑΒ καὶ τῷ ἀπὸ ΒΖ· τὸ ἄρα ἀπὸ ΖΑ μεῖζον ἢ διπλάσιόν ἐστι



Prop. XXXVII. *Theor.*

SED sit axis AB semidiametro æqualis; angulus autem ABΔ recto minor, vel minor est semirecto, vel non. sit primum non minor semirecto, & per A in plano ad circulum recto ducatur AE ipsi ΓB parallela, & eidem ad rectos angulos recta BE, sitque EZ parallela ipsi AB; jungaturque ZA: in circulo autem ducantur BΘ, ZH ad rectos angulos ipsi ΓΔ, & jungatur BH. Quoniam igitur angulus ABΔ non est minor semirecto, neque [per 27. 1.] BAE semirecto minor erit: ergo EBA, hoc est ZEB, non est major semirecto, & ideo ZEB angulus non major est angulo EAB: itaque duo triangula ZEB, ZAB super eandem basin constituta sunt, & perpendicularis à puncto A ad ΓΔ ducta, videlicet AK, non est minor ipsa EB. angulus autem ZEB orthogonii trianguli non major est angulo EAB; quare, ex trigesimo quarto theoremate, ZE ad EB minorem habet rationem quam ZA ad AB. sed ut ZE ad EB ita BH, hoc est BΘ, ad ZH; (æqualis enim est BE ipsi ZH, & EZ basis semidiametro) ergo BΘ ad ZH minorem habet rationem quam ZA ad AB: & propterea [per 1.huj.] rectangulum ABΘ minus est rectangulo AZH, hoc est triangulum æquicrure per axem minus triangulo æquicruri per AZ. igitur triangulum æquicrure per axem omnium ejusmodi triangulorum maximum non erit.

Sit deinde angulus ABΔ minor medietate recti; & producatur AB usque ad E, ita ut BE sit æqualis dimidio semidiametri; in plano autem ad circulum recto, in quo est AE, ducatur EZ ad ipsam AE perpendicularis,& BH perpendicularis ad ΓΔ,& angulo ZBH subtendatur ZH æqualis semidiametro, jungaturque ZA. Quoniam igitur angulus ABΔ, hoc est ZBE, minor est semirecto, rectus autem qui ad E, erit BE major quam EZ: & quoniam quadratum ex ZB æquale est quadratis ex ZE, EB; quorum quidem quadratum ex EB majus est quadrato ex ZE: quadratum igitur ex ZB minus est quam duplum quadrati ex BE; & propterea quadratum ex ZH majus quam duplum quadrati ex ZB: quadratum igitur ex ZH minus erit quam duplum reliqui quadrati ex BH. & quoniam EB dimidia est semidiametri; quod bis continetur sub AB, BE æquale est quadrato ex BA. sed [per 12.2.] quadratum ex ZA est æquale quadratis ex AB, BZ una cum duplo rectanguli ABE; duplum vero rectanguli ABE æquale est quadrato ex AB: quadratum igitur ex ZA duplo quadrati ex AB & quadrato ex BZ æquale erit: ergo quadratum ex ZA majus est quam duplum

 quadrati

quadrati ex AB. demonstratum autem est quadratum ex ZH minus esse quam duplum quadrati ex HB; quadratum igitur ex ZH ad quadratum ex HB minorem rationem habet quam quadratum ex ZA ad quadratum ex AB: ergo & ZH ad HB minorem habet rationem quam ZA ad AB. quod si rursus in circulo ducantur ZK, BΘ ad rectos angulos ipsi ΓΔ, & jungatur BK; habebit BΘ ad ZK minorem rationem quam ZA ad AB: triangulum igitur æquicrure per axem minus est triangulo æquicruri per AZ ducto: quare triangulum æquicrure per axem non erit omnium triangulorum, de quibus dictum est, maximum: ostensum autem est non esse minimum, adeoque neque maximum neque minimum est.



τοῦ ἀπὸ AB. ἐδείχθη δὲ τὸ ἀπὸ ZH ἔλαττον ἢ διπλάσιον τοῦ ἀπὸ HB· τὸ ἄρα ἀπὸ ZH πρὸς τὸ ἀπὸ HB ἐλάττονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ZA πρὸς τὸ ἀπὸ AB· ὥστε καὶ ἡ ZH πρὸς HB ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ZA πρὸς AB. ἐὰν οὖν πάλιν ἐν τῷ κύκλῳ τῇ ΓΔ πρὸς ὀρθὰς ἀχθῶσιν αἱ ZK, BΘ, ἐπιζευχθῇ δὲ ἡ BK, ἡ BΘ πρὸς ZK ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ZA πρὸς AB· τὸ ἄρα διὰ τοῦ ἄξονος ἰσοσκελὲς ἔλαττόν ἐστι τοῦ διὰ τῆς AZ· οὐκ ἄρα τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς μέγιστόν ἐστι πάντων τῶν, ὡς εἴρηται, συνισταμένων ἰσοσκελῶν. ἐδείχθη δὲ οὐδὲ ἐλάχιστον· οὔτε ἄρα μέγιστόν ἐστιν, οὔτε ἐλάχιστον.

Prop. XXXVIII. *Theor.*

Denique sit axis AB semidiametro major, & in plano ad circulum recto ducatur AE ad ΓΔ perpendicularis, quæ vel minor erit semidiametro, vel non minor. sit primum minor; perque A ducatur AZ ipsi ΓΔ parallela; & per B recta BZ parallela ipsi AE; & constituatur angulus BZH non major angulo ZAB, jungaturque HA. rursus ex jam demonstratis [ad 34.huj.] ZH ad ZB minorem rationem habebit quam HA ad AB. itaque quoniam ZB æqualis ipsi AE est minor semidiametro, & ZH major quam ZB; erit ZH vel major semidiametro, vel minor, vel æqualis. sit primum æqualis: si igitur in circulo ducantur HΛ, BM ad ipsam ΓΔ perpendiculares, ut superius factum est; & jungatur BΛ: per ea quæ sæpius demonstrata sunt, habebit HA ad AB majorem rationem quam BM ad HΛ: quare triangulum æquicrure per AH, HΛ majus est triangulo æquicruri per axem.



Si vero ZH sit minor semidiametro, fiat HN semidiametro æqualis. & quoniam HA ad AB majorem rationem habet quam HZ ad ZB; HZ vero ad ZB majorem habet quam HN ad NB: habebit HA ad AB majorem rationem quam HN ad NB, hoc est quam BM ad HΛ; adeoque triangulum æquicrure per AH, HΛ triangulo æquicruri per axem majus erit.



At si ZH sit semidiametro major, ducatur ZΞ ipsi æqualis. quoniam igitur ΞZB angulus

ΠΡΟΤΑΣΙΣ λη'.

Ἔστω δὲ νῦν ὁ AB ἄξων μείζων τῆς ἐκ τοῦ κέντρου, καὶ ἐν τῷ ὀρθῷ πρὸς τὸν κύκλον ἐπιπέδῳ ἤχθω κάθετος ἐπὶ τὴν ΓΔ ἡ AE, ἡ δὲ AE ἤτοι ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, ἢ οὔ. ἔστω πρότερον ἐλάττων, καὶ διὰ τοῦ A παρὰ τὴν ΓΔ ἤχθω ἡ AZ, διὰ δὲ τοῦ B παρὰ τὴν AE ἡ BZ, καὶ συνεστάτω ἡ ὑπὸ BZH μὴ μείζων οὖσα τῆς ὑπὸ ZAB, καὶ ἐπεζεύχθω ἡ HA. πάλιν ἄρα, διὰ τὰ δειχθέντα, ἡ ZH πρὸς ZB ἐλάττονα λόγον ἔχει ἤπερ ἡ HA πρὸς AB. ἐπεὶ οὖν ἡ ZB, ἴση οὖσα τῇ AE, ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, μείζων δὲ ἡ ZH τῆς ZB· ἡ ἄρα ZH ἤτοι μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, ἢ ἐλάττων, ἢ ἴση. ἔστω πρῶτον ἴση. ἐὰν οὖν πάλιν κατὰ τὸ εἰωθὸς ἐν τῷ κύκλῳ τῇ ΓΔ πρὸς ὀρθὰς ἀγάγωμεν τὰς HΛ, MB, καὶ ἐπιζεύξωμεν τὴν BΛ· διὰ τὰ δειχθέντα πολλάκις, ἡ HA πρὸς AB μείζονα λόγον ἕξει ἤπερ ἡ BM πρὸς HΛ· ὥστε καὶ τὸ διὰ τῶν AH, HΛ ἰσοσκελὲς μεῖζον ἔσται τοῦ διὰ τοῦ ἄξονος ἰσοσκελοῦς.

Εἰ δὲ ἡ ZH ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, ἔστω ἡ HN ἴση τῇ ἐκ τοῦ κέντρου. ἐπεὶ οὖν ἡ HA πρὸς AB μείζονα λόγον ἔχει ἤπερ ἡ HZ πρὸς ZB, ἡ δὲ HZ πρὸς ZB μείζονα λόγον ἔχει ἤπερ ἡ HN πρὸς NB· καὶ ἡ ἄρα HA πρὸς AB μείζονα λόγον ἕξει ἤπερ ἡ HN πρὸς NB, τουτέστιν ἤπερ ἡ BM πρὸς HΛ. καὶ οὕτως τὸ διὰ τῶν AH, HΛ ἰσοσκελὲς τοῦ διὰ τοῦ ἄξονος ἰσοσκελοῦς μεῖζον ἔσται.

Εἰ δὴ ἡ ZH μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, διήχθω ἡ ZΞ ἴση τῇ ἐκ τοῦ κέντρου. ἐπεὶ οὖν ἡ ὑπὸ ΞZB οὐ μείζων

μείζων ἐστὶ τῆς ὑπὸ Z A B· ἐπιζευχθεῖσα ἄρα ἡ Ξ A πρὸς A B μείζονα λόγον ἔχει ἤπερ ἡ Ξ Z πρὸς Z B. ὡς δὲ ἡ Ξ Z πρὸς Z B οὕτως ἡ B M πρὸς Ξ O· ἡ ἄρα Ξ A πρὸς A B μείζονα λόγον ἔχει ἤπερ ἡ M B πρὸς Ξ O· τὸ ἄρα διὰ τῶν A Ξ, Ξ O ἰσοσκελὲς μεῖζόν ἐστι τοῦ διὰ τοῦ ἄξονος ἰσοσκελοῦς· οὐκ ἄρα τὸ διὰ τοῦ ἄξονος ἰσοσκελὲς πάντων μέγιστόν ἐστι τῶν εἰρημένων ἰσοσκελῶν. ἐδείχθη δὲ ὅτι οὐδὲ ἐλάχιστον· οὔτε ἄρα μέγιστόν ἐστι πάντων, οὔτε ἐλάχιστον.

non est major angulo Z A B, juncta Ξ A ad A B majorem rationem habebit quam Ξ Z ad Z B. ut autem Ξ Z ad Z B ita B M ad Ξ O: ergo Ξ A ad A B majorem rationem habebit quam M B ad Ξ O: & propterea triangulum æquicrure per A Ξ, Ξ O majus est triangulo æquicruri per axem. ostensum autem est [ad tricesimam secundam hujus] non minimum esse: quare neque est omnium maximum neque minimum.



ΠΡΟΤΑΣΙΣ λθ′.

ΕΣΤΩ δὴ ἡ A E κάθετος μὴ ἐλάττων τῆς ἐκ τοῦ κέντρου, ἡ δὲ Z B ἴση τῇ ἐκ τοῦ κέντρου, καὶ ἐπεζεύχθω ἡ A Z, καὶ διήχθω τυχοῦσα ἡ A Θ, καὶ συνεστάτω ἡ ὑπὸ B Θ H μὴ μείζων οὖσα τῆς ὑπὸ Θ A B, καὶ ἐπεζεύχθω ἡ H A. ἕξει δὴ πάλιν, διὰ τὰ δειχθέντα, ἡ H Θ πρὸς Θ B ἐλάττονα λόγον ἤπερ ἡ H A πρὸς A B. καὶ ἐπεὶ ἡ Θ B ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, μείζων δὲ ἡ Θ H τῆς Θ B· ἡ Θ H ἄρα ἤτοι ἴση ἐστὶ τῇ ἐκ τοῦ κέντρου, ἢ ἐλάσσων, ἢ μείζων. ἔστω πρῶτον ἴση τῇ ἐκ τοῦ κέντρου, καὶ ἤχθωσαν ἐν τῷ κύκλῳ τῇ Γ Δ πρὸς ὀρθὰς αἱ H K, B Λ. ἐπεὶ οὖν ἡ H A πρὸς A B μείζονα λόγον ἔχει ἤπερ ἡ H Θ πρὸς Θ B, ὡς δὲ ἡ H Θ πρὸς Θ B οὕτως ἡ B Λ πρὸς H K· ἡ ἄρα H A πρὸς A B μείζονα λόγον ἔχει ἤπερ ἡ B Λ πρὸς H K· μεῖζον ἄρα τὸ διὰ τῆς A H τρίγωνον ἰσοσκελὲς τοῦ διὰ τοῦ ἄξονος ἰσοσκελοῦς.

Εἰ δὲ ἡ Θ H ἐλάττων ἐστὶ τῆς ἐκ τοῦ κέντρου, ἔστω ἴση τῇ ἐκ τοῦ κέντρου ἡ H M. ἐπεὶ οὖν ἡ H A πρὸς A B μείζονα λόγον ἔχει ἤπερ ἡ H Θ πρὸς Θ B, ἡ δὲ H Θ πρὸς Θ B μείζονα λόγον ἔχει ἤπερ ἡ H M πρὸς M B, τουτέστι ἡ B Λ πρὸς H K· ἡ ἄρα H A πρὸς A B μείζονα λόγον ἔχει ἤπερ ἡ B Λ πρὸς H K· μεῖζον ἄρα τὸ διὰ τῆς A H τρίγωνον ἰσοσκελὲς τοῦ διὰ τοῦ ἄξονος ἰσοσκελοῦς.

Εἰ δὲ ἡ μείζων ἡ H Θ τῆς ἐκ τοῦ κέντρου, ἔστω ἡ Θ N ἐνηρμοσμένη ἴση τῇ ἐκ τοῦ κέντρου, καὶ ἐπεζεύχθω ἡ N A, καὶ ἐν τῷ κύκλῳ πάλιν πρὸς ὀρθὰς τῇ Γ Δ αἱ B Λ, N Ξ. ἐπεὶ οὖν ἡ ὑπὸ N Θ B οὐ μείζων ἐστὶ τῆς ὑπὸ Θ A B, ἡ ἄρα N Θ πρὸς Θ B ἐλάττονα λόγον ἔχει ἤπερ ἡ N A πρὸς A B. ὡς δὲ ἡ N Θ πρὸς Θ B οὕτως ἡ B Λ

PROP. XXXIX. *Theor.*

SIT perpendicularis A E jam non minor semidiametro, & Z B semidiametro æqualis, jungaturque A Z, & ducatur utcunque recta A Θ: constituatur autem B Θ H angulus non major angulo Θ A B, & jungatur H A. habebit rursus, ex iis quæ [ad 34. huj.] demonstrata sunt, H Θ ad Θ B minorem rationem quam H A ad A B. & quoniam Θ B minor est semidiametro, major autem Θ H quam Θ B; erit Θ H vel æqualis semidiametro, vel minor, vel major. sit primum æqualis; & ducantur in circulo H K, B Λ ad rectos angulos ipsi Γ Δ. cum igitur H A ad A B majorem habeat rationem quam H Θ ad Θ B, & ut H Θ ad Θ B ita B Λ ad H K; H A ad A B majorem rationem habebit quam B Λ ad H K: ergo triangulum æquicrure per A H triangulo æquicruri per axem majus erit.



Si vero Θ H sit minor semidiametro, sit semidiametro æqualis H M. itaque quoniam H A ad A B majorem habet rationem quam H Θ ad Θ B, & H Θ ad Θ B item majorem quam H M ad M B, hoc est B Λ ad H K: habebit H A ad A B majorem rationem quam B Λ ad H K: quare majus erit triangulum æquicrure per A H triangulo per axem æquicruri.



Quod si H Θ major sit semidiametro, aptetur Θ N semidiametro æqualis; jungaturque N A: & in circulo rursus ipsi Γ B ad rectos angulos ducantur B Λ, N Ξ. quoniam igitur N Θ B angulus non est major angulo Θ A B, N Θ ad Θ B minorem habet rationem quam N A ad A B. ut autem N Θ ad Θ B ita B Λ ad



ad ΝΞ: quare ΒΑ ad ΝΞ minorem habebit rationem quam ΝΑ ad ΑΒ: majus igitur est triangulum æquicrure per ΑΝ triangulo æquicruri per axem: hinc ſequitur triangulum æquicrure per axem dictorum triangulorum æquicrurum non eſſe maximum. ſed demonſtratum eſt generaliter non minimum eſſe: ergo nec maximum, neque minimum erit. quod erat demonſtrandum.

πρὸς ΝΞ· ἡ ἄρα ΒΑ πρὸς ΝΞ ἐλάττονα λόγον ἔχει ἤπερ ἡ ΝΑ πρὸς ΑΒ· μεῖζον ἄρα τὸ διὰ τῆς ΑΝ ἰσοσκελὲς τοῦ διὰ τοῦ ἄξονος ἰσοσκελοῦς· τὸ ἄρα διὰ τοῦ ἄξονος ἰσοσκελὲς οὐ πάντων μέγιστόν ἐστι τῶν εἰρημένων ἰσοσκελῶν. ἐδείχθη δὲ καθόλου ὅτι οὐδὲ ἐλάχιστον· οὔτε ἄρα μέγιστόν ἐστι πάντων, οὔτε ἐλάχιστον. ὅπερ ἔδει δεῖξαι.

SCHOLION.

SERENUS noſter, quo pacto ſecandus ſit conus rectus datus per verticem, ut triangulum dato triangulo æquale à ſectione generetur, in octavâ quidem hujus rite oſtendit; itidemque quodnam fuerit maximum triangulum in cono recto ſecandum prop. XII. demonſtrat. Hîc autem locus erat idem in conis ſcalenis præſtandi, illi tamen ſatis fuiſſe comperimus, triangulum æquicrure per Axem ex æquicruribus neque maximum neque minimum demonſtraſſe; majora nempe fieri triangula ad partes à quibus declinat Axis, minora vero ad eas ad quas inclinat. Solidum autem eſt problema, ſi quod aliud, in Cono ſcaleno dato triangulum æquicrure trianguloque dato æquale ſecare plano per verticem tranſeunte: nec abſque locis ſolidis ejuſdem problematis limites ſive διορισμοὶ exhiberi poſſunt. Unde forſan *Sereno* viſum fuit rem intactam potius prætermittere, quam multis & intricatis ambagibus, ad problemata ſolida more Veterum enucleanda neceſſariis, immiſceri. Nequid autem hac ex parte deeſſet, nos ex hodiernâ Geometriâ deſumptas tam problematis effectionem Geometricam quam ejuſdem determinationem trademus.

